PAULUS
ÆGINETA
GR. ET. LAT.

1538
1532







ΠΑΥΛΟΥ ΑἸΓΙ
ΝΉΤΟΥ ἸΑΤΡΟΥ͂ ἈΡΊΣΤΟΥ, ΒΙΒΛΊΑ ἙΠΤΆ.

ἘΝ ἈΡΧΗ͂͂ ἙΚΆΣΤΟΥ ΤΩ͂Ν ΒΙΒΛΊΩΝ ΔΕΊΚΝΥΤΑΙ
ΤᾺ ἘΝ ἘΚΕΊΝῼ ΠΕΡΙΕΧΌΜΕΝΑ.

PAVLI AEGINETAE MEDI
CI OPTIMI, LIBRI SEPTEM.

IN PRINCIPIO SINGVLORVM LIBRORVM
OMNIA INDICANTVR, QVAE IN EO
continentur libro.

OMNIA hæc, collatione uetustissimorum exemplarium, magna
fide ac diligentia emendata & restituta, necnon aliquot locis aucta:
ut hic liber planè nunc primum è tenebris erutus, in
lucem prodijsse dici possit, quemadmodum
in calce Operis uidere licet.



*Ne quis alius impune, per sexennium, usquam locorum sacrosancti Romani imperij, hosce
PAVLI AEGINETAE libros imprimat, aut alibi
impressos uenales importet, Cæsareæ Maiestatis
priuilegio cautum est.*

BASILEAE,
M. D. XXXVIII.

IN PAVLI AEGINETAE LIBROS PRAEFATIO, AD REVERENDISSImum in Christo patrem ac Dominum, D. PHILIPPVM COSSEIVM, Constantiæ Galliarum Episcopũ, per Hieronymũ Gemusæum Doct. Medicum, & Philosophum.



ON hic fatebor quod uetus habet prouerbium, εὐδαίμων γε Κόρινθος, ἐγὼ δ' εἴην Τενεάτης. nec Corinthus ulla, si ad hanc Teneam quis conferat, ἀφθόνως εὐδαίμων fuerit. quando ex uniuerso genere disciplinarum omnium, quæ hominum industria atq; sagacitate inuentæ atq; excultæ fuere, nulla pars habetur, quæ cũ hac ipsa, quam nũc adferimus debeat contendere. Sed quid aio? An non reliquas omnes, quæcunq; illæ liberaliores & humaniores habẽtur, hæc ipsa complectitur? atq; ad suũ finem præscriptum traducit? Quo minus etiam uidebor non ad legitimum tempus adfuisse, ὅτι τὰ καλὰ πάντα, ὅσῳ καλλίονα τοσούτῳ χαλεπώτερά τε καὶ δι' αὐτὸ τοῦτο βραδύτερά ἐστι. Quanquam maius sit periculum μή τις μωμήσηται ταῦτα, ὡς ταχύτερον μᾶλλον ἢ βραδύτερον ἐκπονημένα. Sed quis mortalium, ab illis quibusdam hominibus commendari poßit, à quorũ satyris ne Iupiter quidem ipse sit tutus? Ad C. T. me uerto reuerendiß. præsul, quam ego scio ea mentis acrimonia esse, ut causam uel grauißimam difficillimamq; expeditè poßit cognoscere, eaq; magnitudine animi præditam, ut cognitam summa cum æquitate decidere, deq; ea statuere uelit. Causa hæc est PAVLI AEGINETAE imprimis. Deinde hominum eorum, qui sua diligentia, huius monumenta planè diuina, bona fide, ab iniuria horum temporum uindicare, atq; instaurare cupiunt. Id, quod in hoc opere ita factum est sedulò, οὐ λέξω μεγαλοπρεπῶς οὐδὲ τραγικῶς, ἀλλ' ἁπλούστερον καὶ ἀληθέστερον φράσω, ut si conferatur cum priore æditione, dici profecto id poßit, quod est apud Poëtam, Quantum mutatus ab illo est? Et cognoscet, quisquis non iniquus harum rerum censor esse uolet, tantum hic discrimen esse, quantum inter Hippocratem, Galenũ, hunc ipsum Paulum, atq; ipsum Auicennã, uniuersamq; barbarorum scholam intersit. Cæterum id esse immensum, ecquis ambigat, aut non uideat? Equidem dudum, opinor, persuasum esse studiosis huiusce artis plerisq; omnibus, institutionẽ hanc non aliunde, quàm ab ipsis artificibus primisq; inuentoribus esse petendam. hi sunt Græcæ scholæ autores. Et si fatendum sit, Arabicæ scholæ magistris, non defuisse neq; in deligendo iudicium, neq; in imitando industriam omnem: tantò tamen inferiores habendi sunt illi Græcis autoribus, quantò superior est Aristoteles peripateticæ philosophiæ sectatoribus, aut Zeno Stoicis reliquis qui illum sunt secuti, aut quisque artifex exercitatißimus reliquis suæ scholæ hominibus. & quanquã ipsorum monumenta à nostris sint cognoscenda, institutio tamen ab illis ipsis petenda est, quorum studia atq; industriam illi secuti, ita in se conuerterant maiorum nostrorum animos, ut alios autores uix agnoscerent. quòd hi ambitiose à Græcis ad sese uniuersa traduxissent, atque Latinis hominibus tanquam sua commodarent. ac uidebatur profecto, nihil usquam existere, quod ex Arabum libris non rectè peteretur, ac proinde non iudicabant hæc illi, sed colebant ac uenerabantur, primamq; institutionem ex ijsdem monumentis petentes, omnem ætatem istic terebant. Quorum hominũ sententia, uel hoc nomine falsa est, quòd etsi pares fuissent illi Græcis autoribus, quãdo tamen ab ijs omnia transtulere, dici non potest, quãtò deteriora sint facta, quæ toties aliam atq; aliam linguam mutarũt. Dum hæc primum à Græcis scribuntur, ac toties à bibliographis exscribuntur, deinde ab ea gente ad Arabes deriuantur, ab his rursus ad Latinos traducuntur: ambigat ne quisquã, quin pleraq; infinities fuerint inuersa, deprauata, inuoluta, atq; modis omnibus deteriora facta? Sed ambigat qui uolet, & quandiu uolet, certè ex Græcorũ collatione cõstat, in illorũ libris infinita depræhendi tum inter se, tum etiam cum illis pugnantia, dißidentiaq;. alia falsò, aut ineptè, aut ambigue, aut omnino obscure adiecta. Et siue id eorum uitio sit factum, qui postmodum hæc latina fecerunt, siue ab ijs ipsis qui à Græcis ad Arabes primũ transtulerunt, lectorem profecto ita præpediunt atque peruertunt, ut tyroni non proponenda, sed ab exercitatis in arte hominibus, acriq; præditis iudicio sint diligenter examinanda cognoscendaq;, prius quàm ad usum recipiantur. Sed hanc sententiam pleriq; omnes pridem sunt amplexi, ac ueram hanc rationem se

IN PAVLI AEGINETAE LIBROS PRAEFATIO, AD REVERENDISSIMUM IN CHRISTO PATREM AC DOMINUM, D. PHILIPPVM COSSEIVM, Constantiæ Galliarum Episcopū, per Hieronymū Gemusæum Doct. Medicum, & Philosophum.



ON hic fatebor quod uetus habet prouerbium, εὐδαίμων γε Κόρινθος, ἐγὼ δ' εἴην Τενεάτης. nec Corinthus ulla, si ad hanc Teneam quis conferat, ἀφθόνως εὐδαίμων fuerit. quando ex uniuerso genere disciplinarum omnium, quæ hominum industria atq; sagacitate inuentæ atq; excultæ fuere, nulla pars habetur, quæ cū hac ipsa, quam nūc adferimus debeat contendere. Sed quid aio? An non reliquas omnes, quæcunq; illæ liberaliores & humaniores habētur, hæc ipsa complectitur? atq; ad suū finem præscriptum traducit? Quo minus etiam uidebor non ad legitimum tempus adfuisse, ὅτι τὰ καλὰ πάντα, ὅσῳ καλλίονα τοσούτῳ χαλεπώτερά τε καὶ δι' αὐτὸ τοῦτο βραδύτερά ἐστι. Quanquam maius sit periculum μή τις μωμήσηται ταῦτα, ὡς ταχύτερον μᾶλλον ἢ βραδύτερον ἐκπεπονημένα. Sed quis mortalium, ab illis quibusdam hominibus commendari posśit, à quorū satyris ne Iuppiter quidem ipse sit tutus? Ad C. T. me uerto reuerendiß. præsul, quam ego scio ea mentis acrimonia esse, ut causam uel grauißimam difficillimamq; expeditè posśit cognoscere, eaq; magnitudine animi præditam, ut cognitam summa cum æquitate decidere, deq; ea statuere uelit. Causa hæc est PAVLI AEGINETAE imprimis. Deinde hominum eorum, qui sua diligentia, huius monumenta planè diuina, bona fide, ab iniuria horum temporum uindicare, atq; instaurare cupiunt. Id, quod in hoc opere ita factum est sedulò, οὐ λέξω μεγαλοπρεπῶς οὐδὲ τραγικῶς, ἀλλ' ἁπλούστερον καὶ ἀληθέστερον φράσω, ut si conferatur cum priore æditione, dici profecto id posśit, quod est apud Poëtam, Quantum mutatus ab illo est? Et cognoscet, quisquis non iniquus harum rerum censor esse uolet, tantum hic discrimen esse, quantum inter Hippocratem, Galenū, hunc ipsum Paulum, atq; ipsum Auicennā, uniuersamq; barbarorum scholam intersit. Cæterum id esse immensum, ecquis ambigat, aut non uideat? Equidem dudum, opinor, persuasum esse studiosis huiusce artis plerisq; omnibus, institutionē hanc non aliunde, quàm ab ipsis artificibus primisq; inuentoribus esse petendam. hi sunt Græcæ scholæ autores. Et si fatendum sit, Arabicæ scholæ magistris, non defuisse neq; in deligendo iudicium, neq; in imitando industriam omnem: tantò tamen inferiores habendi sunt illi Græcis autoribus, quantò superior est Aristoteles peripateticæ philosophiæ sectatoribus, aut Zeno Stoicis reliquis qui illum sunt secuti, aut quisque artifex exercitatißimus reliquis suæ scholæ hominibus. & quanquā ipsorum monumenta à nostris sint cognoscenda, institutio tamen ab illis ipsis petenda est, quorum studia atq; industriam illi secuti, ita in se conuerterant maiorum nostrorum animos, ut alios autores uix agnoscerent. quòd hi ambitiosè à Græcis ad sese uniuersa traduxissent, atque Latinis hominibus tanquam sua commodarent. ac uidebatur profectò, nihil usquam existere, quod ex Arabum libris non rectè peteretur, ac proinde non iudicabant hæc illi, sed colebant ac uenerabantur, primamq; institutionem ex iisdem monumentis petentes, omnem ætatem istic terebant. Quorum hominū sententia, uel hoc nomine falsa est, quòd etsi pares fuissent illi Græcis autoribus, quādo tamen ab iis omnia transtulere, dici non potest, quātò deteriora sint facta, quæ toties aliam atq; aliam linguam mutarūt. Dum hæc primum à Græcis scribuntur, ac toties à bibliographis exscribuntur, deinde ab ea gente ad Arabes deriuantur, ab his rursus ad Latinos traducuntur: ambigat ne quisquā, quin pleraq; infinities fuerint inuersa, deprauata, inuoluta, atq; modis omnibus deteriora facta? Sed ambigat qui uolet, & quandiu uolet, certè ex Græcorū collatione cōstat, in illorū libris infinita depræhendi tum inter se, tum etiam cum illis pugnantia, dißidentiaq;. alia falsò, aut ineptè, aut ambiguè, aut omnino obscurè adiecta. Et siue id eorum uitio sit factum, qui postmodum hæc latina fecerunt, siue ab iis ipsis qui à Græcis ad Arabes primū transtulerunt, lectorem profectò ita præpediunt atque peruertunt, ut tyroni non proponenda, sed ab exercitatis in arte hominibus, acriq; præditis iudicio sint diligenter examinanda cognoscendaq;, prius quàm ad usum recipiantur. Sed hanc sententiam pleriq; omnes pridem sunt amplexi, ac ueram hanc rationem se

cutus quisq; ita se instruit ac cōparat, ut planè sperandū sit, ubi alterū insuper accesserit, omnino futurum esse, ut non solū in pristinam amplitudinem certitudinemq; consurgat ars uniuersa, sed & ijs munimentis firmetur, ut nulla cœli ruina aut tempestas tam fœda sit timēda, quæ hāc molem rerum ita stabilitam ac permunitam queat labefactare. Sed quodnam id est, inquiet quispiam, tam magnificum ac prægrande, quod tantam molem ut ais firmare queat? Res est optime præsul quam à te audiui non adeò pridem, uehementer nostris optari, neq; adeò longè absuturā in Gallia uestra, ut & alij autores quicūq;, imprimis autem qui grauem aliquam disciplinam traderent, ij in sua lingua legerentur cognoscerentur que. Delectatus sum ego tum uehementer pulcherrimo illo tuo ac potentissimo optato, atque in magnam spem fui erectus. siquidem sperabam, iuuentutem tua hac atque maximi cuiusq; simili uoce excitam, prosequentem institutionem eam quæ in gymnasijs Galliæ profectò appositissimè est instructa, nouum mundum nobis nouumq; seculum mox esse ædituram, pulcherrimum nimirū ac felicissimū. Atq; ni fallor fuit uox illa tua fatidica tum, qua dicebas, non adeò procul id tempus abesse, quo istud futurū cerneres, nō ex Sybillinis libris aut syderū cursu ita coniectans, sed qua es prudentia atq; iudicij acrimonia singulari, ex ea ratione studiorū quæ nunc apud uos haberetur, hanc sententiam ferens. Atque dum singula nunc intueor, non amplius spero id futurum esse, sed certissimam huius rei scientiam sum nactus, postquam Rex Christianiss. cum Magno Cæsare, unanimi cōsilio pacē ac publicā tranquillitatem orbi reddidit, ut ne quid supersit quod nos ab hoc instituto pulcherrimo ac temporibus tranquillis aptissimo queat impedire. Erit itaq; saluberrimum ac non uni tantum generi hominum, sed uniuersis mortalibus insigniter plausibile cōsilium, si & nostræ artis iuuentus Classicos illos scriptores in ea lingua cognoscere uolet, in qua primū cœpta ars, deinde aucta ac postremum perfecta atq; inde ad alios fuit deriuata: & aliorū quisq;, qui aut per ætatē, aut per otium se eousq; exercere non possit, ut singula ipsemet cognoscat: saltem eò prodire conetur, ut ne oporteat ex fide interpretum unumquodq; discere. sed quæ illi è græcis latina fecerint, collatione exemplarium examinare ac certius cognoscere possit. Id enim præterquam quòd sit saluberrimum ac propè dixerim necessariū, magnificum fuerit etiam ac studioso artis Hippocratis & Galeni imprimis dignum, ut minimè iuratus sit in uerba cuiusq;, sed rem ipsam spectet, ac tantum tribuat cuiq; de arte aliquid pronuncianti, quantū iubet ratio quam is secum affert. Adeò enim nullius hominis autoritati parendum esse censet Galenus, ut ne Hippocrati quidem ipsi fidem sit simpliciter adhibiturus, quin rationem præceptorum quærat si sub ἀπόδειξιν cadat res: sin minus, sensum cōsulat, & historiam. & planè modis omnibus ex huius gymnasio exulat τὸ αὐτὸς ἔφη. Porrò autem quod ille facit in quæstionibus, id ipsum à nobis in reliqua arte, atq; in oratione uel in primis seruari oportebat. Nam de rationibus ipsis non admodum fortasse posthac fuerit ambigendū, & acquiescere quis poterat, ubi certā didicisset sententiam autoris, neq; diffidere, etiā si ratio ignoraretur, quod neq; Hippocrates quicquam falsò fuerit affirmaturus, neq; Galenus temere approbaturus, cuius certā historiam aut demonstrationem nesciuisset. uelut, nō ex uno elemento solo hominē constare, aut tot temperamenta esse, totidemq; animalis facultates, aut quiduis aliud, autoritatē antiquorū sequentibus credi poterat, ὅτι οὕτως ἔχει ἕκαστον αὐτῶν. etiā si demonstratio eius καὶ τὸ διότι, ignoraretur. At in hac parte artis, nihil est prorsus quod hominē certū reddat, & ne opinionē quidē pariat de rebus plerisq;, dū quisq; interpretis incertam fidem secutus patitur sibi persuaderi, quicquid ille uel necessitate coactus præcipitarit, uel insigni aliqua arrogantia aut improbitate, aut ut uoles appellare, uel uolens immutarit, aut imprudentia lapsus falsò reddiderit, donec alius superueniens diuersum, fortè etiam idipsum falsum aut obscurum aut ambiguum, & omnino non multò melius aut fidelius aut certius quàm prior, efficiat. Nam id profectò uidemus persæpe factū esse. Et sunt nunc quidam homines, qui ex censura in alios, sibi uenantur singularem gloriam atque existimationem, atq; adeò putant non omittendam esse hanc quasi oblatam occasionem, ut ne ab illis quidem abstinere uelint, quorum iudicia reuereri debebant, atq; eruditionem uenerari. Sed illi ipsi, quantum existimationis forte parāt aliqua cognitione, tantum iusti odij sibi conciliant maledicentia: quantumq; fidei rectè dictis ac factis, tantundē ἀπιστίας, incomparabili quodam suo studio reprehendendi atq; accusandi, ut magnum sit periculum ne uolentes etiam nonnunquam peccare malint, quàm non reprehendere aliquos, non lacessere, non calumniari, non insanire, non debacchari. Et quid non? diceres Phrenitide agitari, malo certè quodam flagris digno. Quid hic facturus erat Galenus? quid aliud nisi hortabitur, ut quisq; sibi consulat ipse, ac dum illi inter se litigant, ipsos autores adeat, neq; labore ullo, aut rerum uarietate terreatur, quando ijs horis quas illorum litigijs impertiatur, magnam partem

partem eius exercitationis nancisci possit, per quam à suis quæq; autoribus haurire queat. Sed & aliloqui difficile est, ita in omnem partem attentum interpretem esse, ut desit nusquam, ac dum orationi studet, rem ipsam non deserat, & negligentius tractet. aut dum hoc agit, illud non negligat, atq; falsa interpretatione locum corrumpat, aut obscurus sit, aut ambiguus, aut utrunq;. Quis autem alteriusmentem tam apte effingat, quàm ipsemet possit? Est enim mentis uelut imago oratio, inquit ille. neq; omnes sunt apti ad docendum, & nō minimum momentum in tradendo habet docentis animus. Finge autem omnibus modis idoneum esse, sed ut nunc sunt homines. non patiatur facilè quisquam se duci unius arbitrio, qui cognouerit ac secū cogitauerit quantū sit munus interpretis, quàm lubricum, quàm uarium, quamq; modis omnibus difficilè, ut supra hominem esse uideatur in tanta amplitudine ac difficultate rerum, nusquam titubare turbariq;. At contrà, quàm grauiter peccatur hic, quanto cum periculo temere creditur? non enim unius hominis id peccatum fit, sed totius scholæ, imò totius orbis, magis autem totius ætatis: & quandoq; multorū etiam seculorum, id quod iam dudum apud maiores, atq; ad hæc ipsa tempora usq; permultis cōstat. An uerò pauciora adesse oportet illi, qui hic nobis αὐτόπιστος esse uolet, aut inferiora, quàm quæ exiguntur in eo qui ueritatem sit inquisiturus cogniturusq;? Nam illum certè oportet primùm natura, mente perspicaci esse, quæ quanque rem per disciplinam promptè assequatur. Deinde à pueris adsit institutio exercitatioq;, ut in primis disciplinis uersetur, & ut optimis quibusq; sui temporis præceptoribus sit assuetus. Et ut laboris sit patientissimus. ut ueritatem spectet solam, neglectis alijs omnibus, quæ uulgus hominum miratur. Sed & in methodo sit exercitatus uel maximè, qua uerū à falso queat discernere. Postremò ad hæc omnia, accedit, methodum illam exercuisse, ut non cognoscere modò, sed uti illis, & alios itidē docere possit. Tot sunt, quæ habere oportet eū, qui ueritatis inuentor atq; cognitor, aut præceptor esse uolet, totidem igitur oportebat adesse inculpato interpreti, nisi eum qui ueritatē alterius linguæ hominibus tradere instituerit, non sit necesse hanc prius exactè tenuisse. Sed hæc quæ sunt? quàm ardua, quamq; uaria & rara? ut non multi sint homines quibus uel singula possint contingere. Non adfero quicquam, per Iouem, ut cuiusquam hominis operam diligentiamq; improbem. Sunt uiri nostra ætate boni ac industrij, qui benè consultum esse cupientes iuuentuti, quòd animaduertissent magna iactura totius artis, omnia peti ex Arabum commentarijs, laborem hunc suscepère, ut homines à lectione barbarorum ad bonos autores se conuerterent, atq; in tanta ea penuria rerum ac linguarum, non imprudenter fecerūt illi, consultū esse cupientes ijs, qui nō possent ipsimet in schola Græcorum uersari, scilicet ut saltem per interpretes eos cognoscerent. At nunc rectius cōsulunt, qui ab hisce initijs ac uelut à limine ipso, intra penetralia artis, atque ad ipsos usq; autores subducere student. Cum uideamus quanto cum incommodo, ac nonnunquam non sine periculo, arbitrio ac fidei unius hominis res cōmittatur. Nā siue amplitudo ipsa rei in causa sit, siue præter id peculiaris quæpiam difficultas per hæc tempora accesserit, quòd homines illius ætatis linguam in scholis non discerent, sed prius cognitam adornarent, ac paulò grandiores facti mox ad disciplinas adhiberentur. nostri autem magnā partem ætatis in linguarum cognitione hactenus terant, & ferè dixerim senescant priusquam loqui possint. ac deinde ubi parum progressi fuerint, plerique falsa persuasione ducti, atq; stulta pernitiosaq; ambitione peruersi dedignentur exerceri in dialecticæ reliquarumq; disciplinarum cognitione, aut id obiter agant, atq; ex autoribus nescio quibus, bonos profectò pauci attingnnt, Vtcunque sit, inquā, siue alterū tantum, siue utrunque in causa sit. sic planè contigisse uidemus, ut uix pauci sint numero, qui ita integram ac circumspectam fidem præstare potuerint in adornandis æditionibus, ut omni ex parte uerum rectūq; secuti, neque ulla ex parte dormitasse uiderentur. Sed omnibus tamen gratiæ sunt habendæ, quicunque pro reipublicæ literariæ salute atque integritate, ora hominū atque uaria de se iudicia subire sustinuerunt. Sed & magnos habēt autores, quibus se tueri possint. Quòd nec Ciceronem ipsum, ab hoc iudicio uindicare potuerit, totius orbis consensu ad eum delata autoritas. Qui cum esset apud ipsos institutus, audiuit tamen non adeò pridem quod obijceretur in dictione ἐντελέχεια. Certè Hermolaus Barbarus initio Themistij palàm ferebatur impegisse. Sed hæc citra periculum sunt facta, quòd ad exercitationem ingenij ex bona parte illa adornata fuerint atque inuenta. Sed hic ferè non sine magno scelere ac maiore cum periculo peccatū committitur. Galeni interpres, uir insigni eruditione ac incomparabili diligentia, uidetur fuisse deceptus in una uoce, qua insignem sententiam obscurat atq; inuertit. Assignabat Galenus modum generationis pilorum, aitq; oportere locum mediocrem esse temperamento, è quo nasci possint, atque siue siccior is sit, siue humidior, ineptum esse, idq; ueluti exemplo ostendit eorum

animalium, quæ teſta conteguntur, quæq; ſquamas habent, ait autem: ἐκ μὲν γὰρ τῶν ὀστρακοδέρμων τε καὶ μαλακοστράκων, οἷον ὀστρέων καὶ καράβων καὶ καρκίνων, ὅσα τε φολιδωτὰ τῶν ζώων ἐστὶ ὥσπερ οἱ ὄφεις, ἢ λεπιδωτὰ καθάπερ οἱ ἰχθύες, οὐκ ἂν δύναιτο φύεσθαι θρίξ. οὕτως γὰρ ἐστὶ τὰ τούτων δέρματα τελέως ξηρὰ δίκην ὀστράκου τινὸς ἢ πέτρας. Φολιδωτὰ εἶναι tribuit ſerpentibus, id eſt, ſquamas habere, ut eſt apud Poëtam etiam, Bis collo ſquamea circum Terga dati. Et apud Paulum, libro ſeptimo in deſcriptione ἀρτίσκων θηριακῶν, ubi de uiperis loquens, iubet πᾶσαν τὴν φολίδα καὶ τὰ ἐντὸς αὐτῶν ἀφελεῖν. Id apud Galenum uerſum habetur, tanquam ſignificet in cauernis habitantia. ſententia neque uera, neque loco accommodata. errore nimirum nato ex uoce huic affini, τὰ φωλεύοντα. Libro περὶ συμπτωμάτων διαφορᾶς non longè ab initio locus habetur apud Latinos obſcurus, apud Græcos omni ætate clariſſimus. Sed relinquo hæc, non enim librum ſcribo. ſi prius unum & alterum locum ex ipſo Paulo adduxero. Horum prior eſt libro primo capite δ´. ubi inquit: πάν μέντοι τὸ πονηρὸν γάλα εἰ πάχυ εἴη ἢ δριμὺ καὶ δυσώδες, προαμέλξασαν οὕτω, προσάγειν τὸ παιδίον. Præmulgendum ait eſſe lac, utcunq; uitioſum ſit, priuſquam puer admoueatur. Præceptum eſt elegantiſſimum, quod hodie à uulgo mulierum obſeruatur. Interpres longè diuerſum uertit, præcepti nullam mentionem facit. Sed hoc peccatum abſq; crimine eſt. Alter atrox error eſt, ubi ita ſcribit Paulus libro tertio capite quadrageſimoquarto: ἐπὶ δὲ τοῦ τυμπανίτου τά τε καθαρτικὰ, καὶ τὰ τοῦ ὅλου σώματος συντηκτικὰ περιαιρετέον. καὶ τῶν οὐρητικῶν τὰ δραστήρια. In tympanite inquit hydrope, quæ purgant, quæq; totum corpus colliquant. et quæ urinam potenter promouent, circumcidenda ſunt, ac prorſus auferenda. Id enim ſignificat τὸ περιαιρετέον. quemadmodum apud Ariſtotelem ἐν κατηγορίαις ἐν τοῖς πρός τι.) ἐὰν μὲν οἰκείως ἀποδιδόμενον ᾖ πρὸς ὃ λέγεται τὸ πρός τι λεγόμενον, πάντων περιαιρουμένων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστὶ, καταλειπομένου δὲ τούτου μόνου πρὸς ὃ ἀπεδόθη οἰκείως, ἀεὶ πρὸς αὐτὸ ἀποδοθήσεται. ſublatis inquit omnibus alijs. nam τὸ περιαιρεῖσθαι, τό, τε καταλείπεσθαι pulchrè hic oppoſita ſunt. Item non multò pòſt ubi ſequitur, οἷον ὁ δοῦλος, ἐὰν πρὸς τοῦ δεσπότου λέγηται, πάντων περιαιρουμένων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστὶ, καταλειπομένου δὲ μόνου τοῦ δεσπότην εἶναι, ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸ ῥηθήσεται. Interpres apud Paulum uerterat, eligenda eſſe in hydrope tympanite quæ purgant, quæ colliquant, quæq; urinam potenter promouent. aduerſusq; artem omnem. Nam facultates illæ flatulento hydropi ſunt aduerſæ maximè, ac tanquam peſtis fugiendæ. Sed ſatis hic ſit, atque pauci hi loci inſtar omnium ſint, qui adferri poterant infiniti ex diuerſis autoribus. Quanquam uel unus ille abunde ſatis oſtendat, quanto ſit tutius apud ſuos autores, unumquodque cognoſcere, ubi quod neſciebatur hodie, cras diſcere queas. quàm ab alterius fide perpetuo pendere, ac proinde artis profeſſori imprimis curandum eſſe, ut aut ipſe ſingula cognoſcat, aut eouſque ſaltem prodeat, donec aliorum interpretamenta ad ſuos autores poſſit adhibere. In cuius rei ſubſidium ſtudioſis exhibemus Paulum hunc ſua lingua intonantem, magno ſanè labore ita inſtructum atq; adornatum. nil aliud inde repetentes, quàm candidũ ac clementem animum lectoris. Porrò autem quod ad hunc ipſum autorem attinet, quando inter nonnullos contendebatur, quem locum is ſibi debeat uendicare, non omnino ab re fuerit, quæ hic ſit uera ſententia in medium adferre. Eſt itaque liber hic Epitome totius artis medicinalis, ex optimis medicis antiquioribus, imprimis autem Galeno atque Oribaſio decerptus. Cæterum Epitome compendiariam doctrinam facit artis. De cuius dignitate atque utilitate, imò neceſſitate potius, non eſt cur quis ambigat, qui animaduerterit quàm immenſa ſit ars medica, quæ non ſolum cæteras diſciplinas omnes, ſed ipſum uniuerſum totum amplecti uideatur, ut in tanta uarietate morborum, cauſarum, medicamentorum, conſuetudinum, regionum, temperaturarum, denique rerum omnium, Oceanus hic magis uaſtus ac immenſus eſſe uideatur, quàm diſciplina, ac ſi in ulla arte alia, in hac certè uel imprimis Epitome atque compendiaria docendi ratione ſit opus. Idq; tanto magis quanto eſt breuior hominis uita, ac præcipites magis ſunt occaſiones, quas præterlabi ferè tutũ nõ ſit, ac niſi expedite adſis, nõ ſine magno periculo eſt. atque moram nonnunquam facit, aut medicamentum imperatum non præſens, ut fit in locis non frequentibus, aut memoria in tanta uaſtitate rerum non præſens ilico, ubi multa ſæpe remedia atque ratio medendi non una ſit expedienda. Ad hæc profectò accomodatiſſima ſunt artis compendia. Præter ea omnia, tantum habet utilitatis hæc tradendi ratio, ut apud rationales medicos, inter tria doctrinarum genera locum ſibi uendicarit non poſtremum, quæ per definitionem fit: quæ hoc uno cæteris eſt comendatior, quod quantum illæ dignitate & ipſo docendi ordine ſunt ſuperiores,

riores, tantum hæc compendio atque singularum rerum memoria illas antecellit. Qua tamen ipsa docendi ratione hæc epitomatica hoc nomine est plausibilior, quòd illa fere singulorum præceptorum capita solum continet, hæc præter ea ita sese submittit ut cuiusque præcepti exempla ac uelut δείξεις adhibeat. Quem morem docendi sane post Galenum aggressi sunt pauci. Nam Aetius magna copia nihil minus fecisse uideri potest. Alexander magnam partem artis non attingit, aut nescitur hactenus. Solus hic autor est, à quo Galeni artem uniuersam in suum quendam exilem modum redactum intueri liceat, ea profectò dexteritate breuitatéque, ut mirum sit artem tam immensam & propemodum infinitam, in tam arctos limites cogi potuisse. Cæterum, dum breuis est, magna industria cauit, ne fieret obscurus. atque ita succinctæ dictionis stylo est familiaris, ut non sit fastidio cuiquam. ita perspicuus, ut ingentem facilitatem compareat arti. Quapropter, etiam Arabes hunc præ cæteris omnibus post Galenum magna sedulitate in suam officinam conuexere. Nonnulli etiam apud latinos, hanc rationem scribendi sunt aggressi. è quibus Magnus ille Plinius, quantam laudem atque admirationem apud homines occupauit? Atqui, si uerum sit fatendum, quod si illi ipsi autores extarent, è quibus is sua desumpsit, quotus quisque tum ex ipsius monumentis singula cognoscere, quàm à suis autoribus petere mallet? De rerum cognitione loquor non de oratione. Is enim modus est historiæ, ut magis fidem scribentis ac memoriam, quàm acumen requirat. At hoc nostrum genus tale est, ut si extent illi ipsi autores, non tamen minore commodo hæc legantur cognoscantur'que, quàm illi ipsi à quibus hæc translata fuerunt: quòd hic non fide tantũ, sed & delectu rerum, & iudicio singulari, & exercitatione usuque incomparabili quodam sit opus. ut ingentem copiam rerum ac præceptorum ita in arctum redigere possit, ut aut non prætereat quæ maxime ad negotium pertineant, aut non adferat quæ sine ullo incommodo poterant omitti. adeoque opus est delectu sanè non paruo, tum alibi tum uel imprimis in medicamentorum usu. In qua re sanè Paulus singulari prudentia usus fuit, cuius id institutum fuisse constat, ut tum demum quodque in hanc suam officinam afferret, ubi sæpe tentatum, aut nũquam fefellisset, aut etiam certius ac præsentius iuuisset, quemadmodum ipsemet testatur, tum in ipso operis procemio, ubi ait ἃ εἰδόντε καὶ ἐπείρασα, tum alijs in locis plerisque quoties addit aut istud καλῶς ποιεῖ, aut hoc ᾧ χρῶμαι, aut etiam τὸ δόκιμον, aliaque eius generis infinita. Quæ sanè scribendi ratio uel in primis est commendanda, quòd non simpliciter ex aliorum monumentis in suam officinam aliquid transferat, sed tum demum ubi frequente usu certius & uerius confirmari possit. Hic mos longè antè à Galeno fuerat obseruatus, qui profitetur se decimo anno postquam adornari cœpisset, ædidisse librum de Simplicibus, quod nonnulla quæ ab alijs tum transferebat ipsemet nondum comperisset. Idem à Paulo deinde fuit repetitus. Qui cum ijsdem dotibus præditus esset, quas Galenus in homine, qui futurus sit ueritatis interpres, exigebat (non enim cuiquam alij id munus credi oportet) pulcherrimum hoc institutum est aggressus, ut quæ à prioribus uiris accepisset, ea ipsa longo usu, atque rerũ experientia, diutinaque peregrinatione, tum locupletiora, tum illustriora atque certiora redderet. Quapropter minimè dubitandũ est quin hic autor locũ inter omnes Medicos primum, id est ab Hippocrate, atque Galeno proximum occuparit, ac proinde à studiosis artis omnibus nocturna atque diurna manu uersandus sit. Hic ridendi sunt illi homines, qui ubi uetuli cuiuspiam, ex ijs quos uulgus appellat Practicos, libellum fuerint nacti, experimentis quibusdam illis, aut exorcismis, aut omnino anilibus fabulametis refertum, quæque sola multi nostrorum hominum φάρμακα certa & tuta esse arbitrantur: se nouum quempiam orbem conquisiuisse putant. ac præ illis hæc magnifica atque uiro industrio ac ciui li uere digna negligere, & si dijs placet etiam uerbis paruipendere audent. Atqui ea ipsa quæ illi admirantur, aut prorsus inepta esse oportet, aut profectò ex his ipsis autoribus istuc fuisse traducta. Quod cur faciant non apparet, nisi putent hæc inferiora esse, quia multis sint communia. Sed tales potius contemnantur quàm confutentur. Videtur autem apud Arabes Auicenna hanc rationem scribendi fuisse secutus, apud quem tamen capita rerum pro quaque materia congesta solum, neque adhuc in suum ordinem singula digesta fuêre: nam præceptum quod proximum, scilicet à primo, esse debebat, in medio aut ultimo capite apud illum sæpe locum habet, ut appareat ipsum idem tentasse, ac capita quidem rerum congessisse, nondum tamen in suum ordinem unumquodque fuisse partitum, id quod exigebatur imprimis ad perfectam rationem scribentis. Quamuis etiam ille modum Epitomes, multitudine ac uarietate rerum planè excedat. Fuit autem hactenus in scholis propositus Auicenna, ut discipuli paucis quibusdam capitibus propositis in omniparte artis erudirentur. Ad quod etiam ipsum institutum tantò Paulus est accommodatior,

quanto, tum ordine partium totius artis, tum dictionis breuitate est superior. De qua re paucis quibusdam in medium adductis, finem imponemus orationi. Ratio itaque totius artis proponendæ duplex quædam esse uidetur, altera cum à primis initijs, id est, quæ per se fidem habent propositionibus exorsi, disputationem transigimus. Altera, cum positis quibusdam propositionibus quæ per Demonstrationem habent fidem (hypotheseis appellant) tanquam principijs, per eas artis aut disciplinæ totius quæstiones absoluimus. Prior modus, fines medicinæ egredi, atque ultra quàm huius artis sit tendere uidetur, atque ob id ab Aristotele φιλοσοφώτερος appellatur. οὗτος ἐκ τῶν περὶ φύσεως ἄρχεται τὴν τέχνην. quem morem docendi Galenus est secutus. Is ita fit, cum non contenti sumus proposuisse prima artis problemata tanquam uera & demonstrata, sed causam insuper inquirentes adferimus. Velut si quis demõstratione ostendat, Quòd ex pluribus elementis constituantur corpora animalium, quemadmodum facit Galenus libro proprio. Atque in libris περὶ γενέσεως, non uno modo tantum ostenditur, quòd sint plura, quòd sint quatuor: & necessariò sint contraria, ut sit generatio, quæ per mutuam actionem fit contrariorum. Et quòd quatuor numero sint, quia totidem sunt coniugationes. Quod'que ex ijs constituantur corpora animalium non æqualiter, sed iuxta alium quendam modum temperatis, quò fiat excessus. Nam ita demum fiet actio, quam consequitur opus ex mixtione consurgens. Deinde quæ de generibus temperaturarũ, atque earum differentijs. de facultatibus animæ illas consequentibus quot sint numero, & quæ sint. Et quæ Gal. tum libro de Naturalibus facultatibus tũ alibi, non docet solum ὅτι οὕτως δεῖ, sed & ualidis demõstrationibus confirmat. Atq; aut ab eo quod est posterius & ab effectu unumquodq; ostendit, ut ferè fit in tota Physiologia, cum solum ostenditur, ut res sit. In quo genere sanè Galenus ferè est frequentior. Aut etiam causam adferre conatur, per quam ita constitutum sit, quod in quæstionem uenit. Velut cum ostendit medicamentum purgare humorem determinatum ob mixtionis similitudinem, ut scammonium purgare bilem ob eandem proportionem elementorũ bilem constituentium, ad eam qua scammonium coagmentatur. Eodem modo quoties non contenti didicisse cerebrum esse principem sedem animæ, potentem aliquã huiusce demonstrationẽ audire postulamus. Hæc omnia uidentur tum Physiologiæ problemata esse, atque suam demonstrationem à Philosopho Naturali accipere. Quæ ubi demonstrata sunt, Medicus ad artem suam adhibet tanquam principia. uelut cum ostendit læsa principe facultate animæ, medicamenta cerebro adhibenda esse, non cordi. quòd in cerebro sit sita uis animæ læsa. Medicum itaque quodque horum audiße est necesse, ut cum ratione suam actionem expedire poßit. Non tamen omnino est opus id ipsum per demonstrationem didicisse, sed satis est, id ab alio artifice inuentum prius, ac demonstratum usurpasse. Atque hæc ad hunc modum peraguntur. Alter docendi modus est, quoties arti suum terminum exactè constituentes, non ultra pergimus, quàm huius sit campus. Et quamuis principia ipsius, ex seipsis fidem non habeant, tamen ab illis exorsi uniuersas quæstiones atque artis problemata decidimus. Quæ supra illa principia sunt nõ attingentes, tanquam ad superiorem artificem pertineant. ut in disciplinis fit, quas appellant ὑπαλλήλας, sunt autem quædam huiusmodi. uelut Musica locatur sub Arithmetica, Optice sub Geometria, Phænomenice sub Astronomia, Mechanica sub Stereometria. Ex his inferior quæq; disciplina problemata τὰ συμπερανθέντα superioris disciplinæ, tanquam principia ponit suarum disputationum, ut quemadmodum illæ à manifestis ex sese propositionibus (quæ positiones & ἀξιώματα sunt) initium faciunt demonstrationum cuiusq; quæstionis, atq; in uniuersum totius disciplinæ. Ita hæ suum quoddam genus principiorum habẽt, propositiones scilicet nõ per se manifestas, sed omnino à demonstratione (idq; à superiore artifice) fidem accipientes. Atq; hæ tantisper sunt hypotheses, nõ ex eo genere, quæ positiones appellantur apud Aristotelem. è quo genere sunt etiam quæ apud Euclidem initio librorum habentur, postulata, ac per interpretationem solam, absq; demonstratione fidem accipiunt. Tales non sunt inquam hæ nostræ hypotheses, sed proximæ alteri generi, cuius meminit Themistius his uerbis: ἤδη δὲ λέγονταί τινες ὑποθέσεις καὶ τινα αἰτήματα οὔτε ἄμεσα οὔτε ἀναπόδεικτα, ἀλλὰ δεόμενα ἀποδείξεως, λαμβανόμενα δὲ χωρὶς ἀποδείξεως ἐν τοῖς λόγοις, καὶ εἰσὶν οὐχ ἁπλῶς ὑποθέσεις ταῦτα οὔτε αἰτήματα, ἀλλὰ πρὸς ἐκεῖνον μόνον τὸν διδόντα καὶ συγχωροῦντα. Neque tamen sub hoc genus prorsus referuntur, quatenus istud uni tantum homini, ad unam quæstionem subijcitur. Nostræ autem, totius disciplinæ principia habentur. Neque cum primo genere, simplicium uidelicet ὑποθέσεων sunt eædem, quod demonstrationis astructu non indiget. Suntq; omnino inter utrasq; mediæ. Atq; ad hũc modũ se habet Medicina ad Physicen. Quatenus philoso

Lib. de sens. & sensili.

phiæ

phiæ Naturalis principia ſunt admodum ſenſui propinqua, eiusq; hypotheſes è primo genere haben
tur, quod à præceptoribus ponitur, nullamq; exigit demonſtrationis cõfirmationẽ. Velut Naturam
eſſe, id eſt, quibusq; rebus Naturalibus ineſſe aliquod principiũ motionis. ex nihilo nihil poſſe fieri.
Deinde definitiones. uelut Naturæ definitio, ac Motus. Item axiomata, uelut nihil abſq; cauſa fieri.
Et omnino Hypotheſes Phyſicæ ſunt hæ, Quædam ſurſum ferri, quædam deorſum, aliquod cor-
pus in circulũ ferri. E quibus & hiſce finitimis oſtendũtur problemata. ut, corporum alia ſimplicia
eſſe, alia, compoſita. Simplicia quatuor eſſe numero, è quorum mixtione reliqua cõſtituantur, præ-
ter quintum corpus, quod & ipſum ſit ſimplex ingeneratile & incorruptile. Inſuper conſtituentium
reliqua corpora, quatuor ſimplicium, non eſſe parem in temperatura portionem. Deinde tot numero
temperaturas eſſe. & de facultatibus, haſce cõſequentibus, quæ & quot numero ſint, quæq; his ſunt
finitima. Et inter hæc quid ſanum ſit, quid ægrũ, quòd ſanitas in Symmetria conſiſtat calidi & frigi-
di, humidi & ſicci, aut omnino, exceſſus & defectus medium ſit. Aegritudo autem, huius contra-
rium. Nam Phyſici certè eſt de hiſce conſideratio, quemadmodum & ea quæ de ſomno & uigilia,
iuuentute & ſenectute, uita & morte, longitudine & breuitate uitæ. de ſpiratione eiusq; uſu, et eo-
dem modo de pulſu, Nam hæc inter ſe perquàm ſunt finitima. qui uidelicet finis ſit cuiuſq;, quæ cau
effectrix, quid materiem his præbeat, quis deniq; ſit modus, quo unumquodq; horum peragitur. Eo-
demq; modo, de Animalibus & eorũ partibus traditio ac contemplatio atq; Anatome tota eius par-
tis eſt Phyſiologiæ, quam poſtremã atq; infimam Ariſtoteles eſt perſecutus, inſcripſitq; Generatio-
nem, Partes, ac Hiſtoriam Animalium. Quorũ omniũ conſiderationem, ſequitur ita circũſcripta at-
que intra ſuos limites incluſa medicina. Hæc enim acceptis hiſce problematibus, quæ à Phyſico po-
ſtrema fuère demonſtrata, nam ſupremas illas quæſtiones non admodum attingit: ex eis hypotheſes
ſibi fabricat, eaq; principia ſtatuit ſuorum problematũ, & nouam conſiderationem aggreditur. Ve-
luti poſita definitione ſanitatis, quod ſit ſymmetria. itẽ morbi, quod ſit ametria. mox quærit quo pa-
cto ſeruetur ſanitas, nimirum ſeruata ſymmetria in qua conſiſtit. Aut quo modo tollatur morbus,
ſi auferatur ſcilicet ametria. Seruatur autem ſymmetria, exhibitione ſimiliũ. tollitur ametria, uſu con
trariorum. Vbi quæſtiones medicinales ſunt. quomodo ſymmetria ſeruetur, ac quo pacto ametria tol
latur. Principia uero ſunt, Definitiones ipſæ, quæ ferè petuntur à Phyſico. nam calidũ & frigidum,
humidum & ſiccum iuxta mediocritatem temperata eſſe. phyſica eſt conſideratio. Atq; in uniuer-
ſum poſitiones medicinales à Naturali philoſopho petuntur. Sunt & axiomata ſua arti, uelut con
traria contrarijs pelli. quodq; nihil citra cauſam ſit. Nam hoc principio medicus tanquã ſuo utitur.
uelut ſi febris ſit, primũ hinc ſumitur aliquam eius cauſam eſſe, poſtmodũ ratiocinatione quæritur,
quænam ex multis ea ſit. qua inuenta, quibus tollatur, nimirũ cõtrarijs. at quænam ſunt huius cõtra
ria? ſi multitudo ſit ſola, uacuatio. ſi unà adſit uitioſa qualitas, medicamẽta huic cõtraria. Hæc itaq;,
& alia id genus problemata, artis ſunt propria, quæ ita à quæſtionibus Phyſiologiæ diſtinguũtur,
quatenus hæc neceſsitatẽ habent ſimplicẽ, neq; ullo pacto à nobis depẽdent. illa, conditionẽ adiectã
habent, atq; ab arbitrio noſtro quodã modo pendere uidentur. Porrò quæſtionẽ Naturalem appel-
lo, quemadmodum Ariſtoteles uocat ἐρωτήματα γεωμετρικά, quæ uidelicet è principijs Geomẽ
triæ diſſolui poſſunt. Ita medicinalia dicuntur problemata, quæ ex artis principijs diſſoluuntur, hæc
ſunt, Hypotheſes deſumptæ ex demõſtratis problematibus Phyſices. Habẽtq; eandem hæc inter ſe
differentiam quam ſcientiæ atque artes habent. Siquidem illæ ſunt de rebus non ſimpliciter neceſſa-
rijs. Hæ autem de ijs quæ ſimplicem neceſsitatem habent, uelut, quatuor eſſe elementa, ac totidem
temperaturarum differentias. Quemq; modum mixtionis ſuam facultatem ſequi. Retentricem, ſicco
conſtare. Attractricem, calido. Partem unamquamq;, peculiarem ſibi ſuccum attrahere. Alia eſſe al
teratricis naturæ opera, alia formatricis. Pharmacum omne, ſuccum ſibi conuenientem ducere tra-
hereq;. Hæc omnia & infinita eiuſdẽ generis apud Medicos alia, et neceſſaria ſunt, & è neceſſarijs
propoſitionibus colliguntur. non minus quàm apud Geometras, angulos trianguli duobus rectis
eſſe æquales. Aut quàm ſunt cæteræ Naturales propoſitiones, Cœlum circulo moueri. corpus ſim-
plex, eſſe, aut omnino orbiculare. unumq; eſſe, è tot partibus, quos orbes uocant, conſtitutum. Item
unum motorem primum eſſe. nihil in rerum natura eſſe actu infinitum. Quæ omnia neceſsitatem ha
bent ſimplicem, neq; ullam conditionem ſuſcipiunt, neq; ſub cuiuſq̃ hominis conſultationem ueni-
unt, ac proinde ſub certam cognitionem cadunt, atq; eas quæ propriè appellantur ſcientiæ, conſti-
tuunt. Ab his differunt artium quæſtiones atq; concluſiones, quæ etſi ſint uniuerſales, non tamen
ſimplicem neceſsitatem habent, ſed conditionem admittunt. οὐ γὰρ τὸ καθόλου ἐστὶ τῶν ἀεὶ καὶ ἀμ

τελέως ὄντων δεῖ, οἷον τὸ τῶν καθόλου τὰ λεγομένων. ueluti, non est necessaria propositio, Morbum omnem contrarijs curari, nisi quatenus mente adijcitur, si sit curandus, aut id genus aliud. Poterat enim non curari, atq; in nostro arbitrio est illum non tentasse, & si manum admouerimus, non perpetuò curabitur. Atq; in uniuersum, quæstiones medicinales de rebus sunt non simplicem necessitatem habētibus, ut habent Mathematicæ & naturales. Et proinde axiomata, quibus artis quæstiones ostenduntur, necesse est non omnia necessaria esse, ut sint illis accommodata. Nam si quis ratiocinetur, Omnem morbū calidum, frigidis esse curandum, Et febrem esse calidam, Quare frigidis curari oportere. Hic sola minor propositio est necessaria, atq; ex primo ordine τῶν καθ' αὑτὸ λεγομένων desumpta. Aliarum neutra simpliciter est necessaria, sed omnino conditionem habet adiectam, ueluti, ut curetur, aut ut non negligatur. non enim necessum est, illum curari neq; negligi. At necesse est cœlum uolui, leue sursum tendere. sanitatem esse symmetriam, morbum huic esse contrarium, & nihil citra causam fieri. hæc enim principia huiusce artis sunt, necessaria, & ex magna parte à naturali artifice petuntur. Ita tamen adhibentur ad cōfirmationem quæstionum medicinalium, quæ necessariæ non sunt, ut altera propositio illis adijciatur, quæ non sit necessaria, quemadmodū neq; ipsum problema artis. Ad hunc ferè modum inter se differunt medicinæ & naturalis philosophiæ quæstiones. Quo fit, ut non difficulter discernantur, quæ medicis peculiares sunt quæstiones, ab ijs quæ petuntur à Physiologo, & reponuntur inter principia, non inter problemata totius artis. Atq; superiora omnia constantissimè è naturali philosophia. hæc autem ex ipsa arte sunt petenda. Quam rationem PAVLVS secutus, quicquid ad superiorem artificem pertinet, non attigit. Sed quæ ab hisce principijs deinceps sequuntur, atq; artis medicæ peculiaria sunt problemata, ea uniuersa in hanc epitomen digeßit. Eaq; propter, nostro seculo hic autor profectò longè est accommodatißimus. Siue enim hominem in Physicis quæstionibus exercitatum accipiat, ab illis ipsis quæ in naturali philosophia is postrema didicerit, exorsus, reliquam artem totam superstruit, & magno certe cōpendio omnibus modis absolutißimū artificem facit, dum ea quæ multi non sine magno negotio, & nonnunquam cum auditoris fastidio in medium adferunt, in iucundißimam & facillimam breuitatem redigit, siue is ignarum & philosophiæ rudem auditorem sit nactus, tum iubet ut subiectis problematibus, quæ apud Naturales postrema ostenduntur, tandiu fidem illis citra demonstrationem adhibeat, donec inde facto artis initio, compertum habuerit, quo pacto ex ijs problemata et præcepta medicinæ confirmentur stabilianturq;. Quæ sanè sub cōditione scientem eum efficient, quatenus uidelicet sint demonstrata. Quòd si postmodum ἀποδείξεις illorum audire cupiat, ad Naturalem artificem accedat oportet. Veluti post συμπέρασμα de elementis, de temperamentis quot sint numero & quæ sint. de proportione elementorum ad constitutionem mixtorum, de facultatibus consequentibus quamq; mixtionem, & post definitionem sanitatis, quòd sit symmetria calidi, frigidi, humidi, & sicci, aut omnino mediocritas compositionis. Et morbi, quòd huic sit contrarius. Sequitur problema artis, quibusnam sanitas conseruetur. aut morbus quibus tollatur, & ostenditur illud similibus fieri, hoc contrarijs. Quo loco deinceps sequuntur quæstiones aliæ, quæ quibus sint similia, aut quæ quibus contraria sint. Calida frigidis sunt contraria, pleno uacuum est contrarium, salubria symmetris sunt similia. quænam sunt salubria aut calida, aut frigida? Vbi mox diuiditur disciplina in partes duas, unam de tuenda sanitate, alteram de curandi ratione. Illam docuit PAVLVS libro primo, qui respondēt sex libris Galeni de tuenda sanitate, & tribus de alimentorum facultatibus. Hanc uerò in sex libris sequentibus, qui respondēt reliquis operibus Galeni, quæ iuxta doctrinam compositiuam fuere conscripta, quibus docetur uniuersa medendi ratio. Atq; hæc omnia huius artis uidentur esse propria. Porrò ægritudinum aliæ in ambitu totius cōsistunt. ueluti sunt ex similarium partiū ægritudinibus. febrium genera. Aliæ in una parte corporis figuntur, ac pro earum differentia, uarias appellationes sortiuntur. Expositionem febrium habet liber secundus, in quo primum docetur, quomodo sit cognoscendum, utrum salubris an lætalis, morbus sit futurus. Et num breuis an diuturnus, & omnino quæ ad doctrinam iudiciorum & dierum iudicialium, eorumq; cognitionem & prænotionem pertinent. Quæ omnia respondent libris de diebus Criticis & de Crisibus. Quæ deinceps sequuntur, aut expositionem habent ipsarum febrium, earumq; differentias & causas continent, & respondent libris Galeni de febrium differentijs: aut signa cuiusq; generis, & tum communem omnibus, tum propriam unicuiq; curationem, & respondent septem postremis de methodo medendi, & libro ad Glauconem primo. Postrema pars, habet doctrinā accidentium, quæ febres consequuntur. Tertius liber, morborū omnium per singulas partes

tes corporis graſſantiũ expoſitionẽ cõtinet, initio ſumpto à capite. is reſpondet maximè tractationi de locis affectis, & ijs q̃ de cõpoſitione medicamentorũ iuxta locos inſcribũtur. Liber quartus eſt de morbis, qui nõ in ſola qualitatũ intẽperie, ſed ſubſtãtia aliqua ijs qualitatibus prædita ad partes fluente, conſiſtunt, & proinde tumorẽ in corpore excitant ac nullũ medicorũ latere poßunt. ut ſunt Eriſypelata, Phlegmone, Oedemata, Phymata, Phygetla, Strumæ, Elephãtiaſis, Pſora, Lepra, Vitiligines, Tumores duri (ſcirros appellãt) et q̃ huius generis cũ ſint referũtur ferè ad ſimilariũ partiũ uitia. uelut unitatis ſolutio. ex quo genere ſunt q̃ de uulnerib. de ulcerib. de ſinibus, fiſtulis, neruorũ uulneratione, de uenarũ aut arteriarũ profluuio, & omnino de ijs quæ extra corpus ſunt, et ſenſum propius admittũt, ac proinde facilius cognoſcũtur. E quibus illa petuntur ex duob. poſtremis de morbis curandis, ac libro ſecũdo ad Glauconẽ. hæc uerò reſpondẽt libris priorib. de curãdi ratione, maximè aũt tertio, quarto & quinto. Itẽ ijs de cõpoſitione iuxta genera, uelut quæ de neruorũ uulnerib. dicũtur petita ſunt è libro tertio. ulcerũ curatio è libro ſexto. Et differunt hæc inter ſe, quatenus in methodo medendi inuentionẽ cuiuſq; magis proſecutus uidetur, & rationẽ præceptorũ cõmonſtraſſe. in hoc aũt cuiq; ſuã materiã accõmodaſſe, et præceptorũ uſum frequẽtioribus exemplis patefeciſſe. Sequẽs liber, tum animaliũ uenenatorũ, tum pharmacorũ lætaliũ noxas cõtinet. hic ex magna parte deſumptus eſt ex ijs, quæ Dioſcorides de eadẽ parte tradidit tribus libris, ſeptimo, octauo, et nono. Sextus ea habet, quæ inſtrumentis chirurgicis peragũtur, & maiorẽ apparatũ poſtulãt, uelut ſunt luxata et fracta, & in uniuerſum articulorũ & oßiũ, & partiũ inſtrumẽtariarũ uitia, quæ per chirurgiã emendantur. Hæc ſanè ſextũ librũ methodi maximè affinẽ habent, quanq̃ hanc partem poſt Hippocratẽ nullus, peculiares ad id libros inſtituens, ita abſoluiſſe uidetur, ut fecit PAVLVS, *ut etiã hoc nomine ſit αὐτοχειρουργία, tota hæc traditio. Galenus uidetur contentus fuiſſe æditis commentarijs in libros Hippocratis, quibus hæc pars artis cõtineretur, ut ſunt, κατὰ ἰατρεῖον liber unus, περὶ ἄρθρων libri tres, & totidẽ περὶ ἀγμῶν. quod maius eſſet operæpretiũ reliquam artẽ emendaſſe quæ rationẽ haberet difficiliorẽ, ac proinde magis ambiguã, & improborũ medicorũ ludibrijs expoſitã. Libro ſeptimo, qui poſtremus eſt, materiã exponit & inſtrumẽta, per quæ fit curatio, ac primũ ſimpliciũ medicamentorũ naturã tradit, quæ pars reſpondet libris Galeni περὶ ἁπλῶν φαρμάκων. poſt deinde cõpoſitorũ medicaminũ expoſitionẽ facit, docens illorũ & modũ cõponendi, & facultatem atq; uſum. Imprimis aũt quorũ aut ipſe libris præcedentibus mentionẽ fecerit, aut ſingulare quodpiã auxiliũ cognouerit. Et primũ de purgantib. agit, ac ſimplicibus. quæ pars reſpondebit libris Galeni de purgantiũ medicamentorũ facultatibus, de his quos purgare oporteat, quibuſq; medicamẽtis, et quo tẽpore. Itẽ locis alijs in quibus finitima his præcepta ab ipſo tradita fuẽre, uelut libro ſexto ὑγιεινῶν docet triplicẽ cõpoſitionẽ hieræ picræ, libro primo τῶν κατὰ τόπους, medicamẽti qđ ex colocyntide et ſcãmonio præparatur. Sequitur pars de Antidotis, ac reſpõdet libro Galeni eodẽ titulo, necnõ ijs q̃ de Theriaca ad Pamphilianũ, quæq; ad Piſonẽ ſcripta fuẽre. Poſt hæc ſunt quæ foris adhibẽtur, ueluti ſmegmata, emplaſtra, unguenta, acopa, ſynchriſmata. Horum omniũ modi, præparamenta & uſus, ἐκ τῶν κατὰ γένη ferè petuntur. Atq; ad hunc tandẽ modum præcepta totius artis, atq; ipſorum ſalubria inſtrumenta, admirabili quadã ſagacitate diligentiaq; huc cõgeſta, atq; in ſuũ ordinẽ ita digeſta fuere, ut nihil illuſtrius, nihilq; breuius et cõpẽdioſum magis, deniq; ſtudioſis omnib. iucũdius, utilius, luculentius, atq; omnibus modis accõmodatius ab ullo homine adornari poßit. Quibus præceptis uniuerſalib. inſtructus artifex, rurſus inde uelut alio initio facto, de cuiuſq; hominis ægrotãtis curatiõe cõſultationẽ aggreditur. ueluti ſi febre laboret bilioſa, cui ſunt cõtraria, mißio ſanguinis, medicamẽtũ purgãs humorẽ peccantẽ, ac ratio uictus uniuerſa. ratiocinabitur medicus, utrũ præſtet omnia hæc inſtrumẽta ad opus ipſum adhibere: an aliq̃bus tantũ, et q̃busnã uti oporteat. Quẽ morẽ inq̃ſitionis Ariſtoteles συλλογισμὸν συμβουλευτικὸν appellat, q̃ etiã in alijs artib. frequẽter uſurpatur. Atq; tũ expediẽda eſt ea uis animi qua fit iudiciũ, qđ Hippocrates ait difficile eſſe, quo diſcernimus q̃ ratio curãdi, aut qđ inſtrumentũ morbo et loco ſit accõmodatius. Quod etiã uerſatur in prænotionib. et uirib. ſignorũ expendẽdis, quæcũq; cõtrariã indicationẽ habere uidẽtur. alijſq; id genus omnib. Hæc poſtremũ in acrimonia mẽtis et multiplici exercitatione cõſiſtũt, ut præceptis cõpræhẽdi atq; ad amußim præſcribi nõ poßint. Hũc itaq; autorẽ q̃diligẽter potui inſtructũ atq; adornatũ, adeò pridẽ ut adornari cœpit, C. T. deſtinare cõſtituerã, præſul amplis. Iã tũ enim cõſultãti mihi operæpretiũ fore uidebatur, ut ſub magni cuiuſpiã arbitri titulo in mediũ pdiret. Ac uiſum eſt mihi ad T. C. uel imprimis pertinere, ut cauſam hãc noſtrã auditã cognitãq; aduerſus improbos ſuſcipiat, tueaturq;. Noui ego animi tui acrimoniã, multiplici linguarũ ac rerũ cognitione ita inſtructã, ut cauſam*

Galenus lib. περὶ ἀντιδότων.

uel à suis neglectā, aut aduersariorū potentia oppressam, aut nō, ut oportebat defensam, expeditè cognoscere, atq; ex æquo & bono decidere poßit. Deinde beneuolentiā ac candorem illū quendā singularem, quo omnes bonarum artium studiosos amplecti soles, ut eadem benignitate hæc non grauatim sis auditurus. Postremò, magnitudinem illam animi non ab alijs deprædicatam accepi, sed præsens cognoui, qua tuos omnes ab improborum calumnijs potentißimè soles uindicare. Proinde & ego prudenter egero, ut ad tuū patrocinium me nunc conferam: & tu pro tua clementia & humanitate feceris, cum hanc nostram operam unà mecum in tuum patrocinium ac tutelam clementer suscipies. Quam C.T. Dominus quandiutißimè superstitem nobis ac florentem conseruet. Basileæ, Calend. Augusti, Anno à Christo nato

M. D. XXXVIII.



ΠΑΥ͂ΛΟΥ ΠΌΝΟΝ ΜΕ ΓΝΩ͂ΘΙ ΤΟΥ͂
ΓΗ͂Σ ΤῸ ΠΛΈΟΝ
ΔΙΑΔΡΑΜΌΝΤΟΣ ΦΥ͂ΝΤΟΣ ἘΚ
ΤΗ͂Σ ΑἸΓΊΝΗΣ.



Οὐχ ὡς τῶν παλαιοτέρων ἐν τοῖς περὶ τὴν τέχνην τι παραλελοιπότων τήνδε τὴν πραγματείαν ἐποιησάμην, ἀλλὰ συντόμου χάριν διδασκαλίας. τοὐναντίον γὰρ ἐκείνοις μὲν ὀρθῶς τε καὶ ἀνελλειπῶς ἅπαντα πεφιλοπόνηται. οἱ δὲ νεώτεροι, πρὸς τὸ μὴ δὲ τὴν ἀρχὴν ἐπιχειρεῖν ἐντυγχάνειν αὐτοῖς, ἔτι μὴν καὶ ἀδολεσχίαν αὐτῶν κατηγοροῦσιν. ὅθεν ὑπὸ τὸ πρὸ ὂν ἥκω σύνταγμα, τοῖς μὲν ὡς εἰκὸς ἔχειν αὐτὸ βουλομένοις ὑπόμνημα γενησόμενον, ἐμοὶ δὲ γυμνάσιον. ἄτοπον γάρ, τοὺς μὲν ῥήτορας τοῖς συντόμοις τε καὶ συνεκδήμοις ὑπ' αὐτῶν ὀνομαζομένοις χρῆσθαι δικανικοῖς συντάγμασιν, ἐν οἷς ἁπάντων ἐμφέρεται τῶν νόμων τὰ κεφάλαια πρὸς τὸ τῆς χρείας ἕτοιμον. ἡμᾶς δὲ τούτων καταμελεῖν. καίπερ ἐκείνων μὲν οὐ πρὸς ὀλίγον μόνον, ἀλλ' ἤδη καὶ συχνὸν ὑπερτίθεσθαι χρόνον πρὸς ἐπίσκεψιν δυναμένων. ἡμῶν δὲ μηδαμῶς ἢ πάνυ γε σπανίως τὴν τοιαύτην ἐχόντων ἐξουσίαν. τὰ γὰρ τῆς χρείας ἐπί τινων νοσημάτων ἀπαραίτητον πολλάκις ἔχει τὴν ἀγωνίαν, διόπερ ὀρθῶς Ἱπποκράτης ὀξὺν ἀπεφήνατο τὸν καιρόν. ἐκείνους μὲν γὰρ ἐν μόναις σχεδὸν ταῖς πόλεσι κατεπείγει τῶν πραγμάτων τὸ χρήσιμον, ἔνθα καὶ τῶν βιβλίων ἄφθονός ἐστιν εὐπορία. τοῖς δὲ ἰατροῖς οὐκ ἐν πόλεσι μόνον ἢ ἀγροῖς ἢ καί τισιν ἐρήμοις χωρίοις, ἀλλ' ἤδη καὶ περὶ θάλατταν πολλάκις ἐν αὐταῖς ταῖς ναυσὶν ἐξαιφνίδιος νοσημάτων ἀνάγκη περιπίπτει, ἐφ' ὧν ἡ ἀναβολὴ θάνατον ἢ πάντως γε κίνδυνον ἔσχατον ἀπεργάζεται. πάσας δὲ τὰς ἰατρικὰς μεθόδους ἢ τὴν περὶ μέρος πᾶσαν ὕλην διὰ μνήμης ἔχειν τῶν χαλεπωτάτων ἢ καὶ παντάπασιν ἀδυνάτων ἐστί. δι' ὅπερ τήνδε τὴν ἐπιτομὴν ἐκ τῶν ἀρχαίων ἐνστησάμην συναγωγήν. ὅτε γ' ἐμὰ προστεθέμην ἐν αὐτῇ γεννήματα, πλὴν ὀλίγων δή τινων ὅσα περ ἐν τοῖς τῆς τέχνης ἔργοις εἶδόν τε καὶ ἐπείρασα. πλείοσι δὲ τῶν ἐνδόξων ἐντετυχηκὼς καὶ μᾶλλον ὀρειβασίῳ καὶ αὐτῷ πᾶσαν ἀπανθίσαντι βίβλον. ἐν ᾧ πᾶσαν τὴν ὑγιεινὴν διήλθομεν ὑποτύπωσιν. τῶν γὰρ μετὰ Γαληνὸν καὶ ἔτι νεωτέρων ἕνεκεν. τὰ κάλλιστα τούτων ἐπελεξάμην, μηδὲν ὡς οἷόν τε νοσημάτων παραδραμών. ἡ μὲν γὰρ ἑβδομηκοντάβιβλος αὐτοῦ τοῦ ὀρειβασίου πᾶσαν ἐν ἑαυτῇ περιέχει τῆς τέχνης ὑπόθεσιν. ἀλλ' οὐκ εὐπόριστος ἅπασιν ἡ πραγματεία πολύστιχος ὑπάρχουσα. ἡ δὲ ταύτης ὑπὸ τομὴ πρὸς εὐστάθιον τὸν υἱὸν αὐτοῦ γραφεῖσα, πολλῶν εἰς τὸ παντελὲς λειπομένη νοσημάτων, ἀτελῆ τὴν τῶν λοιπῶν περιέχει θεωρίαν. πῆ μὲν αἰτίων. πῆ δὲ διαγνώσεων. ἐνίοτε δὲ καὶ τῆς αὐτάρκους ἐστερημένη θεραπείας. ὥσπερ οὖν ἑτέρων εἰς μνήμην ἐληλυθότων, τὸ δὲ παρὸν σύγγραμμα διαγνώσεις τε καὶ αἰτίας καὶ θεραπείας ἁπάντων περιέχει τῶν νοσημάτων, ὁμοιομερῶν, ὀργανικῶν, ἐν λύσει συνεχείας θεωρουμένων. οὐ κεφαλαιωδῶς μόνον ἀλλὰ καὶ περὶ τὸ ἐγχωροῦν πλάτος. πρὸ δέ γε τούτων τὴν ὑγιεινὴν ἅπασαν ἐξεθέμεθα δίαιταν. ἔσχατον δὲ τὸν περὶ τῶν ἁπλῶν τε καὶ συνθέτων φαρμάκων ἐποιησάμεθα λόγον.

Τίνες οἱ σκοποὶ τῶν ἑπτὰ τῆς ὅλης πραγματείας βιβλίων, τῆς συμπάσης πραγματείας εἰς ἑπτὰ διῃρημένης βιβλία.

Ἐν τῷ α̅ τὴν ὑγιεινὴν ἅπασαν εὑρήσεις ὑπόθεσιν. καὶ τὴν τῶν οἰκείων ταῖς ἡλικίαις τε καὶ ὥραις καὶ κράσεσι καὶ ἑτέροις τισὶ παθημάτων προφυλακήν τε καὶ διόρθωσιν. καὶ τὰς ἐν ταῖς τροφαῖς ἁπάσαις δυνάμεις τε καὶ χρήσεις, ὡς ἐν τοῖς κεφαλαίοις ἐξεθέμεθα.

Ἐν τῷ β̅ τῶν πυρετῶν ἁπάντων ἐστὶν ἡ διδασκαλία προτεταγμένων μετ' αὐτῆς τῶν συντελούντων εἰς αὐτὴν οἷον τῆς τε ἐκ περιττωμάτων καὶ τῶν κρισίμων ἡμερῶν τε καὶ τῶν ἄλλων σημείων. ὑποτεταγμένων δὲ τῶν ἑπομένων τοῖς πυρετοῖς συμπτωμάτων.

Ἐν τῷ γ̅ περὶ τῶν κατὰ τόπους συνισταμένων παθῶν ἀπ' ἄκρας κεφαλῆς ἀρξαμένων ἡμῶν, εἰς ἄκρους δὲ καταντησάντων τοὺς πόδας ἄχρις ὀνύχων.

Ἐν δὲ τῷ δ' περὶ τῶν ἐκτὸς τοῦ σώματος καὶ οἷον ἐν φανερῷ συνισταμένων παθῶν, οὐκ ἐν ὡρισμένοις, ἀλλ' ἐν πλείοσι μορίοις ὁ λόγος ἐστίν, ἐν ᾧ καὶ περὶ ἑλμίνθων καὶ δρακοντίων λέγεται.

Ἐν δὲ τῷ ε' περὶ τῶν ἰοβόλων πληγῶν τε καὶ δηγμάτων, ἐν ᾧ καὶ περὶ λυσσοδήκτων καὶ τοῦ ὑδροφοβικοῦ πάθους λέγεται, τῶν τε ὑπὸ μὴ λυττῶντος κυνὸς δηχθέντων. καὶ περὶ ἀνθρωποδήκτων. ἐφ' οἷς περὶ δηλητηρίων τε καὶ ἀλεξιφαρμάκων.

Ἐν δὲ τῷ ς' τὰ κατὰ χειρουργίαν ἅπαντα λέγεται. τήν τε κατὰ σάρκα, ἔνθα καὶ βελουργικά, καὶ τὴν τῶν ὀστῶν, ἐν οἷς ὁ περὶ καταγμάτων τε καὶ ἐξαρθρημάτων περιέχεται λόγος.

Ἐν τῷ ζ' πάντων τῶν φαρμάκων αἱ δυνάμεις περιέχονται, πρῶτον μὲν τῶν ἁπλῶν, ἐπ' αὐτοῖς δὲ καὶ τῶν συνθέτων, καὶ μᾶλλον ὁπόσων ἐν τῇ τῶν ἄλλων ἐξ βιβλίων ἐμνήσθημεν διεξόδῳ, μάλιστα τῶν μειζόνων τε καὶ οἱονεὶ κατωνομασμένων σκευασιῶν. οὐ γὰρ συνείδομεν ἐκεῖσε ταύτας ἁπάσας παραθεῖναι διὰ τὸ τῆς διδασκαλίας ἀόχλητον, καὶ ἵνα ζητῶν τις μίαν τινὰ ἢ καὶ πλείονας τῶν γνωρίμων σκευασιῶν ῥᾳδίως εὑρίσκοι. πρὸς δὲ τῷ τέλει καί τινα συμβαλλόμενα πρὸς τὰς συνθέσεις τῶν φαρμάκων. καὶ περὶ τῶν ἀντεμβαλλομένων εἰδῶν λέγεται. ὥστε τὸν ὅλον ἀπαρτίζειν λόγον εἰς τὴν περὶ σταθμῶν τε καὶ μέτρων διδασκαλίαν. ἀρξόμεθα οὖν ἤδη τοῦ πρώτου γράμματος.

Πρῶτον τῆς ὅλης πραγματείας ὑπάρχει τὸ παρὸν βιβλίον ἐν ᾧ πᾶσαν τὴν ὑγιεινὴν διήλθομεν ὑποτύπωσιν, ὡς ἤδη τε λέλεκται κατὰ τὸ προοίμιον, καὶ αὖθις ῥηθήσεται κατὰ τὰ κεφάλαια. τοσοῦτον μόνον προειπόντων ἡμῶν, ὡς ἔν τε τῷ πρώτῳ καὶ δευτέρῳ γράμματι τὰ πλεῖστα ἐκ τῶν ὀρειβασίου μετηγάγομεν. οὐ γὰρ οἰκείαν βουλόμεθα πραγματεύσασθαι δόξαν, ἀλλ' ἐξ ἁπάντων ἔχειν τὸ χρήσιμον. ἐν δὲ τοῖς λοιποῖς πέντε βιβλίοις ἐλάχιστα μόνον ἐκ τῶν ἐκείνου τέτακται.

ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΠΡΏΤΟΥ ΒΙΒΛΊΟΥ.

πλοιζο-

ΠΕΡΙ ΤΩΝ ΣΥΜΒΑΙΝΟΝΤΩΝ ΤΑΙ͂Σ ΚΥΟΥ͂ΣΑΙΣ, ΚΑῚ ΠΩ͂Σ ΑΥ̓ΤᾺΣ ΔΙΑΙΤΗΤΈΟΝ.

Τῶν συμπιπτόντων ταῖς κυούσαις. Ἐπειδὴ ταῦτα μάλιστα ἐνοχλεῖ, τὸ περιοσαίνειν, καὶ συνεχῶς ἐμεῖν, καὶ πτυελίζειν, καὶ καρδιώσσειν, καὶ ἀσιτεῖν. οὐ χεῖρον πρὸς αὐτὰς ὑποθήκας γράψαι. περίπατοι, σιτία μὴ ἄγαν γλυκέα, καὶ οἶνοι κιῤῥοὶ καὶ εὔοσμοι, πενταετεῖς μάλιστα ἁρμόττουσι. καὶ τὸ μέτριον πονεῖν. ταῦτα πάντα τοῦ περιοσαίνειν καὶ τοῦ ἐμεῖν ἰάματά ἐστιν. ὡς δὲ φάρμακον πολυγόνου μὲν τὴν πόαν ὕδατι ἑφθὴν πίνειν, καὶ ἄνηθον ὡσαύτως, καὶ τῆς ποντικῆς ῥίζης. καλεῖται δὲ ὑπὸ ἐπιχωρίως ῥᾶ. ταῦτα καὶ ἐπὶ τῷ σίτῳ καὶ πρὸ τοῦ σίτου λαμβάνειν. ἔξωθεν δὲ οἰνάνθην καὶ βαλαύστιον, καὶ † κυτίσου καὶ σμυρνίου κόμην, καὶ μαράθρου σπέρμα. κοινῇ τε καὶ ὡς ἂν μίσγειν ἐθέλῃς μετὰ φοινίκων καὶ οἴνου παλαιοῦ καταπλάσεις τὸ † περικάρδιον. τοὺς δὲ καρδιωγμοὺς ἐπικουφίζειν θερμοῦ ὕδατος πόσει, καὶ τῷ ἡσυχῇ περιπατῆσαι, καὶ τὸ σκεπάζειν τὸ ὑποχόνδριον ἐρίῳ μαλακῷ. τὰς δὲ † ἀκροσίτους προτρέποις ἂν ἐσθίειν τά τε ποικίλα σιτία καὶ τὰ πρὸς ἡδονὴν καὶ ἄμυλον ξηρόν. μᾶλλον δ' ἂν τοῦτο συνενέγκαις ταῖς ἐπιθυμούσαις γῆν ἐσθίειν, ὡς ἐν τῇ καλουμένῃ κίττῃ. ἥτις περὶ τὸν τρίτον μῆνα τῆς κυήσεως μάλιστα γίνεται, διὰ τὸ μὴ δύνασθαι τέως τὸ κύημα πᾶν τὸ φερόμενον ἐν τῇ μήτρᾳ λόγῳ τροφῆς δαπανᾶν ὡς ἀσθενέστερον, πλεοναζόντων δ' ἐξ αὐτοῦ ποικίλων περιττωμάτων ἐν τῷ στομάχῳ. ὅθεν καὶ ποικίλων καὶ ἀλλοκότων ὀρέγονται, οἷον ἀνθράκων ἐσβεσμένων καὶ κιμωλίας καὶ ἑτέρων πλειόνων. τούτου γὰρ ἕνεκα καὶ τὴν ὀνομασίαν ταύτην τὸ πάθος ἐκτήσατο διὰ τὸ ποι-

κύτινον, προκάρδιον, ἀνορέκτους

κίλον τῆς ζώνης τῆς κύστης. ἢ ὅτι κἀκεῖνο τῷ πάθει τούτῳ πολλάκις ἁλίσκεται. λύουσι δὲ καὶ οἱ πόνοι, καὶ αἱ μακρότεραι ἀποδημίαι. ἥτις δὲ ἤθισται ἀταλαιπώρως διαιτᾶσθαι, κύουσα αὕτη οὐ χρηστῶς ὑποίσει τὰς ἐξαπιναίους κινήσεις. καὶ τὸ δριμέων δέποτε γεύεσθαι, καὶ μάλιστα νάπυος, ἐπιτήδειον τῇ ἀποσίτῳ. πρὸς δὲ τὰ οἰδήματα τῶν ποδῶν ἐξαίρετα, ἄνθηλιν ἐν ὄξει βεβρεγμένην ἐπιδεῖν, καὶ φύλλα κράμβης πλατέως τε ἐπιτιθέναι, καὶ τὴν κιμωλίαν μετ' ὄξους ἐπιχρίειν, καὶ συμπηρίαν ὡσαύτως μετ' ὄξους. ἀγαθὸν δὲ καὶ τῶν μηδικῶν καλουμένων μήλων, ἃ δὴ καὶ κίτρια καλοῦσιν, ἑψήσας ἐν ὕδατι καταντλεῖν (?) τοὺς πόδας.

Περὶ τίτθης. β.

Αἱρεῖσθαι οὖν χρὴ τίτθην, μὴ δι' ὅλου νόσημα ἔχουσαν, καὶ μὴ ἄγαν πρεσβυτέραν μήτε δὲ νεωτέραν. ἔστω δὲ ἡ μὲν νεωτάτη ἐτῶν εἰκοσιπέντε. ἡ δὲ πρεσβυτάτη ἐτῶν τριακονταπέντε. καὶ στῆθος μέγα ἐχέτω. καὶ τιτθοὺς μεγάλους. καὶ θηλὰς μήτε μεμυκυίας μήτε † ἀπεστρεμμένας. ἔστω δὲ τὸ ἄλλο σῶμα, μήτε πίον ἰσχυρῶς, μήτε ὑπέρλεπτον. μέγα δὲ ἔστω τὸ παιδίον, καὶ τὸ τῆς τίτθης μὴ πάλαι τετοκυίας εἶναι, καὶ ἄρρεν μᾶλλον. φυλάσσεσθαι δὲ καὶ τὰ πάνυ ξηραίνοντα, καὶ τὰ ἁλυκά, καὶ δριμέα, καὶ στρυφνά, καὶ ὀξέα, καὶ πικρά, καὶ ἰσχυρῶς θερμαίνοντα. καὶ τὰ πάνυ δύσοσμα. καὶ τὰς ἐπισήμους εὐωδίας τε καὶ ἀρτύσεις, καὶ τὰ ἄλλα τὰ δριμέα. ἀπεχέσθω δὲ ἡ τίτθη καὶ λαγνειῶν. καὶ πονείτω διὰ τῶν χειρῶν, καὶ τῶν ὤμων. καὶ ἀλείτω, καὶ ὑφαινέτω. καὶ ἐπὶ τῶν ἀγκάλης ἔχουσα τὸ παιδίον περιαγέτω. φέρειν δὲ ἐπ' ἀγκάλαις τρίμηνα καὶ τετράμηνα.

Ἐστραβωμένας

Περὶ τῆς τροφοῦ γάλακτος. γ.

Γάλα δὲ βέλτιστόν ἐστι τὸ σύμμετρον πάχει, πλήθει, χρόᾳ, ὀσμῇ, γεύσει. χρήσιμον δ' ἐστὶ καὶ τὸ ἐπὶ τοῦ ὄνυχος ἐπισταζόμενον τοῦ μεγάλου δακτύλου, ὑπὸ τὴν αὐγὴν θεωρούμενον. ὅταν δὲ ἐν τῷ κάμπτειν τὸν ὄνυχα μήτε ταχέως, μήτε βραδέως ἀπορρέῃ, χρήσιμον. δοκιμάζειν δὲ καὶ οὕτως, ἐγχέοντα τοῦ γάλακτος εἰς ἀγγεῖον ὑέλινον, ἐμβάλλειν ταμίσου τὸ σύμμετρον, καὶ διαθλίψαι τοῖς δακτύλοις. εἶτα ἐάσαντα ἕως οὗ παγῇ, θεωρεῖν εἰ ἔλαττον τὸ τυρῶδες τοῦ ὀρρώδους. τὸ γὰρ τοιοῦτον γάλα ἄχρηστον. τὸ δ' ἐναντίον δυσπεπτον. ἄριστον δὲ τὸ σύμμετρα ἔχον ἀμφότερα.

Πῶς διορθωτέον τὰς κακίας τοῦ γάλακτος. δ.

Τὰς δὲ τοῦ γάλακτος κακίας διορθοῦν χρὴ ὧδε. εἰ μὲν τύχοι παχύτερον, ἐμέτοις ἐξελεῖν δεῖ τοῦ φλέγματος. ἄριστοι δὲ οἱ ἀπὸ τῶν ὀξυμέλιτι. δεῖ δὲ καὶ τοῖς πόνοις λεπτῦναι τοῖς πρὸ τῶν σιτίων. ἐν τούτοις δ' ἡ πτισάνη (?) καὶ ὀρίγανον καὶ ὕσσωπον καὶ ἡ θύμβρα καὶ ὁ σκάνδιξ καὶ ὁ θύμος, ἐπιτήδεια. καὶ ῥαφανὶς ὀλίγη. καὶ τάριχος παλαιὸν μετ' ὀξυμέλιτος. εἰ δέ που γένοιτο δριμύτερόν τε καὶ λεπτότερον, ἐν τούτοις τοῦ μὲν πόνου κουφίζειν τοῦ πολλοῦ. εὐωχεῖν δὲ τὴν τιτθὴν ῥοφήμασί τε καὶ κρέασι χοιρείων. καὶ σίραιον διδόναι πίνειν, καὶ οἶνον γλυκύν. εἰ δὲ ἧσσον γένηται, τῶν τε ῥοφημάτων προσφέρειν, καὶ δαψιλέστερον διαιτᾶν. καὶ οἶνον διδόναι πίνειν γλυκύν. καὶ ἀνατρίβειν στῆθος καὶ τιτθούς. ταύταις δ' οὖν καὶ σικύα προσβαλλομένη παράσχοι τὰ δέοντα. φάρμακα δὲ πρὸς γάλακτος γένεσιν, ὅσα μὲν αὐτοῖς τι οἶδα, οὐ μὴν συνεχῶς χρῆσθαι αὐτοῖς κελεύω. συντήκει γὰρ βιαιότερον. ἔστι μαράθρου τε ῥίζα καὶ ὁ καρπὸς, ἡψημένα πτισάνῃ. κυτίσου τε φύλλα ἐν οἴνῳ μέλανι ἢ πτισάνῃ. καὶ μελάνθιον γλυκύ, καὶ ἄνηθον. καὶ † σταφυλίνου ῥίζα καὶ ὁ καρπός. χρὴ δὲ θερμῷ † προσεωνήσαντας οὕτω προσφέρειν. πᾶν μέντοι τὸ πονηρὸν γάλα καὶ εἰ παχὺ εἴη ἢ δριμὺ καὶ δυσῶδες, προαμέλξασαν, οὕτω προστιθέναι τὸ παιδίον. τό τε δριμὺ μηδέποτε ἀσίτῳ διδόναι. τὰς δὲ δυσωδίας καὶ οἶνος εὐώδης καὶ σιτίον ἡδὺ διορθοῦν δύναιτο. περὶ δὲ τοῦ τετυρωμένου γάλακτος ἐν τοῖς περὶ μαστῶν κατὰ τὸ τρίτον βιβλίον λεχθήσεται.

Δαυκίου
προβρέξαντας

Κομιδὴ παιδίου. ε.

Πρώτην τροφὴν εἰσφέρειν δεῖ τῷ νεογνῷ παιδίῳ τοῦ μέλιτος. μετὰ δὲ τοῦ γάλακτος διδόναι δὶς τῆς ἡμέρας, ἢ τρεῖς τὸ πλεῖστον. ὅταν δὲ αὐτό τε πρόθυμον ᾖ λαμβάνειν καὶ ἐλπίδας παρέχει ἐκπέψειν, τηνικαῦτα ἤδη καὶ σιτίον διδόναι μὴ ἐμπιπλᾶσαν. εἰ δέ που λαθόντα πληρωθείη, ὑπνωδέστερα εὐθὺς γίνεται καὶ νωθρότερα. καὶ ὄγκος ἐν γαστρὶ γίνεσι καὶ φῦσαι. καὶ οὐρεῖ ὑδατωδέστερα. οἷς χρὴ τεκμαιρομένην, μηδὲν διδόναι ἕως ἂν καταναλωθῇ. ἀρκεῖ δὲ ἔτη δύο τρέφειν τῷ γάλακτι. τὸ δὲ ἐντεῦθεν μεταβάλλειν πρὸς σιτία.

Περὶ τῶν γινομένων ἐξανθημάτων τῷ παιδίῳ. ς.

Ὅσα δὲ τῷ παιδίῳ ἐξανθεῖ κατὰ τὸ δέρμα. χρὴ τὸ μὲν αὐτίκα ἀσμένην δέχεσθαι. ὅταν δὲ ἐπανθήσῃ καλῶς, τηνικαῦτα ἤδη θεραπεύειν. τοῖς μὲν λουτροῖς προσεμβαλλούσαν μυρσίνης, ἢ σχίνου, ἢ ῥόδων. εἶτα ῥοδίνῳ ἢ σχινίνῳ χρωμένην, καὶ κηρωτῇ σὺν ψιμυθίῳ. καὶ ῥύπτειν δέ που τοῖς νίτροις μαλακώτερον. οὐ γὰρ οἴσει τὰ ἰσχυρότερα. κάλλιστον δὲ καὶ τὴν τιτθὴν διαιτᾶσθαι γλυκυτέρῳ τρόπῳ. κάλλιστον δὲ καὶ τὸ παιδίον αὐτὸ διαιτῆσαι μήτε ἐμπιπλάντας,

μήτε

μήτ' αὖ σφόδρα ἐνδεῶς. ἐὰν δὲ † ἐφίστηται ἡ κοιλία τοῦ παιδίου, τότε μέλιτος ἐγχέοντας συνεψεῖν τῇ τροφῇ. ἐὰν δὲ μηδὲ οὕτως ὑπακούῃ, τῆς τερεβινθίνης παρεμβάλλειν ὅσον ἐρέβινθον. παρυγραινομένης δὲ τῆς κοιλίας, κέγχρον μάλιστα προσφέρειν. [κωλυθῇ]

Περὶ βηχὸς παιδίου καὶ κορύζης. ζ.

Εἰ δέ ποτε βὴξ ἢ κόρυζα συμβαίη τῷ παιδίῳ, τοὺς μελισμοὺς καλουμένους παραληπτέον. χρὴ τοίνυν λούσασαν αὐτὸ πολλῷ θερμῷ καὶ τὴν κεφαλὴν χρίσαι μέλιτι πολλῷ, κἄπειτα τῷ δακτύλῳ τὴν γλῶτταν πράως πιέσαι. ἐμεῖ γὰρ φλέγμα πολύ.

Περὶ ὀδαξισμοῦ. η.

Εἰ δέ τις ὀδαξισμὸς παρείη τῷ παιδίῳ, πυρίᾳ χρηστέον καὶ ἀφθόνῳ ἀλείμματι διὰ ἐλαίου ἀπέφθου, συντακέντος ὀλίγου τοῦ κηροῦ.

Περὶ ὀδοντοφυΐας. θ.

Ὀδοντοφυΐαι γίνονται μὲν περὶ ἕβδομον μῆνα. συμβαίνουσι δὲ τότε φλεγμοναὶ τῶν οὔλων καὶ σιαγόνων καὶ τενόντων, καί ποτε σπασμοί. χρὴ οὖν τηνικαῦτα μηδὲν διδόναι τῷ παιδίῳ μασήσεως δεόμενον. τῷ δακτύλῳ δὲ συνεχῶς περὶ τὸ λαβρὸν τὰ οὖλα ψηλαφᾶν, καὶ μαλάσσειν ὀρνιθίων στέατι ἢ ἐγκεφάλῳ λαγωοῦ. τῶν δὲ ὀδόντων ἤδη προκυψάντων, χρῆσθαι ὑφ' ἑρῶν ὀρίων καθαρῶν ἐπιβολῇ τραχήλου καὶ κεφαλῆς καὶ σιαγόνων. ἐμβροχῇ τε τῶν αὐτῶν δι' ἐλαίου γλυκέως καὶ θερμοῦ, παραστάζομένου καὶ τοῖς ἀκουστικοῖς πόροις. χρὴ δὲ τηνικαῦτα τὸ παιδίον εὐθαλέστερον καὶ διαιτᾶν καὶ λούειν θερμῷ. καὶ εἰ μὲν διαρροίας ἔχοι, πειρᾶσθαι συνάγειν τὴν γαστέρα τοῖς ἐπιθέμασιν, ὅσα μάλιστα ἵστησι, τὸ κύμινον ἐμπάσσοντα ἐρίῳ, ἢ τὸ ἄνηθον, ἢ τὸ σέλινον. ἀγαθὸν δὲ καὶ σπέρμα ῥόδων προσμιγνύειν. καὶ τὸ ὅλως θερμῶς ξηραίνειν. εἰ δὲ μηδὲν ὑποίοι κάτω, ἐρεθίζειν πράως τῷ μέλιτι, πλάσαντα ὡς βαλάνιον, ἢ καλαμίνθῃ τετριμμένῃ μετὰ μέλιτος χρίειν. δοκεῖ δὲ κάλλιστα βοηθεῖν τοῖς σπασμοῖς τῶν παιδίων ἡλιοτρόπιον ἑψόμενον ἐν ὕδατι, εἰ λούοιτο ἐν τούτῳ τὸ παιδίον. ὠφελεῖ δὲ καὶ ἰρίνῳ † χρίσαι ἢ κυπρίνῳ καὶ τῷ σικυωνίῳ. καὶ τὸ σύμπαν θερμαίνειν. ἐπειδὲ [χῦλῳ] ἀνατελλόντων τῶν ὀδόντων καὶ τιτρωσκόντων δάκνει τοὺς δακτύλους, καλῶς ἂν ἔχοι κατέχειν ἴρεως ῥίζαν ἐξεσμένην, καὶ μὴ πάνυ ξηράν. ταύτην καὶ τοῖς ἕλκεσι προσβοηθεῖ. καὶ τὸ βούτυρον μετὰ μέλιτος διαχριόμενον ὀνίνησι. τοὺς δὲ ὀδαξισμοὺς τῶν οὔλων, σὰρξ ταρίχου παλαιοῦ ὀνίνησιν.

Πρὸς ἄφθας. ι.

Γίνεται δὲ τῷ παιδίῳ καὶ ἕλκος τὸ καλούμενον ἄφθα. τὸ μὲν ὑπόλευκον. τὸ δὲ ὑπέρυθρον. τὸ δ' αὖ μέλαν, οἷον ἐσχάρα. κάκιστον δὲ τὸ μέλαν καὶ θανατωδέστατον. βοηθεῖ δὲ ἶρις μετὰ μέλιτος. καὶ εἰ ξηρὰν ἐμφυσᾶν ἐθέλοις. καὶ ῥόδων φύλλα κεκομμένα. καὶ τὸ ἄνθος τῶν ῥόδων. καὶ κρόκος. καὶ ὀλίγον σμύρνης καὶ ἡ κηκὶς. καὶ ὁ λιβανωτὸς. καὶ ὁ φλοιὸς τοῦ λιβάνου. ὁμοῦ τε καὶ ἰδίᾳ ἕκαστον μέλιτι δευόμενα. ἐπὶ τούτοις μελίκρατόν τε καὶ ῥοιᾶς γλυκείας ὁ χυλός.

Πρὸς τὰ τῶν μηρῶν παρατρίμματα. ια.

Τὰ δὲ κατὰ μηροὺς παρατρίμματα μυρσίνῃ ξηρᾷ διαπάσσειν. καὶ κυπέρῳ, καὶ ῥόδοις.

Πρὸς τὰς τῶν ὤτων ὑγρότητας. ιβ.

Τὰς δὲ τῶν ὤτων ὑγρότητας ξηραίνειν, ὀρίον ἀπὸ συπτηρίας ἐντεθεῖσαν. ἢ οἰνομέλιτι. ἢ οἶνον παλαιὸν ἐνστάζουσαν. ἢ κρόκον μετὰ οἴνου τρίψασαν.

Περὶ σειριάσεως. ιγ.

Σειρίασις ἐστὶ φλεγμονὴ τῶν περὶ τὸν ἐγκέφαλον καὶ μήνιγγας μορίων. παρακολουθεῖ δὲ τοῦ βρέγματος κοιλότης, καὶ τῶν ὀφθαλμῶν, μετ' ὠχριάσεως καὶ ξηρότητος τοῦ σώματος. βοηθεῖ δὲ αὐτοῖς ᾠοῦ τὸ ἐρυθρὸν μετὰ ῥοδίνου τιθέμενον ἐπὶ τοῦ βρέγματος ἐν τρόπῳ πτύγματος, συνεχῶς ἀλλασσόμενον.

Ἄλλο πρὸς τὰς σειριάσεις.

Κατὰ τοῦ βρέγματος ἐπιτεθῆναι χρὴ ἡλιοτροπίου τοῦ καλουμένου φύλλα. κολοκύνθης ξέσματα. σικύου πέπονος τὸ περικείμενον τῇ σαρκὶ δέρμα. ἢ στρύχνου κηπαίου τὸν χυλὸν, μετὰ ῥοδίνου.

Δίαιτα νηπίων καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων. ιδ.

Τοὺς νηπίους καὶ ἀπὸ τοῦ γάλακτος γεγονότας, ἐν ἀνέσει τε ἐᾶν, καὶ ἱλαρότητι. γυμνάσια δὲ καὶ τροφὰς αὐτοῖς προσφέρειν ἐλαφρῶς. ἀπὸ δὲ τῶν ἓξ καὶ ἑπτὰ ἐτῶν. τούς τε παῖδας καὶ τὰς κόρας, γραμματισταῖς παραδοῦναι, πρᾳέσι καὶ φιλανθρώποις. οὗτοι γὰρ μετὰ ἀνέσεως καὶ χαρᾶς διδάσκουσιν. ἡ δὲ ἄνεσις τῆς ψυχῆς πρὸς εὐτροφίαν σώματος μεγάλα συμβάλλεται. τοὺς δὲ δωδεκαέτεις τῶν παίδων, πρός τε γραμματικοὺς φοιτᾶν ἤδη καὶ γεωμέτρας. καὶ τὸ σῶμα γυμνάζειν ἀναγκαῖον. ἀπὸ δὲ τῶν τεσσαρεσκαίδεκα ἐτῶν μέχρι τριῶν ἑβδομάδων, ἁρμόσει μαθημάτων ἄσκησις. καὶ φιλοσόφων λόγων κατήχησις. καὶ γυμνάσια πλείονα παραλαμβάνειν διὰ τὴν ἰσχὺν τοῦ σώματος, ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες ταῖς ὁρμαῖς κωλύονται. χρῆσθαι ταῖς εἰς

ἀφροδίσια. συναιρετέον δὲ καὶ τὸν οἶνον μετὰ τούτων. τοῖς δὲ ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ ψυχῆς καὶ σώματος. διὸ γυμνασίοις χρηστέον πᾶσι, μάλιστα δὲ οἷς ἕκαστος εἴθισται. καὶ τροφαῖς ἱκαναῖς τε καὶ εὐτρόφοις. τοῖς δὲ παρακμάζουσι δίαιτα ἁρμόζει † ὑφισταμένη καὶ ψυχῆς καὶ σώματος. τά τε γὰρ γυμνάσια ὁποῖά ποτ' ἂν ᾖ, κατὰ λόγον τούτων ὑφαιρετέον. καὶ τὰς τροφὰς ἐκ προσαγωγῆς συσταλτέον, τῆς ἕξεως αὐτῶν ἀρχὴν ψύξεως λαμβανούσης.

σωφρονοῦντι τῇ ψυχῇ καὶ σώματι

Περὶ τρίψεως παρασκευαστικῆς. ιε.

Πρὸ τῶν γυμνασίων θερμαίνειν τὸ σῶμα μετρίως χρή, τρίψει χρωμένους τῇ διὰ σινδόνων. κἄπειτα δι' ἐλαίου τρίβειν γυμναῖς ταῖς χερσίν, ἄχρις ἂν θερμανθείη καλῶς καὶ μαλαχθείη τὸ σῶμα. ἐπανθῆσαί τε σφριγῶδες εὐανθές, καὶ εἰς ὄγκον ἀρθείη.

Περὶ γυμνασίων. ις.

Κίνησίς ἐστι σφόδρα τὸ γυμνάσιον. ὅρος δὲ τῆς σφοδρότητος ἡ τῆς ἀναπνοῆς μετὰ τὸ δασύτερον ἀλλοίωσις. τὰ δὲ γυμνάσια δυσπαθῆ τε παρασκευάζει τὰ ὀργανικὰ μόρια, καὶ εὔτονα πρὸς τὰς ἐνεργείας. τήν τε ὄρεξιν ἰσχυροτέραν τῆς τροφῆς, καὶ τὴν ἀλλοίωσιν ἑτοιμοτέραν, καὶ τὴν θρέψιν βέλτιον ἐργάζεται διὰ τὴν γιγνομένην θερμότητα. ἐκκαθαίρει δὲ καὶ τοὺς πόρους, καὶ κενοῖ τὰ περιττώματα διὰ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν. ἐπειδὴ οὖν τῇ ἀναδόσει συνεργεῖ, δεῖ μήτε πλῆθος ὠμῶν καὶ ἀπέπτων, μήτε σιτίων μήτε χυμῶν ἢ κατὰ τὴν κοιλίαν ἢ ἐν τοῖς ἐντέροις περιέχεσθαι. κίνδυνος γὰρ αὐτοῖς ἑλχθῆναι πρὸς ἅπαντα τοῦ ζώου μόρια, πρὶν χρηστοῖς γενέσθαι πεφθεῖσι. δῆλον οὖν ὡς καὶ πρὸ τῶν σιτίων αὐτὰ παραλαμβάνεσθαι χρή. γνωρίσματα δὲ τῆς εὐκαιρίας, τῶν οὔρων ἡ χρόα. τὸ μὲν γὰρ ὑδατῶδες, ἄπεπτον ἔτι σημαίνει τὸν ἐκ τῆς γαστρὸς ἀναδοθέντα χυμόν. τὸ δὲ πυρρὸν καὶ χολῶδες, ἐκ πολλοῦ κατειργάσθαι. τὸ δὲ μετρίως ὠχρόν, ἄρτι πέψεως γεγενημένης σημεῖόν ἐστι. τηνικαῦτα οὖν ἄγειν ἐπὶ τὰ γυμνάσια, προαποθεμένον τά τε ἐν τῇ κύστει καὶ ἐν τῇ γαστρὶ περιττώματα.

Περὶ τῶν εἰδῶν τοῦ γυμνασίου. ιζ.

Τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ, θερμότητος αὔξησιν ἐξ ἑαυτῶν τοῖς ζώοις ἐργάζεσθαι. † τὸ δὲ ἴδιον τῶν καθέκαστα. τὸ μὲν εὔτονον γυμνάσιον τουτέστι τὸ βίαιον, πρὸς εὐτονίαν παρασκευάζει τούς τε μῦς καὶ τὰ νεῦρα. τοιαῦτα δέ ἐστι τότε σκάπτειν, καὶ τὸ φορτίον αἰράμενον μέγιστον, ἢ μένειν κατὰ χώραν, ἢ προβαίνειν, ἢ μικρὰ καὶ οἷον αὐτίς δύναιτο περιπατεῖν. τούτου τοῦ γένους εἰσί, καὶ τὸ ἀναρριχᾶσθαι διὰ σχοινίου. καὶ πλεῖστα ἄλλα ὁμοιότροπα. τὰ δὲ ταχέα χωρὶς εὐτονίας καὶ βίας ἐστί. δρόμοι δέ εἰσι ταῦτα, καὶ σκιαμαχίαι, καὶ ἀκροχειρισμοί. καὶ τὸ διὰ τοῦ κωρύκου τε καὶ τῆς σμικρᾶς σφαίρας γυμνάσιον. σφοδρὸν δέ ἐστι τὸ ἐξ εὐτόνου καὶ ταχέως. ὅσα γὰρ εὔτονα τῶν γυμνασίων ἐστί, τούτοις ὡς σφοδρῶς αὐτίς χρῷτο κινήσεις ταχείας προστιθείς. ἔτι τῶν γυμνασίων τὰ μέν, ὀσφὺν μᾶλλον ἢ χεῖρας ἢ σκέλη διαπονεῖ. τὰ δέ, τὴν ῥάχιν † ἢ τὸν θώρακα μόνον ἢ τὸν πνεύμονα. γυμνάζεσθαι δὲ χρὴ μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα, καὶ εὐανθὲς ὑπάρχῃ. καὶ αἱ κινήσεις † ἄτρυτοί τε καὶ ὁμαλαὶ καὶ εὔρυθμοι γίνονται. ἐν τούτῳ δὲ καὶ ὑδρῶτα θεάσῃ θερμὸν ἀτμῷ συμμιγῆ. παύεσθαι δὲ τηνικαῦτα πρῶτον, ἐπειδὰν ἕν τι τῶν εἰρημένων ἀλλοιωθῇ. οἷον εἰ φανείη συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν. ὡσαύτως δὲ καὶ εἰ τὸ τῆς χροιᾶς εὐανθὲς μαραίνοιτο, παύεσθαι. καὶ μὴν δὴ καὶ εἰ τὸ τῶν κινήσεων ἐπίπαν ἐνδιδόναι τι φαίνηται, καταπαύειν αὐτίκα. καὶ εἰ περὶ τὸν ἱδρῶτα γίνοιτό τις, ἢ κατὰ τὸ πλῆθος, ἢ κατὰ τὴν ποιότητα μεταβολή. ἐὰν γὰρ ἐλάττων ἢ ψυχρότερος γίγνηται, καταπαύειν περιχέαντα τὸ ἔλαιον. ἀποθεραπεύειν τε τοὐντεῦθεν. εἶθ' ἑξῆς τῇ ἀποθεραπευτικῇ τρίψει χρῆσθαι, ὡς εἰώθασιν οἱ παιδοτρίβαι ποιεῖν.

τὸ δὲ διὰ τῶν καθέκαστα

καὶ εὔτονοι καὶ ὁμαλεῖς

Περὶ τῶν εἰδῶν τῆς τρίψεως. ιη.

Τῶν τρίψεων ἡ μὲν σκληρά, δύναται † δεῖν. ἡ μαλακὴ δὲ λύειν. ὥστε ὅσα μὲν ἐκλέλυται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον. ὅσα δὲ ἐσφίγκται, μαλακῶς. εἰ δέ τι συμμέτρως ἔχει τούτου, εὔδηλον ὡς οὔτε μαλακῶς οὔτε σκληρῶς, ἀλλ' ὅσον οἷόν τε τὰς ὑπερβολὰς ἑκατέρας φυλαττόμενον. ἡ μὲν γὰρ πολλὴ τρῖψις καὶ σκληρὰ τὸν ὄγκον καταστέλλει τοῦ σώματος. ἡ δὲ ὀλίγη καὶ μαλθακή, τὸ ἀνάπαλιν εἰς ὄγκον ἐπαίρει. αἱ δὲ τρεῖς διαφοραὶ τῶν κατὰ ποσότητα τρίψεων ταῖς τρισὶ διαφοραῖς ταῖς κατὰ ποιότητα ἐπιπλεκόμεναι, συζυγίας ἀποτελοῦσιν ἐννέα, ὡς ὑποτέτακται. ἡ μὲν γὰρ μία κατὰ ποσότητα, οἷον ἡ πολλή, ταῖς τρισὶ ταῖς κατὰ ποιότητα συμπλεκομένη, τῇ σκληρᾷ λέγω καὶ τῇ μαλακῇ καὶ τῇ συμμέτρῳ κατὰ σκληρότητα, ποιεῖ τρεῖς διαφοράς. ἡ δὲ ὀλίγη πάλιν ταῖς αὐταῖς τρισίν, ἑτέρας τρεῖς. ἡ δὲ σύμμετρος κατὰ ποιότητα ταῖς αὐταῖς τρισὶ συμπλεκομένη, τρεῖς ἄλλας. ὡς ὑποτέτακται.

λεαίνειν

ποσό-

ΠΟΣΟΤΗΣ.		ΠΟΙΟΤΗΣ.
πολλὴ		σκληρὰ
πολλὴ	καὶ	μαλακὴ
πολλὴ		σύμμετρος
ὀλίγη		σκληρὰ
ὀλίγη	καὶ	μαλακὴ
ὀλίγη		σύμμετρος
σύμμετρος		σκληρὰ
σύμμετρος	καὶ	μαλακὴ
σύμμετρος		σύμμετρος

Περὶ ἀναφωνήσεως. ιθ.

Ἐν ταῖς ἀναφωνήσεσιν, ἡ μὲν † εὐμέλεια χρησοφωνία, οὐδὲν ἂν συμβάλλοιτο πρὸς ὑγίειαν. [μετὰ μέλους] ὁ δὲ τῶν βαρυτέρων ἤχων φθόγγος χρήσιμος. ὥστε τοῦτον ἀσκητέον. οὕτω γὰρ πλεῖστος ἀὴρ εἰς τὸ σῶμα κατ' ἀναπνοὴν ἑλκόμενος, διαστέλλει τόν τε θώρακα καὶ τὴν κοιλίαν, καὶ τοὺς καθ' ὅλον τὸ σῶμα πόρους ἀνευρύνει καὶ διΐστησι. διόπερ ἐν αὐταῖς ταῖς ἀναγνώσεσι τῶν πλεοναζόντων † ὑγρῶν ποιεῖται τὰς ἐκκρίσεις. τοῖς μὲν οὖν τονώτερον ἀναγινώσκουσι μᾶλλον καὶ δι' ἱδρώτων. τοῖς δὲ ὑφηκέστερον ἐντεινομένοις διὰ τῆς ἀδήλου γιγνομένης † διαφορᾶς [Χυμῶν διαφορήσιος] καθ' ὅλον τὸν ὄγκον. συμβαίνει γὰρ διὰ τὸν λεπτυσμὸν πολλῶν περιττωμάτων ἀναχρεμπτομένων, καὶ πτυέλων καὶ μύξης καὶ φλέγματος, ἔκκρισιν γίγνεσθαι καὶ ἀπανάλωσιν. τοῖς γε μὴν ἀναθερμασίας δεομένοις διὰ ψυχρότητα, τίς ἂν ἄλλη προσφορωτέρα γένοιτο βοήθεια τῆς κατὰ τὴν ἀναπνοὴν ἐνεργείας; δεῖ τοίνυν ἀναγινώσκειν πολλάκις ἀνιέντας τὸ σῶμα πᾶν, καὶ κεχυμένης τῆς σαρκὸς εἰς ἀραίωσιν διϊστάντας ἐπιτηδείως τήν τε ἀρτηρίαν καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος, κατὰ τὰς βαρυτέρας φθέγγεσθαι τῆς φωνῆς ἐνεργείας. οὔτε εἰκῇ οὔτε ἀπερισκέπτως. ἀλλὰ μήτε φαύλων καὶ διεφθαρμένων μεστοὺς ὄντας ὑγρῶν, μήτε ἐπὶ μεγάλαις τοῦ στομάχου καὶ φανεραῖς ἀπεψίαις, πρὸς τὴν διὰ τῆς φωνῆς γυμνασίαν ἀφικνεῖσθαι, ὅπως ἂν μὴ πλείων ἀνάδοσις τῶν διεφθαρμένων ἀτμῶν εἰς τὸ σῶμα γένηται.

Περὶ κόπων τῶν ἐπὶ γυμνασίοις. κ.

Ὁ ἑλκώδης κόπος, ἐπὶ πλήθει γίνεται περιττωμάτων λεπτῶν τε ἅμα καὶ δριμέων. ὁ δὲ τονώδης, περίττωμα μὲν οὐδὲν ὅτι καὶ ἄξιον λόγου ἐγκεῖσθαι τοῖς σώμασιν, ἐνδείκνυται. κατὰ δὲ τοὺς μῦς τε καὶ τὰ νεῦρα διάθεσίς τις ἐγγίγνεται, καθ' ἣν τήκεσθαι δοκοῦσιν. ὁ δὲ φλεγμονώδης, καθ' ὃν ὥσπερ τεθλασμένων ἢ φλεγμαινόντων αἰσθανόμεθα τῶν μορίων, τηνικαῦτα συμπίπτειν εἴωθεν. ὅταν ἐκθερμανθέντες ἱκανῶς ἐπισπάσωνταί τι τῶν περικεχυμένων ἑαυτοῖς περιττωμάτων. ἔστι δὲ καὶ ἄλλη διάθεσις τετάρτη, ἧς ἡ μὲν γένεσις ἐν τῷ ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ προσήκοντος, ὥστε ἀνιδρώτων αὐχμηρὸν καὶ προσεσταλμένον φαίνεσθαι τὸ σῶμα, καὶ πρὸς τὰς κινήσεις ὀκνεῖν. τὴν δὲ ἴασιν ὁ μὲν ἑλκώδης κόπος ἔχει τὴν διαφόρησιν τῶν περιττωμάτων, διὰ τρίψεώς τε πολλῆς καὶ μαλακῆς σὺν ἐλαίῳ πολλῷ, μηδεμίαν ἔχοντι στύψιν. ὁ δὲ ἕτερος ὁ τονώδης τὸν σκοπὸν τῆς ἰάσεως ἔχει, τὴν χάλασιν. χαλᾶται δὲ τὸ συντεταγμένον τρίψει μὲν ὀλίγῃ τε ἅμα καὶ μαλακῇ, δι' ἐλαίου τε εἰληθέρους. ἀναπαύσει τε πάσῃ καὶ ἡσυχίᾳ, καὶ λουτροῖς εὐκράτοις, καὶ διατριβῇ πλείονι κατὰ τὸ θερμὸν ὕδωρ. ὥστε εἰ καὶ δὶς καὶ τρὶς αὐτὸν λούοις, ὀνήσεις μειζόνως. ὁ δὲ τρίτος τῶν κόπων ὁ φλεγμονώδης, τῆς ἰάσεως τρεῖς ἔχει σκοπούς. κένωσιν τοῦ περιττοῦ. καὶ ἄνεσιν τοῦ συντεταμένου. καὶ ἀνάψυξιν τοῦ φλογώδους. ἔλαιόν τε οὖν πολὺ χλιαρὸν, αἵ τε τρίψεις μαλακώταται, καὶ ἐν τοῖς εὐκράτοις ὕδασι διατριβὴ πολυχρονιωτάτη, τοὺς τοιούτους ἰᾶται κόπους. οὕτως δὲ καὶ ἡσυχία πολλὴ, καὶ μάλιστα συνεχής. ἡ δὲ τετάρτη διάθεσις δεῖται, κατὰ μὲν τὴν πρώτην ἡμέραν οὐδενὸς ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν, ὅτι μὴ θερμοτέρου τοῦ ὕδατος ὡς συνάγειν ἀτρέμα. κατὰ δὲ τὴν δευτέραν ἀποθεραπευτικοῦ γυμνασίου. ἐκπηδάτωσαν δὲ εὐθέως ἐν τοῖς λουτροῖς ὡς ἐκ τῆς ψυχρᾶς δεξαμενῆς. εὐθὺς δὲ ἅπαντες οἱ κεκοπωμένοι δέονται τροφῆς.

Περὶ στεγνώσεως δέρματος. κα.

Ἡ δὲ στέγνωσις γίνεται μὲν δι' ἔμφραξιν ἢ πύκνωσιν τῶν πόρων. καὶ ἡ μὲν ἔμφραξις διὰ

πλῆθος ἢ πάχος ὠμῶν καὶ ἀπέπτων χυμῶν. ἡ δὲ πύκνωσις, ἢ διὰ τὰ ψύχοντα, ἢ τὰ στύφοντα, ἢ τὰ ξηραίνοντα. διαγινώσκεται δὲ εὐθὺς μὲν ἀποδύντων, ἀχροιᾷ τε λευκῇ ἅμα καὶ σκληρότητι καὶ πυκνώσει τοῦ δέρματος. ἐπὶ δὲ τὸ γυμνάζεσθαι, τὸ δυσεκθέρμαντον. ἡ δὲ ἴασις τῆς τοιαύτης διαθέσεως θέρμανσίς ἐστι. συντονωτέροις τε οὖν γυμνασίοις χρηστέον ἐστὶ, καὶ βαλανείοις θερμοτέροις. ἡ δὲ ἐν τῇ ψυχρᾷ κολυμβήθρᾳ διατριβὴ μὴ πολυχρόνιος γινέσθω. μηδ' αὐτὸ τὸ ὕδωρ ἄγαν ἔστω ψυχρόν. ἐνδύεσθαι δὲ μέλλοντες, ἀλειφέσθωσαν τινὶ τῶν μετρίως θαλπόντων ἐλαίῳ τῷ γλυκεῖ καὶ λεπτομερεῖ. τὰς πυκνώσεις δὲ τοῦ δέρματος ἱκανῶς ἰᾶται καὶ τὸ ἀνήθινον ἔλαιον. καὶ μάλιστα εἰ χλωρὸν εἴη τὸ ἄνηθον. καὶ τὸ αἰγείρινον ἔλαιον.

Περὶ αὐτομάτων κόπων. λβ.

Ἐπεὶ δὲ διὰ κακοχυμίαν γίγνεται δριμέων περιττωμάτων, ὁ ἑλκώδης κόπος. εἰ μὲν ὀλίγη παντάπασιν ἡ κακοχυμία εἴη, γυμνάσιον ἀρκέσει τὸ ἀποθεραπευτικόν. εἰ δὲ μεῖζον καὶ διὰ βάθους, οὐκέτι τὸν τοιοῦτον, οὔτε ἤδη γυμνάσιον ἄξομεν. οὔτε κίνησιν ὅλως οὐδεμίαν. ἡσυχάσαι δὲ καὶ ὑπνῶσαι κελεύσαντες ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν. εἶτα εἰς ἑσπέραν ἀλείψαντες λιπαρῶς καὶ λούσαντες εὐκράτῳ θερμῷ, τροφὴν εὔχυμόν τε καὶ ῥοφηματώδη δώσομεν ὀλίγην. οὐκ ἀφέξομεν δὲ αὐτοὺς οὐδὲ οἴνου. πέττει γὰρ οὗτος ἡμιπέπτους χυμοὺς εἴπερ τι ἄλλο καὶ οἶνος. εἰ μὲν οὖν ἤδη τοῖς εἰρημένοις κατασταίη τὸ σύμπτωμα, πρὸς τὰ συνήθη κατὰ λόγον ἐπανάξειν τὸν ἄνθρωπον. εἰ δὲ καὶ ἐπὶ τὴν ἑξῆς ἡμέραν ἔτι παραμένοι, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου. σὺν μὲν γὰρ ἰσχυρᾷ τῇ δυνάμει. δυοῖν θάτερον ἢ φλεβοτομεῖν ἢ καθαίρειν προσήκει διορισάμενον, ὁπότερον δεῖ μᾶλλον. σὺν ἀσθενεῖ δὲ, φλεβοτομεῖν μὲν οὐδ' ὅλως, ὑποκαθαίρειν δὲ μετρίως. εἰ δὲ ὠμοὶ χυμοὶ πάμπολλοι τύχοιεν ὄντες, μήτε φλεβοτομεῖν, μήτε καθαίρειν, μήτε γυμνάζειν. ἀλλὰ μηδὲ κινεῖν ὅλως μήτε λούειν. φυλακτέον δὲ αὐτοὺς ἐν ἡσυχίᾳ πάσῃ, καὶ δοτέον ἐδέσματά τε καὶ πόματα καὶ φάρμακα λεπτύνοντά τε καὶ τέμνοντα, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. διαιτᾶν οὖν αὐτοὺς ὀξυμέλιτι, βραχύ τι καὶ πτισάνης ἐνίοτε καὶ μελικράτου διδόντα. ἐπεὶ δὲ καὶ τὸ ὑποχόνδριον ἅπασι τοῖς τοιούτοις ἐπαίρεταί τε, καὶ ἐμπεφύσηται, καὶ ῥᾳδίως ὅτι περ ἂν προσάρωνται πνευματοῦται. βέλτιον ἂν εἴη διδόναι τί σὺν τῇ τροφῇ πεπέρεως. ἄμεινον δὲ καὶ τῷ διοσπολιτικῷ χρῆσθαι φαρμάκῳ. καὶ τῷ διὰ τριῶν πεπέρεων τῷ ἁπλῷ. καὶ ὀξύμελι δὲ χρησιμώτατον αὐτοῖς ἐστι. ποτῷ δὲ χρήσθωσαν ἀπομέλιτι, καὶ μάλιστα ὅταν ἀποξυνθῇ. καὶ τῶν οἴνων τοῖς ὀξυσμένοις ἀτρέμα. καὶ τῶν ἐδεσμάτων τοῖς λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν, οἷά περ ἐστὶ καὶ ἡ κάππαρις εἰ δι' ὀξυμέλιτος, ἢ δι' ὀξελαίου λαμβάνοιτο. ὁ δὲ τονώδης κόπος ὅταν ἄνευ γυμνασίων συνίσταται, πλῆθος ἐνδείκνυται διατεῖνον τὰ στερεὰ τοῦ ζώου μόρια. δῆλον δὲ ὅταν αἵματος πλῆθος, ἄριστον ἤδη φλέβα τέμνειν, ἢ ἀποσχάζειν τὰ σφυρά. ὁ δὲ φλεγμονώδης αὐτόματος κόπος, οὐδὲ ὡρῶν ὀλίγων μήτι γε δυοῖν ἢ τριῶν ἡμερῶν ἀνέχεται βραδυτῆτος. αὐτίκα πυρετὸν ἐπάγει σφοδρότατον, ἢν μή τις φθάσας ἀποχέῃ τοῦ αἵματος. κάλλιον δὲ εἰ ἐγχωροίη δὶς ἀφαιρεῖν ἐν ἡμέρᾳ μιᾷ. τὸ μὲν πρότερον οὕτω κενοῦντας, ὡς μὴ λιποθυμῆσαι τὸν ἄνθρωπον. τὸ δὲ δεύτερον οὐδὲ τὴν λιποθυμίαν φοβεῖσθαι προσήκει. μὴ φλεβοτομηθέντες δὲ, τύχης ἀγαθῆς οὕτως διακείμενοι εἰς τὸ σωθῆναι δέονται.

Δίαιτα γερόντων. λγ.

Τὸ γῆρας ἐστὶ μὲν ξηρὸν καὶ ψυχρόν. ἐπανόρθωσις δὲ αὐτοῦ διὰ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων ἅμα τοῖς θερμαίνουσι. χρὴ δὲ καὶ ἀνατρίβεσθαι χωρὶς κόπου. τροφὴν δὲ διδόναι τοῖς ἀσθενεστέροις, τρίτην. περὶ μὲν τρίτην ὥραν, ἄρτου τὸ βραχὺ μετὰ μέλιτος ἀττικοῦ. καὶ μετὰ ταῦτα ἑβδόμην ὥραν τριψαμένοις, καὶ γυμνασαμένοις τὰ πρέποντα γυμνάσια γέρουσι, καὶ λουσαμένοις, πρῶτα μὲν ὅσα λαπάττει τὴν γαστέρα προσφέρειν. ἐφεξῆς δὲ ἰχθύων ἢ ὀρνίθων. κἄπειτα ἤδη τῷ δείπνῳ, τῶν εὐχυμωτάτων καὶ δυσφθάρτων. οὐ κωλύω δὲ οὐδὲ τοῖς σκευαζομένοις διὰ μέλιτος οἴνοις, χρῆσθαι. καὶ μάλιστα ὅσοις ὑποψίαι τῶν γερόντων ἐστὶν ἐν νεφροῖς λίθων γενέσεως ἢ καὶ ποδάγρας. ἐπεμβάλλειν δὲ αὐτῷ, τηνικαῦτα πετροσελίνου. εἰ δέ ποτε φλέγματος ἐν γαστρὶ γεννηθέντος ἐξ ἀνάγκης ἐδοίμεθα τινὰ τῶν τεμνόντων αὐτό. μετιέναι χρὴ ταχέως ἤδη τὴν ὑγραίνουσαν δίαιταν. διδόναι δὲ αὐτοῖς καὶ πέπειρα σῦκα πρὸ τῆς ἄλλης τροφῆς. κατὰ δὲ τὸν χειμῶνα τὰς ἰσχάδας. μηδενὸς συμπτώματος αἰσθανομένοις κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ἐπεὶ δὲ τὰ ὀῤῥώδη καὶ φλεγματώδη περιττώματα κατὰ τὸ τῶν πρεσβυτῶν ἀθροίζεται σῶμα, τὴν οὔρησιν ἐφ' ἡμέραν προτρέπειν χρή. ὑπάγειν τε τὴν γαστέρα μάλιστα δι' ἐλαίου, καταῤῥοφοῦντας αὐτὸ πρὸ τῶν σιτίων. εὔδηλον δὲ ὅτι τὰ λαχανώδη πάντα πρὸ τῶν σιτίων ἐσθίειν χρὴ δι' ἐλαίου τε καὶ γάρου καὶ τῶν ἀλ-

μάδων

μάδων ἐλαιῶν καὶ δαμασκηνῶν. ἐπὶ πλέον δὲ ἐπισχεθείσης τῆς γαστρὸς καὶ λινόζωσις αὐτάρκης ἐστὶ καὶ κνῆκος. ποιεῖ δὲ καὶ ἡ τερεβινθίνη. λαμβανέσθω δὲ αὐτοῦ ἐνίοτε μὲν καρύου ποντικοῦ τὸ μέγεθος, ἐνίοτε δὲ δυοῖν ἢ τριῶν. ἔστι δὲ καὶ ἔλαιον διὰ κλυσμοῦ τοῖς ἐπεχομένοις χρησιμώτατον.

Πρὸς ἐρρυτιδωμένον σῶμα. κδ.

Ἀρρυτίδωτον δὲ ποιεῖ σῶμα, καὶ ἄλευρα ὀρόβων, ἀμπέλῳ μιχθέντα τῇ λευκῇ.

Ἄλλο σμῆγμα συνεχῶς σμηχόμενον.

Σῦκα πίονα ἅμα βρυωνίᾳ κόπτεται, καὶ ἄλευρα ὀρόβων κεκαυμένα, σηπίας ὄστρακα, μέλιτος ἐπισταζομένου βραχέος.

Ὥστε ἡδὺ πνεῖν σῶμα. κε.

Ὅπως δὲ ἡδὺ πνέῃ τὸ σῶμα, τῇ αὐτῇ ἀλοιφῇ καταμίσγειν κόμην κυπαρίσσου ξηρὰν κόψαντας, ἢ πίτυος φλοιόν. μεμνῆσθαι δὲ, ὅπως τοῦ ὄρθρου μετὰ τὴν στολὴν μικρὸν ἀποστάζοντες κασίας ἢ βράθυος.

Ὥστε ἀναθερμαίνειν τὴν ἕξιν. κς.

Ἐπειδὴ δὲ ἐνδεικτέον τῇ ἕξει ἀμυῦσαι ῥίμματι λουόμενος πυρῶντι χρήσθω. ἐχέτω δὲ καλαμίνθην καὶ σάμψυχον καὶ ὕσσωπον καὶ δαφνίδας, καὶ λιβανωτίδα, καὶ λίθον πυρίτην, καὶ ἅλας, καὶ ῥῦγα τὴν κεκαυμένην, καὶ νίτρον, καὶ κίσηριν, τὸ κατὰ λόγον ἑκάστου. καὶ βραχὺ νάπυος καὶ ἀγρίας σταφίδος καὶ κόκκου κνιδίου. ἀπὸ δὲ τοῦ λουτροῦ ἀκόπῳ χρήσθω θερμαίνοντι, καὶ πινέτω κιρρὸν οἶνον παλαιόν. καὶ πρόπωμα δι' οἰνομέλιτος καὶ πεπέρεως καὶ πηγάνου καὶ τῶν παραπλησίων.

Πρὸς ἀχροίαν. κζ.

Τὴν δὲ τοῦ σώματος ἀχροίαν, μειοῖ βίος εὐφρόσυνος. καὶ ἡ προσηνὴς βρῶσις. καταμιγνύειν δὲ ῥαφανίδας καὶ πράσα καὶ τὸν †χλωρὸν ἐρέβινθον. εὐχροίαν δὲ ἐργάζεται καὶ τῆς γλυκείας ῥοιᾶς ὁ χυλὸς ῥοφούμενος. καλὸν δέ ἐστι καὶ ἔλαιον ἑψηθείσης ἐπὶ μακρὸν αὐτῷ βρυωνίας ῥίζης. τοῦτο γὰρ καὶ τετανὸν ἐργάζεται τὸ σῶμα. τοῖς δὲ ῥύμμασι μιγνύειν κόλλικας γεγονότας ἐκ τινος τῶν ῥυπτόντων ἀλεύρου, καὶ βολβοῦ τῆς ναρκίσσου, καὶ βρυωνίας ῥίζης. εὖ δὲ χρώζει, οὕτως ἐστὶν εὐπορία, ῥίζα τε τῆς πικρᾶς ἀμυγδαλῆς καὶ ὁ καρπὸς ἐν ὕδατι ἑψηθέντα, ᾧ χρῆται λουτρῷ. ἄγριον

Πρὸς τὰ πελιώματα. κη.

Κωλύειν μὲν συνίστασθαι πελιώματα τοῖς γέρουσι, παχεῖαν ἐργαζομένους τὴν φορὰν καὶ δυσπαθῆ. καὶ τὴν ἕξιν οὐ μάλα θερμήν. ὅπως δὲ θᾶττον ἀπορύνηται, ἅλσι μὲν χρῆσθαι ἐν τοῖς βαλανείοις κατὰ τὸ μελανθέν. καὶ ταῦτα δὲ πυριᾶν σπόγγοις δευθεῖσιν εἰς ἀφέψημα τοῦ ῥαφανοῦ, ἢ τοῦ ἀψινθίου.

Ὀδόντων προφυλακτικά. κθ.

Οἱ ὀδόντες οὐκ ἀπογνώσονται ἤν τις ταῦτα ποιῇ. φυλάσσεσθαι πρῶτον διαφθορὰς σιτίων. φυλάσσεσθαι δὲ καὶ συνεχῶς ἐμεῖν. ὑφορᾶσθαι δὲ καὶ ἐδωδὰς ὅσαι μὴ σύμφοροι ὀδοῦσι, σῦκα ξηρά, καὶ μέλι ἑφθὸν τὸ σκληρὸν ἄγαν. καὶ φοίνικας, ὅσοι δύστριπτοι. καὶ πάντα ὅσα τῆς κόλλης ἔχει. καὶ τὰ καταγνύμενα μόλις, ὥστε κινεῖν ὀδόντας. καὶ τὰ αἱμωδίαν ἐμποιοῦντα. καὶ τὰ κατάψυχρα, καὶ τὰ σαπρὰ πάντα. δεῖ δὲ καὶ μετὰ τὰ δεῖπνα διακαθαίρειν τοὺς ὀδόντας.

Ὥστε μὴ βαρυκοεῖν. λ.

Πρὸς δὲ τὸ μὴ ἀκούειν βαρύ. πρῶτον ἐκκαθαίρειν τὰ ῥύπη τὰ ἐν τῷ πόρῳ. παρὰ χρόνον δὲ καθιέναι λίνον εἰς αὐτὸν καταβαφὲς δρώπακι, καὶ προσπιεσθὲν ἐξέλκειν. ἄκρα γὰρ τοῦ πόρου ἐκκάθαρσις γίνεται, καὶ ἅμα τῆς ἀκοῆς πρόκλησις. μετὰ δὲ ταῦτα, οἷον ὀρόβου μέγεθος περιαιρεθὲν βύσαι τὸν πόρον ἐφ' ἡμέραν. κἄπειτα ἐξελόμενον χρίειν ἐφ' ἡμέρας ἐλαίῳ ἀμυγδαλίνῳ, ἢ ναρδίνῳ, ἢ χαμαιμηλίνῳ. ἢ λίπει χηνῶν, καὶ ὀλίγης χολῆς βοείας. πάλιν δὲ μετὰ χρόνον νάπυ καὶ σῦκα τρίψας πεποιημένον ἐκ τούτου κολλύριον ἐντιθέναι ἐφ' ὥρας δύο. κἄπειτα ἐξελέσθαι μὲν τοῦτο, ἐγχέαι δὲ ἔλαιον ἐπεζεσμένον κοιλώματι ἀσφοδέλου ῥίζης.

Πρὸς τὴν ἀχλὺν τῶν ὀμμάτων. λα.

Ὅπως δὲ μὴ ἔχῃ ἀχλὺν τὰ ὄμματα. ὅτε δύουσι καθ' ὕδατος τοῦ ψυχροῦ, μακρὸν ἀναβλέπειν, προσδίδοται γὰρ ἐνθένδε ἰσχὺς τῇ ὁράσει. μὴ λείπεσθαι δὲ μηδὲ ἀναγνώσεως τόνδε. φυλασσέσθωσαν δὲ οἶνον τὸν παχὺν καὶ γλυκύν, καὶ τροφὰς ὅσαι ἄνω ἐπιπολὺ μένουσι, καὶ ὅσαι δύσπεπτοι, καὶ ὑγρὰ γεννῶσιν ἄργα καὶ παχέα. καὶ τὰ εὔζωμα, καὶ τὰ πράσα, καὶ πάντων, ὧν ἡ δριμύτης ἄνω αἴρεται. φυλάσσεσθαι δὲ δεῖ καὶ κατάκλισιν ὑπτίαν ἐπὶ μακρόν, καὶ κρύος, καὶ ἀνέμους τοὺς ἐναντίους, καὶ καπνὸν καὶ κόνιν. ἐγχεῖν δὲ τοῖς ὀφθαλμοῖς ἑκάστης ἡμέρας πεποιημένον ὕδωρ ἐπὶ μίαν καὶ ἡμέραν. μάραθρα βάλλειν χλωρὰ εἰς ἄγγος κεραμεοῦν ἔξωθεν πίσσῃ κεχρισμένον καὶ ὕδωρ ὄμβριον, ἔπειτα ἀποκείμενον ἔχειν, ἐξελόμενον τὰ μάραθρα.

Περὶ πλησμονῆς. λβ.

Μέγιστον ἐν σιτίοις ἁμαρτάνεται περὶ πλησμονήν. εἰ γάρ τινι καὶ πέψοι χρηστῶς ἡ κοιλία,

ἀλλ' αἱ φλέβες ὑπερεμπιμπλάμεναι πονοῦσί τε καὶ διατείνονται, καὶ ῥήγνυνται καὶ ἐμφράττονται,
καὶ μάλιστα πείθου καὶ πνεύματος μεσταὶ γίνονται, †καὶ πάνυ βρίθονται. κάκιστον δὲ ἐν νοσήμασι φλεβῶν πλησμο-
τὰ κάκιστα τῶν νοση- νὴν εἶναι. τὸ δὲ τῆς γαστρὸς πλήρωμα δεινὸν ὅτι καὶ ἐκγνῶσιν ἄνω τε ὑπερβάλλον καὶ κάτω διαχωρῆ-
μάτων πλησμονὴν σαν, ὅλως τε ἀσθενέστερον τῶν περὶ φλέβας ἐστίν. ὃ μὴν οὐδὲ τοῦτο αἱρετόν. ἀλλ' ἢν τις πλείω προσε-
εἶναι. νέγκηται, αὐτίκα χρὴ ἐμέσαι. κίνδυνος γὰρ πέψαντι ἐμπλῆσαι τὰς φλέβας, καὶ μᾶλλον εἰ
συνεχῶς τις περὶ τὴν προσφορὰν ἀκολασταίνων μηδεμίαν κένωσιν ἐξευρίσκοι. ἐμεῖν μὲν οὖν
δεῖ, πρὶν ἢ διαφθαρῆναι τὰ σιτία. εἰ δέ τινα κωλύματα εἴη πρὸς τὸν ἔμετον, εἰ μὲν ῥύη ἡ γα-
στήρ, πολλάκις ὠφελήσειεν. εἰ δὲ μὴ ἀλλὰ κοιμηθῆναί γε ὡς πλεῖον, καὶ ποτὸν ὕδωρ θερμὸν πιεῖν
διαχωρηθέντα πυκνά. πέψαντα δὲ ἱκανῶς μάλιστα εἰ καὶ †διαχωρῆσαι, λούεσθαι καὶ πυριᾶσθαι. καὶ *εἰ παρεῖχον ἐ-
σθίειν ὀλίγον. καὶ πόμα ὑδαρὲς πίνειν. εἰ δὲ μήτε διαχωρῆσαι ἢ μήτε πέψαι ταχύ, πρὸς δὲ καὶ
τὸ ἄλλο σῶμα βαρὺ καὶ δυσκίνητον καὶ ὑπνῶδες εἴη, καί τινες παράλογοι ὄκνοι τὴν γνώ-
καὶ κατὰ μην ἔχοιεν. ταῦτα σημαίνοι †περὶ τὰς φλέβας πλησμονήν. ὅσοι δὲ κοπώδεις ἐπὶ τούτοις γί-
νονται, μέχρι μὲν τὰ ἐν τῇ γαστρὶ ἐκπέψωσιν ἀτρεμεῖν συμφέρει. μετὰ δὲ πόνοις κενοῦν.

Περὶ μέθης. λγ.

Τοῖς μέθῃ κατεσχημένοις, ἔμετος ἁρμόζει παραχρῆμα γινόμενος. δεῖ δὲ καὶ δαψιλὲς ὕδωρ ἐπιπίνοντας καὶ μελίκρατον, ἐμεῖν ἕως πλεῖστα τὰ ἀπορρίψωσι. καὶ τὰς λήξεις ἀμβλύνωσι. μετὰ δὲ τοὺς ἐμέτους, ἐμβάσει τε χρήσασθαι σὺν ἀλείμματι δαψιλεῖ. τὸν δὲ λοιπὸν χρόνον ἡσυχάζειν ἐν σκέπῃ κοιμωμένους ἐπὶ πλεῖστον χρόνον ὡς ἂν ἐξοινήσωσιν.

Περὶ τῶν διαφθειρόντων τὰ σιτία. λδ.

Διαφθορᾶς τῶν σιτίων ἐν τῇ γαστρὶ γενομένης. οἷς μὲν ὑπέρχεται τὰ διεφθαρμένα, μέγιστον ἐφόδιον εἰς ὑγίειαν ἔχουσιν. οἷς δὲ οὐχ ὑπέρχεται, διὰ τῶν ἀλύπως ὑπαγόντων σβεστέον. τοῖς δὲ οὕτω διακειμένοις, συμφέρουσι καὶ πρὸ τροφῆς ἔμετοι διὰ οἴνου πόσεως καὶ γλυκέως γινόμενοι. συμβουλεύειν δὲ αὐτοῖς χρὴ μηδὲν κνισῶδες ἢ βρομῶδες, ἢ ὅλως εὔφθαρτον σιτίον προσφέρεσθαι. τὰ εὔχυμα δὲ ἐκλέγεσθαι. τοῖς δὲ οὕτως ἔχουσι καὶ ἐκ διαλειμμάτων χρόνου συμμέτρου αἱ γαστρὸς ὑπαγωγαὶ συμφέρουσι διὰ τῶν μετρίως καθαιρόντων.

Περὶ ἀφροδισίων. λε.

παρασεῖσαι Ἐξ ἀφροδισίων ὠφέλειαί εἰσιν αἵδε. πλησμονὴν κενῶσαι, καὶ ἐλαφρὸν †παρασχεῖν τὸ σῶμα,
καὶ εἰς αὔξησιν προτρέπεσθαι, καὶ ἀνδρωδέστερον ἀποφῆναι. περὶ δὲ ψυχὴν συνεστηκότα τε λογισμὸν διαλύει, καὶ ἐξ ὀργῆς ἀκρατοῦς ἐπανίησι. διὸ καὶ τῶν μελαγχολικῶν ὥστε καὶ ἕτερον ἴαμα ἐπιτηδειότατον μίσγεσθαι. καθίστησι δὲ εἰς τὸ ἐμφρονέστερον, καὶ τοὺς τὸν ἄλλον τρόπον ἐκμανέντας. καὶ τοῖς ἀπὸ φλέγματος νοσήμασι, κράτιστόν ἐστιν. οἱ δὲ καὶ εὐσιτότεροι αὐτίκ' ἀσίτων ἐγένοντο. οἱ δὲ καὶ ὀνειρωγμῶν συνεχῶν ἀπηλλάγησαν. φύσεις δὲ δὴ ἐπιτήδειοι πρὸς ἀφροδίσια, αἱ θερμότεραι καὶ ὑγρότεραι, καὶ πλέον τῶν ἄλλων εἰς λαγνείαν εὔφοροι. ἥκιστα δὲ δίαιτα μὲν ἡ ξηραίνουσα καὶ ψύχουσα. ἡλικία δὲ ἡ τοῦ γέροντος. ὥρα δὲ ἡ τοῦ φθινοπώρου. χρὴ τοίνυν τὴν δίαιταν ὑγρὰν καὶ θερμὴν παρέχειν. εἴη δ' ἂν πόνων τε μετριότης καὶ σιτίων. ὥσπερ δὲ οἱ μέτριοι πόνοι ἁρμόζουσιν, οὕτω καὶ οἱ αὐτῶν τῶν ἀφροδισίων. προτρέπουσί τε γὰρ εἰς τὸ ἔργον, καὶ ἵνα ῥαστώνην τῷ ἐθισμῷ παρέχουσι. δεῖ δὲ εἴπερ τινὸς ἄλλου καὶ τροφῆς περιουσίας. ὥστε τὰ πολύτροφα τῶν ἐδεσμάτων εἴη ἂν ἐπιτήδεια. ἰχθύων δὲ οἱ πολύποδες. καὶ γὰρ καὶ ἄλλως πεπίστευνται ἐρεθίζειν. καὶ ὅσα μαλάκια. λαχάνων δὲ τὸ ὅρμινον, καὶ τὸ ἐρύσιμον, καὶ τὸ εὔζωμον καὶ ἡ γογγυλίς. καὶ ταῦτα δὲ ὡς φάρμακα. ὀσπρείων δέ, κύαμοί τε καὶ ἐρέβινθοι καὶ ὦχροι καὶ δολιχοὶ καὶ πίσοι πνεύματος ὑποπίμπλαντες καὶ τῷ ἀφθόνῳ τῆς τροφῆς. καὶ τὸ πήγανον ἴσμεν ὅτι πνεύματα συμπέσσει καὶ ἀφανίζει, διὰ τοῦτο καὶ τὰς μίξεις ἀμβλύνει. μεγάλως δὲ ἐπαινῶ τοὺς βότρυς. ὑγραίνουσί τε γὰρ καὶ πνεύματος ἐμπιμπλᾶσι τὸ αἷμα ὃ δὴ ἐξορμᾷ πρὸς ἀφροδίσια. μέλλοντα δὲ ἀφροδισιάζειν, πλησμονάς τε φυλακτέον καὶ ἀπεψίας. καὶ κόπους δὲ φυλακτέον, καὶ ἐμέτους γεγενημένους, καὶ καθάρσεις. ὡσαύτως καὶ διάρροιαν ἐξαπιναίαν. τὴν γὰρ κεχρονισμένην ἐπιξηραίνουσι. καὶ τὰς σφοδρὰς ἐπιθυμίας οὐκ ἐπαινῶ, ἀλλὰ κελεύω τότε δὴ πλέον ἀντέχειν, καὶ μάλιστα οἷς νόσημά τι ἐστίν. κάλλιστα μὲν οὖν ἐπὶ γυμνασίοις τε, καὶ λουτροῖς, καὶ μετρίῳ σίτῳ μίσγεσθαι. καὶ γὰρ καὶ
ἐπιγιγνόμεναι πρὸς τὴν ἰσχὺν συμφέρει, καὶ ψύξεις αἱ †ἐπιγινόμεναι ἧσσον γίνονται. καιρὸς δὲ ἐπιτήδειος μίξεως μετὰ τροφήν, ὡς ἔφην πρὸ τῶν ὕπνων. καθυπνοῦντι γὰρ εὐθὺς καθίσταται ὁ κόπος. οὗτος δὲ καιρὸς καὶ εἰς παιδοποιίας διά τε τὰ ἄλλα, καὶ ὅτι ἡ γυνὴ κατακοιμηθεῖσα μᾶλλον κατέχει τὴν γονήν.

Πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν. λϛ.

Χρίειν δεῖ λίπει συνεχῶς τὰ αἰδοῖα μίγμα ἔχοντι τῆς τοῦ ναρκίσσου ῥίζης μέρος βραχύ, ἢ κόκ-
f. ἰνίου κου τοῦ κνιδίου, ἢ πυρέθρου, ἢ σταφίδος ἀγρίας, ἢ σπέρματος κνίδης. ἢ τῆς †ἄγνου. προποτίζειν

δὲ

δὲ πέπερι, ἢ † σατύρειον, ἢ ζίζωμον, ἢ κνήκου, ἢ πάντων ἅμα. κατεσθίειν δὲ πρὸ τῆς τροφῆς ἑψημένους βολβοὺς τοὺς ἐρυθροὺς τοὺς μικροὺς σὺν ἁλσὶ καὶ ἐλαίῳ. ἢ σκίλλης βραχὺ † μεμαρασμένης. καὶ τοῖς πρὸς ταῦτα δὲ συνθέτοις βοηθήμασιν ἀναγεγραμμένοις χρηστέον. καὶ ἀκόλαστα δὲ πολλάκις ἀναγινωσκέτωσαν. ἔχειν / ἠλιασμένης

Περὶ τῶν ἀμέτρως ἀφροδισιασάντων. λζ.

Ἐπειδὴ δ᾽ ἐξ ἀφροδισίων πλειόνων, ἀραιότερον καὶ ψυχρότερον καὶ ξηρότερον καὶ ἀσθενέστερον γίνεται τὸ σῶμα, τὰ πυκνοῦντα δηλονότι καὶ θερμαίνοντα καὶ ὑγραίνοντα, καὶ ῥωννῦντα δεῖ προσάγεσθαι. τοῖς οὖν ἀμέτρως πεπλησιακόσιν, ἁρμόσει σκέπη ἀλέα, ἡσυχία, ὕπνοι ἱκανοί. ἕως ἂν ἐκ μὲν τῆς συντονίας ἄνεσιν λάβῃ τὸ σῶμα. ἐκ δὲ τῆς ἀτονίας † ἀνακτήσωνται ἑαυτούς. ἀνακτήσονται

Περὶ πλεονασμοῦ σπέρματος. λη.

Τινὲς δὲ σπέρμα πολὺ θερμὸν ἀθροίζοντες, εἶτα ἀπεχόμενοι πρὸς ἀφροδίσια καὶ ἀρκείνοντες αὐτό, τό, τε σῶμα ἀσθενὲς ἴσχουσι καὶ τὸν στόμαχον ἔκλυτον, καὶ λεπτύνονταί τε καὶ ξηραίνονται. ἀποσχόμενοι δὲ αὖθις διὰ ταῦτα ἀφροδισίων κεφαλήν τε βαρύνονται καὶ † ἀσώδεις γίγνονται. κἄπειτα εὐθὺς ὀνειρώξαντες πάσχουσι τὰ αὐτά. δεῖ τοίνυν τῶν μὲν πολυσπέρμων μηδὲν προσφέρεσθαι. τῶν δὲ φθειρόντων αὐτὸ καὶ τροφῶν καὶ φαρμάκων λαμβάνειν. καὶ μετὰ λουτρὸν ἀλείφεσθαι τὴν ὀσφὺν ῥοδίνῳ τε ἐλαίῳ, καὶ μηλίνῳ καὶ ὀμφακίνῳ. βέλτιον δὲ αὐτὰ παχύτερα ποιοῦντας χεῖν κηροῦ μιγνύντας, καὶ χυλοῦ τινὸς τῶν ψυχόντων, ἀειζώου φημὶ καὶ στρύχνου, καὶ κοτυληδόνος καὶ ψυλλίου. κατὰ μὲν τὸ θέρος, τούτων, κατὰ δὲ τὰς ἄλλας ὥρας, ἀλῶν τε καὶ τοῦ τῆς θριδακίνης χυλοῦ, καὶ τοῦ λινοσπέρμου δὲ ἑψηθέντος ὕδατι. ψυχόντα γὰρ καὶ τοῦτο ποιεῖ χυλόν. καὶ λεπὶς δὲ μολιβδίνη ταῖς ψόαις ὑποτιθεμένη κωλύει τοὺς ὀνειρωγμούς. καὶ βοτάναι δὲ ὑποστρωννύμεναι τῶν ψυχουσῶν μετὰ πηγάνου, καὶ τῶν ἄκρων τοῦ ἄγνου τῶν ἁπαλῶν, τὸ αὐτὸ ποιοῦσι. καὶ σπέρμα τοῦ † λίνου καὶ πηγάνου ἐσθιόμενα. φυλάττεσθαι δὲ δεῖ σφοδρῶς ψύχειν τὰς ψόας, ὅπως ἂν μὴ βλαβεῖεν οἱ νεφροί. ἄγνου

Περὶ τῶν κατεψυγμένων. λθ.

Καταψύξεως δὲ ἱκανῆς γενομένης, κατακλίνειν ἐν τόποις θερμοῖς αὐτοὺς συναλείφοντας κυπρίνῳ, ἢ ἰρίνῳ. μετὰ δὲ ταῦτα μικρὸν ἀναθερμανθέντων διδόναι πέπερι καὶ σμύρναν μετὰ οἴνου γλυκέως εὐώδους παλαιοῦ. ἢ ὀπὸν κυρηναϊκὸν μετὰ οἴνου ἢ ὄξους. ἢ πύρεθρον ἢ καστόρειον μετὰ ὄξους. τροφὴν δὲ προσφέρειν θερμοτέραν.

Περὶ τῶν ἐγκεκαυμένων. μ.

Ἐγκαύσεως δὲ γενομένης κατακλίνεσθαι μὲν ἐν τόποις εὐπνόοις. προσκλύζεσθαι δὲ τό, τε πρόσωπον καὶ τὰς χεῖρας καὶ τὰ σκέλη ψυχροῖς ὕδασι. προσδίψους δὲ γεγονότας, πίνειν ψυχρὸν ὕδωρ οἷς σύνηθες. ταῦτα δὲ ποιεῖν ἐκ τοῦ κατὰ λόγον καὶ μὴ ἀθρόως. τροφὴν δὲ λαμβάνειν ὀλίγην εὐδιοίκητον, ὑγροτέραν μᾶλλον ἢ σιτωδεστέραν.

Περὶ φλέγματος ἐν τῇ ἄνω γαστρὶ πλεονάσαντος. μα.

Εἴ τινι παρατετύχηκάς ποτε, τὰς μὲν τῶν τροφίμων σιτίων προσφορὰς ἀποστρεφομένῳ, ἀποσίτῳ, καὶ εἰ βιάζοιο προσφέρεσθαι ναυτιώδει γινομένῳ. μόνα δὲ εἴπερ ἄρα τὰ δριμύτερα προσιεμένῳ. χαίροντι μηδὲ ἐπὶ τούτοις. ἀλλ᾽ ἐμφυσωμένῳ τὴν γαστέρα, καὶ ναυτιῶντι. καὶ βραχὺ ταῖς ἐρυγαῖς μόναις ἐπικουφιζομένῳ. διαφθείροντι δὲ ὅσον ὅτε καὶ αὐτὰ τὰ λαμβανόμενα σιτία, καὶ μάλιστα τὴν εἰς ὀξύτητα διαφθοράν. πάντως γίνωσκε τὰ βοηθήματα κεφάλαιον ἔχοντα τῆς ἰάσεως, ἀπορρύψαι τῆς γαστρὸς τὸ φλέγμα. ἐγὼ γοῦν οἶδά ποτέ τινα τῶν οὕτω διακειμένων ἐπὶ ταῖς δι᾽ ὀξυμέλιτος ῥαφανίσι, πλῆθος μὲν ἄπιστόν τι παχυτάτου φλέγματος ἐμέσαντα, παραχρῆμα δὲ ὑγιάναντα τελέως.

Πῶς ἄν τις εὐκόλως ἐμοίη. μβ.

Ἐπειδὴ δὲ τοῖς συντόνως ἐμοῦσι, πολλὰ ἄτοπα παρακολουθεῖν εἴωθεν. καλῶς ἔχει τρόπους εἰπεῖν, καθ᾽ οὓς ἔνεστιν εὐπετῶς ἐμεῖν. καὶ γὰρ φλέγμα κενοῖ. καὶ κεφαλὴν ἐπικουφίζει. καί ποτε καὶ προθυμότερον φαγόντα ἀπεπτῆσαι, καὶ οἴνου πλείονος λαβόντα βλαβῆναι κωλύει. ἔστω δὲ τὰ προσφερόμενα, μὴ στρυφνὰ καὶ ξηρά, ἀλλὰ τὰ μὲν τοῦ γλυκυτέρου τρόπου καὶ ὑγροτέρου, τὰ δὲ τοῦ δριμυτέρου. δοκεῖ δὲ ἐν τούτοις ῥάφανος εὐδοκιμεῖν, καὶ ζίζωμον, καὶ τάριχος παλαιός, καὶ ὀρίγανος χλωρός. καὶ κρομμύου ὀλίγον καὶ πράσου. συνεργεῖ δὲ τοῖς ἐμέτοις καὶ τῶν ὀσπρίων, αἵτε πτισάναι μέλιτός τι ἔχουσαι, καὶ τὰ ἀπὸ τῶν κυάμων ἔτνη. καὶ τὰ πίονα τῶν κρεῶν. ἀλλ᾽ ὅπως μὴ μόνον τοὺς χυλοὺς αὐτῶν λαμβάνοις, ἀλλ᾽ ὅλους τοὺς ὄγκους καταπίνειν, μὴ τοίνυν μὴ δὲ περὶ τὴν μάσησιν ἱκανῶς διάτριβε μέλλων ἐμεῖν. τῇ δὲ ἑψήσει μαλακὰ πάντα ἔσω.

κωτέρους αἱρετέον. οὗτοι γὰρ ἀπολαστικώτεροι. καὶ χλιαρωτέρῳ χρῆσθαι τῷ ποτῷ. χρὴ δὲ καὶ ἀμύγδαλα εἰς μέλι βάπτοντα ἐσθίειν, καὶ πλακοῦντος γεύεσθαι τηνικαῦτα καὶ πέπονος. καὶ σικύου τὸ σπέρμα βρέξαντα καὶ λειάναντα μετὰ μέλιτος προσφέρεσθαι. καὶ ἡ ῥίζα τοῦ σικύου τετριμμένη μετὰ μέλιτος. οἱ δὲ ἰσχυροτέροις βουλόμενοι χρῆσθαι, ναρκίσσου βολβὸν ἑψήσαντες ἐν ὕδατι τούτῳ κεραννύουσι τὸν οἶνον. πρέπει δὲ ἐμεῖν καὶ ἴρινον μύρον, ἅτις διὰ χεῖρας τοὺς δακτύλους ἐρεθίζοι. ἐμετικὸν δὲ καὶ τὸ μὴ ἀνιέναι καὶ διαλείπειν ἐπὶ τοῖς ἐμέτοις. τὸ δὲ στόμα διακλύζειν καὶ τὴν ὄψιν ἀποκλύζειν ὀξυκράτῳ ἢ ὕδατι. ἢ γὰρ τοῖς ὀδοῦσι συμφέρει ἢ διακουφίζει τὴν κεφαλήν.

Περὶ ὑπακτικῶν γαστρὸς καὶ διουρητικῶν τοῖς ὑγιαίνουσιν. μγ.

Τῶν παλαιῶν ἐξαρκεῖν ἐδόκει τισὶ πρὸς ὑγίειαν ἐφήμερα κενοῦσθαι διὰ γαστρὸς ἢ οὔρων ἀμέμπτως καὶ ἱκανῶς, πρὸς τὸ πλῆθος τῶν ἐσθιομένων ἢ πινομένων. ἢ γιγνομένων μὲν τῶν κενώσεων κατὰ λόγον ἐπῄνουν. μὴ γινομένων δὲ συνήργουν. τῇ μὲν οὐρήσει διὰ σκάνδικος ἢ σελίνου καὶ ἀσπαράγου, πετροσελίνου ἢ ἀνίσου ἢ καλαμίνθης, καὶ ὀριγάνου ἢ ἀψινθίου, ἀγρώστεώς τε ἢ σκολύμου ῥίζης ἢ κνίσου ἢ ἀδιάντου ἐν ὕδατι ἑψηθέντων. ὥστε πίνειν μετ' οἴνου τὸ ἀφέψημα. καθαίρει γὰρ δι' οὔρων ταῦτα τὸ αἷμα καὶ ἔστιν οὐ σμικρὸν ὄφελος. τῇ δὲ κοιλίᾳ συνεργητέον τερεβινθίνης διδόντας, ἐλαίας μέγεθος καταπίνειν εἰς ὕπνον τρεπομένοις.

ῥίου μᾶλλον δὲ ὑπάγειν βουλόμενοι, † ῥοῦ βραχὺ καταμίξομεν. ἐπιτήδεια δὲ πρὸς ὑπαγωγὴν γαστρὸς ὡς ῥοφητά. ἢ λαχάνων, τεῦτλα ἢ μαλάχαι. ἢ τῶν κοχλίων ὁ ζωμός. καὶ ἴσως ἐξαρκέσει ταῦτα. μείζονα δὲ δύναται, λινόζωστις ἐν ὕδατι μετὰ ἁλῶν ἑψηθεῖσα καὶ ἐσθιομένη, ἢ τὸ ἀφέψημα αὐτῆς πινόμενον. καὶ τῆς ἀκτῆς τὰ φύλλα παραπλησίως. καὶ τοῦ πολυποδίου τῆς ῥίζης ὅσον δραχμὰς δύο ἐπιπάσσειν ταρίχῳ, ἢ καὶ ἐν πτισάνῃ ῥοφεῖν. καὶ ὀρρὸς δὲ γάλακτος σὺν ἅλσιν. ἢ μέλι κοτύλων τριῶν ἢ τεττάρων. ἢ τοῦ παλαιοῦ ἀλεκτρύονος ὁ ζωμὸς καθ' αὐτό τε ἢ σὺν κνήκου δραχμαῖς δυοῖν. καί ποτε καὶ ἁλὸς ἐπὶ τῷ δείπνῳ λαμβάνειν ὅσον ἐρεβίνθων τριῶν τὸ μέγεθος. κάλλιστον δὲ καὶ ἐπίθυμον ἐν οἴνῳ πινόμενον, μετὰ τὸ συμμέτρως δειπνῆσαι. ὁ δὲ σφοδρότερον κενοῦσθαι δεόμενος ἕωθεν ἐπιθύμου πινέτω δραχμὴν ἐν ὀξυμέλιτι, ἦρος ὥρᾳ.

Περὶ κλυσμῶν. μδ.

Ἐπὶ δὲ τῇ φύσει δυσκοιλίων ἐφ' ὧν ἀσθενὴς ὢν ὁ στόμαχος οὐκ ἐπιδέχεται τὰ διὰ στόματος ὑπακτικά, τοῖς κλύσμασι χρηστέον. φλέγματος μὲν ἐγκειμένου περὶ τὰ ἔντερα τοῖς δι' ἀφεψήματος ἰσχάδων, καὶ τεύτλων, καὶ νίτρου, καὶ ἀγρίου σικύου ῥίζης, καὶ μέλιτος, καὶ ἐλαίου χαμαιμηλίνου ἢ ἀνηθίνου. ξηρότητος δὲ μᾶλλον ἐνούσης τοῖς δι' ἀλθαίας τε, καὶ τήλεως, καὶ χαμαιμήλων, καὶ ἐλαίου, καὶ μέλιτος βραχέως. καί ποτε καὶ ἔλαιον καθ' αὑτὸ πλῆθος ἡμικοτυλίου ἐνιέμενον τὸ δέον ἐξανύει. μηδὲ τοῦτο δὲ συνεχῶς, ἵνα μὴ τούτοις ἡ φύσις ἐθιζομένη τῆς αὐτομάτου ἐκκρίσεως ἐκλάθηται.

Περὶ βαλάνων. με.

ἐνεθὲν Χρώμεθα καὶ βαλάνοις πολλάκις σκυβάλων χάριν ἐκκρίσεως. καὶ ἐφ' ὧν τὸ † ἐμβληθὲν διὰ κλυστῆρος οὐκ ἐκκρίνεται. πλάσσεται δὲ βαλάνια ἐξ ἁλὸς ὀπτοῦ καὶ μέλιτος καὶ νίτρου. καὶ θύμος δὲ περὶ ἀπέφθῳ μέλιτι μίσγεται. πλάσσεται δὲ καὶ ἐκ ῥητίνης τερεβινθίνης καὶ νίτρου, καί ποτε καὶ κόκκου κνιδίου συμμέτρου. δῆξεις δὲ ἐγείρει. διὸ χριστέον τὰ μόρια ἐλαίῳ. ἔτι δὲ τὸ πύρεθρον, ἢ πέπερι παραπλέκεται. καὶ ἁρμόζει παραλυτικοῖς, καὶ ταῖς ὑπὸ ψύξεως ἐμ-

καταλύσεσιν πνευματώσεσι. κενταύρειον δὲ παραπλέκεται πίσσῃ καὶ κηρωτῇ. καὶ ἔστιν ἐπιτήδειον † παρέσεσιν αἰδοίου. ἐπὶ δὲ τῶν νηπίων καὶ χόνδρος ἁλὸς ἐντίθεται. ἀναπλάσσεται δὲ καὶ σῦκον μετὰ νίτρου.

Περὶ τῶν κενωτικῶν τῆς κεφαλῆς ἀποφλεγματισμῶν τε καὶ ἐρρίνων καὶ διαχριστῶν. μϛ.

Τοὺς ἐν τῇ κεφαλῇ χυμοὺς διὰ τῶν πτυσμάτων κενοῦμεν. εἰ μὲν ἐπὶ βραχὺ πρᾶξαι τοῦτο βουληθείημεν ἀναμιγνύντες πέπερι τῇ μαστίχῃ. πλέον δὲ κενῶσαι βουλόμενοι, πύρεθρον, ἢ σταφίδα τὴν ἀγρίαν μασᾶσθαι κελεύοντες. καὶ ἀνεμώνης δὲ πάσης, ῥίζα μασωμένη, φλέγμα προκαλεῖται. καὶ καππάρεως τῆς ῥίζης ὁ φλοιός. τὸ μὲν οὖν ὀρρῶδες περίττωμα, διὰ τῶν τοιούτων κενοῦται. τὸ δὲ παχὺ φλεγματῶδες ἀνακογχυλιζόμενον νᾶπυ μετ' ὀξυμέλιτος ἢ σίραιον ὀρίγανον ἢ ὕσσωπον ἀφεψημένον ἔχων. ἐγὼ δὲ μίγνυμι τούτοις περὶ μετ' ὀξυμέλιτος νάπυϊ. εἰ δὲ καὶ ὑπὸ μύξης ἐκκαθαίρεσθαι δέοι τὸν ἐγκέφαλον, προτρεψόμεθα αὐτὴν ἐρεθίζοντες φαρμάκοις δριμέσιν. ὧν ἔνια καὶ πταρμὸν κινεῖ. καθαίρει μὲν οὖν διὰ ῥινὸς ἀναγαλλίδος ἑκατέρας ὁ χυλός, ἀνεμώνης τε πάσης. καὶ τεύτλου καὶ σικύου ἀγρίου φύλλων ὁ χυλὸς ἐγχεῖται

χεῖται ταῖς ῥισὶν, αὐτός τε καθ᾽ ἑαυτὸν καὶ μετὰ τεύτλων ἀφεψήματος, ἢ χυλοῦ. πταρμὸς δὲ ἐπὶ τοῖς ὠμοῖς χυμοῖς τοῖς κατὰ θώρακα καὶ πνεύμονα καὶ κεφαλὴν περιεχομένοις (μέρεσιν) οὐ συμφέρει. †διάχρισον δὲ στόματός ἐστιν τοιόνδε. σινήπι μετὰ τεύτλου χυλοῦ χρίε τὰ κατὰ τὸν οὐρανίσκον, καὶ τὸν κίονα, καλῶς ποιεῖ. τὸ δὲ αὐτὸ καὶ ἐρρινόν ἐστιν. εὐπορίστῳ δὲ πολλάκις ἐχρησάμην ἐγχειομένῳ τῇ ῥινὶ μελανθίῳ. ποτὲ μὲν ὄξει δριμεῖ διαβρέχων πρὸ μιᾶς ἡμέρας. εἶτα τῇ ὑστεραίᾳ σὺν ὄξει πάλιν λειῶν, καὶ ἐγχέων εἰς τὴν ῥῖνα. ἐνίοτε ἐλαίῳ παλαιῷ τὸ αὐτὸ μελάνθιον λειῶ. καὶ ὁμοίως χρῶμαι. οὕτω μὲν οὖν αὐτῷ χρῆται καὶ Ἀρχιγένης ἐπὶ ἐμφράξει μυκτήρων. τῶν δὲ προτέρων τῶν διὰ τοῦ ὄξους, ὁ κρείττων ἐπὶ τῶν ἰκτερικῶν. χρίσμα

Ὅσα ἐμμηνίων ἀγωγά. μζ΄.

Τὰ διουρητικὰ πάντα καταμηνίων ἀγωγά. οἷον, κράμβης ῥίζης τὸ ἀφέψημα πινόμενον. περσαίας ῥίζα καὶ πήγανον καὶ χρυσάνθεμον. καὶ δίκταμον. καὶ εὐζώμου σπέρμα. κινεῖ δὲ καὶ προσθετὰ τῷ στόματι τῆς ὑστέρας προσαγόμενα, ὥσπερ τὸ πήγανον λεῖον μετὰ μέλιτος, ἢ πράσου χυλός. ἢ σκορδίου λείου προστιθεμένου. ἢ σμύρνα λεία ἐν οἴνῳ. ἢ λαγωοῦ πυτία.

Ὑδρωτικά. μη΄.

Τῶν ἱδρωτικῶν ἐστι χαμαίμηλον ξηρὸν λεῖον ἐπιπασσόμενον ἐλαίῳ, τῆς ἐπιφανείας εὐτόνως ἀνατριβομένης. σέσελι, πύρεθρον, κάχρυ, ἄνισον, ὁμοίως ἐμπλασσόμενα ἐλαίῳ. νίτρον ὀπτὸν καὶ μὴ πάνυ λεπτὸν σὺν τῷ ἐλαίῳ. ἁλὸς ἄνθος συγκιρνώμενον ἐλαίῳ. ὀπὸς κυρηναϊκὸς ὕδατι διειμένος, εἰς ἀνάτριψιν τοῦ σώματος παραλαμβανόμενος, καὶ πινόμενος μέγεθος ὅσον ἐρεβίνθου. ὁμοίως καὶ καλαμίνθη πινομένη τε μετὰ μελικράτου, καὶ ἔξωθεν σὺν ἐλαίῳ τριβομένη.

Περὶ ἀέρων. μθ΄.

Ἄριστος ἀήρ ἐστιν ὁ ἀκριβῶς καθαρός. εἴη δ᾽ ἂν οὗτος ὁ μὴ ἐκ λιμνῶν ἢ ἑλῶν ἀναθυμιάσεως ἐπιθολούμενος. μήτε ἔκ τινος βαράθρου δηλητήριον αὔραν ἀναπέμποντος. οὕτω δὲ καὶ ὅστις ἔκ τινος ὀχετοῦ ἐκκαθαίροντος μεγάλην πόλιν ἐπιθολοῦται, μοχθηρός ἐστιν. καὶ μὴν καὶ ὅστις ὁ μιχλώδης ἐστὶν, οὐκ ἀγαθός. ὥσπερ γε καὶ ὅστις ἂν ἐν κοίλῳ χωρίῳ πανταχόθεν ὄρεσιν ὑψηλοῖς περιεχόμενος, μηδεμίαν αὔραν δέχεται. οἱ μὲν οὖν οὕτω μοχθηροὶ πᾶσαν ἡλικίαν ὁμοίως βλάπτουσι, καὶ πᾶσαν κρᾶσιν. ὥσπερ οἱ ἄριστοι ὠφελοῦσιν. ἡ δὲ κατὰ ποιότητα, θερμότητα λέγω, καὶ ψυχρότητα, καὶ ξηρότητα, καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχ ὁμοίως ἔχει πρὸς ἅπαντας. τοῖς μὲν γὰρ εὐκράτοις σώμασιν, ὁ εὔκρατος ἀὴρ ὠφέλιμος. τοῖς δὲ δυσκράτοις, ὁ τὴν ἐναντίαν ἔχων κρᾶσιν.

Περὶ ὑδάτων. ν΄.

Δεῖ δὲ καὶ τῆς τῶν ὑδάτων ἀρετῆς τε καὶ κακίας ἐμπείρους εἶναι. πολύχρηστα γὰρ τὰ ὕδατα σχεδὸν ἁπάντων μᾶλλόν ἐστιν εἰς ἅπασαν τὴν δίαιταν. εἰδέναι χρὴ τοίνυν τὸ ἄριστον ὕδωρ ἀποιότατον εἶναι, καὶ κατὰ γεῦσιν καὶ κατ᾽ ὀσμήν. εὐθὺς δὲ τοῦτο καὶ ἥδιστον ὑπάρχει τοῖς πίνουσι, καὶ ὀφθῆναι καθαρόν. ὅταν δὲ καὶ ὑποχωρεῖ τῶν ὑποχονδρίων ταχέως, μηδὲ ζητεῖν ἕτερον ἄμεινον. τὰ γὰρ ἐπὶ τοῖς ὑποχονδρίοις χρονίζοντα καὶ τὴν γαστέρα πλήττοντα καὶ ἐμφυσῶντα καὶ βαρύνοντα, μοχθηρὰ νομιστέον. ὅτι θερμαίνεται ταχέως ὅτι ψύχεται τὰ τοιαῦτα τῶν ὑδάτων. ἀλλὰ καὶ τὰ ἐν αὐτοῖς ἑψόμενα βραδύτατα καὶ κάκιον ἕψεται. βέλτιον μὲν οὖν τῇ πείρᾳ κρίνειν τὸ τοιοῦτον ὕδωρ. ὁ βουλόμενος δὲ καὶ διὰ γνωρισμάτων διαγινώσκειν, τοῖς ῥηθησομένοις κρινέτω. τὰ μὲν γὰρ πρὸς ἄρκτους ἐστραμμένα καὶ τὸν ἥλιον ἀποστραφέντα, βραδύπορά τε ἐστὶ καὶ ἀτέραμνα, καὶ θερμαίνεται καὶ ψύχεται βραδέως. τὰ δὲ πρὸς ἀνατολὰς διὰ πόρου τινὸς ἢ γῆς ἠθούμενα, τάχιστά τε θερμαίνεται καὶ τάχιστα ψύχεται. ταῦτ᾽ ἐλπίζειν εἶναι κάλλιστα. καλὰ δὲ καὶ ὅσα θέρους μὲν ψυχρότερα, χειμῶνος δὲ θερμότερα. τινὲς δὲ καὶ τῷ σταθμῷ δοκιμάζουσι τὰ κοῦφα, νομίζοντες εἶναι κρείττω. τοῦτο δὲ εἰ μὲν πρὸς τοῖς ἄλλοις ὑπάρχει τοῖς εἰρημένοις, ἐπαινεῖται. μόνον δὲ οὐκ ἐξαρκεῖ τεκμήριον εἶναι τῶν ἀγαθῶν. κουφότατα δὲ ὥς φησιν Ἱπποκράτης τὰ ὄμβρια, καὶ γλυκύτατα καὶ λαμπρότατα καὶ λεπτότατα, διότι ὑπὸ τοῦ ἡλίου τὸ κουφότατον ἕλκεται καὶ λεπτότατον. ἀνάγει δὲ οὐκ ἐκ μόνων τῶν ἄλλων ὑδάτων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάττης, κἀκ τῶν σωμάτων. διὸ καὶ εὐσηπτότατά ἐστι πάντων, ὡς ἂν ἀπὸ διαφόρων ποιοτήτων συνιστάμενα. μηδεὶς δὲ ὑπολάβοι κάκιστον εἶναι τὸ εὔσηπτον ὕδωρ. τὸ γὰρ εὐαλλοίωτον πρὸς ἀρετῆς μᾶλλόν ἐστιν ἢ κακίας. ὥσθ᾽ ὅταν ἔχον τὰ γνωρίσματα τῶν ἀρίστων ὑδάτων εὔσηπτον ὑπάρχοι, κάλλιστον ὑποληπτέον αὐτό. τρέπεσθαι μὴν ἀρχόμενον, τοῖς πιοῦσιν αἴτιον βράγχων τε καὶ βηχῶν καὶ βαρυφωνίας καθίσταται. αὐτῶν δὲ τῶν ὀμβρίων ὑδάτων τὸ θερινὸν τοῦ λαιλαπώδους ἄμεινόν ἐστι καὶ τὸ βροντιαῖον. τὰ δὲ ἀπὸ κρυστάλλων καὶ χιόνος πονηρότατα. κατὰ γὰρ τὴν πῆξιν τοῦ ὕδατος, πᾶν τὸ λεπτομερέστερον ἐκθλίβεται. καλῶς δ᾽ ἂν ἔχοι καὶ τὰ †ἑλώδη καὶ δυσώδη καὶ τὰ ποιότητας ἀτό- ὑλώδη

τους ἔχοντα, ταῖς ἑψήσεσιν ἐπὶ τὸ βέλτιον τρέποντας, οὕτω πίνειν. καὶ κεραννύντας οἴνῳ, τὰ μὲν στύφοντα τῷ γλυκυτέρῳ, τἆλλα δὲ τῷ στρυφνοτέρῳ. τινὰ δὲ καὶ ἠθεῖν συμφέρει, τὰ ἰλυώδη καὶ ἁλυκὰ καὶ ἀσφαλτώδη. τὰ δὲ ἄγαν ψυχρὰ μετὰ τροφὴν πίνειν καὶ μηδὲ ἀθρόως. τινὲς δὲ ἐξευρήκασι βρώματα καὶ ποτὰ πρὸς τὰς τῶν ὑδάτων κακίας. καὶ οἱ μὲν ὀρεβίνθων ἀφεψήματα προπίνουσιν. ἢ καὶ αὐτῶν ἐσθίουσιν. οἱ δὲ καυκαλίδας, ὡσαύτως μετά τινος ἰχθυδίου ἑφθάς. καὶ μάραθρα ὁμοίως. οἱ δὲ καὶ τεῦτλα καὶ κολοκύντας προεσθίουσι μετὰ ἄλλων σὺν οἴνῳ κεκραμμένῳ.

Περὶ λουτρῶν. να.

Ἐπαινῶ μὲν τὴν ψυχρολουσίαν. οὔ φημι δὲ συμφέρειν αὐτὴν τοῖς κατὰ τὸ προστυχὸν διαιτωμένοις. ἀλλὰ μόνοις τοῖς ἀκριβῶς βιοῦσι. καὶ πόνοις καὶ σιτίοις, κατὰ τὸ ἁρμόττον χρωμένοις. ἀρκεῖ δὲ τοῖς πολλοῖς δεομένοις ποτὲ ψυχθῆναι μειζόνως, ἐνήξασθαί ποτε θέρους ὥρᾳ, νέους ὄντας καὶ εὐσάρκους, προεκθερμανθέντας τρίψεσιν. ἔστωσαν δὲ μήτε ἐξ ἀφροδισίων μήτε ἄλλως κοπώδεις, μήτε ἄπεπτοι, καὶ ἢ μεμηκότες ἢ κατὰ γαστέρα κεκενωμένοι. μήτε ἀγρυπνηκότες. σφαλερὸν γὰρ εἰ ἁπλῶς τις χρῷτο. τὸ δὲ θερμὸν λουτρὸν κράτιστόν ἐστι καὶ ἀσφαλέστατον. κόπους λύον. καὶ πληθώρας διαφοροῦν. καὶ ἐκθερμαῖνον. παρηγοροῦν τε καὶ μαλάσσον, καὶ πνεύματα διαχέον ἔνθα ἂν στηριχθῇ. καὶ ὑπνοποιὸν ὄν. καὶ εὐσαρκίαν παρέχον. ἔστι δὲ καὶ εὐμεταχείριστον παντὶ καὶ ἀνδρὶ καὶ γυναικί. καὶ παιδίῳ καὶ πρεσβύτῃ καὶ ἰδιώτῃ.

Περὶ τῶν αὐτοφυῶν λουτρῶν. νβ.

Τῶν αὐτοφυῶν λουτρῶν τὰ μέν ἐστι νιτρώδη, τὰ δὲ ἁλμυρά, τὰ δὲ στυπτηριώδη, τὰ δὲ θειώδη, τὰ δὲ ἀσφαλτώδη, τὰ δὲ χαλκώδη, τὰ δὲ σιδηρίζοντα. τὰ δὲ σύνθετα ἐκ τούτων. πάντων μὲν οὖν τῶν αὐτοφυῶν ὑδάτων ἡ δύναμίς ἐστι ξηραντικὴ καὶ θερμαντικὴ ἐπίπαν, καὶ μάλιστα ἁρμόδια ἁρμόζει τοῖς καθύγροις καὶ ψυχροῖς. ἤδη δὲ τὰ μὲν νιτρώδη καὶ ἅλας ἔχοντα, κεφαλῇ † κατάλληλα, καὶ θώρακι ῥευματιζομένῳ, καὶ στομάχῳ καθύγρῳ, καὶ ὑδρωπικοῖς. οἰδήμασί τε τοῖς ἐκ νόσων, καὶ τοῖς φλεγματικοῖς. τὰ δὲ στυπτηριώδη, αἵματός τε ἀναγωγαῖς καὶ ἐμετικῷ στομάχῳ, καὶ γυναιξὶν ἀτάκτως καθαιρομέναις, καὶ συνεχῶς ἐκτιτρωσκούσαις. τὰ θειώδη δέ, νεύρων μαλακτικὰ καὶ θερμαντικά, καὶ πόνων παρηγορητικά. στόμαχον δὲ ἐκθηλύνει, καὶ ἀνατρέπει. τὰ δὲ ἀσφαλτώδη, κεφαλήν τε συμπληροῖ, καὶ τὰ αἰσθητήρια κακοῖ. θερμαίνει δὲ ἐμμόνως, καὶ μαλάσσει σὺν χρόνῳ. τὰ δὲ χαλκίζοντα, στόματι καὶ παρισθμίοις καὶ σταφυλῇ καὶ ὄμμασι διαφερόντως ἐπιτήδεια. τὰ δὲ σιδηρίζοντα, στομάχῳ καὶ σπληνὶ χρήσιμα. δεῖ δὲ τὰς εἰς τὸ ὕδωρ ἐμβάσεις ἀθορύβως ποιεῖσθαι, ὅπως ἡ δύναμις ἀνειμένῳ τῷ σώματι προσιοῦσα ἐγκαταδύηται.

Περὶ τῆς ταῖς ὥραις ἁρμοττούσης διαίτης. νγ.

Καλῶς ἔχει καὶ πρὸς τὰς ὥρας ἀφορῶντας διαιτᾶσθαι. καὶ χειμῶνος μὲν πλείοσι τοῖς πόνοις χρῆσθαι, καὶ ἐσθίειν πλείονα. μάλιστα ὅταν ἡ κατάστασις ᾖ βορεία. νοτείας γὰρ οὔσης, πονεῖν μὲν ὁμοίως, ἐλάττονα δὲ σιτία καὶ ποτὰ προσφέρεσθαι. καὶ ὅλως τὸ σῶμα ξηρὸν ποιεῖν ἐν ὑγρᾷ τῇ ὥρᾳ παντελῶς. ὥσπερ ἐν τῇ ψυχρᾷ θερμότερον. ἐσθίειν δὲ κρεῶν θερμῶν καὶ λαχάνων. καὶ οἶνον πίνειν πλείονα. εἰσβάλλοντος δὲ τοῦ ἦρος, ὁ μέν τις δι' ἐμέτων, ὁ δέ τις διὰ γαστρὸς κενούσθω, καὶ ἄλλος φλέβα τέμνων ἀφαιρείτω τοῦ αἵματος. ὅπως ἂν ἕκαστος ἔθους καὶ προθυμίας ἔχων τυγχάνῃ. κατὰ δὲ τὸ θέρος ἀνάπαυσις συμφέρει, καὶ τῶν πόνων καὶ τῶν τροφῶν ἐλάττωσις. καὶ εἴδους εἶναι ψυχροτέρου τὰς τροφάς. τῷ τε ποτῷ δαψιλεῖ χρῆσθαι. καὶ πάντα ποιεῖν τὰ εἰς ἀνάψυξίν τε καὶ εἰς ὑγρότητα συντελοῦντα. κατὰ δὲ τὸ φθινόπωρον, ἐπειδὴ παντελῶς ἐστιν ἀνώμαλον καὶ ἄτακτον καὶ παντοδαπὰς ἐπιφέρον νόσους, πάνυ πεφυλαγμένως χρὴ διαιτᾶσθαι. μὴ περὶ τὰς ψύξεις ἁμαρτάνοντα. καὶ ἀφροδισίων καὶ ψυχροῦ πόματος ἐγκρατέστατον γιγνόμενον. καὶ τὸ μὲν κατὰ τὴν ἕω ψυχρὸν τοῦ ἀέρος, κατὰ δὲ τὴν μεσημβρίαν καυσῶδες, ἐκκλίνοντα. καὶ ὀπωρῶν δὲ μὴ ὑπερεμπλήσασθαι. λυπηρὰ γὰρ οὐ τῷ πλήθει μόνον ἀλλὰ καὶ τῇ κακοχυμίᾳ καὶ τῷ φῦσαν ἐμποιεῖν. καὶ γὰρ οὖν καὶ αἱ κράτισται τῶν ὀπωρῶν, σῦκα καὶ βότρυς, πνεύματα τίκτουσιν. εἰ μή τις αὐτῶν λαμβάνοι πρὸ τῶν ἄλλων σιτίων. καὶ φθείρουσι τὰς τροφάς. προλαμβανόμεναι δέ, οὔτε φυσῶσιν, οὔτε συνδιαφθείρουσι. ψυχροτέρου δὲ γινομένου τοῦ ἀέρος, κατὰ λόγον θερμαίνειν τὸ σῶμα, καὶ πάντα ποιεῖν, ὡς προσάγοντος τοῦ χειμῶνος. καλῶς δ' ἂν ἔχοι, μετὰ τὴν ἰσημερίαν καὶ κενώσει τινὶ χρῆσθαι τῶν εἰρημένων. ὅπως μηδὲν περιττὸν καταχεθὲν, ἐν τῷ χειμῶνι γένηται λυπηρόν.

Δίαιτα τοῖς ἐν ἀσχόλῳ βίῳ τυγχάνουσι. νδ.

Τὸν ἐν ἀσχόλῳ βίῳ τυγχάνοντα χρὴ σκοπεῖν. εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ἔθος ἔχων. εἴτε μὴ γυμναζόμενος μετρίως φέροιτο ῥᾷστον ἔθος, ὡς μὴ νοσεῖν, συνεχῶς εὐδιάπνευ

στος

στος ὤν. τὴν γὰρ τοιαύτην φύσιν τοῦ σώματος, οὐ χρὴ μετάγειν ἐφ' ἑτέραν ἔθος. οὐδὲ ὅλως, ὅσοι διὰ πολλοῦ νοσοῦσιν. εἰ δὲ συνεχῶς τις φαίνοιτο νοσῶν. εἰ μὲν πληθωρικῶς, σκοπὸς ἔστω σοι παρ' ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὅπως συμμέτρους ἕξει τοὺς χυμούς. εἰ δὲ διὰ κακοχυμίαν, ὅπως ἀρίστους. τῶν μὲν οὖν πληθώραν ἀθροιζόντων. τοὺς μὲν αὐτίκα, εἰς τὸ βαλανεῖον εἰσιόντας. ἔπειτα τρίψει τε χρῆσθαι, καί τι βραχὺ κινεῖσθαι πρότερον. ὅσοι δὲ ἔφθανον τὰ τοιαῦτα ποιεῖν. ἐπ' ὀλίγον μὲν αὐξῆσαι καὶ αὐτὰ ταῦτα συμβουλεύσωμεν. ἀφελεῖν δέ τι καὶ τῶν τροφῶν. καὶ τὰς ὀλιγοτρόφους προσφέρεσθαι. τῶν δὲ κακοχυμίαν ἀθροιζόντων, οὐχ εἷς ἐστὶν ὁ σκοπός. ὅτι μὴ δὲ τῆς κακοχυμίας ἰδέα μία. τινὲς μὲν γὰρ ψυχροτέραν καὶ φλεγματικωτέραν ἀθροίζουσι. τινὲς δὲ θερμοτέραν τε καὶ χολωδεστέραν. ὥσπερ ἄλλοι μελαγχολικωτέραν. ἀφεκτέον οὖν ἑκάστῳ σιτίων τε καὶ ποτῶν, ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν. ὑπὲρ πάντων δὲ τούτων, βοήθημα κοινὸν γαστρὸς ὑπαγωγή.

Ὁδοιποροῦσι δίαιτα. νε.

Πρὸς τὰς πορείας ῥᾷστα αὐτὶς ἀπαλλάττοι λιπαρὸς ὤν, καὶ μὴ συντόνως πορευόμενος. ἔτι δὲ τοῦ μὲν θέρους ταινίᾳ μαλακῇ, πλάτος ἓξ ἢ ἑπτὰ δακτύλους ἐχούσῃ, μῆκος δὲ μὴ δὲ ἔλαττον πέντε πηχῶν, κατειλημμένος τὴν ὀσφὺν ἄχρι τῶν λαγόνων. καὶ ἡ βακτηρία δὲ χρησίμη γίνεται παρὰ τὰς πορείας. ἐν μὲν γὰρ τοῖς καταντέσι προβαλλόμενος, ἴσχει τὸ σῶμα προπετὲς γιγνόμενον καθάπερ τινὶ κοντῷ. ἐν δὲ τοῖς ἀνάντεσι ἐπερειδόμενος, ῥᾷον ποιεῖ τὴν εἰς τὸ πρόσω αὐτοῦ κίνησιν τοῦ σώματος δῆλον. ἀναπαύσεως μὲν οὖν γιγνομένης ἐν ταῖς πορείαις. ἄλειμμα, καὶ μικρὰ σίτου προσφορὰ τῶν θερινῶν τινὸς, καὶ πόμα μέτριον ἁρμόττει ταύτην τὴν ὥραν. καὶ μετὰ τὸ ἄριστον ἀνάπαυσις πρὸ τοῦ πορεύεσθαι. συναίρειν δὲ ἀναγκαζομένῳ καὶ διψῶντι, λεπτὸν ἄλφιτον ἐφ' ὕδατι μεθ' ἁλὸς μετρίου πίνειν. τὰ δὲ καύματα καὶ τοὺς ἡλίους εὐλαβεῖσθαι δεῖ. μηδὲ γυμνὸν ἡλιούμενον τὸ σῶμα, ἀλλὰ σκεπασάμενον, ὅπως μὴ σκληρύνηται ξηραινόμενον παρὰ τὴν πορείαν. οὕτω γὰρ ἄν ὅ τε κόπος ἧττον συμβαίνοι. καὶ τῶν εἰρημένων παθῶν οὐδὲν ἂν γένοιτο ὁμοίως. τοῦ δὲ χειμῶνος ψυχροῦ ὄντος πρὸ τῆς πορείας λαπαχθέντα καὶ ἀλειψάμενον, σιτίων τῶν χειμερινῶν τι πολὺ, καὶ πόμα μικρὸν ἁρμόζει λαβεῖν. καὶ εἰλίξασθαι ταινίᾳ μακροτέρᾳ, μὴ μόνον τὴν ὀσφὺν ἀλλὰ καὶ τὴν ῥάχιν καὶ τὸ στῆθος εὖ καὶ καλῶς. διαναπαυόμενος δὲ, ἐν τῇ τοιαύτῃ παρηγορίᾳ γιγνομένου ψύχους ἱκανοῦ, μήτε ἀλείφεσθαι, μήτε σιτίον μήτε πόμα λαμβάνειν βέλτιόν ἐστι. μήτε ἄλλην τινὰ παρηγορίαν, εἰ μέλλοι τις αὐτοῦ καταμένειν. μετὰ δὲ τὰς πορείας τὰς μακρὰς, καὶ τοὺς ἄλλους πόνους τοὺς ἰσχυροὺς, κἂν μὴ κοπιᾷ τις, δεῖ θεραπεύειν αὐτοὺς καθάπερ τοὺς κοπιῶντας. ἧττον γὰρ οὕτως ἀποβαίνοι τὸ δυσχερές.

Πλοιζομένοις δίαιτα. νϛ.

Πρὸς τοὺς συμβαίνοντας ἐμέτους τοῖς πλοιζομένοις. τοῖς μὲν πρώτοις γιγνομένοις οὔτε ῥᾴδιον οὔτε χρήσιμον ἀντιτάσσεσθαι. πάντα γὰρ ὡς ἐπὶ τὸ πολὺ εἴωθεν ὠφελεῖν. δεῖ δὲ μετὰ τὸν ἔμετον μὴ πολλὰ μηδὲ τὰ τυχόντα βρώματα προσφέρεσθαι. ἀλλ' ἢ τῶν φακῶν χρῆσθαι ξηρῶν καὶ κατέφθῳ, γλήχωνος σμικρὸν ἔχοντι. ἢ ἄρτῳ κατατετριμμένῳ ἐν οἴνῳ ὑδαρεῖ καὶ εὐώδει. τῷ δὲ ποτῷ χρῆσθαι βραχεῖ. καὶ τούτῳ ἢ οἰναρίῳ, παντελῶς ὑδαρεῖ. ἢ ὀξειδίῳ τῷ ἀπὸ τοῦ μέλιτος. τοὺς δὲ φακοὺς ἑψῆσαι δεήσει. κἄπειθ' ὅταν μαλακοὶ γένωνται, τρίβειν λείους. εἶτα ξηρᾶναι. κἄπειθ' οὕτως συνθεῖναι εἰς κεραμεοῦν ἀγγεῖον. ἐπὶ πλείω δὲ χρόνον πλειόνων γιγνομένων ἐμέτων. τῇ ὑποστολῇ τροφῆς σφοδροτέρᾳ χρηστέον, καὶ αὐτῷ ποτῷ βραχεῖ, ἢ τῷ ὀξειδίῳ τῷ ἀπὸ τοῦ μέλιτος μεθ' ὕδατος, θύμου ἐν αὐτῷ ἀποβεβρεγμένου. ἢ γλήχωνι καὶ ὕδατι μετὰ ἀλφίτου παιπάλης. ἢ τῷ οἰναρίῳ τῷ εὐώδει, μετὰ παιπάλης ὑδαρεῖ ὡσαύτως. πρὸς τὰς δυσχερεῖς ὀσμὰς τὰς ἐν τοῖς πλοίοις. ἢ μῆλα δέοι ἂν ὀσφραίνεσθαι τὰ κυδώνια, ἢ τὸν θύμον, ἢ τὸν γλήχωνα. δεῖ δὲ καὶ βλέπειν, ὅτι ἥκιστα εἰς τὴν θάλασσαν, ἕως εἰς τὸν ἐθισμὸν ἔλθῃ τῆς ἐν τῷ πλοίῳ διατριβῆς. καὶ τοῖς ὕδασι δὲ προσέχειν, ὅπως μήτε θολερὰ μήτε δυσώδη μήτε ἁλυκὰ ἔσται.

Περὶ σαρκῶν καθαιρέσεως. νζ.

Ὅταν εἰς πολυσαρκίαν ἄμετρον ἐκτραπῇ τὸ σῶμα, τήκειν αὐτὸ καὶ καθαιρεῖν χρή. δέδεικται δὲ ἡ θερμοτέρα κρᾶσις ἰσχνὸν ἐργαζομένη τὸ σῶμα. τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τοῦ παχέων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δὲ ὡς ὀξέα γυμνάσια, καὶ δίαιτα λεπτύνουσα, καὶ φάρμακα τοιαῦτα, καὶ τῆς ψυχῆς αἱ φροντίδες, ἀποφαίνουσι τήν τε κρᾶσιν ξηροτέραν, καὶ δι' αὐτὴν τὸ σῶμα λεπτότερον. τὰ μὲν οὖν τῆς λεπτυνούσης διαίτης πρόδηλα. φάρμακα δὲ τὰ σφοδρότερα. πηγάνου τὸ σπέρμα, καὶ μάλιστα τοῦ ἀγρίου σὺν τοῖς κορύμβοις. ἀριστολοχία στρογγύλη, καὶ τὸ λεπτὸν κενταύρειον. ἥτε γεντιανὴ καὶ τὸ πόλιον. ὅσα τε τῶν οὐρητικῶν ἰσχυρότερα καθάπερ τὸ πετροσέλινον. ἕκαστον γὰρ τῶν τοιούτων καὶ αὐτὸ καθ' ἑαυτὸ καὶ σὺν ἀλλήλοις πάντα λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὰ καὶ κενῶσαι. ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἄλες ἱκα

νῶς λεπτύνουσι. καὶ αὐτὴ δὲ ἡ θηριακή. διαφορεῖ δὲ καὶ λεπτύνει συγχριόμενον ἔλαιον ἐν ᾧ ἡψημένης σικύου τοῦ ἀγρίου ῥίζης, καὶ ἀλθαίας καὶ γεντιανῆς. πάνακος ῥίζης καὶ ἀριστολοχίας. καὶ τὸ πόλιον δὲ, καὶ τὸ κενταύρειον. δεῖ δὲ τὴν τροφὴν οὐκ εὐθὺς ἐπὶ λουτροῖς δοῦναι, ἀλλὰ καὶ κοιμᾶσθαι πρότερον ἐπιτρέπειν. κάλλιον δ' ἂν εἴη καὶ τὸ ὕδωρ τὸ ἐν τῷ λουτρῷ τῶν διαφορητικῶν. εἰ μὲν αὐτοφυὲς ἔχοιμεν, οἷόν ἐστι τὸ ἐν τῇ μιτυλήνῃ. εἰ δὲ μὴ, ἅλας αὐτῷ θαλασσίῳ ὕδατι μιγνύειν. καὶ οἴνοις χρῆσθαι τοῖς λεπτοῖς καὶ λευκοῖς. καὶ ἡ ξηροτριβία δὲ διὰ ἐκμαγείων παχυτέρων λεπτύνειν ἱκανή. δεῖ δὲ πρὸς λόγον τῶν γυμνασίων ἐλάττω προσφέρειν τὰς τροφάς. ὠφελεῖ καὶ ἡλίωσις τοὺς κατασάρκους. χρὴ δὲ μήτε προπίνειν αὐτοὺς, καὶ μονοσιτεῖν δὲ ἄμεινον. καὶ ἀνατρίβειν δὲ τὸ σῶμα νίτρῳ καὶ ἁλσὶ τραχυτέροις. τὸ μὲν οὖν πολὺ νίτρον ἐν λουτροῖς λεπτύνει. τὸ δὲ ὀλίγον ἐρεθισμός ἐστιν εἰς εὐτροφίαν. λεπτύνει δὲ καὶ τὸ οὕτω μεμιγμένον. πεπέρεως καὶ πετροσελίνου διπλοῦν. ἀσάρου δὲ καὶ ἀνίσου ἥμισυ. τοῦτο δὲ καὶ οὐρηθῆναι ἀγαθὸν καὶ εἰς διαχώρησιν.

Πῶς ἀνατρέφειν χρὴ τοὺς καταισχνωθέντας. νη.

Ὅσους δὲ ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους. οἶνον μὲν τὸν παχύν. ἐδέσματα δὲ παχύχυμα. καὶ γυμνάσια δὲ τὰ βραδέα. καὶ τρῖψιν μετρίαν. καὶ ἁπλῶς εἰπεῖν ἅπαντα τοῖς προειρημένοις τὰ ἐναντία. ἐπιτήδειον δέ ἐστιν αὐτοῖς καὶ τὸ πιττοῦσθαι διὰ ἡμερῶν τριῶν ἢ τεττάρων. εἰ δὲ νῆστις λούοιτο, πρὸ τοῦ λουτροῦ χρὴ συνδόσιν ἀνατρίβειν τὸ σῶμα μέχρις ἂν φοινιχθῇ. κἄπειτα σκληρᾷ μὴ πολὺ πιλοῦντας, τὸ δέρμα πυκνὸν καὶ σκληρὸν ἐργάζεσθαι. δεῖ δὲ καὶ ὀξυθυμίας ἐμποιεῖν τοῖς ἀχροοῦσί τε καὶ ἀτροφοῦσι καὶ συγκινήσεις ψυχικάς.

Πῶς ἄν τις ἰάσαιτο τὰ καταισχνωθέντα μόρια. νθ.

ἰχνῶν, οἱ πλεῖστοι Τῶν δὲ γινομένων ἐν μέρεσί τισιν †ἰσχνοτήτων, αἱ πλεῖσται διὰ πολυχρόνιον ἡσυχίαν αὐτῶν ἢ καταγματικὸν ἐπιδέσεως τρόπον εἰς τὸ πάθημα τοῦτο ἔρχονται. χρὴ οὖν ῥωννύναι μὲν τὴν ἐν τῷ μορίῳ δύναμιν. ἐπισπᾶσθαί τε αἷμα δαψιλὲς, ῥίψεσί τε χρωμένους μετρίαις, ἐπιτηδείαις τε κινήσεσι, καὶ καταχύσει θερμοῦ ὕδατος μετρίᾳ. ταῦτα δὲ ποιεῖν μέχρις ἂν ἐρυθρὸν γενόμενον μετεωρισθῇ. σκοπούς καὶ πρὶν συμπέσῃ παύεσθαι. δεῖ δὲ καὶ τῇ πιττούντων χρῆσθαι ἐπὶ τοὺς εἰρημένους †τόπους. ὅταν δὲ αἰσθήσῃ, ψυχροτέρου τοῦ μορίου. συνδόσι τε ἀνατρίβειν αὐτὸ καί τινι φαρμάκῳ θερμαίνοντι. ἐχρησάμην δ' ἐνίοτε καὶ θαψίᾳ, ποτὲ μὲν μετὰ μέλιτος ἐπιχρίων. ἔστι δ' ὅτε καὶ διὰ κηρωτῆς.

Διάγνωσις ἀρίστης κράσεως. ξ.

Εὐκρατότατός ἐστιν ἄνθρωπος ὅταν τὸ σῶμα φαίνηται μέσος ἀκριβῶς ἁπάντων τῶν ἄκρων, ἰσχνότητος καὶ παχύτητος. μαλακότητός τε καὶ σκληρότητος. καὶ θερμότητος καὶ ψυχρότητος. καὶ ὑγρότητος καὶ ξηρότητος. καὶ συνελόντι φάναι τάς τε φυσικὰς ἐνεργείας, καὶ τὰς ψυχικὰς ἀμέμπτους ἔχει. μέσος δέ ἐστι καὶ ψιλοῦ τριχῶν καὶ δασέως, καὶ μέλανος καὶ λευκοῦ τὴν χροιάν. καὶ τρίχας ἔχει, παῖς μὲν ὢν πυρροτέρας μᾶλλον ἢ μελανοτέρας. ἀκμάζων δὲ, ἔμπαλιν.

Διάγνωσις δυσκράτων σωμάτων. ξα.

Ὅσα δὲ σώματα τοῦ συμμέτρου θερμότερα τυγχάνει. τούς τε ὀδόντας φύσει θᾶττον. αὐξηθήσεται ὁμοίως. φαίνεται δὲ εἴπου ἁπτομένοις θερμότερα καὶ πιμελῆς ἧττον ἔχοντα. τῇ δὲ χροιᾷ ἐξέρυθρα καὶ μελανότριχα. καὶ μετρίως δασέα. καὶ εὐρείας ἔχοντα τὰς φλέβας. εἰ δ' ἅμα τις εἴη πιμελώδης τε καὶ παχὺς, καὶ τὰς φλέβας εὐρείας ἔχοι. δι' ἔθος οὗτος, οὐ φύσει πιμελώδης ἐγένετο. ψυχροτέρας δὲ κράσεως σημεῖα. τὸ ψυχρὸν καὶ ἁπτομένοις. τὸ ἄτριχον. τὸ πιμελῶδες. ἡ χρόα δὲ τοῖς τοιούτοις ἅμα ταῖς θριξὶν πυρροτέρα. πολλῆς δὲ τῆς ψύξεως οὔσης, πελιδνή πως ἐστὶ καὶ μολιβδόχρους. καὶ στενὰς δὲ ἔχουσι τὰς φλέβας. ἰσχνὸς δὲ ὑπάρχων, οὐδέ τις ἐξ ἀνάγκης τοιοῦτος ἀλλὰ διὰ ἔθος ἐγένετο. ἡ δὲ ξηρὰ σκληροτέρα τέ ἐστι καὶ ἰσχνοτέρα τῆς εὐκράτου, καὶ δασεῖα. ἡ μὲν οὖν σκληρότης ἀχώριστός ἐστι τελέως τῆς ξηρᾶς κράσεως. ἡ δὲ ἰσχνότης οὐ μόνον ἕπεται ταῖς συμφύτοις κράσεσιν ἀλλὰ καὶ ταῖς ἐπικτήτοις ἐξ ἔθους μακροῦ γινομέναις. σημεῖον δὲ τῆς σκληρότητος. καὶ τὸ, δυσκίνητον καὶ ξηρὸν καὶ αὐχμηρὸν ὑπὸ τῶν ξηραινόντων γίνεσθαι σῶμα. ἡ ὑγρὰ δὲ, τὰ μὲν ἄλλα παραπλήσιός ἐστι τῷ εὐκράτῳ, ἀλλὰ μαλακωτέρα δὲ καὶ πολυσαρκωτέρα. καὶ ταύτης ἀχώριστός ἐστιν ἡ μαλακότης, ὥσπερ γε καὶ παχύτης, οὐ τῇ ἐμφύτῳ μόνον ἑπομένη κράσει, ἀλλὰ κἂν ἐξ ἔθους τινὸς μακροῦ λάβῃ τὴν σύστασιν. ἴδιον δέ ἐστιν ὑγρότητος, καὶ τὸ βαρύνεσθαι τὸ σῶμα ὑπὸ τῶν ὑγροτέρων. ἡ δὲ θερμὴ καὶ ξηρὰ. δασεῖα μὲν ἐσχάτως ἐστίν. τὰς δὲ τῆς κεφαλῆς τρίχας, εὐαυξεστάτας τε καὶ μελαίνας καὶ πολλὰς ἔχει ἐπὶ τὴν νέαν ἡλικίαν. ἐπὶ δὲ προϊόντι τῷ χρόνῳ, καὶ φαλάκρωσις ἀκολουθεῖ. καὶ αἱ φλέβες δὲ εὐρεῖαι τυγχάνουσιν. ὥσπερ καὶ ἀρτηρίαι μεγάλαι τέ εἰσιν ἅμα καὶ σφοδρότατα σφύζουσι.

καὶ δὴ καὶ εὔτονον καὶ διηρθρωμένον καὶ μυῶδες καὶ ἀπίμελον ὅλον τὸ σῶμα. καὶ τὸ δέρμα σκληρόν τε καὶ μελάντερον. ψυχρᾶς δὲ οὔσης καὶ ὑγρᾶς, ὁ μὲν θώραξ στενός ἐστι, καθάπερ οὖν καὶ πᾶν τὸ σῶμα ψιλὸν τριχῶν. ἁπαλὸν καὶ λευκὸν τὸ δέρμα, καὶ ὑπόπυῤῥον ταῖς θριξὶ, καὶ μάλιστα ἐν νεότητι. καὶ οὐ φαλακροῦνται γηρῶντες. εὐθὺς δὲ καὶ δειλοὶ καὶ ἄτολμοι καὶ ὀκνηρότεροι. καὶ ἀδήλους ἔχοντες τὰς φλέβας, καὶ παχεῖς, καὶ πιμελώδεις. καὶ μηροῖς καὶ μυσὶν ἀόριστοι καὶ ἀδιάρθρωτοι, καὶ βλαισοὶ γίνονται. τῆς ὑγρότητος δὲ καὶ τῆς ψυχρότητος ἐπὶ πλεῖον αὐξηθείσης, ἡ χροιὰ ἅμα ταῖς θριξὶ πυῤῥά. κἂν ἐπὶ πλεῖστον αὐξηθῶσι, πελιδνή. ἡ δὲ θερμὴ καὶ ὑγρὰ κρᾶσις, μαλακωτέρα καὶ πολυσαρκοτέρα τῆς ἀρίστης κράσεώς ἐστιν. ἐπὶ πλεῖστον δὲ αὐξηθεῖσα τοῖς σηπεδονώδεσιν ἑτοίμως ἁλίσκεται νοσήμασιν. εἰ δὲ ὀλίγῳ μὲν ὑγροτέρα, παμπόλλῳ δὲ εἴη θερμοτέρα, μαλακώτεροι μὲν ὀλίγῳ τῶν συμμέτρων οἱ τοιοῦτοι, καὶ σαρκωδέστεροι. λασιώτεροι δὲ οὐκ ὀλίγῳ. καὶ μὲν δὴ καὶ ἁπτομένοις, οὐκ ὀλίγῳ θερμότεροι. εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατ᾽ ἴσον αὐξηθείη, φύσει σκληρὸν καὶ ἰσχνὸν ἔχουσι τὸ σῶμα καὶ λευκὸν, ἄμυόν τε καὶ ἄναρθρον, καὶ ἄτριχον. ἁπτομένοις δὲ ψυχρόν. ἡ πιμελὴ δὲ ὅμως αὐτοῖς καίτοι ἰσχνοῖς οὖσι παρέσπαρται τῇ σαρκί. τὰ δὲ τῶν τριχῶν τῆς χροιᾶς ἀνάλογον κατὰ μέτρον τῆς ψυχρότητος. τὸ δὲ τῆς ψυχῆς ἦθος, ἄτολμον καὶ δειλὸν καὶ δύσθυμον. συλλήβδην δὲ εἰπεῖν, ἐπὶ τῶν κατὰ συζυγίαν κράσεων, ἀεὶ τῆς ἐπικρατούσης ποιότητος ἐπικρατήσει τὰ γνωρίσματα.

Περὶ διαπλάσεως τῆς κεφαλῆς. § β.

Ἡ μὲν μικρὰ κεφαλὴ μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον σημεῖον. ἡ μεγάλη δὲ, οὐκ ἐξ ἀνάγκης ἀγαθή. εἰ μὲν γὰρ διὰ ῥώμην ἐγγίνεται τῆς ἐγχωρίου δυνάμεως, ὕλην χρηστήν τε καὶ πολλὴν δημιουργούσης, ἀγαθὸν σημεῖον. εἰ δὲ διὰ μόνης τῆς ὕλης πλῆθος, οὐκ ἀγαθόν. διοριστέον οὖν ἐστιν αὐτὰ κατὰ σχῆμα, καὶ τοῖς ἀπ᾽ αὐτῆς πεφυκόσι. κατὰ σχῆμα μὲν, εἰ εὔρυθμος. ἀεὶ γὰρ ἀγαθὸν τοῦτο σημεῖον. τοῖς δὲ ὑπ᾽ αὐτοῖς πεφυκόσιν, εἰ ἄριστα διάκειται. καὶ εἰ τὸ νευρῶδες αὐτὸ κατὰ σύμπαν, εὐτραφές τέ ἐστι καὶ εὔτονον. καὶ εἰ δριμὺ δεδορκότες εἶεν οἱ ὀφθαλμοί. αἱ δὲ φοξαὶ, ἐλλείπουσαν ἔχουσι τὴν κατ᾽ ἰνίον ἢ μέτωπον ἐξοχὴν, ἢ ὑπὲρ τὸ προσῆκον ηὐξημένην. ὡς τὸ πολὺ μὲν οὖν ὥσπερ τὴν μεγάλην, οὕτω καὶ ταύτας εὑρήσομεν μεμπτάς. ἐν δὲ κατὰ σπάνιον καὶ τούτων γίνονταί τινες ἀγαθαὶ, τῆς διαπλαττούσης δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης.

Ἐγκεφάλου κράσεως γνωρίσματα. § γ.

Ὁ μὲν οὖν εὔκρατος ἐγκέφαλος μετρίως ἔχει, ταῖς ψυχικαῖς ἐνεργείαις καὶ τοῖς περιττώμασιν. ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν ἔξωθεν. τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς βρέφεσι μὲν οὖσιν, ὑπόπυῤῥοι. παισὶ δὲ, ὑπόξανθοι. τελειουμένοις δὲ γίνονται ξανθαὶ, μεταξύ πως οὖσαι τῶν τε ἀκριβῶς οὔλων καὶ τῶν ἁπλῶν. οὐ μὴν οὐδὲ φαλακροῦνται ῥᾳδίως. εἰ δὲ θερμότερος εἴη τοῦ συμμέτρου, καὶ θερμότερα καὶ ἐρυθρότερα τὰ περὶ τὴν κεφαλὴν ἔσται σύμπαντα. καὶ αἰσθηταὶ μὲν τοῖς ὀφθαλμοῖς φλέβες. αἱ τρίχες δὲ τούτοις γεννηθεῖσι ταχέως ἐπὶ τῆς κεφαλῆς †φύονται. πολλῷ μὲν οὖσι θερμοτέροις, μέλαιναι καὶ ἰσχυραὶ, καὶ οὖλαι. μὴ πολλῷ δὲ, ὑπόξανθοι μὲν τὸ πρῶτον. εἶτα μελαίνονται. προϊούσης δὲ τῆς ἡλικίας φαλακροῦνται. περιττώματα δὲ τούτοις ἐστὶν ὅτε βραχέα. καὶ ἀμέμπτως ὑγιαίνουσι. πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων ἐδεσμάτων τε καὶ πομάτων, καὶ ὀσμῶν. καὶ τῶν ἔξωθεν προσπιπτόντων. βραχέσιν ὕπνοις αἱ τοιαῦται κράσεις ἀρκοῦνται, πρὸς τὸ μὴ δὲ βαθεῖς αὐτοὺς γίνεσθαι. ψυχροτέρου δὲ ἢ προσῆκεν ἐγκεφάλου γνωρίσματα. περιττώματα πλείω, κατὰ τὰς οἰκείας ἐκροάς. τρίχες δὲ εὐθεῖαί τε καὶ πυῤῥαὶ καὶ μόνιμοι. καὶ ῥᾳδίως ὑπὸ τῶν ψυχρῶν αἰτιῶν βλάπτονται. καὶ κατάῤῥοις καὶ κορύζαις συνεχῶς ἁλίσκονται. καὶ αἱ τῶν ὀφθαλμῶν φλέβες, ἀόρατοι καὶ ὑπνωδέστατοί πως εἰσί. ξηροτέρου δὲ ἐγκεφάλου γνωρίσματα, τὸ ἀπέριττον ἐν ταῖς ἐκροαῖς. καὶ τὸ τῶν αἰσθήσεων ἀκριβές. ἀγρυπνητικοί τε εἰσί. καὶ τρίχας ἰσχυροτάτας μὲν, καὶ τάχιστα φύουσι γεννηθέντες, οὔλας μᾶλλον. φαλακροῦνται δὲ ἐν τάχει. ὑγροτέρου δὲ αἱ τρίχες, ἁπλαῖ καὶ οὐδ᾽ ὅλως φαλακροῦνται. καὶ αἱ αἰσθήσεις ἀχλυώδεις εἰσί. καὶ περιττωμάτων πλῆθος. καὶ ὕπνοι πολλοὶ καὶ βαθεῖς. θερμοῦ δὲ καὶ ξηροῦ τυγχάνοντος ἀπέριττοί τε εἰσὶ καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι καὶ ἀγρυπνητικώτατοι. καὶ φαλακροῦνται ῥᾳδίως. ἡ πρώτη μέντοι γένεσις αὐτοῖς τῶν τριχῶν ταχίστη τέ ἐστι καὶ εὐτραφεστάτη. μελανότριχές τέ εἰσι καὶ θερμοὶ ψαυόντων τῆς κεφαλῆς. ἐρυθροί τε μέχρι τοῦ τῆς ἀκμῆς χρόνου. εἰ δὲ ὑγρότης προσείη τῇ θερμότητι, βραχὺ μὲν ὑπερβαλλουσῶν ἀμφοῖν τὸ σύμμετρον, εὔχροια καὶ θερμότης. καὶ ἐν τοῖς ὀφθαλμοῖς φλέβες μεγάλαι. περιττώματα δὲ πλείω, μετρίως πεπεμμένα. καὶ τρίχες εὐθεῖαι καὶ ὑπόξανθοι καὶ οὐ φαλακροῦνται ῥᾳδίως. πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων. ὅτ᾽ ἂν δὲ ἐπὶ πλέον ὑγρό-

γίνονται

τητος καὶ θερμότητος ἥκωσι. νοσώδης ἡ κεφαλὴ γίνεται. καὶ ῥᾳδίως ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων βλαπτομένη. ὕπνου δὲ ἐγρηγορέναι διώκοντες μέχρι πλείονος. ὕπνοι ἑαυτῶν δὲ φαντασιώδεις τοῖς ὀνείρασιν εἰσὶ, καὶ ἡ ὄψις ἀχλυώδης. καὶ αἱ αἰσθήσεις οὐκ ἀκριβεῖς. αἱ ψυχραὶ δὲ ἅμα καὶ ξηραὶ κράσεις ἐγκεφάλου, ψυχρὰν καὶ ἄχρουν ἀποτελοῦσι τὴν κεφαλήν. εἰσὶ δὲ καὶ ἄφλεβοι τοὺς ὀφθαλμούς. καὶ ὑπὸ τῶν ψυχρῶν † αἰτίων ἑτοίμως βλάπτονται. διὸ καὶ ἀνωμάλως ὑγιαίνουσιν. αἱ δὲ αἰσθήσεις αὐτοῖς ἐν νεότητι μὲν ἀκριβεῖς εἰσὶ καὶ ἀμέμπτοι. προϊοῦσι δὲ ἀπομαραίνονται ταχέως. καὶ, συλλήβδην εἰπεῖν, ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντά εἰσιν. αἱ τρίχες αὐτοῖς γεννηθεῖσι μὲν αὐξάνονται μόγις. ἄτροφοι δὲ καὶ πυρραί. αἱ δ' ὑγραὶ καὶ ψυχραὶ κράσεις τοῦ ἐγκεφάλου κωματώδεις ἐργάζονται καὶ ὑπνηλούς. καὶ φαύλους ταῖς αἰσθήσεσι. καὶ περιττωματικούς. εὐψύκτους τε καὶ εὐπληρώτους τὴν κεφαλὴν καὶ εὐαλώτους κατάρροις καὶ κορύζαις. οὐ μὴν φαλακροῦνταί γε οἱ τοιοῦτοι.

σιτίων

Γαστρὸς κράσεως γνωρίσματα. κεφ. δ.

Γαστρὸς δὲ γνωρίσματα τῆς μὲν φύσει ξηροτέρας. εἰ ταχέως διψώδεις γίγνοιντο. καὶ ὀλίγον αὐτοῖς ἀρκεῖ ποτόν. καὶ βαρύνοιντο τῷ πλείονι. καὶ κλύδωνας ἴσχοιεν ἢ ἐπιπολάζοι τὸ περιττὸν αὐτοῖς. ἐδέσμασί τε χαίροιεν ξηροτέροις. ὑγροτέρας δὲ, εἰ μήτε διψώδεις γίγνοιντο. καὶ τὸ πλέον ὑγρὸν ἀλύπως φέροιεν. ἐδέσμασί τε χαίροιεν ὑγροτέροις. ἡ δὲ θερμοτέρα φύσει γαστὴρ. πέπτει μὲν ἄμεινον ἢ ὀρέγεται. καὶ μᾶλλον ὅσα σκληρὰ καὶ δυσαλλοίωτα. χαίρει δὲ τοῖς πολλοῖς ἐδέσμασί τε καὶ πόμασιν, οὐδὲ ὑπὸ τῶν ψυχρῶν οὐδὲν βλάπτεται κατά γε τὴν ἔμμετρον χρῆσιν. ἡ δὲ ψυχροτέρα φύσει γαστὴρ, ὀρεχθῆναι μὲν ἀγαθή. πέψαι δὲ οὐκ ἀγαθή. καὶ μάλιστα ὅσα δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων εἰσίν. ὀξύνεται γοῦν ἑτοίμως ἐν αὐτῇ. καὶ χαίρει μὲν τοῖς ψυχροῖς. βλάπτεται δὲ ῥᾳδίως, ἀμετροτέρων † χρωμένων. αἱ μὲν διὰ νόσον ἐν τῇ γαστρὶ δυσκρασίαι, ταύτῃ διαφέρουσι τῶν ἐμφύτων, † τῇ τῶν ἐναντίων ἐπιθυμίᾳ, οὐ τῶν ὁμοίων. εἰ μὲν οὖν πέπτει καλῶς ἡ γαστὴρ, εὔκρατος. εἰ δὲ οὐ πέπτει, δύσκρατος. ἀλλ' εἰ μὲν κνισσώδεις ἐργάζοιτο τὰς ἐρυγάς, ἄμετρον αὐτῇ καὶ πυρῶδες τὸ θερμόν. εἰ δὲ ὀξώδεις, τοὐναντίον. καὶ τῶν μὲν καὶ τὰ δυσκατέργαστα καλῶς πεττόντων, ἄμετρον. ἀσθενὲς δὲ, τούτων μὴ ἀπεπτούντων, ἰχθῦς δὲ πεττόντων. ἐπισκέπτεσθαι δὲ χρὴ, μὴ διά τινα χυμὸν ἑτέρωθεν ἐπιρρέοντα, τὸ σύμπτωμα γίνεται. τοῖς μὲν γὰρ φλεγματώδεσιν, ὀξυρεγμίαι γίγνονται. τοῖς δὲ χολώδεσι, κνισσώδεις καὶ βρομώδεις, ἤ τινες ἀλλόκοτοι ποιότητες. κοινὰ δὲ συμπτώματα, ναυτίαι. ἀλλ' εἰ μὲν ἐμπλέοιεν οἱ μοχθηροὶ χυμοὶ τῷ κύτει τῆς γαστρὸς, ἐπιπολάζουσιν ἐμούμενοι. παρέπεσι δὲ μάτην ἀπὸ κεναῖς ἐμέτων ναυτίαις οἱ τῷ σώματι τῆς γαστρὸς περιεχόμενοι κατὰ τοὺς χιτῶνας αὐτῆς.

χρωμένων
τῇ τῶν ἐναντίων
ἐπιθυμοῦσι

Πνεύμονος διάγνωσις. κεφ. ε.

Οὐ μόνον ἡ κοιλία διψώδεις τε καὶ ἀδίψους ἐργάζεται, καὶ ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικούς, ἀλλὰ καὶ τὰ κατὰ θώρακα σπλάγχνα, καρδία τε καὶ πνεύμων, καὶ ἧπαρ. καὶ μὲν δὴ καὶ πίνοντες οὐκ αὐτίκα παύονται. καὶ τὸ ψυχρὸν πρὸς ἴασιν αὐτῶν μᾶλλον τοῦ δίψους, ἤπερ τὸ πολύθερμον. ἀναψύχει δὲ αὐτοὺς καὶ ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος. μηδὲν ὧδε κουφίζων τοὺς ἐκ γαστρὸς διψώδεις. οὕτω δὲ καὶ οἱ ἐναντίως ἔχοντες ὑπὸ τῆς ψυχρᾶς εἰσπνοῆς, αἰσθητῶς ἀνιῶνται. καὶ μέγιστον δὲ γνώρισμα τῆς ἐν πνεύμονι ψυχρότητος. ἀλλὰ καὶ φλέγμα ἀναχρεμπτόμενοι, μετὰ βηχὸς ἀνάπτυσιν. αἱ ξηρότητες δὲ τοῦ πνεύμονος, ἀπείρητοί τε εἰσὶ καὶ καθαραὶ τοῦ φλέγματος. καθάπερ αἱ ὑγρότητες περιττωματικαὶ, ἀλαμπῆ μὲν ἐργάζονται καὶ βραγχώδη τὴν φωνήν. ἐν βηχὶ δὲ αὐτοῖς περιττώματα, μείζονα καὶ ὀξύτερον φθέγξασθαι πειρωμένοις.

Καρδίας γνωρίσματα. κεφ. ς.

Καρδίας δὲ τῆς μὲν θερμοτέρας σημεῖα. μέγεθος ἀναπνοῆς, καὶ σφυγμοῦ τάχος, καὶ πυκνότης ὀξεῖα, εὐτολμία τε καὶ μανιώδης θρασύτης. ἔστι δὲ καὶ λάσιος αὐτοῖς ὁ θώραξ. καὶ μάλιστα τὰ στέρνα. καὶ τῶν καθ' ὑποχόνδριον ὅσα τούτοις πλησίον, ὡς ἐπὶ τὸ πολὺ, καὶ τὸ πᾶν σῶμα θερμόν. πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὸ ἧπαρ. καὶ μὲν γε γὰρ ἡ τοῦ θώρακος εὐρύτης, θερμότητος γνώρισμα. πλὴν εἰ μὴ κἀνταῦθα μεγάλως ὁ ἐγκέφαλος ἀντιπράξοι. ἡ δὲ ψυχροτέρα καρδία, σφυγμοὺς ἔχει μικροτέρους τῶν συμμέτρων, δειλοί τε εἰσὶ τὴν φύσιν οἱ τοιοῦτοι καὶ ἄτολμοι. καὶ μάλιστα εἰ ψιλὸν αὐτοῖς τὸ στέρνον εἴη. ἡ δὲ ξηροτέρα καρδία τοὺς σφυγμοὺς ἐργάζεται σκληρούς. καὶ τὸν θυμὸν οὐχ ἕτοιμον, ἄγριον δὲ καὶ δύσπαυστον. ὡς τὰ πολλὰ δὲ καὶ ὅλον τὸ σῶμα ξηρότερον, εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. ὑγροτέρας δὲ σημεῖα, σφυγμοὶ μαλακοί. καὶ τὸ ἦθος εὐκίνητόν τε πρὸς ὀργὴν καὶ εὐκατάπαυστον. καὶ τὸ σύμπαν ὑγρότερον σῶμα. πλὴν εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. θερμῆς δὲ καὶ ξηρᾶς, οἱ μὲν σφυγμοὶ σκληροὶ καὶ μεγάλοι καὶ ταχεῖς καὶ πυκνοί. καὶ αἱ ἀναπνοαὶ, μεγάλαι τε καὶ ταχεῖαι καὶ πυκναί.

πυκναί. καὶ πάντων εἰσὶ λασιώτατοι κατὰ τὸ στέρνον εἰσὶ καὶ τὸ ὑποχόνδριον. εἰς δὲ τὰς πράξεις, ἄοκνοι καὶ θυμικοί. καὶ θρασεῖς καὶ τυραννικοὶ τοῖς ἤθεσι. καὶ γὰρ ὀξύθυμοι καὶ δύσπαυστοι. εἰ δὲ ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν ἧττον εἰσὶ τῶν προειρημένων. ἕτοιμοι δὲ εἰς τὰς πράξεις. οὐ μὴν ἄγριός γε ὁ θυμός. ἀλλ᾽ εἰς ὀργὴν μόνον ἕτοιμος. καὶ οἱ σφυγμοὶ δὲ μεγάλοι καὶ μαλακοὶ καὶ ταχεῖς καὶ πυκνοί. ὑγροτέρας δὲ οὔσης καὶ ψυχροτέρας, οἱ μὲν σφυγμοὶ μαλακοί. τὸ δὲ ἦθος ἄτολμόν τε καὶ δειλὸν καὶ ὀκνηρόν. εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οὗτοι τὰ στέρνα. καὶ ἥκιστα μηνιῶσιν. ὥσπερ γε καὶ εἰς ὀργὴν οὐχ ἕτοιμοι. ἡ ψυχρὰ δὲ καὶ ξηρὰ καρδία, τοὺς μὲν σφυγμοὺς σκληροτέρους ἐργάζεται καὶ μικρούς. ἀοργητότατοι δὲ πάντων οὗτοι. ὀργισθέντες δὲ φυλάττουσι τὴν μῆνιν. εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα μάλιστα πάντων.

Ἥπατος κράσεως διάγνωσις. ξζ.

Ἥπατος θερμοῦ μὲν γνωρίσματα φλεβῶν εὐρύτης. ἡ ξανθὴ χολὴ πλέον. ἐν δὲ τῷ χρόνῳ τῆς ἀκμῆς καὶ ἡ μέλαινα. θερμότερον αὐτοῖς τὸ αἷμα. καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα. πλὴν, εἰ μὴ τὰ περὶ καρδίαν ἀντιπράττοι. δασύτης τῶν καθ᾽ ὑποχόνδρια τε καὶ γαστέρα. ψυχροτέρου δὲ, στενότης φλεβῶν. φλέγμα πλέον. αἷμα ψυχρότερον. ἡ σύμπασα τοῦ σώματος ἕξις ψυχροτέρα. χωρὶς εἰ μή τι πρὸς καρδίας θερμαίνοιτο. ψιλὰ τριχῶν ὑποχόνδριά τε καὶ γαστήρ. ξηροτέρου δὲ, τὸ μὲν αἷμα, παχύτερόν τε καὶ ὀλιγώτερον, αἱ φλέβες ξηραὶ, καὶ σύμπασα τοῦ σώματος ἡ ἕξις ξηροτέρα. τοῦ δὲ ὑγροτέρου γνωρίσματα, τὸ μὲν αἷμα πλέον τε καὶ ὑγρόν. αἱ φλέβες δὲ μαλακώτεραι. οὕτω καὶ τὸ σύμπαν σῶμα. πλὴν εἰ μὴ τὰ περὶ καρδίαν ἀντιπράττοι. θερμοῦ δὲ ἅμα καὶ ξηροῦ σημεῖα, λασιώτατον ὑποχόνδριον. αἷμα παχύτερον ἅμα καὶ ὀλιγώτερον. καὶ ἡ πικρὰ χολὴ πλείστη. κατὰ δὲ τὴν ἀκμὴν, καὶ ἡ μέλαινα. φλεβῶν εὐρύτης τε καὶ σκληρότης. οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα, θερμὸν καὶ ξηρόν. ἡ μὲν γὰρ ἐκ καρδίας ὁρμωμένη θερμότης, νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα. καθάπερ γε καὶ ἡ ψυχρότης τὴν θερμότητα. τὴν ξηρότητα δὲ οὐχ οἷόν τε πρὸς τοὐναντίον ὑπὸ τῆς καρδίας ὑγροτέρας γενομένης ἀχθῆναι. δῆλον δὲ ὡς ἐπειδὰν εἰς τὸ αὐτὸ συνδράμωσι τῶν ἀρχῶν ἀμφοτέρων αἱ κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατ᾽ ἐκείνας διατίθεται. τὸ δὲ ὑγρὸν ἅμα καὶ θερμὸν ἧπαρ, ἧττον μὲν τοῦ θερμοῦ καὶ ξηροῦ, τὰ καθ᾽ ὑποχόνδριον ἐργάζεται λάσια. πλεῖστον δὲ αἷμα, καὶ φλέβας μεγάλας καὶ τὴν ἕξιν ὑγρὰν καὶ θερμήν. εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι. εἰ δὲ ἐπὶ πλεῖον ἀμφοτέραις ταῖς ποιότησιν ἐκτραπείη τοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκονται τοῖς σηπεδονώδεσι καὶ κακοχύμοις νοσήμασι. ἔτι δὲ μᾶλλον εἰ ἐπὶ πλεῖστον μὲν αὐξηθείη τὸ ὑγρὸν, ἐπ᾽ ὀλίγον δὲ τὸ θερμόν. καὶ κακόχυμοι γίνονται. τὸ δὲ ὑγρότερόν τε καὶ ψυχρότερον, ἄτριχον ἔχει τὸ ὑποχόνδριον. αἷμα δὲ ἐργάζεται φλεγματικώτερον, ἅμα φλεβῶν στενότητι. καὶ τὸ σύμπαν σῶμα παραπλησίως ἔχον. εἰ μὴ πρὸς καρδίας ἐπὶ τἀναντία μετάγοιτο. τὸ δὲ ψυχρὸν ἅμα καὶ ξηρὸν, ὀλίγαιμόν τε καὶ στενόφλεβον ἐργάζεται τὸ σῶμα, καὶ ψυχρότερον. ὑποχόνδριόν τε ψιλόν. εἰ μὴ κἀνταῦθα νικήσειεν ἡ καρδία.

Περὶ τῆς τῶν ὄρχεων κράσεως διάγνωσις. ξη.

Τῆς δὲ τῶν ὄρχεων κράσεως. ἡ μὲν θερμὴ ἀφροδισιαστική τε ἐστὶ καὶ ἀρρενογόνος. καὶ γόνιμος. καὶ ταχέως δασύνει τὰ γεννητικὰ μόρια. συνεφάπτεται δὲ καὶ τῶν πέριξ. ἡ ψυχρὰ δὲ τἀναντία. καὶ ἡ μὲν ὑγρὰ πολύσπερμός ἐστι καὶ ὑγρόσπερμος. ἡ ξηρὰ δὲ, ὀλιγόσπερμος καὶ παχύσπερμος. ἡ θερμὴ δὲ καὶ ξηρὰ κρᾶσις μετρίως, παχυσπερμοτάτη τέ ἐστι καὶ γονιμωτάτη. καὶ τάχιστα πρὸς συνουσίαν ἐπεγείρουσα τὸ ζῶον εὐθέως ἐξ ἀρχῆς. ἀτὰρ οὖν οἱ τοιοῦτοι καὶ δασύνονται τάχιστα τὰ γεννητικὰ μόρια καὶ σύμπαντα τὰ πέριξ, ἄνω μὲν, ἄχρι τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων. κάτω δὲ, μέχρι μέσων μηρῶν. ὁρμητικὴ μὲν οὖν ἡ τοιαύτη κρᾶσις ἱκανῶς πρὸς τὰ ἀφροδίσια. ταχιστά τε ἐμπιπλαμένη. καὶ εἰ βιάσαιτο βλαπτομένη. συνελθούσης δὲ ὑγρότητος τῇ θερμότητι, λάσιοι μὲν οἱ τοιοῦτοι. πολύσπερμοι δὲ μᾶλλον. οὐ μὴν ὀρέγονται μᾶλλον τῶν ἑτέρων. ἐξαρκοῦσι δὲ ἀβλαβέστερον ἀφροδισίοις πλείοσιν. εἰ δὲ ἱκανῶς ἄμφω συναυξηθείη τότε ὑγρὸν καὶ τὸ θερμὸν, οὐδὲ ἀβλαβῶς ἀπέχονται τῶν ἀφροδισίων. εἰ δὲ ὑγροὶ καὶ ψυχροὶ οἱ ὄρχεις τὴν κρᾶσιν γένοιντο. ψιλὰ τὰ πέριξ τριχῶν καὶ βραδέως ἀφροδισιάζειν ἄρχονται. καὶ οὐδὲ ὁρμητικοὶ πρὸς τὴν ἐνέργειαν. ὑδατῶδες δὲ καὶ λεπτὸν αὐτοῖς τὸ σπέρμα καὶ ἄτονόν ἐστι καὶ θηλύγονον. ἡ ξηρὰ δὲ καὶ ψυχρὰ κρᾶσις ὁμοία μὲν τὰ ἄλλα τῇ προειρημένῃ. παχύτερον δὲ αὐτοῖς τὸ σπέρμα καὶ παντάπασιν ὀλίγον.

Περὶ τῶν παραλειφθέντων. ξθ.

Ἕκαστον τῶν ἐν ἡμῖν μορίων, ἰδίαν τινὰ κρᾶσιν τε καὶ δύναμιν κέκτηται. καὶ πάντων νῦν τὰ γνωρίσματα λέγειν οὐκ ἀναγκαῖον, ἀπείρως πως ὑπαρχόντων, ἐπιτόμου τῆς διδασκαλίας γιγνομένης. περὶ δὲ τούτων εἰπόντες ὅσα μάλιστα τὸ λοιπὸν ὅλον ἑαυτοῖς συνδιατίθεται

σῶμα, καὶ περὶ τῶν λοιπῶν διὰ τῶν αὐτῶν μεθόδων ὑπολογίζεσθαι κελεύομεν, ἔκ τε τῶν ἐκκρινομένων καὶ τῶν λοιπῶν αὐτῶν ἐνεργειῶν τε καὶ συμπτωμάτων τὰς κράσεις αὐτῶν διαγινώσκοντας. ὥρα τοίνυν ἐπὶ τὴν διόρθωσιν τῶν τοῦ ὅλου σώματος δυσκρασιῶν τρέψαι τὸν λόγον.

Διόρθωσις τῶν θερμῶν δυσκρασιῶν τοῦ σώματος. ο̅.

Ἐπεὶ δὲ ταῖς θερμαῖς δυσκρασίαις πλεονάζει τὸ χολῶδες, κάτω μὲν ὑπιόντος αὐτοῦ, πρόδηλον ὡς οὐδὲν χρὴ περιεργάζεσθαι. πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένου, δι᾽ ἐμέτων ἐκκρινοῦμεν μετὰ τὰ γυμνάσια πρὸ τῆς τροφῆς ἀφ᾽ ὕδατος. γυμνάζεσθαι δὲ αὐτοῖς βέλτιον, οὐκ ὀξὺ καὶ σύντονον γυμνάσιον, ἀλλὰ σχολαιότερόν τε καὶ μαλακώτερον. τινὲς δὲ τῶν σφόδρα θερμῶν, οὐδ᾽ ὅλως χρήζουσιν, ἀλλ᾽ ἀρκεῖ περίπατος καὶ λουτρὸν αὐτοῖς. ἔνιοι δὲ καὶ τοῖς μετὰ τροφὴν λουτροῖς χαίρουσι. οἱ δὲ μετὰ ξηρότητος, δέονται διαίτης ὑγραινούσης. διά τε τῶν ὑγραινόντων ἐδεσμάτων καὶ λουτρῶν, καὶ ἐποχῆς γυμνασίων εὐτόνων καὶ πολλῶν. ὥστε θέρους ὥρᾳ καὶ θᾶττον λούεσθαι. καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον. ὀνίνησι τούτοις καὶ ἡ τοῦ ψυχροῦ πόσις. ἐναντιώτατα δὲ ταῖς ξηραῖς κράσεσιν ἀφροδίσια. φείδεσθαι δὲ αὐτοὺς χρὴ καὶ μάλιστα κόπων τε, καὶ ἐγκαύσεων καὶ φροντίδων καὶ ἀγρυπνιῶν. αἱ δὲ ὑγραὶ τῇ φύσει ἐν τῇ τῶν παίδων ἡλικίᾳ, ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι, καὶ πρὸς τούτοις τοῖς σηπεδονώδεσι. δέονται τοίνυν γυμνασίων τε πλειόνων, ἀκριβοῦς τε τῆς ἐν γαστρὶ πέψεως, ἐκκρίσεώς τε δι᾽ οὔρων. διὸ καὶ πρὸ τροφῆς, δὶς καὶ τρὶς οὗτοι λουόμενοι, καὶ τοῖς αὐτοφυέσι θερμοῖς ὕδασι χρώμενοι, μάλιστα ὠφελοῦνται. καὶ τῶν ἀποῤῥοιῶν δὲ προνοεῖν χρὴ διά τε λουτρῶν καὶ γυμνασίων πολλῶν, καὶ πρὸ τροφῆς ἐκκρίσεών τε δι᾽ οὔρων καὶ γαστρός. οὐδὲν δὲ κωλύει καὶ ἀποφλεγματισμοῖς ποτὲ χρῆσθαι καὶ καθάρσεσιν, εὐχύμοις τε ἐδέσμασι, καὶ οἴνου πόσει τὴν οὔρησιν κινοῦντος.

Διόρθωσις τῶν ψυχρῶν δυσκρασιῶν. οα.

Τῶν δὲ ψυχρῶν δυσκρασιῶν. τρεῖς εἰσι διαφοραί, ὧν χείριστη μέν ἐστι ξηρὰ κρᾶσις. ὃ γὰρ ἐγχρόνως γηρῶσι γίνεται, τοῦτο εὐθὺς ἐξ ἀρχῆς ὑπάρχει τούτοις. ὑγραίνειν τε αὐτοὺς χρὴ καὶ θερμαίνειν. ἔσται δὲ †τούτοις. γυμνασίοις τε συμμέτροις, καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς, οἴνου τε πόσει τῶν

τῦν

θερμοτέρων. ὕπνοις τε πλείοσι, καὶ προνοουμένων ἡμῶν ὅπως τὰ καθ᾽ ἑκάστην ἡμέραν ἐν τῷ σώματι γεννώμενα περιττώματα ἐκκρίνονται πάντα. τὰ δὲ ἀφροδίσια. πάντας τοὺς ξηροτέρους βλάπτει, καὶ μάλιστα τοὺς ἐν τῇ ξηρότητι ψυχρούς. μόνοις δὲ ἀβλαβῆ τοῖς θερμοῖς καὶ ὑγροῖς. μοχθηραὶ δέ, αἱ μεθ᾽ ὑγρότητος ψυχραὶ κράσεις εἰσί. καὶ μάλιστα αὗται τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν. ὀνίνησί τε αὐτούς, ἀλουσία τε καὶ γυμνάσια πλείονα καὶ λεπτότερα, καὶ χρίσματα μετρίως θερμότερα. ὅσοι δὲ ψυχρότεροι μὲν φύσει, συμμέτρως δ᾽ ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἐπεγείρειν τε αὐτῶν καὶ ῥωννύναι τὴν θερμασίαν. ἐν δὲ τῇ καθ᾽ ὑγρότητά τε καὶ ξηρότητα τῆς ὅλης διαίτης ἰδέᾳ, τὸ μέσον ἐκλέγειν.

Ἴασις τῶν ξηρῶν δυσκρασιῶν ἐπὶ γαστρὸς ὡς ἐπὶ παραδείγματος, εὐθὺς δὲ καὶ τῶν λοιπῶν κράσεων. ο̅β.

Τῆς ξηρᾶς δυσκρασίας. ἡ μέν τίς ἐστιν ἐν τῷ τὰ ἐκ τῆς στερεᾶς οὐσίας ὁμοιομερῆ σώματα γίνεσθαι ξηρότερα, ἥτις δὲ καὶ ἀνίατός ἐστιν. ἡ δέ, τῆς ὑγροπαγοῦς οὐσίας πρὸς ταύταις τῆς οἰκείας ὑγρότητος ἐξ ἧς τρέφεται τὰ μόρια τελέως ἀπολλομένης. περιέχεται δὲ αὕτη κατὰ πάντα τοῦ ζώου τὰ μόρια δροσοειδῶς ἐν αὐτοῖς παρεσπαρμένη. ταύτην δὲ ἐνθεῖναι τοῖς μορίοις, οὐχ οἷόν τε ἄνευ τροφῆς. καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων διαθέσεων ἡ ἴασίς ἐστι. κατὰ δὲ τὰς μικρὰς ἀρτηρίας τε καὶ φλέβας συνισταμένας ταύτας τὰς ξηρότητας, θεραπεύειν προσήκον, ὑγραινούσῃ τε τροφῇ πληροῦντα τῆς οἰκείας ὑγρότητος ἕκαστον τῶν ὁμοιομερῶν. λουτρὸν οὖν ἐπιτήδειον εὔκρατον, ἐνδιατρίβοντος τοῦ κάμνοντος πλέον τῷ ὕδατι. μετὰ δὲ τὸ λουτρὸν εὐθέως γάλα διδόναι, ὄνειον νεόβδαλτον. δεῖ δὲ καὶ μέλιτος ὀλίγου χλιαροῦ μιγνύειν τῷ γάλακτι. καὶ μετὰ τοῦτο ἐᾶν ἡσυχάζειν ἄχρι τοῦ δευτέρου λουτροῦ. τρίβειν δὲ τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς κατεργάσασθαι τὸ δοθὲν γάλα, ταῖς ἐρυγαῖς καὶ τῷ τῆς γαστρὸς ὄγκῳ τεκμηράμενος. σύμμετρος δὲ ἀπὸ τοῦ πρώτου λουτροῦ πρὸς τὸ δεύτερον, ὡρῶν ἰσημερινῶν τεσσάρων ἢ πέντε χρόνος, εἰ τὸ τρίτον ἔτι μέλλοις λούειν αὐτόν. εἰ δὲ μή, πλειόνων. καὶ μετὰ δὴ ἐπαλείφειν αὐτὸν ἐλαίῳ πλεῖον ἀμφιέννυσθαι, καθ᾽ ἕκαστον λουτρόν. εἰ μὲν οὖν ἡ δίοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον λουτρόν, δώσομεν αὐτῷ. εἰ δὲ μή, πτισάνην ἀκριβῶς καθηψημένην, ἢ χονδροπτισάνην ἐσκευασμένην. εἶτα αὖθις ἡσυχάσαντα, πρὸς τὸ τρίτον ἄξομεν λουτρόν. ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. ἄρτος δὲ ἔστω παρεσκευασμένος, καλῶς πεποιημένος, κλιβανίτης, καθαρός. ὄψον δὲ τῶν πετραίων ἰχθύων, ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. συνελόντι δὲ φάναι, τὸ κεφάλαιον τῆς τροφῆς. εὔπεπτος ἔστω καὶ τρόφιμος, ἥκιστα γλίσχρος καὶ περιττωματική.

ματική. πόμα δὲ, οἶνος ὑδατώδης ἔστω καὶ λευκός, καθαρός, ὀλιγοφόρος, βραχεῖαν ἔχων στύψιν. μεγίστης μὲν οὖν ξηρότητος ἴασις αὕτη. αἱ δὲ μέτριαι τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης. καὶ ἁδρότερον δὲ ἐγχωρεῖ διαιτᾶν. ὑποκείσθω δὲ παραπλησία μὲν ξηρότης τῇ πρόσθεν, μεμίχθω δὲ αὐτῇ ψύξις μετρία. δεῖ γὰρ μεταβλητέον δεῖ τὴν τῶν θερμαινόντων ὕλην. καὶ προσθήσομεν τοῖς εἰρημένοις, ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει τὸ μέλι πλέον. οἶνον δὲ ἧττον ὑδαρῆ δώσομεν τοῦ πρόσθεν. ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα θερμότερα δοτέον, οὐ μόνον ταῖς φυσικαῖς κράσεσιν, ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησι. καὶ ναρδίνῳ μύρῳ συνεχῶς ἐπαλειπτέον, ἢ μαστιχίνῳ. τῆς ψύξεως δὲ οὔσης πολλῆς ἅμα καὶ τῇ ξηρότητι. πρῶτον μὲν αὐτὴν χαλεπωτάτην νόμιζε καὶ δυσεπανόρθωτον. τοῖς δὲ αὐτοῖς χρῆσθαι. καὶ καθ' ἑαυτὸν μέλιτι ἀπέφθῳ, ἀπηφρισμένῳ. τὸν δὲ οἶνον αἱρεῖσθαι παλαιότερον. ἄριστον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων ᾧ συνεχῶς οἱ πιττωταὶ χρῶνται, καὶ χρίειν αὐτῷ τὴν γαστέρα δεῖ, καὶ ἀποσπᾶν θερμὸν ἔτι τυγχάνον. ὠφελεῖ δὲ τοὺς τοιούτους, καὶ παιδίον εὔσαρκον, κοιμώμενον, ὡς ψαύειν ἀεὶ τοῦ κατ' ἐπιγάστριον. μιγνύσθω δὲ ἑξῆς ξηρότητι θερμότης μετρία. δεῖ ταύτης (τῆς) τὴν πρώτην ἀγωγὴν φυλάξαι. ὡς μέλιτος μὲν μηδ' ὅλως γεύεσθαι. τὸν δὲ οἶνον ἥκιστα παλαιὸν προσφέρεσθαι. χλιαρὰ δὲ τὰ ἐδέσματα καὶ γαλακτώδη προσοίσομεν. καὶ τὴν κοιλίαν ἐπαλείψομεν, ὀμφακίνῳ τε καὶ μηλίνῳ. ψύχειν δὲ τούτους ἀγωνιστικώτατον, οὐκ ἀκίνδυνον, πυρετικῆς πως οὔσης τῆς τοιαύτης καταστάσεως, ὅταν πλεονάζῃ τὸ θερμόν. ὑποκείσθω δὴ καὶ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν, μεμίχθαι δὲ αὐτῇ τὴν ὑγρότητα. τὴν τοιαύτην δυσκρασίαν ὕδατος ψυχροῦ πόσει θεραπεύσομεν. ἐπιτήδειος δὲ ἡ τῶν στυφόντων ἐδεσμάτων χρῆσις. ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν αὐστηρά. τῆς δὲ ὑγρᾶς δυσκρασίας μόνης συνισταμένης, τὰ ξηραίνοντα τῶν ἐδεσμάτων ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς, βοηθεῖ. καὶ πρὸς τούτοις ἔνδεια τῶν συνήθων ποτῶν. τῆς δὲ μετὰ ψύξεως ὑγρᾶς δυσκρασίας, ἄριστα ἰάματα τὰ δριμέα σύμπαντα. μιγνύσθω δὲ τούτοις καὶ τὰ στύφοντα, χωρὶς τοῦ ψύχειν σαφῶς. ἄριστον δὲ ἅμα καὶ τούτοις ὀλίγον τὸ πόμα. καὶ γὰρ τῶν θερμαινόντων ἰσχυρῶς οἴνων. τῶν μὲν οὖν ἐπὶ ταῖς ποιότησι δυσκρασιῶν, τοιαῦταί τινές εἰσιν ἰάσεις. ἐπεὶ δὲ καὶ πολλάκις τὸ περιεχόμενον ὑγρὸν ἐν τῇ κοιλότητι τῆς γαστρὸς, ἢ ἀναποθὲν ἐν τοῖς χιτῶσιν αὐτῆς τὴν δυσκρασίαν ἐργάζεται, καλῶς ἂν ἔχοι καὶ περὶ τούτων εἰπεῖν. ἡ μὲν οὖν προτέρα διάθεσις εἰ μὲν ἅπαξ συσταίη, δι' ἐμέτων καθαρθεῖσα καθίσταται ῥᾳδίως. εἰ δὲ αὖθις ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων ἐπιρρέει μορίων, ἀκριβοῦς δεῖται διαγνώσεως. ἡ θεραπεία δὲ εὐθὺς ἀκολουθήσει. τὴν μὲν γὰρ σύμπασαν θεραπείαν τοῦ πεπονθότος δεῖ προσάγειν. προνοεῖσθαι δὲ τῶν δεχομένων τοσοῦτον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ ἐπιρρέοντα. γίνοιτο δ' ἂν γὰρ διὰ τῶν στυφόντων, καὶ διὰ τῶν εἰς εὐεξίαν ἀγόντων τὸ πᾶν σῶμα. τὰς δὲ ἐν χιτῶνι τῆς γαστρὸς κακοχυμίας, διὰ τῶν καθαιρόντων μετρίως. οἷον ἐστὶν ἡ ἀλόη, καὶ τὸ δι' αὐτῆς σκευαζόμενον φάρμακον, ἡ πικρά. γλίσχρου δὲ ἅμα φλέγματος ἐμπεπλασμένου τῇ γαστρί, δοτέον αὐτοῖς πρότερον ὅσα τέμνει γάρ. κἄπειθ' οὕτως καθαρτέον. εἰ δ' ἐπιτηδείως ἔχοι διὰ ῥαφανίδων ἐμείτω. εἰ δὲ μήτε γλίσχρος μήτε παχὺς εἴη ὁ χυμός, ἀρκεῖ καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἔμετος. καὶ ὁ ἀπὸ τοῦ μελικράτου. πίνειν δὲ καὶ ἀψινθίου χυλὸν ἐν μελικράτῳ. ἀνάλογον δὲ χρὴ καὶ τὰς ἐν τοῖς ἄλλοις μέρεσι γιγνομένας δυσκρασίας ἰᾶσθαι τὰς ἐπιτηδείους ἐκροὰς εὑρίσκοντα τοῖς ὑγροῖς. εἰ δὲ μήτε ἐκροὴν ἔχοι τὸ μόριον αἰσθητήν, ἀτμοειδῶς ἐκκενῶσαι χρὴ τοὺς πλεονάζοντας ἰχῶρας ἢ χυμοὺς ἐν αὐτῷ. καθάπερ γε κἂν πνεῦμα φυσῶδες ᾖ, τὸ περιεχόμενον.

Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. σγ.

Μέρος τῆς ὑγιεινῆς πραγματείας καὶ τὸν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ὑπάρχοντα λόγον τοῖς ἤδη φθάσασιν ὑποταξόμεν. ὀλίγα τινὰ τῆς κατὰ μέρος αὐτῶν διδασκαλίας προλαβόντες. χρὴ γοῦν εἴπερ τι ἄλλο, τὰς ἐν ταῖς τροφαῖς ἐπίστασθαι δυνάμεις. τὰ μὲν οὖν τῆς λεπτυνούσης δυνάμεως ἐκφράττει τε τὰς διεξόδους καὶ ἀπορρύπτει τὰ προσπλαττόμενα γλίσχρα. τέμνει τε καὶ λεπτύνει τὰ παχέα. συνάγει δὲ τοῖς χρονίσασι κατὰ τὴν ἐδωδὴν ὀρρώδη καὶ χολώδη περιττώματα. κἂν ἔτι μᾶλλον πλεονάσῃ τις, μελαγχολικὸν τὸ αἷμα καθίσταται. χρὴ οὖν ἀπέχεσθαι τῆς συνεχοῦς αὐτῶν χρήσεως. καὶ μάλιστα τοὺς χολώδεις τὴν κρᾶσιν. ἁρμόζει γὰρ μόνοις τοῖς φλέγμα καὶ τὸν ὠμὸν καὶ γλίσχρον καὶ παχὺν χυμὸν ἠθροικόσι. τὰ δὲ τῆς παχυνούσης, τρόφιμα μὲν ἱκανῶς ἐστιν. κἂν ἔν τε τῇ γαστρὶ καὶ τῷ ἥπατι πεφθῇ προσηκόντως, εὔχυμον αἷμα γεννᾷ. πλὴν ἀλλὰ δὲ καὶ ἧπαρ ἐμφράττει. τούτων δὲ τινὰ μὲν ἐστὶ παχύχυμα μόνον ὡς φακή. τινὰ δὲ γλίσχρα καθάπερ μαλάχαι. τισὶ δὲ ἄμφω συμβέβηκε παχυχύμοις τε εἶναι καὶ γλίσχροις ὥσπερ τοῖς ὀστρακοδέρμοις. ἀσφαλεστέρα τοίνυν ἐστὶν λεπτύνουσα δίαιτα πρὸς φυλακὴς ὑγείας ἕνεκα τῆς παχυνούσης

μᾶλλον. ὀλιγότροφος δὲ οὖσα, τόνον οὐκ ἐντίθησιν, οὐδὲ ῥώμην τοῖς σώμασι. καὶ χρὴ ποτὲ καὶ τῶν πολυτρόφων προσφέρεσθαι μετρίως ἡνίκα τις ἐνδείας ἀντιλαμβάνεται. μάλιστα δ' ἂν ἀκινδύνως μεταλαμβάνοιεν αὐτῶν, οἱ γυμνασίοις τε προσέχοντες, καὶ οἱ καθεύδοντες ἐφ' ὅσον ἂν βούλοιντο. πάντες δὲ ὅσοι πρὸ τῶν σιτίων οὐχ οἷοί τε εἰσὶ γυμνάζεσθαι, φευγέτωσαν τὰς παχυχύμους τροφάς. ἀργοὶ δὲ μὴ δ' ὅλως τὰς τροφὰς ταύτας προσιέτωσαν. μέγιστον δὲ κακὸν εἰς τὴν τῆς ὑγείας φυλακὴν ἡ παντελὴς ἀργία καθέστηκεν. ὥσπερ γε ἡ σύμμετρος κίνησις, μέγιστον τῶν ἀγαθῶν. τὰ δὲ μεταξὺ τῶν παχυνόντων καὶ λεπτυνόντων ἐδεσμάτων κάλλιστα πάντων ἐστί, σύμμετρον αἷμα γεννῶντα κατὰ τὴν σύστασιν. κατάλληλος μὲν οὖν ἡ τοιαύτη τροφὴ τοῖς σώμασιν ἡμῶν ἐστίν. βλαβερὰ δὲ ἡ κακόχυμος, ἣν ἀεὶ δεῖ φεύγειν. φυλάττεσθαι δὲ καὶ τὴν ποικιλίαν τῶν τροφῶν ἄμεινον, καὶ μᾶλλον ἐὰν ἐξ ἐναντίων εἰσὶ δυνάμεων. οὐ γὰρ πέττεται τὰ ληφθέντα προσηκόντως.

Περὶ λαχάνων. οδ.

Η μὲν οὖν θριδακίνη σαφῶς ψύχει τε καὶ ὑγραίνει. διὸ καὶ ὑπνώδης ἐστίν. ὡς ἐν λαχάνοις δὲ τρόφιμος, αἵματος εὐχύμου γεννητικὴ τυγχάνουσα. καὶ τὸ ἴντυβον δέ, ψυχρᾶς καὶ ὑγρᾶς κράσεως. ἀλλ' ἧττον ἢ κατὰ θριδακίνην. ἡ δὲ μαλάχη, ψύχει μέν, ἀλλ' οὐκ ἐναργῶς. ὑγραίνει δὲ μᾶλλον, ὅθεν καὶ γαστέρα ὑπάγει. ἔστι δὲ καὶ διὰ τὸ ἐν αὐτῇ γλίσχρον. τὸ δὲ τεῦτλον, διὰ τὸ ῥύπτειν ὑπάγει γαστέρα, διὸ καὶ στόμαχον δάκνει πλεῖον ἐσθιόμενον. ἐκφράττει δὲ τὰ καθ' ἧπάρ τε καὶ σπλῆνα. ἡ δὲ κράμβη, δίσεφθος μὲν ἐσθιομένη, γαστέρα ἐπέχει. πρὸς ἅπαξ δὲ μὴ ἐπιπολὺ ἑψηθεῖσα καὶ μετὰ ἐλαίου καὶ γάρου ἢ ἁλῶν ἐσθιομένη μᾶλλον ὑπάγει. ὥσπερ ὁ χυλὸς αὐτῆς καὶ τοῦ τῆς φακῆς μᾶλλόν ἐστι καθαρτικός. ἔτι δὲ μᾶλλον ἥτε θαλαττία κράμβη γαστρὸς λαπακτική, σαφῶς ἁλμυρά τε καὶ ὑπόπικρος ὑπάρχουσα. καὶ τὸ ἅλιμον. πλείονος δὲ μετέχον τῆς ἁλμυρᾶς ποιότητος ὑπάγει γαστέρα. κράμβης δὲ μᾶλλον εὐστόμαχον, ὡς ἂν σήψεως μετρίας μετειληφός. γάλακτος δὲ καὶ σπέρματός ἐστι γεννητικόν. Βλίτον δὲ καὶ † ἀτράφαξις, ὑγρὰ μὲν καὶ γαστρὸς ὑπακτικά, ὀλιγότροφα δέ. τὰ δὲ ἀκανθώδη πάντα, οἷον σκόλυμος καὶ ἀτρακτυλὶς καὶ τὰ τοιαῦτα, εὐστόμαχά εἰσι δίχα τῆς κινάρας. κακόχυμος γὰρ αὕτη σκληρὰ τυγχάνουσα. διὸ κάλλιστον ἑψόντας αὐτὴν σὺν ἐλαίῳ καὶ γάρῳ, καὶ κοριάννῳ προσφέρεσθαι. σέλινον δὲ καὶ ἱπποσέλινον, καὶ σίον καὶ σμύρνιον, πάντα διουρητικά ἐστιν. ἀλλὰ τὸ μὲν σμύρνιον, ἀρωματίζον τε ἐστὶ καὶ μᾶλλον δριμὺ καὶ διουρητικόν. καὶ γυναιξὶ κινεῖ καταμήνια. τὰ δὲ σέλινα ἡδύτερα, διὸ καὶ εὐστομαχώτερα. τὸ δὲ εὔζωμον, θερμόν τέ ἐστι καὶ σπέρματος γεννητικόν. διὸ καὶ πρὸς συνουσίαν ἐπεγείρει καὶ κεφαλαίας. κάρδαμον δὲ καὶ ὤκιμον καὶ νάπυ, θερμὰ μὲν καὶ δριμέα. καὶ μάλιστα τὸ κάρδαμον. δύσπεπτα δὲ καὶ κακοστόμαχα καὶ κακόχυμα. ἡ δὲ ἀκαλήφη τε (ἣ) καὶ κνίδη καλουμένη. λεπτομερής τε καὶ ὑπακτικὴ γαστρός, καὶ ὀλιγότροφος. τὸ δὲ γιγγίδιον ὅμοιόν ἐστι τῷ σκάνδικι, στυφούσης καὶ πικρᾶς οὐκ ὀλίγης μετέχον ποιότητος. ἔστι δὲ καὶ εὐστόμαχον, ὡς καὶ τοῖς ἀποσίτοις αὐτὸ τυγχάνειν ἐπιτήδειον μετ' ὄξους ἐσθιόμενον. ὀλίγην δὲ τροφὴν παρέχει τῷ σώματι. τὰ δὲ ἄγρια προσαγορευόμενα λάχανα τῆς ἐσχάτως εἰσὶ κακοχυμίας. ἡ δὲ κάππαρις εὐόρεκτός τε καὶ τῶν καθ' ἧπάρ τε καὶ σπλῆνα ἐκφρακτική. καὶ φλέγματος ὑπακτική. χρηστέον δὲ αὐτῇ, δι' ὀξυμέλιτος ἢ ὀξελαίου, πρὸ τῆς ἄλλης τροφῆς.

κράμβη δὲ μᾶλλον εὐστόμαχος ὡς ἂν σήψεως μετρίας μεταληφυῖα. γάλακτος δὲ καὶ σπέρματός ἐστι γεννητική.

† ἀνδράφαξις

Περὶ ἀσπαράγων. οε.

Τῶν βλίτων καὶ θριδακίνων καὶ ἀτραφάξιος καὶ μαλάχης καὶ τεύτλου, τὸ μὲν φυτὸν ὑγρόν. ὁ δὲ ἀσπάραγος ἐστὶ ξηρός. γογγύλη τε καὶ νάπυ καὶ ῥαφανὶς καὶ κάρδαμον καὶ πύρεθρον καὶ κράμβη καὶ τὰ ἄλλα τὰ θερμά. τὸ μὲν φυτὸν ξηρόν, τὸν δὲ ἀσπάραγον ἔχουσιν ὑγρόν. οἱ δὲ ἀπὸ τῶν θαμνωδῶν φυτῶν ἀσπάραγοι, ὅ τε ἕλειος καὶ ὁ κηπευτός, καὶ ὁ ἀπὸ τῆς βρυωνίας, εὐστόμαχοι μὲν καὶ διουρητικοί, ὀλιγότροφοι δέ. πεπτόμενοι δέ, μᾶλλον τρέφουσι τῶν ἀπὸ τῶν λαχάνων. παραπλησίως δὲ καὶ ὁ τῆς χαμαιδάφνης ἀσπάραγος.

Περὶ τῶν ἐχόντων ἐδωδίμους τὰς ῥίζας. ος.

Η μὲν οὖν βουνιάς τε καὶ γογγύλη προσαγορευομένη δίσεφθος ἐσθιομένη, τρόφιμος οὐχ ἧττον τῶν ἄλλων φυτῶν. παχύχυμος δὲ συνεχῶς λαμβανομένη. οἱ δὲ βολβοί, στυπτικοί τε καὶ ῥυπτικοί, καὶ ὀρεκτικοί, καὶ στομάχου τονωτικοί. καὶ τῶν ἐν θώρακι γλίσχρων εὐανάγωγοι. δίσεφθοι δὲ γινόμενοι, τροφιμώτεροι μέν, οὐκ εὐανάγωγοι δέ, τὸ πικρὸν ἀποβάλλοντες. εἰσὶ δὲ καὶ σπέρματος γεννητικοί, καὶ ἀφροδισιαστικοί, ἐν πλείονι χρήσει γιγνόμενοι, καὶ φυσώδεις. καὶ στρόφους ἐμποιοῦσιν. οἱ δὲ μετὰ γάρου καὶ ἐλαίου ἐσθιόμενοι, ἥδυστοι καὶ ἄφυσοι καὶ τρόφιμοι καὶ εὔπεπτοι. σταφυλίνου δὲ καὶ δαύκου καὶ κάρου, αἱ μὲν ῥίζαι ὀλιγοτροφώτεραι τῆς γογγυλίδος εἰσίν. θερμαὶ δὲ καὶ ἀρωματίζουσαι σαφῶς, καὶ οὐρητικαί. καταχρώμενοι δέ, καὶ κακόχυμοι, καὶ δύσπεπτοι τῷ κοινῷ λόγῳ τῶν ῥιζῶν. τινὲς δὲ τὸν ἄγριον σταφυλῖνον ὀνομάζουσι δαῦκον, οὐρητικώτερον μᾶλλον ὑπάρχοντα. ἡ δὲ ῥαφανὶς λεπτυντικῆς τε καὶ θερμῆς ἐστὶ δυνάμεως, ἐσθίειν δὲ αὐτὴν

πρὸ

πρὸ τροφῆς δεῖ μετὰ ὄξους ἢ γάρου ὑπαγωγῆς ἕνεκα γαστρός. μετὰ τροφὴν, οὐδαμῶς. κρόμμυόν τε καὶ σκόροδον καὶ πράσον καὶ ἀμπελόπρασον, δριμείας ὄντα δυνάμεως, θερμαίνουσί τε τὸ σῶμα καὶ λεπτύνουσι, καὶ τέμνουσι τοὺς ἐν αὐτῷ παχεῖς χυμούς. καὶ δίσεφθα μὲν ὀλιγότροφα εἰσίν. ἄνεφθα δὲ, οὐδ' ὅλως τρέφουσι. τὸ γε μὴν σκόροδον ἐκφρακτικόν τε καὶ διαφορητικόν ἐστι μᾶλλον. τὰ δὲ ἀμπελόπρασα τῶν πράσων ὡς ἄγρια ξηρότερα. καθόλου δὲ τῶν λαχάνων τὰ ὠμὰ ἐσθιόμενα, τῶν ἑφθῶν μᾶλλον εἰσὶ κακόχυμα. καὶ πλεῖον μετέχοντα τῆς περιττωματικῆς ὑγρότητος. τὰ δὲ εἰς ἀπόθεσιν ταριχευόμενα δι' ἅλμης τε καὶ ὀξάλμης, εὐστόμαχά τέ εἰσι καὶ εὐόρεκτα. καὶ τῶν ὠμῶν χυμῶν τμητικά. δύσπεπτα δὲ, καὶ κατακορῶς μὲν οἷς κακόχυμα.

Περὶ ὕδνων καὶ μυκήτων. οζ.

Τὸ ὕδνον ἄποιον μὲν ἔχει τὸν ἀναδιδόμενον ἐξ αὐτοῦ χυμὸν, ψυχρότερον δὲ καὶ παχύχυμον. οἱ δὲ μύκητες, ψυχροί τέ εἰσι καὶ φλεγματώδεις καὶ κακόχυμοι. τούτων δὲ αὐτῶν οἱ μὲν βωλῖται ἀβλαβέστεροι καὶ ἄποιοι, καλῶς ἑψηθέντες. οἱ δὲ ἀμανῖται, δευτέρας εἰσὶ τάξεως. τῶν δὲ ἄλλων μυκήτων ἀπέχεσθαι δεῖ, πολλοὶ γὰρ ἐξ αὐτῶν θανάσιμοι. καὶ αὐτοὶ δὲ οἱ βωλῖται ἀνεφθότεροι ἐσθιόμενοι, κινδύνου παραίτιοι πολλάκις γίνονται.

Περὶ σιτωδῶν. οη.

Τῶν σιτωδῶν ὀνομαζομένων. ὁ μὲν χόνδρος, πρόσφιμός τε καὶ γλίσχρου χυμοῦ γεννητικός. ἀλλ' ὁ μὲν πλυτὸς μοχθηρὸς, ἐπείπερ ἐδίμως παχυνόμενος ἄνεφθος μένει. κρείττων δὲ ὁ χυλὸς αὐτοῦ ὅλου καλῶς ἑψηθέντος παραπλησίως πτισάνῃ. ὁ δὲ ἄλιξ τὰ μὲν ἄλλα, χόνδρῳ παρέοικεν. μᾶλλον δὲ γαστρὸς ἐστὶν ἐφεκτικός. ὁ δὲ πυρὸς, ἑφθὸς ἐσθιόμενος, δύσπεπτός τε καὶ φυσώδης. πεττόμενος δὲ, τροφὴν ἰσχυροτάτην παρέχει. ἀρτοποιούμενος δὲ, τὸ φυσῶδες καὶ δύσπεπτον ἀποτίθεται διὰ τὸ ζύμης τε καὶ ἁλῶν μετέχειν. προσφιμώτερος δὲ τῶν ἄρτων ἐστὶν ὁ σιλιγνίτης. ἐφεξῆς δὲ ὁ σεμιδαλίτης. καὶ τρίτος ὁ συγκομιστός. ὁ δὲ ῥυπαρὸς ἄρτος, ἧττον μὲν τρέφει, μᾶλλον δὲ κατὰ γαστέρα ὑπεξέρχεται. ὁ δὲ ἄμυλος, ὀλιγότροφός ἐστιν. ὥσπερ καὶ ὁ πεπλυμένος ἄρτος. αἱ δὲ κριθαὶ, ψυχρᾶς εἰσι δυνάμεως, καὶ ῥυπτικῆς. καὶ ἑψόμεναι μὲν, ὥσπερ ἡ πτισάνη ὑγραίνουσι. φρυττόμεναι δὲ, καθάπερ ἐπ' ἀλφίτων ξηραίνουσι. τὸ δὲ ἄλφιτον ἐν θέρει πρὸ βαλανείου πινόμενον μεθ' ὕδατος, δίψαν ἰᾶται. ὁ δὲ κρίθινος ἄρτος, ψαφαρότερός τέ ἐστι καὶ ὀλιγότροφος. ἡ δὲ μάζα, δυσπεπτοτέρα τε καὶ φυσωδεστέρα τῶν κριθίνων ἄρτων ἐστίν. μέλιτος δὲ προσλαβοῦσα ὑπέρχεται. ὁ δὲ βρόμος, θερμός τε καὶ ὀλιγότροφος. ἡ δὲ κέγχρος καὶ ὁ ἔλυμος, ψυχρά τε καὶ ξηρὰ καὶ ὀλιγότροφα, καὶ ἐφεκτικὰ γαστρός. κρείττων δὲ κατὰ πάντα † τῆς μελίνης ἡ κέγχρος. ἡ δὲ ὄρυζα, δύσπεπτός τέ ἐστι καὶ ὀλιγότροφος, καὶ γαστρὸς † ἐλύμου
ἐφεκτική. ἕψεται δὲ ἡ πτισάνη, ἑνὸς μέρους αὐτῆς βαλλομένου πρὸς πεντεκαίδεκα ὕδατος, ἐλαίου μιγνυμένου συμμέτρου. μετὰ δὲ τὸ ἀνοιδῆσαι καὶ ὄξους. ἑφθῆς δὲ ἀκριβῶς γινομένης ἐπιβλητέον τοὺς ἅλας λεπτούς. ἐπί τινων δὲ καὶ πράσου μικτέον αὐτῇ καὶ ἀνήθου. παραπλησίως δὲ τῇ πτισάνῃ καὶ ὁ βρόμος τε καὶ ὁ χόνδρος ἕψεται.

Περὶ ὀσπρείων. οθ.

Τῶν δὲ ὀσπρείων, ἡ μὲν φακὴ κακόχυμός ἐστι καὶ μελαγχολική. ἀλλ' αὕτη μὲν καὶ μάλιστα δὶς ἑψηθεῖσα γαστρός ἐστιν ἐφεκτική. τὸ δὲ ζέμα αὐτῆς, μετὰ ἐλαίου τε καὶ γάρου πινόμενον, προτρέπει γαστέρα. ὧδε μικτέον δὲ αὐτῇ διὰ τὸ φυσῶδες, θύμβρας ἢ γλήχωνος. οἱ δὲ κύαμοι, κοῦφοι καὶ φυσώδεις καὶ ῥυπτικοί. ὁ δὲ κύαμος ὁ αἰγύπτιος, τοῦ παρ' ἡμῖν ὑγρότερός ἐστι καὶ περιττωματικός. ὁ δὲ πίσος, χαῦνος μὲν, οὐ μὴν οὕτω φυσώδης. οἱ δὲ ἐρέβινθοι, φυσώδεις καὶ ῥυπτικοί, καὶ σπέρματος γεννητικοί, καὶ συνουσιαστικοί, λίθων θρυπτικοί. πεφρυγμένοι δὲ, τὸ μὲν φυσῶδες ἀποτίθενται, δύσπεπτοι δέ εἰσιν. οἱ δὲ θέρμοι, δύσπεπτοί τε καὶ δυσυπέρβατοι καὶ ὠμοῦ χυμοῦ γεννητικοί. ἡ δὲ τῆλις, θερμαίνει τε καὶ προτρέπει γαστέρα πρὸ τροφῆς λαμβανομένη. ὦχροι δὲ καὶ φάσηλοι προαποβραχέντες, ὥστε καὶ ῥίζας φῦσαι, γαστρός εἰσιν ὑπακτικοὶ πρὸ τροφῆς, μετὰ γάρου λαμβανόμενοι. καὶ πρόσφιμοι μᾶλλον τηλέως. οἱ δὲ φάσηλοι καὶ δόλιχοι καλούμενοι, ὅλοι σὺν τοῖς λοβοῖς χλωροὶ ἐσθιόμενοι, περιττωματικώτεροι γίγνονται.

Περὶ ὡραίων. π.

Ἡ κολόκυνθα, ψύχει τε καὶ ὑγραίνει, καὶ ὑπάγει γαστέρα. ἔστι δὲ ὀλιγότροφος. ὁ δὲ πέπων ὅλος μὲν κακόχυμός τέ ἐστι καὶ ψυχρὸς καὶ ὑγρὸς καὶ ἐμετικός. μὴ πεφθεὶς δὲ, καὶ χολέραν ἐργάζεται. τὸ δὲ σπέρμα αὐτοῦ, διουρητικόν τέ ἐστι καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικόν. ἔστι δὲ ὅλως καὶ ῥυπτικὸς ἱκανῶς. ὁ δὲ μηλοπέπων, ἧττονα τοῦ πέπονος πάντα ταῦτα κέκτηται. ὁ δὲ σικυὸς, ἧττον μὲν τοῦ πέπονος ψυχρὸς καὶ ὑγρὸς, μᾶλλον δὲ διουρητικός. καὶ δύσπεπτος καὶ κακόχυμος κἂν πεφθῇ. καθόλου δὲ πᾶσα ὀπώρα ψύχει τε καὶ ὑγραίνει, καὶ ὀλιγότροφός ἐστιν καὶ κακόχυμος.

Περὶ τῶν ἀπὸ τῶν δένδρων καρπῶν. πα.

Τὰ μὲν σῦκα καὶ αἱ σταφυλαὶ οἷον κεφάλαια τῆς ὅλης ὀπώρας εἰσί. καὶ γὰρ ἔλαττον εἰσὶ κακόχυμα, καὶ τρέφουσι μᾶλλον. αὐτῶν δὲ τούτων τὰ μὲν σῦκα μᾶλλον εἰσὶ εὐχυμώτερα καὶ τροφιμώτερα, καὶ γαστρὸς ὑπακτικά. διουρητικά τε καὶ νεφρῶν ἐκκαθαρτικά. καὶ μάλιστα τὰ πάνυ πέπειρα. καὶ αὐταὶ αἱ ἰσχάδες. φυσώδεις δὲ καὶ αἵματος οὐ χρηστοῦ γεννητικαί. διὸ καὶ φθεῖρας ἀπογεννῶσιν ἐν πλείονι χρήσει γιγνόμεναι. αἱ δὲ σταφυλαὶ μὴ διαχωρούμεναι μὲν οὐ δὲ πέττονται. ἀλλὰ καὶ ὠμὸν ἀπογεννῶσι χυμόν. διαχωρούμεναι δὲ μετριώτεραι. αἱ σταφίδες, θερμότεραι τῶν σταφυλῶν καὶ εὐστομαχώτεραι. καὶ μᾶλλον τρέφουσιν, ἧττον δὲ γαστρὸς ὑπακτικαί. τὰ δὲ συκάμινα, αἱ δὲ καὶ μόρα καλεῖται, ὑγραίνουσι μὲν πάνυ, ψύχουσι δὲ μετρίως. καὶ γαστέρα ὑπάγουσι πρῶτα ληφθέντα. καὶ οὐδὲ πάνυ κακοστόμαχα, ὀλιγότροφα δέ. τῶν δὲ κερασίων, τὰ μὲν γλυκύτερα, γαστέρα μὲν ὑπάγει, κακοστόμαχα δὲ ἐστι. τὰ δὲ στύψεως μετέχοντα, κακοστόμαχα μὲν ἧττον, οὐχ ὑπέρχεται δέ. ὁ δὲ λόγος οὗτος καὶ ἐπὶ σταφυλῆς καὶ μόρων καὶ ἑτέρων ἁρμόσει πλειόνων. καὶ καθόλου τὰ στύφοντα, πρῶτα μὲν ἐσθιόμενα τῆς ἄλλης τροφῆς ἢ πινόμενα γαστρὸς εἰσὶν ἐφεκτικά. ὅσοις δὲ διὰ ἀτονίαν ἡ γαστὴρ ἐπέχεται, τούτοις προειληφόσι τῶν λαπάττειν πεφυκότων, οἷον λαχάνων ἢ ἰχθύων ἢ ζωμῶν τοιούτων, ὕστερον προσφερόμενα τὰ στύφοντα διὰ ῥωννύειν αὐτὴν ἀπωθεῖ κάτω, καὶ πρὸς ἔκκρισιν ἐπαγείρει. ὁ δὲ τοῦ κώνου καρπὸς ὃς καὶ στρόβιλος καλεῖται, εὔχυμος μέν ἐστι καὶ παχύχυμος καὶ τρόφιμος, οὐ μὴν εὔπεπτος. τὰ δὲ περσικὰ κακόχυμά τε καὶ ὀξυνόμενα καὶ εὔφθαρτα. διὸ πρῶτα αὐτὰ δοτέον, διὰ τὸ ὑποχωρεῖσθαι ἑτοίμως καὶ μὴ διαφθείρεσθαι ἐμμένοντα τῇ γαστρί. τὰ δὲ πρεκόκκια τε καὶ † δωράκινα καὶ ἀρμένια κρείττονα τῶν περσικῶν. οὔτε γὰρ ὀξύνεται, οὔτε ὡσαύτως

Δοράκια

διαφθείρεται. εἰσὶ δὲ καὶ ἡδέα. τῶν μήλων τὰ μὲν γλυκέα τῶν ἄλλων εἰσὶ θερμότερα καὶ εὐανάδοτα. καὶ μάλιστα ὀπτώμενα ἢ ἑψόμενα. τὰ δὲ ὀξώδη, ψυχρότερα μὲν, τμητικώτερα δὲ τῶν ἐν γαστρὶ χυμῶν. τὰ δ' αὐστηρά, ῥωστικὰ μὲν στομάχου καὶ γαστρὸς ἐφεκτικά. καὶ τούτων ἔτι μᾶλλον τὰ κυδώνια. τῶν δὲ ἀπίων αἱ μεγάλαι καὶ πέπειροι, πρὸς τούτοις καὶ τροφιμώτεραί εἰσιν. αἱ δὲ ῥοιαὶ ψύχουσί τε καὶ ὀλιγότροφοι. τὰ δὲ μέσπιλα καὶ οὖα, στυπτικώτερά τε καὶ ῥεούσῃ γαστρὶ ἐπιτήδεια. οἱ δὲ φοίνικες, εὐστόμαχοι μὲν εἰ μὴ λίαν ὦσι λιπαροί, γαστρὸς δὲ ἐφεκτικοί, καὶ παχέων καὶ γλίσχρων χυμῶν γεννητικοί, καὶ κεφαλαλγεῖς. τῶν δὲ ἐλαιῶν, αἱ μὲν δρυπετεῖς κακοστόμαχοί τε καὶ λιπαροῦ χυμοῦ γεννητικαί, αἱ δὲ ἁλμάδες τε καὶ κολυμβάδες πρὸ τροφῆς ἐσθιόμεναι, εὐόρεκτοι τέ εἰσι καὶ γαστρὸς ὑπακτικαί. καὶ πλέον αἱ δι' ὄξους τε καὶ δι' ὀξυμέλιτος σκευαζόμεναι. τῶν δὲ καρύων, τὰ μὲν βασιλικά, τῶν λεπτοκαρύων ὀλιγοτροφώτερα, καὶ μᾶλλον εὐστόμαχα. τὰ δὲ χλωρὰ κάρυα, ὑγρότερα τέ ἐστι καὶ γαστρὸς ὑπακτικά. τὰ δὲ ξηρά, εἴ τις ἀποβρέξας ἐν ὕδατι τὸν ὑμένα αὐτῶν τὸν ἔνδον περιλεπίσοι, παραπλήσια τοῖς χλωροῖς αὐτὰ ἐργάσεται. τὰ δὲ ἀμύγδαλα, τμητικῆς καὶ λεπτυντικῆς ὑπάρχει δυνάμεως. διὸ σπλάγχνων καὶ θώρακός εἰσιν ἐκκαθαρτικά. καὶ ἔτι μᾶλλον τὰ πικρά. ὁμοίως δὲ καὶ τὰ πιστάκια, καὶ πλέον ἥπατος ἐκφρακτικά. τὰ δὲ δαμασκηνά, γαστέρα ὑπάγει πρὸ τροφῆς ἐσθιόμενα ὠμά τε καὶ ἐν μελικράτῳ ἑψηθέντα. τὰ δὲ σιρικά, δυσπεπτά τε καὶ κακοστόμαχα καὶ ὀλιγότροφα. τὰ δὲ κεράτια, δύσπεπτα καὶ ἐπισχετικὰ γαστρὸς καὶ κακόχυμα. τὰ δὲ συκόμορα, ψύχει τε καὶ ὑγραίνει σαφῶς. τοῦ δὲ κίτρου τὸ μὲν ἔξω, δριμὺ καὶ δύσπεπτον. ἡ δὲ οἷον σάρξ, τρόφιμος μὲν, καὶ αὐτὴ δὲ δύσπεπτος. τὸ δὲ ἐντὸς εἴτε ὀξῶδες εἴτε ὑδατῶδες εἴη, ἱκανῶς ψύχει. αἱ δὲ βάλανοι, τρόφιμοι μὲν οὐκ ἔλαττον τῶν σιτωδῶν. δύσπεπτοι δὲ καὶ παχύχυμοι καὶ βραδύποροι. τὰ δὲ κάστανα κατὰ πάντα τούτων ἀμείνω.

Περὶ ζώων καὶ πρῶτον περὶ τῶν πτηνῶν. πβ.

Ἡ τῶν πτηνῶν ζώων τροφή, τῆς ἀπὸ τῶν πεζῶν, καὶ μάλιστα τῶν ὑῶν ἐλάττων μέν ἐστιν. εὐπεπτοτέρα δὲ, καὶ μᾶλλον ἀπὸ τοῦ πέρδικος καὶ ἀτταγῆνος καὶ περιστερᾶς νέας καὶ ἀλεκτορίδος καὶ φασιανοῦ. ἡ δὲ τῶν κιχλῶν καὶ κοττύφων καὶ τῶν μικρῶν στρουθίων, ἐν οἷς εἰσὶ καὶ οἱ πυργῖται, σκληροτέρα τυγχάνει. καὶ τούτων ἔτι μᾶλλον ἥτε τῆς τρυγόνος καὶ φάττης καὶ νήττης. πολὺ δὲ δυσπεπτοτέρα καὶ σκληροτέρα καὶ ἰνωδεστέρα ἡ τοῦ ταώ. ἡ δὲ τῶν χηνῶν καὶ τῶν στρουθοκαμήλων σὰρξ περιττωματική τε καὶ δυσπεπτοτέρα πάντων τῶν προειρημένων. πλὴν τῶν πτερῶν. ταῦτα γὰρ οὐχ ἧττω τῶν ἄλλων ὀρνίθων εἰσὶν εὔχυμα. ἡ δὲ τῶν γεράνων ἰνώδης τε καὶ σκληρά. καθόλου δὲ τὰ μὲν νέα τῶν παλαιῶν, ὑγρότερα τε καὶ εὐπεπτότερα καὶ τροφιμώτερα. καὶ κατὰ γαστέρα ὑπερχόμενα. τὰ δὲ ἑφθὰ τῶν ὀπτῶν τε καὶ ταγηνιστῶν ὁμοίως διεγνώκαμεν. τὰ δὲ ἀπὸ ξηρῶν καὶ ὀρεινῶν τόπων τῶν ἐν ἕλεσι τρεφομένων. εὐπεπτότερά τε καὶ ἀπεριττα εἰσίν.

Περὶ ὠῶν. πγ.

Τὰ μὲν τῶν ἀλεκτορίδων καὶ φασιανῶν ὠὰ κρείττονα πάντων ἐστίν. τὰ δὲ τῶν χηνῶν τε καὶ

στρουθοκα-

στρουθοκάμηλον οὐ χρηστά. πάντων δὲ τὰ νέα τῶν παλαιῶν πολὺ κρείττω. καὶ τὰ μὲν τρομητὰ τρόφιμα μᾶλλον. τὰ δὲ ῥοφητὰ μᾶλλον ὑπέρχεται, καὶ τὰς ἐν φάρυγγι τραχύτητας ἐκλεαίνει. τὰ δ' ἄλλα πάντα δύσπεπτά τε καὶ βραδύπορα καὶ παχύχυμα, πλὴν τῶν καλουμένων πνικτῶν. ταῦτα δὲ γίνεται ἀναλυθέντα ὠμὰ μετὰ γάρου καὶ οἴνου καὶ ἐλαίου. καὶ ἐν διπλώμασι συμμέτρως πηγνύμενα. τὰ τοιαῦτα γὰρ εὔπεπτά τε καὶ εὔχυμα. πάντων δὲ μοχθηρότερα τὰ ταγηνιστά.

Περὶ πεζῶν ζώων. κεφ. δ.

Τῶν πεζῶν ζώων. τὰ μὲν ὕεια κρέα τροφιμώτερα τῶν ἄλλων ἐδεσμάτων εἰσί, διότι καὶ οἰκειότητά τινα κέκτηνται πρὸς τὰ ἀνθρώπινα σώματα κατὰ γεῦσιν καὶ ὀσμήν, ὥς τινες κατ' ἄγνοιαν ἀνθρωπίνων γευσάμενοι κρεῶν ἐγνώκασιν. ἡ δὲ ἐξ ἐκείνων τροφὴ γλίσχρα καὶ ἀδιαφόρητος. ἡ δὲ τῶν προβάτων, περιττωματικὴ καὶ κακόχυμος. ἡ δὲ τῶν αἰγῶν, δριμεῖα τε καὶ κακόχυμος. χείριστη δὲ ἡ τῶν τράγων πρός τε εὐχυμίαν καὶ πέψιν. ἡ δὲ τῶν βοῶν, μελαγχολική. ἡ δὲ τῶν λαγωῶν, παχύχυμος μέν, ἧττον δὲ τῆς τῶν προβάτων τε καὶ βοῶν. ἡ δὲ τῶν ἐλάφων, σκληρά τε καὶ δύσπεπτος. καθόλου δὲ τὰ μὲν νέα ὑγρότερά τε καὶ μαλακώτερα, καὶ εὐπεπτότερα τῶν παλαιῶν. καὶ τὰ εὔνουχα, τῶν ἐνόρχων. καὶ τὰ εὔτροφα, τῶν ἰσχνῶν.

Περὶ τῶν ἐν τοῖς ζώοις μορίων. κεφ. ε.

Τὰ μὲν ἄκρα, νευρώδη τέ ἐστι καὶ ἀπίμελα καὶ ἄσαρκα. καὶ διὰ τοῦτο γλίσχρα τε καὶ ὀλιγότροφα καὶ ὑπακτικὰ γαστρός. πλὴν τῶν πτιλωῶν, διὰ τὴν πολλὴν ξηρότητα. τὰ δὲ ῥύγχη καὶ τὰ ὦτα, χονδρώδη καὶ δύσπεπτα. ἡ δὲ γλῶττα, χαύνη καὶ ἄναιμος καὶ ὀλιγότροφος. οἱ δὲ ἀδένες, ἡδεῖς τε καὶ ψαφαροί. ἡδύτεροι δὲ οἱ ἐν τοῖς μαστοῖς, καὶ μάλιστα τῶν χοίρων ὅταν πλήρεις ὦσι γάλακτος. οὗτοι δὲ καὶ τρέφουσιν οὐχ ἧττον τῶν σαρκῶν. οἱ νεφροὶ δὲ καὶ ὄρχεις, βρωμώδεις τε καὶ δύσπεπτοι. οἱ δὲ τῶν σιτευτῶν ἀλεκτρυόνων, ἡδεῖς τε καὶ χρηστὴν τροφὴν παρέχουσι τῷ σώματι. ὥσπερ οὖν οἱ τῶν ταύρων τε καὶ τράγων καὶ κριῶν, δύσπεπτοι καὶ κακόχυμοι. ὁ δὲ ἐγκέφαλος, φλεγματικός τε, καὶ παχύχυμος καὶ κακόχυμος καὶ βραδύπορος καὶ δύσπεπτος καὶ κακοστόμαχος καὶ ναυτιώδης. πεπτόμενος δὲ καλῶς ἱκανός ἐστιν τρόφιμος. ὁ δὲ μυελός, λιπαρός τε καὶ ἡδύτερος ἐγκεφάλου, τὰ δὲ ἄλλα παραπλήσιος. πιμελὴ δὲ καὶ στέαρ, ὀλιγότροφα καὶ κακοστόμαχα. καρδία δὲ καὶ ἧπαρ, παχύχυμά τε καὶ δύσπεπτα καὶ βραδύπορα. τὸ δὲ τῶν χοίρων ἧπαρ ἄμεινον. σπλὴν δέ, κακόχυμός τε καὶ μελαγχολικός. πνεύμων δέ, εὐπεπτότερος μὲν ὡς χαῦνος, ἀτροφώτερος δὲ καὶ φλεγματικός. κοιλία δὲ καὶ μήτρα καὶ ἔντερα, σκληρὰ καὶ δύσπεπτα, καὶ φλέγματος γεννητικά. καθόλου δὲ ἡ ἀπὸ τῶν ἀγρίων ζώων τροφὴ τῆς τῶν ἡμέρων ξηροτέρα τέ ἐστιν καὶ μᾶλλον ἀπέριττος. ἅπαν μὲν αἷμα δύσπεπτόν ἐστιν, μάλιστα δὲ τὸ παχὺ καὶ μελαγχολικόν, οἷόν περ ὑπάρχει τὸ τῶν βοῶν. τὸ δὲ τῶν λαγωῶν ὡς ἥδιστον τετίμηται, καὶ πολλοῖς δι' ἔθους ἐστὶν ἕψειν αὐτὸ σὺν ἥπατι. τισὶ δὲ καὶ μετὰ τῶν ἄλλων σπλάγχνων. ἔνιοι δὲ καὶ τὸ τῶν νέων ὑῶν ἐσθίουσι. τὸ δὲ τῶν αἰγῶν αἷμα καὶ Ὅμηρος οἶδεν ὑπό τινων ἐσθιόμενον.

Περὶ γάλακτος καὶ τοῦ τῶν πεζῶν αἵματος. κεφ. ς.

Τὸ δὲ γάλα, πεττόμενον μὲν τρόφιμόν ἐστιν. ὅλως δὲ καὶ ὀδόντων βλαπτικόν. ὅθεν μετὰ τὴν προσφορὰν αὐτοῦ δεῖ πρῶτον μελικράτῳ, ἔπειτα δὲ οἴνῳ στύφοντι τὸ στόμα κλύζεσθαι. ἔστι δὲ καὶ κεφαλαλγές, καὶ φυσῶδες ὑποχονδρίων τε καὶ γαστρός. καὶ τῶν ἐν νεφροῖς λίθων γεννητικόν. καὶ τὸ μὲν ὑγρότερον ἧττον μὲν τρέφει, μᾶλλον δὲ γαστρός ἐστιν ὑπακτικόν. τὸ δὲ παχύτερον, ἀνάπαλιν μᾶλλον μὲν τρέφει, ἧττον δὲ ὑπέρχεται. σύμμετρον δὲ τῇ συστάσει τὸ τῆς αἰγός ἐστιν. ὥσπερ γε τὸ τοῦ προβάτου παχύτερον. καὶ τὸ μὲν εὐθὺς μετὰ τὴν ἀπότεξιν, λεπτότερον. προκόπτοντος δὲ τοῦ χρόνου, παχύτερόν τε καὶ μοχθηρότερον.

Περὶ γαλακτοποσίας. κεφ. ζ.

Τῷ γαλακτοποτοῦντι τῶν ἄλλων σιτίων ἀφεκτέον ἐστίν, ἕως ἂν πεφθῇ τε καὶ διαχωρήσῃ κάτω. ἄμεινον οὖν ἕωθεν πίνειν νεόβδαλτον, καὶ ἀσιτεῖν ἐπ' αὐτῷ, καὶ τῶν πόνων τῶν ἄγαν ἀφαιρεῖν τηνικαῦτα, ὅτι πονοῦσιν ἀνάγκη ὀξύνεσθαι. ἀλλ' ἡσυχῇ περιπατῆσαι ἄμεινον, καὶ μεταξὺ ἀγρύπνους ἀναπαύεσθαι. οὕτω γὰρ ποιοῦντι τὰ πρῶτα διαχωρεῖ. διαχωρήσαντος δέ, ἄλλο πίνειν. καὶ εἰ τοῦτο διαχωρήσει, ἄλλο. κατ' ἀρχὰς μὲν οὖν καθαίρει χρηστῶς, οὐδὲν μὲν πολὺ τοῦ ἄλλου ὄγκου, ὅσα δὲ ἐν τῇ κοιλίᾳ ἔσω ἐστίν. μετὰ δὲ τοῦτο ἤδη εἰσέρχεται εἰς τὰς φλέβας, καὶ τρέφει κάλλιστα, καὶ οὐκ ἔτι διαχωρεῖ. τοῖς δὲ χολώδεσι ῥεύμασι, καὶ ὅσαι συντήξεις ὑπὸ γαστέρα συνδέουσιν, ἑψόντα διδόναι τοῦ γάλακτος. ἕψειν δὲ τὸ μὲν πρῶτον ἡσυχῇ, καὶ ἐπ' ὀλίγον, ὡς μέρος μέντοι διαχωρῆσαι, μέρος δὲ ἔτι τακῆναι. μετὰ δὲ ἔτι μᾶλλον καὶ μᾶλλον ἕψειν, φυ-

λαοσόμενον μήτε κατακαίειν μήτε τυρὸν ἐξ αὐτοῦ ποιεῖν. φυλακτὴ δὲ ἀρίστη, μαλακῶς τε ἕψειν, καὶ τῇ κινήσει τὸ ἀφιστάμενον ἀποξύειν πάντοθεν. κινεῖν δὲ νάρθηκι λείῳ, καὶ λεπτῷ. καὶ ἤν τι ζέσῃ τοῖς χείλεσι, καὶ τοῦτο σπόγγῳ καθαίρειν, πολλάκις γὰρ ἐνθένδε καὶ τὸ ἄλλο διεφθάρη. ἕψειν οὖν ὡς εἴρηται τὸ γάλα, μέχρι παχύτερον ὁμαλῶς καὶ γλυκύτερον τοῦ ὠμοῦ γένηται. καὶ διὰ τῶν πεπυρακτωμένων δὲ κοχλάκων ἐν τῷ γάλακτι καθέσεως ἐκπίνεταί τε καὶ δαπανᾶται τὸ ἐν αὐτῷ λεπτόν τε καὶ ὀρρῶδες. καὶ τοῦτο δὲ τοῖς διὰ κοιλίας ῥεύμασι, καὶ μάλιστα τοῖς χολώδεσιν ἁρμόζει.

Περὶ τοῦ σχιστοῦ γάλακτος. πη.

Ἑψήσει σφοδροτέρᾳ διὰ πλείονος ἀκάπνου πυρὸς, διακρίνεται τὸ ὀρρῶδες τοῦ γάλακτος ἀπὸ τοῦ τυρώδους, εἶτα σηθεῖται διὰ ἠθμοῦ ἢ ῥάκους ἀκριβῶς, καὶ μίγνυται τὸ ὀρρῶδει μέλιτος τὸ σύμμετρον, ἢ ὀξυμέλιτος τὸ σύμμετρον, ἢ ἁλῶν, καὶ δίδοται πρὸς ὑπαγωγὴν γαστρός. τοῖς μὲν ἀκμάζουσι ἄχρι δύο ξεστῶν, τοῖς δὲ νεωτέροις μὴ ἔλαττον ξέστου. τὸ δὲ διὰ τῶν πεπυρακτωμένων κοχλάκων ἢ σιδήρων καθέσεως παχυνόμενον γάλα, πρός τε δυσεντερίας καὶ τὰ κατὰ γαστέρα ῥεύματα καλῶς ἂν δοθείη.

Περὶ τυροῦ. πθ.

Πᾶς μὲν τυρὸς, δριμύς τε καὶ διψώδης, καὶ δύσπεπτος, καὶ κακόχυμος, καὶ λίθων γεννητικός. ἀμείνων δὲ ἐστὶν ὁ πρόσφατός τε καὶ χαῦνος, καὶ μαλακὸς, καὶ ἡδὺς, καὶ συμμέτρων ἁλῶν μετέχων. ὁ δὲ ἐναντίος, κάκιστος.

Περὶ ἰχθύων. ϙ.

Ὅτι μὲν πᾶς ἰχθὺς ψυχροτέρας τε καὶ ὑγροτέρας ἐστὶ κράσεως, εὔδηλον. πάντων δὲ οἱ πετραῖοι καλούμενοι τῶν ἄλλων εἰσὶν ἀμείνους, εὔπεπτοί τε ὄντες καὶ εὔχυμοι, καὶ μετρίως ὑγραίνοντες, ὅτε μὴ ἔχωσι σκληρὰν τὴν σάρκα. τῶν δὲ μὴ πετραίων, οἱ πελάγιοι πολὺ διαφέρουσι τῶν ἐν ἰλύϊ τρεφομένων, ἢ ἔνθα ποταμοὶ εἰσβάλλουσιν. μοχθηρότεροι δὲ μᾶλλον, οἱ ἐν λίμναις τε καὶ λιμνοθαλάσσαις τρεφόμενοι. κατὰ μέρος δὲ, ὁ μὲν κέφαλος ἐπειδὰν πελάγιος ᾖ, μετρίως τε ἐστὶν ἡδὺς καὶ ἧττον δύσπεπτος, καὶ εὔχυμος. αἵματος δὲ λεπτομερεστέρου τε καὶ ἀτμωδεστέρου γεννητικός. ὁμοίως δὲ, καὶ λάβραξ. ἡ δὲ τρίγλα καὶ αὕτη πελάγιος οὖσα, σκληροτέρα τε τῶν ἄλλων ἰχθύων ἐστὶν καὶ ψαφαρά, καὶ εὔπεπτος, καὶ τρόφιμος, καὶ ἡδεῖα, καὶ ἀλιπής.

Περὶ τῶν ὀστρακοδέρμων. ϙα.

Καθόλου μὲν τὰ ὀστρακόδερμα τὸν ἁλυκόν τε καὶ ὠμὸν ἀπογεννᾷ χυμόν. τούτων δὲ, τὰ μὲν ὄστρεα μαλακωτάτην ἔχει σάρκα, καὶ μᾶλλον ὑπέρχεται. αἱ χῆμαι δὲ καὶ πορφύραι καὶ σωλῆνες καὶ σπόνδυλοι, καὶ κήρυκες, καὶ κοχλίοι, καὶ ὅσα τοιαῦτα, σκληρά. καὶ τὰ μαλακόστρακα προσαγορευόμενα, οἷον ἀστακοί, πάγουροι, καρκίνοι τε καὶ κάραβοι, καὶ καρίδες, δύσπεπτά τε ἐστὶν καὶ τρόφιμα καὶ ἐφεκτικὰ γαστρός, ἑψόμενα πολλάκις ἐν ὕδατι γλυκεῖ. ἅπασι δὲ τοῖς ὀστρακοδέρμοις ὑπάρχει χυλὸς ὑπακτικὸς γαστρός, διὸ καὶ τοῖς χερσαίοις κοχλίοις, καὶ τούτων σκληράν τε τὴν σάρκα καὶ δύσπεπτον ἐχόντων, καὶ τρόφιμον, καὶ κακόχυμον, τινὲς τὸν ζωμὸν ἀρτύοντες δι' ἐλαίου τε καὶ γάρου, πρὸς ὑπαγωγὴν γαστρὸς αὐτῷ κέχρηνται. οἱ δὲ ἐχῖνοι, ψυκτικοί τε μετρίως εἰσὶ καὶ ὀλιγότροφοι καὶ διουρητικοί.

Περὶ μαλακίων. ϙβ.

Τὰ δὲ μαλάκια, οἷον πολύποδες, σηπίαι, τευθίδες, σκληρά τε ἐστὶ καὶ δύσπεπτα. καὶ μᾶλλον οἱ πολύποδες. τὸν δὲ ἁλυκὸν χυμὸν ὀλίγον ἔχουσι. πεπτόμενοι δὲ, τροφὴν οὐκ ὀλίγην παρέχει τῷ σώματι.

Περὶ σελαχίων. ϙγ.

Τῶν δὲ σελαχίων, ναρκαί τε καὶ τρυγόνες μαλακήν τε καὶ ἡδεῖαν ἔχουσι τὴν σάρκα, καὶ ταχέως ὑπιοῦσαν, καὶ εὔπεπτον καὶ τρόφιμον. βάτοι δὲ καὶ λεοβάτοι. καὶ ῥῖναι, καὶ τὰ τοιαῦτα, σκληρότερα καὶ δύσπεπτα, καὶ μᾶλλον τρόφιμα. καθόλου γὰρ τὰ σκληρόσαρκα τῶν ζώων, καὶ δύσπεπτά εἰσι, καὶ τροφιμώτερα, καὶ πεπτόμενα δὲ πολλήν τε καὶ στερεὰν παρέχει τροφήν.

Περὶ τῶν κητωδῶν. ϙδ.

Τὰ κητώδη, οἷον φάλαιναι καὶ φῶκαι καὶ ζύγαιναι, καὶ δελφῖνες, καὶ οἱ μεγάλοι θύννοι, σκληρὰν καὶ δύσπεπτον καὶ παχύχυμον ἔχουσι τὴν σάρκα. ταριχευόμενα δὲ τὰ τοιαῦτα, μετριώτερα γίνεται. καὶ ἄλλων δὲ ἰχθύων οἱ ὑγρότεροι, καὶ περιττωματικώτεροι καὶ πρὸς ταριχείαν μᾶλλόν εἰσιν ἐπιτήδειοι. οἱ δὲ ἐν τοῖς ταρίχοις διαφορὰ τοιαύτη ἐστίν, οἵα καὶ ἡ τῶν ἰχθύων ἐξ ὧν γίγνονται.

Περὶ οἴνου δυνάμεως. ϙε.

Χρὴ γινώσκειν τὸν πεφροντικότα τῆς ὑγιείας, καὶ περὶ οἴνου δυνάμεως. καθόλου μὲν γὰρ πᾶς

οἶνος

οἶνος τρέφει. ἀλλ' ὁ μὲν ἐρυθρὸς καὶ παχὺς μᾶλλον μὲν τρέφει, οὐκ εὔχυμος δέ, ὁ δὲ γλυκὺς καὶ αὐτὸς μὲν τρόφιμος, οὐκ εὐστόμαχος δέ. ὁ δὲ στύφων, εὐστόμαχος μέν, δυσανάδοτος δέ, καὶ ἧττον τρέφει. ἔτι δὲ ἧττον, ὁ λευκός. ἄριστος δὲ τῶν οἴνων, ὁ κιρρὸς τὴν χρόαν. ὁ δὲ παλαιότερος, τοῦ νέου θερμότερός τε καὶ ξηρότερος. αὕτη μὲν ἡ τοῦ οἴνου δύναμις, ὡς ἐν κεφαλαίῳ. καθάπαξ δὲ ὁ οἶνος ἀναζωπυρεῖ τὸ ἐν ἡμῖν θερμόν. καὶ διὰ τοῦτο αἱ πέψεις ἀμείνους γίνονται, καὶ τὸ αἷμα χρηστόν. τὴν δὲ τροφὴν μετάγει πανταχοῦ, πόριμος ὤν. διὸ καὶ τοὺς ἐκ νόσων ἰσχνωθέντας, εὐτρόφους ἀπεργάζεται, ποιεῖ γὰρ καὶ ὀρεκτικοὺς τροφῶν. καὶ τὸ μὲν φλέγμα λεπτύνει, τὴν δὲ χολὴν δι' οὔρων ἐκκαθαίρει, καὶ εὔχροιαν ἐργάζεται. καὶ τῇ ψυχῇ δὲ εὐφροσύνην καὶ ἡδονὴν ἐμποιεῖ, καὶ ῥώμην παρέχει. τούτων μὲν οὖν τῶν ἀγαθῶν ὁ μέτρῳ πινόμενος αἴτιος γίνεται. τῶν δὲ ἐναντίων, ὁ ἄμετρος. διὰ τοῦτο οἱ μεθυσθέντες, τρέπονται, καὶ παρανοοῦσι, καὶ καταφορικοὶ γίνονται. διὸ φεύγειν χρὴ τὴν εἰς τοσοῦτον ἀμετρίαν τοῦ οἴνου πόσεως. διὰ χρόνου δὲ πλείονος, ὠφελικῶς συμφέρει πίνειν, τήν τε γὰρ δι' οὔρων κάθαρσιν δαψιλῆ κινεῖ, καὶ ἱδρῶτας προχεῖ. κάλλιον δὲ ἐπὶ τούτοις καὶ ἐμεῖν, μελικράτου προλαβόντας ὡς μηδὲ μικρὸν ὑπ' αὐτοῦ βλαβῆναι. κωθωνιζόμενος δέ, τῆς μὲν ἄλλης τροφῆς μὴ ἄγαν ἐμπιπλάσθω, πίνων δέ, ἐν τῷ μεταξὺ ἐσθιέτω κράμβην ἑφθήν, καὶ τραγημάτων γευέσθω, καὶ μάλλον τῶν ἀμυγδάλων. ταῦτα δὲ καὶ τὰς κεφαλαλγίας κουφίζει, καὶ τοῖς ἐμοῦσιν οὐδαμῶς ἐστιν λυπηρά. κάλλιον δὲ καὶ τοῦ ἀψινθίου τὸ ἀπόβρεγμα πρὸ τοῦ πότου λαμβάνειν, πάντων γάρ ἐστιν ἀκραιπαλώτατον. εἰ δὲ καὶ δάκνοιντό τινες ὑπὸ τοῦ οἴνου, ψυχρὸν ὕδωρ πίνειν. τῇ δὲ ὑστεραίᾳ πάλιν τοῦ ἀψινθίου πίνειν. περιπάτοις τε καὶ ἀνατρίψεσι καὶ λουτρῷ καὶ ἐλάττονι τροφῇ χρησαμένους, ἀνακομισθῆναι.

Περὶ μέλιτος καὶ μελικράτου. ϙϛ.

Τὸ μέλι ἑψόμενον μέν, τρέφει μᾶλλον ἤπερ ὑπάγει γαστέρα. μὴ ἑψόμενον δέ, ἀνάπαλιν. καὶ ταῖς μὲν ψυχραῖς καὶ ὑγραῖς κράσεσι συμβάλλεται, ταῖς δὲ θερμαῖς ἐκχολοῦται. καὶ μελίκρατον δέ, οὐ πάνυ τοῖς πικροχόλοις ὠφέλιμόν ἐστιν, ἐκχολούμενον αὐτοῖς. συμφέρει τοίνυν ὑδαρέστερον ἐπὶ τῶν τοιούτων φύσεων δεδόσθαι τὸ μελίκρατον. ἀνεπιτήδειον δὲ καὶ τοῖς ἔχουσιν εὐπαθῆ τὰ σπλάγχνα. σκευάζειν δὲ τὸ μελίκρατον καὶ ὀκταπλάσιον μιγνύντας ὕδωρ τοῦ μέλιτος, καὶ οὕτως ἕψοντας ἄχρι περ ἂν ἀφρίζον παύσηται. προσήκει δὲ αἴρειν ἀπ' αὐτοῦ συνεχῶς τὸν ἀφρὸν εὐθὺς ἅμα τῷ γεννᾶσθαι.

Περὶ ὕπνου. ϙζ.

Ἀκόλουθόν ἐστιν ἐπὶ πᾶσι τοῖς περὶ διαίτης εἰπεῖν τι καὶ περὶ ὕπνου, διότι καὶ πάντων ὕστατος ὡς τὸ πολὺ παραλαμβάνεται. ὁ τοίνυν ὕπνος, ὡς τύπῳ φάναι, τῶν ψυχικῶν ἐστι δυνάμεων ἀνάπαυσις, χρηστῆς ὑγρότητος ἐπιτεγγούσης τὸν ἐγκέφαλον γιγνόμενος. ὀρθῶς δὲ παραλαμβανόμενος, πολλὰ δύναται δρᾶν ἀγαθά. σιτία τε κατεργάζεται, καὶ χυμοὺς ἐκπέπτει, καὶ ὀδύνην παρηγορεῖται, κόπους τε παραμυθεῖται καὶ τῶν συντεταμένων χάλασιν ἀπεργάζεται. καὶ ψυχικῶν δὲ παθῶν λήθην ἱκανὸς ἐμποιῆσαι, καὶ παρακοπτικὸν λογισμὸν ἐπανορθώσασθαι. καιρὸς δὲ τοῦ ὕπνου ἄριστος μέν, ὁ μετὰ τροφήν. ἀλλ' ὁ μεθ' ἡμέραν οὐ πᾶσιν ἐπιτήδειος. οὐ γὰρ ἐξαρκεῖ πρὸς ἐντελῆ τῶν σιτίων κατεργασίαν ὁ χρόνος ἐν ᾧ καθεύδουσι. διακοπτομένης δὲ πρὸ ὥρας τῆς πέψεως ἐκ τῆς μεσημβρείας ἐξανιστάμενοι, πολλάκις ὀξυρεγμιώδεις γίγνονται, καὶ φυσῶν ἐμπίπλανται. τινὲς δὲ καὶ κλύδωνας ἴσχουσι, πλὴν εἰ μὴ διὰ ἔθος ἢ τὸ αὐτάρκως ὑπνῶσαι, ταῦτα μὴ γένοιτο. ἄριστοι δὲ τῶν ὕπνων εἰσὶν οἱ νυκτερινοί. φύσει γὰρ ἡ τῆς νυκτὸς ὑγρότης καὶ ἠρεμία καταφορικὴ τυγχάνουσα, πέψιν τελείαν ἀπεργάζεται. μετὰ γὰρ τοὺς νυκτερινοὺς ὕπνους ὡς κάλλιστα πρὸς ἔκκρισιν ἐπειγόμεθα. ὅρος οὖν ἔσω τοῦ κατὰ τὸν ὕπνον χρόνου, ἡ τῶν σιτίων τελεία πέψις, ταῖς ἐρυγαῖς τε καὶ τῇ τῆς γαστρὸς προστάλσει γιγνωσκομένη. μεθ' ἣν οὐδ' ἡ ἐγρήγορσις ἄχρηστος, τὴν τῶν ἐκ τῆς πέψεως περιττωμάτων ἐργαζομένη διαχώρησιν.

Περὶ ἀγρυπνίας. ϙη.

Ἡ μὲν ἐπὶ τῶν ἤδη νοσούντων ἀγρυπνία, δι' ὀδύνην ἢ πυρετόν, ἢ ὀξύτερόν τι σύμπτωμα γιγνομένη, τῆς ἰάσεως ἐν τῷ περὶ πυρετῶν τεύξεται λόγῳ. περὶ δὲ τῆς τῶν ὑγιαινόντων ἀγρυπνίας νυνὶ λεκτέον. εἰ μὲν οὖν διὰ λύπην, ἢ φροντίδα, ἤ τι τῶν ψυχικῶν ἀγρυπνοῖεν παθῶν. πρῶτον μὲν τὸ λυπηρόν, εἰ οἷόν τε ἐστίν, ἀνακόψωμεν. ἔπειτα καὶ τοῖς τῶν ἡδέων ἤχων ἀκούσμασι, τὸν λογισμὸν ἀπαγέσθωσαν. τινὲς δὲ καὶ ἦχον ὕδατος ἡσυχῇ πρὸς τοῦτο μηχανῶνται, δι' οὗ θελγόμενοι πρὸς ὕπνον κατάγονται. βαλανείοις τε καὶ μάλιστα τοῖς ἑσπερινοῖς, εὐπέπτοις κεχρήσθωσαν, ὑγραινούσῃ τε τροφῇ, οἷον θριδακίναις καὶ τοῖς ὁμοίοις. καὶ τῆς μελαίνης δὲ μήκωνος ἔσθ' ὅτε φύλλα χλωρὰ τοῖς ὄψοις συγκαταμιγνύτωσαν, καὶ ἰχθύων εὐπέπτων ἐσθιέτωσαν. οἴνῳ τε πλείονι καὶ λεπτῷ καὶ μὴ παλαιῷ χρήσθωσαν. μέλλοντες δὲ ἀνακλίνεσθαι, ῥοδίνῳ τὴν κεφαλὴν ἀλειφέσθωσαν, ἢ ἐλαίῳ ἐν ᾧ κώδυαι ἢ μανδραγόρας ἀφέψηται. καὶ τὸ ἀνήθινον δὲ τὸ μὴ παλαιόν, τῶν ὑπνωτικῶν ἐστίν. εἴδιον δὲ καὶ μετὰ κόπον προυγρησαμένων, ἀναπαύσεως ἐξαπίνης ἐπιγενομένης

ὕπνον ἐμποιῆσαι. καὶ συνουσία δὲ σύμμετρος, αὐτὸ τοῦτο ἔδρασεν. ἕτεροι δὲ καὶ τὴν κεφαλὴν ἢ τοὺς πόδας ψυχόμενοι, ῥαδίως ἀφυπνοῦσιν. εἰ δὲ διὰ πλῆθος ἢ μοχθηρίαν τροφῆς βαρυνόμενοι τὸν στόμαχον ἀγρυπνοῖεν (καὶ τοῦτο γὰρ ἴσμεν γιγνόμενον, ὥσπερ αὖ πάλιν ἕτεροι παρὰ τὸ συνήθως ἀσιτήσαντες ἢ ὀλιγοσιτήσαντες ἐγρύπνησαν) ἐπισκέπτεσθαι δεῖ, καὶ τὴν αἰτίαν ὑποτέμνεσθαι.

Περὶ καταφορᾶς. ϟθ.

Εἰ δὲ τὸ ἀνάπαλιν βαθεῖς τε καὶ καταφορικοὶ γίγνοιντο οἱ ὕπνοι, λουτρῶν τε συνεχῶν αὐτοὺς ἀφέξομεν, καὶ τῆς ἐμψυχούσης ἀλοιφῆς. ἀποφλεγματισμοῖς τε χρησώμεθα, καὶ τὸ ὅλον ἐπὶ τὸ θερμότερόν τε καὶ ξηρότροφον καὶ ὀλιγότροφον αὐτοὺς μετενέγκωμεν. ὑπὸ ψυχροτέρας ὡς μάλιστα καὶ ὑγροτέρας ὕλης τὸν ἐγκέφαλον διαβρεχούσης, τούτου συμβαίνοντος.

Διοκλέους ἐπιστολὴ προφυλακτική. ρ.

ΔΙΟΚΛΗΣ ἈΝΤΙΓΌΝΩ͂Ι ΒΑΣΙΛΕΙ͂.

Ἐπειδή σοι συμβαίνει μουσικωτάτῳ πάντων βασιλέων γεγονέναι, καὶ πλεῖστον χρόνον βεβιωκέναι, φιλοσοφίας τε πάσης ἔμπειρον ὄντα τυγχάνειν, καὶ τοῖς μαθηματικοῖς προσαγωνιστήν. ὑπολαμβάνων βασιλικὴν καὶ οἰκείαν εἶναι τὴν φιλοσοφίαν, τὴν περὶ τῶν ὑγιεινῶν ἀκοήν τε καὶ θεωρίαν, γέγραφά σοι πόθεν αἱ νόσοι τοῖς ἀνθρώποις συνίστανται, καὶ τινῶν προγιγνομένων σημείων, καὶ πῶς ἄν τις αὐταῖς βοηθῶν ἐπιτυγχάνοι. ὅτι γὰρ χειμὼν ἐν τῷ οὐρανῷ συσταίη ποτὲ μὴ οὐχὶ σημείων τινῶν προγιγνομένων, οἵπερ παρακολουθοῦσιν οἱ ναυτικοί, καὶ οἱ πολύπειροι τῶν ἀνθρώπων. ὅτι πάθος ἐν ἀνθρώπου φύσει συσταίη ποτὲ μὴ οὐχὶ σημείου τινὸς προγιγνομένου. σὺ δὲ πεισθεὶς τοῖς ὑφ' ἡμῶν λεγομένοις, παρακολουθήσεις τῇ ἀκριβείᾳ τῇ περὶ αὐτῶν. διαιρούμεθα δὴ τὸ σωμάτιον τοῦ ἀνθρώπου εἰς μέρη τέσσαρα. κεφαλήν, θώρακα, κοιλίαν, κύστιν. Ἐπειδὰν γὰρ μέλλῃ πάθος περὶ τὴν κεφαλὴν ἐπιπλεῖον συνίστασθαι, προσημαίνειν εἴωθεν σκοτόδινος, καὶ ἀλγηδὼν κεφαλῆς, καὶ βάρος ἐν ταῖς ὀφρύσιν, ἦχοι ὤτων, νυγμοὶ κροτάφων. οἱ ὀφθαλμοὶ τὸ πρωὶ δακρύουσι μετὰ τῆς ἀμβλυώσεως, καὶ ὀσφραίνεται οὐδενός. τὰ οὖλα τῶν ὀδόντων μετέωρα γίγνεται. ὅταν οὖν τοιοῦτόν τι προσημαίνῃ, τὴν κεφαλὴν δεῖ καθαίρεσθαι, φαρμάκῳ μὲν μηδενί. λαβὼν δὲ ὑσσώπου ἢ ὀριγάνου τὰς κεφαλάς, τρίψας καὶ ἀναζέσας ἐν χυτριδίῳ μετὰ γλυκέος ἢ ἑψήματος ἡμικοτυλίου, τοῦτο νῆστις ἀκροφῶν διακλύζου τὸ στόμα, καὶ ἀναγαργαρίζων ἀπορρευμάτιζε. ταύτης οὐκ ἔστιν ἐλαφροτέρα θεραπεία τῶν περὶ τὴν κεφαλὴν παθῶν. ἄριστον δὲ καὶ τὸ σίνηπι διειμένον μελικράτῳ θερμῷ. τοῦτο νῆστις ἀκροφῶν, ἀναγαργαρίζου καὶ ἀπορρευμάτιζε. δεῖ δὲ προθερμαίνειν τὴν κεφαλήν, συσκεπάσαντα ὅπως τακῇ τὸ φλέγμα, εὐκόπως ἐπακούσῃ πρὸς τὴν ἐκροήν. τοῖς δὲ ἀμελοῦσι τῶν τοιούτων σημείων τάδε εἴωθεν ἐπιγίγνεσθαι τὰ ἀρρωστήματα. ὀφθαλμίαι, ἀπογλαυκώσεις, τὰ ὦτα ῥήγνυνται, χοιράδες ἐν τῷ τραχήλῳ γίνονται, ἐγκεφάλου σφακελισμός, κόρυζα, συνάγχη νύκτωρ, τερηδόνες, σταφυλή, τριχῶν μάδησις, ἕλκωσις κεφαλῆς, ὀδόντων πόνος. Ὅταν δέ τι περὶ τὸν θώρακα μέλλῃ γίνεσθαι, τούτων τι προσημαίνειν εἴωθεν. ἱδρὼς ἐπιγίγνεται εἰς ὅλον τὸ σῶμα, καὶ τὸν θώρακα, καὶ τὴν γλῶτταν παχεῖαν ἔχειν. πτύειν ἁλυκά, ἢ πικρά, ἢ χολώδη. ὑπὸ τὰς πλευρὰς ἢ ὠμοπλάτας, ἀλγήματα γίγνεσθαι δίχα προφάσεως. χάσμαι συνεχεῖς. ἀγρυπνίαι. πνιγμοί. δίψος ἐξ ὕπνου. ἀηδῶς ἔχειν τὴν ψυχήν. ψυγμοὶ στήθους καὶ βραχιόνων. χειρῶν τρόμος. βοηθεῖν δὲ δεῖ αὐτοῖς ἐμφρόνως τόνδε τὸν τρόπον. ἐμετοποιείσθω ὡς βέλτιστα ἀπὸ δείπνου ἄνευ πλησμονῆς. ἄνευ φαρμακείας. χρήσιμοι δὲ καὶ οἱ νῆστιν ἔμετοι, οὓς καλοῦσί τινες συρμαϊσμούς. δεῖ δὲ τὸν μέλλοντα συρμαΐζειν προφαγεῖν ῥαφανίδας λεπτάς, κάρδαμον, εὔζωμον, σίναπι, ἀνδράχνην. εἶτα ἐπιπιόντα ὕδωρ χλιαρόν, οὕτως ἐμεῖν. τοῖς δὲ καταφρονοῦσι τῶν τοιούτων σημείων, τάδε εἴωθεν ἐπιγίγνεσθαι τὰ ἀρρωστήματα. πλευρῖτις, περιπνευμονία, μελαγχολία, πυρετοὶ ὀξεῖς, φρενῖτις, λήθαργος, καῦσος λυγμώδης. Ἐπειδὰν δέ τι μέλλῃ περὶ τὴν κοιλίαν πάθος ἐπιπλεῖον συνίστασθαι, τούτων τι προσημαίνει. πρότερον ἡ κοιλία συστρέφεται, καὶ ταράττεται αὐτὴ ἐν ἑαυτῇ. τὰ σιτία καὶ τὰ ποτὰ πικρὰ φαίνεται. γονάτων βάρος. ὀσφὺν μὴ δύνασθαι κάμψαι. πόνοι ὅλου τοῦ σώματος, καὶ δίχα προφάσεως. νάρκη σκελῶν. πυρέτια μικρά. ὅταν τι τούτων προσημαίνῃ, τὴν κοιλίαν δεῖ μαλακὴν προπαρασκευάζειν μετὰ διαίτης. ἄνευ φαρμακείας. ἔστι δὲ πλείω καὶ ἀσφαλῆ, οἷς τισι χρώμενος οὐκ ἂν διαμάρτοις. σευτλία μελικράτῳ καθεψημένα, σκόρδα ἑφθά, μαλάχη, λάπαθα, λινόζωστις, μελιτώματα. πάντα γὰρ ὑπακτικὰ κοιλίας ἐστίν. ἐὰν δὲ ἐπιτείνῃ τι τῶν σημείων, κνήκου χύλισμα παραμιγνύειν εἰς ἅπαντα τὰ ἑψήματα, ἡδύτερα γὰρ οὕτω καὶ ἀκίνδυνα. χρήσιμος δέ ἐστιν ἡ λεία κράμβη καθεψημένη ἐν ὕδατι πολλῷ, ταύτης ὁ χυλὸς πινόμενος μετὰ μέλιτος καὶ ἁλός, ἔτι δὲ δεῖ

ὡς

ὡς κοτύλας τέσσαρας. ἢ τῶν ἐρεβίνθων ἢ ὀροβίων καθηψημένων τὸ ὕδωρ πινόμενον, τὸν αὐτὸν τρόπον ποιεῖ νῆστι. τοῖς δὲ ἀμελοῦσι τῶν τοιούτων σημείων, τὰ δὲ ἔωθεν γίγνεσθαι τὰ πάθη. κοιλίας διάῤῥοια, δυσεντερία, λειεντερία, εἰλεός, ἰσχίας, πυρετὸς τριταῖος, ποδάγρα, ἀποπληξία, αἱμοῤῥοΐδες, ἀρθρῖτις. Ὅταν δέ τι μέλλῃ πάθος περὶ τὴν κύστιν ἐπὶ πλέον συνίστασθαι, τάδε προσημαίνειν εἴωθεν. ἀπὸ σιτίων ὀλίγων πλήρη δοκεῖν εἶναι, φῦσαι, ἐρυγαὶ, ἄχροιαι ὅλου τοῦ σώματος, ὕπνοι βαρεῖς, καὶ τὰ οὖρα τελείως μόλις ἐμπορευόμενα, οἰδήματα περὶ τὰ αἰδοῖα γίγνονται. ὅταν οὖν τι τούτων τι προσημαίνῃ, βοηθεῖν δεῖ τοῖς διουρητικοῖς ἀρώμασιν ἀσφαλέστατα. ἔστι δὲ μαράθρων καὶ σελίνων τὰς ῥίζας ἀποβρέχειν ἐν οἴνῳ λευκῷ εὐώδει, τοῦτο πίνειν ἑκάστης ἡμέρας νῆστιν πρωῒ κυάθους δύο μεθ' ὕδατος δαύκου, σμύρνης, ἐλαινίου, ὅτι ἂν ἔχῃς τῶν τοιούτων, ἅπαντα γὰρ ὠφελεῖ. ἢ τῶν ἐρεβίνθων τῶν ἀποβεβρεγμένων τὸ ὕδωρ πινόμενον μετ' οἴνου τὸν αὐτὸν τρόπον. τοῖς δὲ ἀμελοῦσι τῶν τοιούτων σημείων, τάδε εἴωθεν ἐπιγίγνεσθαι. ὕδρωψ, σπλὴν μέγας, ἥπατος πόνος, λιθίασις, νεφρῖτις, στραγγουρία, πλησμὸς κοιλίας. Ἐφ' ἁπάντων δὲ τῶν τοιούτων σημείων. τοῖς μὲν νηπίοις, ἠπίους καὶ τὰς θεραπείας προσάγειν. τοῖς δὲ μείζοσιν, ἐνεργεστέρας. γέγραφα δέ σοι καὶ περὶ τῶν τροπῶν τῶν εἰς τὸν ἐνιαυτόν, ἐν αἷς ἕκαστα γίγνεται. τίνα τε δεῖ προσφέρεσθαι, καὶ τίνων ἀπέχεσθαι. ἄρξομαι δὲ ἀπὸ τροπῶν χειμερινῶν. Τροπὴ χειμερινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις κατάῤῥουν, ὑγρασίαν, ἕως ἰσημερίας ἐαρινῆς. δεῖ οὖν προσφέρεσθαι τὰ θερμότερα, καὶ ἀκρατέστερον πίνειν, καὶ ἀκρατοποτεῖν, καὶ ἀπὸ τοῦ ὀριγάνου πίνειν, καὶ συνουσιάζειν. εἰσὶ δὲ εἰς ἰσημερίαν ἡμέραι ϟ. Ἡ ἰσημερία ἐαρινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις φλέγμα, καὶ τοὺς γλυκεῖς ἰχῶρας τοῦ αἵματος ἕως πλειάδος ἐπιτολῆς. χρῶ τοῖς ὀπωδεστάτοις καὶ δριμέσι, καὶ φιλοπόνει. καὶ συνουσίαζε. εἰσὶ δὲ εἰς πλειάδος ἐπιτολὴν, ἡμέραι μς. Πλειάδος ἐπιτολή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις χολὴν πικρὰν καὶ τοὺς πικροὺς ἰχῶρας, ἕως θερινῶν τροπῶν. χρῶ τοῖς γλυκέσι πᾶσι, κοιλίας λυτικοῖς, καὶ ὡς ἐλάχιστα συνουσίαζε. εἰσὶ δὲ εἰς τροπὰς θερινὰς ἡμέραι με. Τροπαὶ θεριναί. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις χολὴν μέλαιναν, ἕως ἰσημερίας φθινοπωρινῆς. χρῶ οὖν ψυχροῖς, καὶ τοῖς εὐώδεσι πᾶσι. καὶ ὡς ἥκιστα συνουσίαζε, ἢ προσφέρου ἀκακώτερον ἢ γέγραπται περὶ τῶν ἀφροδισίων. εἰσὶ δὲ εἰς ἰσημερίαν φθινοπωρινὴν ἡμέραι ϟγ. Ἰσημερία φθινοπωρινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις φλέγμα, καὶ τὰ λεπτὰ ῥεύματα. ἕως πλειάδος δύσεως. δεῖ οὖν ἀποῤῥευματίζειν, καὶ προσφέρεσθαι δριμύτατα. καὶ ὀπωδέστατα. καὶ ἐμετοποιεῖσθαι ὡς ἐλάχιστα, φιλοπονεῖν τε καὶ τὸ συνουσιάζειν ἀπέχεσθαι. εἰσὶ δὲ εἰς πλειάδος δύσιν ἡμέραι μς. Πλειάδος δύσις. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις φλέγμα ἕως τροπῶν χειμερινῶν. δεῖ οὖν προσφέρεσθαι τὰ στρυφνότατα. καὶ πίνειν οἰνάριον ὡς ἥδιστα. καὶ τοῖς λιπαροῖς χρῆσθαι. καὶ φιλοπονεῖν. εἰσὶ δὲ εἰς τροπὰς χειμερινὰς, ἡμέραι με.

ΤᾺ ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΔΕΥΤΈΡΟΥ ΒΙΒΛΊΟΥ.



ΠΕΡΙ ΠΥΡΕΤΩΝ ΕΚ ΤΩΝ ΓΑΛΗΝΟΥ ΚΑΙ ἙΤΕΡΩΝ ΠΛΕΙΟΝΩΝ α.



ΜΕΤΑ ΤΗΝ ΤΩΝ ὙΓΙΕΙΝΩΝ ΔΙΔΑΣΚΑΛΙΑΝ ἘΠῚ τὴν τῶν ἤδη νοσούντων ἀφικνούμενοι διόρθωσιν, ἀπὸ τῶν ὁμοιομερῶν νοσημάτων ὡς ἁπλουστέρων ἀρξόμεθα. τοιαῦτα δέ εἰσι, μάλιστα τὰ πυρετικὰ προσαγορευόμενα. πάλιν οὖν τῇ κατὰ τὸν Ὀριβάσιον ἐκ τῶν Γαληνοῦ, ὡς μὲν ὡς μάλιστα, καὶ ἑτέρων δὲ πλειόνων ἐπιτομῇ χρώμενοι συνόψει, καὶ ἡμεῖς ἐλάχιστά τινα παραλελειμμένα προσθήσομεν.

Πόσα καὶ τίνα κεφάλαια χρὴ ζητεῖν περὶ τῶν πυρετικῶν μάλιστα νοσημάτων. β.

Πρῶτον μὲν εἰ σωτήριον εἴη τὸ νόσημα ἢ ὀλέθριον. καὶ εἰ σωτήριον, πότερον ὀξὺ ἢ χρόνιον. ταῦτα μὲν κἀπὶ τῶν ἄλλων τῶν μεγάλων ἁρμόσει ζητεῖν νοσημάτων. καὶ τρίτον, πότερον ἀθρόως κριθήσεται, ὃ μάλιστα τῶν πυρετῶν ἴδιον. ἢ κατὰ μέρος λυθήσεται.

Ἐκ τῶν Γαληνοῦ, ποίαν ἀρχὴν τοῦ νοσήματος φήσομεν. γ.

Οὐ γὰρ δὴ ταυτόν ἐστι, κεφαλῆς ἄλγημα καὶ πυρετός. ὥσπερ οὐδὲ ἀγρυπνία καὶ ἀνορεξία, καὶ βάρος ὅλου τοῦ σώματος ἢ κοπώδης αἴσθησις, ἀλλὰ ἕκαστον τούτων, ἕτερόν τι τοῦ πυρετοῦ ὑπάρχον, ἀγγέλλει πυρετόν. πυρετὸς εἰσβάλλων καὶ μάλιστα ὀξὺς, οὔτε ἡμᾶς λαθεῖν, οὔτε ἰδιώτην τινὰ δύναται. θὲς δ᾽ εἰ βούλει καὶ λαθεῖν, ἀλλὰ θαυμάζοιμεν ἂν εἰ πλέον ὥρας λήσει τὸν κάμνοντα. διόπερ ἐκεῖνον τὸν χρόνον ἀρχὴν εἶναι τοῦ νοσεῖν φήσομεν, ἡνίκα σαφῶς πυρέττειν ἀρξάμενοι κατεκλίθησαν.

Πόθεν γνωστέον εἰ σωτήριον εἴη τὸ πάθος ἢ ὀλέθριον. δ.

Ὀλέθρια μὲν ἐστι σημεῖα. οἷον νεκρῶδες πρόσωπον, ὀξεῖα ῥίς, ὀφθαλμοὶ κοῖλοι, καὶ τὰ λοιπὰ τὰ ὑφ᾽ Ἱπποκράτους εἰρημένα, μὴ ἐξ ἀγρυπνίας ἢ κενώσεως ἢ ἀσιτίας τούτων συμβεβηκότων. καὶ τὸ τὴν αὐγὴν φεύγειν, ἢ δακρύειν μὴ ἐκ τινος ἔξωθεν αἰτίας, μὴ δὲ μίαν τῶν ὀφθαλμῶν ἴδιον ἐχόντων πάθος. καὶ τὸ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐλάττονα φαίνεσθαι. ἢ καὶ τὰ λευ-

κα αὐτῶν, ἐρυθρὰ ἢ πελιδνά, ἢ μέλανα. ἢ καὶ λήμας ἐν αὐτοῖς. καὶ τὸ ἐν τοῖς ὕπνοις τὰ λευκὰ τῶν ὀφθαλμῶν φαίνεσθαι, μὴ συμβαλλομένων τῶν βλεφάρων, ἐκτὸς εἰ μὴ πολλή τις ἐγγένοιτο κένωσις, ἢ διὰ ἔθος αὐτοῖς εἴη τὸ σύμπτωμα. καὶ τὸ τοὺς ὀδόντας δὲ πρίζειν, ἢ παραφρονεῖν, ἢ κροκυδίζειν, ἢ καρφολογεῖν, οὐ σωτήριον. προσεκτέον δὲ καὶ τῇ κατακλίσει. τὸ γὰρ ὕπτιον κεῖσθαι καὶ οἷον παρειμένον, ἢ καὶ καταῤῥεῖν ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, ἐσχάτης ἀσθενείας τεκμήριον. ἔτι δὲ χεῖρον τὸ ψυχρὸν ἀναπνεῖν ἀπό τε τῶν ῥινῶν καὶ τοῦ στόματος, καὶ ἡ τῶν σφυγμῶν ἀμυδρότης καὶ πυκνότης, καὶ τὸ ἐκλιμπάνειν αὐτούς, καὶ τὸ συγκοπτικῶς ἱδροῦν, τῶν ὀλεθρίων ἐστίν. ἐὰν οὖν ἢ πάντα τὰ εἰρημένα σημεῖα ἢ τὰ πλείονα τούτων φανείη, ἢ καὶ ἥττονα μὲν ἰσχυρὰ δέ, μηδενὸς παρόντος τῶν τῆς σωτηρίας σημείων, ὁ θάνατος ἀπαραίτητος. εὔπνοια δὲ καὶ εὐσφυξία, καὶ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφοράς, καὶ τὸ πρόσωπον καὶ ἡ κατάκλισις ὅμοια τοῖς τῶν ὑγιαινόντων, ἀγαθὰ καὶ περιεκτικά ἐστι. καὶ καθόλου τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλέθρια, τὰ δὲ ὅμοια σωτήρια. περὶ δὲ τῶν ἀπὸ τῶν οὔρων καὶ τῶν διαχωρημάτων καὶ πτυσμάτων προγνώσεως, μετ' ὀλίγον εἰρήσεται.

Πόθεν διαγιγνώσκομεν πολυχρόνιον νόσημα. ε.

Ἐκ τεσσάρων διαγιγνώσκεται τοῦ νοσήματος ὁ χρόνος, ἐκ τῆς κινήσεως αὐτοῦ τοῦ νοσήματος, ἐκ τῆς τοῦ κάμνοντος ἕξεως, ἐκ τῶν σφυγμῶν, ἐκ τοῦ τῶν πυρετῶν εἴδους. ἐκ μὲν τῆς τοῦ νοσήματος κινήσεως οὕτως. εἰ μὲν οἱ τέσσαρες τοῦ μερικοῦ παροξυσμοῦ καιροὶ θᾶττόν τε καὶ ἐν ἐλαχίστῳ περαίνοιντο χρόνῳ, κάτοξυ ἂν εἴη τὸ νόσημα, οὗπερ ἔσχατος ὅρος ἐστίν, ἡ ἑβδόμη. τὰ δὲ πολλά, κατὰ τὴν τετάρτην κρίνεται. εἰ δὲ ἐν πλείονι μὲν τοῦδε, μὴ ὑπερβάλλοι δὲ δυοκαίδεκα ὡρῶν διάστημα, ὀξὺ προδηλοῦται. τῆς τεσσαρεσκαιδεκάτης εἴσω μάλιστα κρινόμενον. εἰ δέ γε πλείονας ὥρας παρατείνοι, ὥστε τὴν ἀρχὴν μόνον καὶ τὴν ἀνάβασιν ἐν τῷ πλείονι τῆς ἡμέρας τε καὶ τῆς νυκτὸς διανύσαι χρόνῳ, τὸ τοιοῦτον νόσημα χρόνιόν ἐστιν. εἰ δὲ μὴ ἔχοι μερικὸς παροξυσμὸς ἡ νόσος, ἀλλ' ἀπὸ ἀρχῆς ἄχρι τέλους οἷον εἷς ὑπάρχει παροξυσμός, καθάπερ ἐπὶ συνόχων, καὶ τοῦτο δήπου τῶν ὀξέων ἂν εἴποις. ἐκ δὲ τῆς τοῦ κάμνοντος ἕξεως οὕτω γνωσθήσεται, εἰ μὲν ἤδη μετρίαν ἔχοι τὸ πρόσωπον, εἰ καὶ τὸ λοιπὸν σῶμα σύμπτωσιν, ὀξὺ προδηλοῦται τὸ νόσημα. εἰ δὲ παντάπασιν ἀσύμπτωτον, χρόνιον ἔσται. πλῆθος γὰρ ὕλης δηλοῦται, χρόνῳ πλείονι πεφθησομένης. ἀπὸ δὲ τῆς τῶν ἀρτηριῶν κινήσεως, οὕτως. μέγας μὲν καὶ σφοδρὸς καὶ ταχὺς καὶ πυκνὸς ὁ σφυγμός, ὀξείας ἂν εἴη νόσου δηλωτικός. ὁ δὲ ἐναντίος, χρονίας. ἀπὸ δὲ τοῦ τῶν πυρετῶν εἴδους, καθ' ὅσον οἱ μὲν θερμοὶ καὶ διακαεῖς, ὀξεῖαν δηλοῦσι τὴν νόσον. οἱ δὲ μαλθακώτεροι καὶ οἱονεὶ σμυχόμενοι, χρονίαν.

Πῶς ἂν προγνοίημεν εἰ κριθήσεται ἡ νόσος ἢ λυθήσεται. ε.

Ἐκ τῶν ἤδη λελεγμένων καὶ τοῦτο προγινώσκομεν. ἀπό τε γὰρ τοῦ τῶν πυρετῶν εἴδους καὶ τοῦ χρόνου. τάχα δὲ τὸ ὅλον ἐκ τοῦ τῶν πυρετῶν εἴδους. οἱ μὲν γὰρ θερμοὶ καὶ διακαεῖς, ὀλιγοχρόνιοί τε εἰσὶ καὶ ἐκκρίσεσι οἱ τοιοῦτοι φιλοῦσι κρίνεσθαι. οἱ δὲ μαλακώτεροι, χρονίζουσί τε καὶ εἰς ἀποστάσεις ὁρμῶσι τὰ πολλά. καὶ φανερὸν ἐκ τῶν εἰρημένων ὡς οὐ μόνον ὅτι κρίνεται τὸ νόσημα προγινώσκομεν, ἀλλὰ καὶ ὅπως κριθήσεται. μᾶλλον γὰρ τοῖς ὀξέσι ἀκολουθοῦσιν, αἱ δι' ἐκκρίσεως, κρίσεις. ὥσπερ αὖ τοῖς χρονιωτέροις, αἱ δι' ἀποστάσεως.

Περὶ κρισίμων ἡμερῶν. ϛ.

Τῶν κρισίμων ἡμερῶν. αἱ μὲν συχνῶς λύουσι καὶ πιστῶς καὶ ἀγαθῶς, τελέως τε καὶ σαφῶς καὶ ἐπισήμως. αἱ δέ, ταύταις ὑπεναντίως. ἡ δὲ ιγ, μεταξύ πως ἔχουσα δέδεικται. καὶ εἰσὶ μὲν αὐτῶν αἱ κρίνειν πεφύκασι, κἂν βραχείας ὁρμῆς φύσεως λάβωνται, καθάπερ ἡ ἑβδόμη καὶ τεσσαρεσκαιδεκάτη. αἱ πολλαὶ δέ, ἐν μὲν ταῖς σφόδρα κινήσεσιν κρίνουσιν, ἄλλως δὲ οὐ δύνανται. ἀλλ' οὔτε πᾶσαι αἱ ἀγαθαί, ὁμοίως εἰσὶν ἀγαθαί. οὐ δὲ πᾶσαι αἱ κακαί, ὁμοίως κακαί. οὐ δὲ τὴν τάξιν ἔχουσαι τὸ χρηστόν, ἢ τὸ ἐναντίον. Αἱ μὲν οὖν τοῦ πρώτου στίχου τῶν ἀγαθῶν οὖσαι χοροῦ, τὸν δὲ τὸν τρόπον εἰσίν. ἀρίστη μὲν πασῶν, ἡ ἑβδόμη τε καὶ τεσσαρεσκαιδεκάτη. πλησίον δὲ τούτων, ἐννάτη, καὶ ἑνδεκάτη, καὶ εἰκοστή. καὶ ταύτης ἐγγύς, ἑπτακαιδεκάτη τε καὶ πέμπτη. καὶ μετὰ ταύτας, ἡ τετάρτη. καὶ μετὰ ταύτην, ἡ τρίτη, καὶ ὀκτωκαιδεκάτη. αἱ δὲ ταύταις ὑπεναντίαι, τοῦ δευτέρου στίχου εἰσὶν αὗται. κακίστη μέν, καὶ μετὰ κινδύνου καὶ ἀσαφῶς κρίνουσα, καθάπερ ἐκ διαμέτρου τῆς ἑβδόμης ἐστὶν ἡ ἕκτη. ταύτῃ δὲ παραπλησίως, ὀγδόη τε καὶ δεκάτη. μεθ' ἃς, δωδεκάτη, καὶ ἑκκαιδεκάτη, καὶ ἐννεακαιδεκάτη. καὶ μεταξὺ δὲ τούτων ἐστὶν ἡ τρισκαιδεκάτη, μήτε ὁμοίως ἀπόβλητος οὖσα ταῖς ἐν τῷ δευτέρῳ στίχῳ, μήτε ὁμοίως ταῖς ἐν τῷ πρώτῳ λύειν πεφυκυῖα. Ταύτῃ μὲν οὖν τῇ τάξει τῆς ἀξίας ὁ Γαληνὸς ἐχρήσατο. κατὰ δὲ τὴν τῶν ἀριθμῶν τάξιν, ἀγαθαὶ μέν εἰσι τρίτη, τετάρτη, πέμπτη, ἑνδεκάτη, τεσσαρεσκαιδεκάτη, ὀκτωκαιδεκάτη, εἰκοστή. κακαὶ δέ, ἕκτη, ὀγδόη, δεκάτη, δωδεκάτη, ἑκκαιδεκάτη, ἐννεακαιδεκάτη. μεταξὺ δέ, τρισκαιδεκάτη.

τούτων δὲ τῶν κρισίμων τινὲς καὶ ἐπίδηλοι ἑτέρων εἰσίν. ἃς καὶ θεωρητικὰς Ἱπποκράτης ὠνόμασεν, διὰ τὸ τὰς ἐν ἑτέραις κρισίμαις μελλούσας γίνεσθαι, προδηλοῦν τε καὶ ποιεῖν θεωρεῖσθαι κρίσεις. οἷον ἡ μὲν τετάρτη, τὴν ἐσομένην ἐν τῇ ἑβδόμῃ προδηλοῖ κρίσιν, ἱδρῶτάς τινας, ἢ νοτίδας, ἢ τινὰς τοιαύτας μικρὰς ἐργαζομένη κενώσεις. ἢ σημασίας μὴ γεγονυίας πρότερον, ἢ καὶ πέψεως σημεῖα δεικνύουσα. ὁ δὲ Γαληνὸς καὶ τὴν ἕκτης φησὶ τὴν τετάρτην ἐπίδηλον, καίπερ οὐκ οὔσης ἀγαθῆς. ἡ δὲ ἐνδεκάτη, τῆς τεσσαρεσκαιδεκάτης ἐστὶν ἐπίδηλος. ἡ ἑπτακαιδεκάτη δὲ, τῆς εἰκοστῆς. ἄχρι μὲν οὖν τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, ἀγωνιστικώταται γίνονται κρίσεις. ἔγγιστα δὲ αὐτῶν εἰσίν, αἱ μέχρι τῆς εἰκοστῆς. αἱ δὲ μετὰ εἰκοστὴν ἄχρι τῆς τεσσαρακοστῆς, ἐκλύουσι τὸ βραχὺ τὸ ἀγωνιστικόν. εἰσὶν δὲ, πρώτη μὲν ἀξιώματι εἰκοστὴ ἑβδόμη, καὶ τριακοστὴ τετάρτη, καὶ τεσσαρακοστή. μετὰ ταύτας δὲ εἰκοστὴ τετάρτη, καὶ τριακοστὴ πρώτη, καὶ τριακοστὴ ἑβδόμη. τὸ δὲ μεταξὺ τούτων πλῆθος, ἀπὸ τῆς εἰκοστῆς ἄχρι τῆς τεσσαρακοστῆς, ἄκριτον ἅπαν ἐστίν. ὡς αἵ γε μετὰ τὴν τεσσαρακοστὴν ἅπασαι, τελέως εἰσὶν ἔκλυτοι, πέψεσι μᾶλλον καὶ ἀποστάσεσιν, οὐ κρίσεσι λύουσαι τὰς νόσους. τῶν μὲν οὖν ἄλλων τῶν μετὰ τὴν τεσσαρακοστὴν ἡμερῶν, τελέως ἔοικεν Ἱπποκράτης καταφρονεῖν. ἑξηκοστὴν δὲ καὶ ὀγδοηκοστὴν καὶ ἑκατοστοεικοστὴν ἐν λόγῳ τίθεται. μετὰ δὲ ταύτας, τὰ μὲν ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσιν κρίνεσθαί φησι, τὰ δέ, ὡς ἔοικεν, ἐν διπλαῖς τῶν ἑβδομάσι καὶ τριπλαῖς.

Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα μοχθηρά. ζ.

Πέψεως μὲν οὐκ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται σημεῖα. πᾶσα γὰρ πέψις, ἐπικρατούσης τῆς φύσεως γίνεται, διὰ τοῦτο ἀεὶ ἀγαθή ἐστιν. τὰ κρίσιμα δέ, ἔστιν ὅτε κακῶς ἐπιφαίνεται, διὰ τὸ τὴν κρίσιν ἐπαμφοτερίζειν, ποτὲ μὲν ἀγαθὴν ποτὲ δὲ κακὴν γιγνομένην, ὡς ἔμπροσθεν διὰ τῶν κρισίμων ἡμερῶν εἴρηται. οὔτε οὖν ἐν ταῖς ἀρχαῖς, οὔτε ἐν ταῖς ἀναβάσεσιν αὐτὰ φαίνεσθαι χρή. ἀλλ' ἐν καιρῷ τῆς παρακμῆς χρόνῳ, καθ' ὃν ἡ φύσις ἐπικρατεστέρα τοῦ νοσήματος ἐστίν.

Πῶς ἐσομένην κρίσιν προγινώσκειν χρή. η.

Εἰ μὲν ἐπιτείνοιντο, καὶ προλαμβάνοιεν οἱ παροξυσμοί, καὶ σφοδρότεροι γίγνοιντο πολλῷ, καὶ διὰ τρίτης ἐπισημαίνοιεν, καὶ σημεῖα πέψεως ἐν τοῖς οὔροις, ἢ τοῖς διαχωρήμασιν, ἢ καὶ τοῖς ἀναπτυομένοις εὑρίσκοιτο, μᾶλλον ἁπάντων ἐν τάχει τὸ νόσημα κριθήσεται. εἰ δ' ἀργῶς κινοῖντο καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν ἐφ' ἑκάστης ἡμέρας γιγνόμενοι, μετὰ πλείονα χρόνον ἔσεσθαι προσδόκα τὴν κρίσιν. καὶ τῶν ἐπὶ ῥίγεσι δὲ σφοδρῶς πυρεττόντων, οὐχ οἷόν τε λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ ῥῖγος. τούτου γὰρ μηδὲν ἐνδιδόντος ἀδύνατόν ἐστιν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα. καὶ δηλονότι πολλῷ μᾶλλον οὐδὲ τὴν παρακμὴν ἐλπίζειν χρή.

Πῶς ἐνεστῶσαν κρίσιν διαγινώσκομεν. θ.

Δυσφορία προηγεῖται κρίσεως ἁπάσης. καὶ εἰ μὲν ἐν ἡμέρᾳ κριθήσεσθαι μέλλοι, νύκτωρ. εἰ δὲ ἐν νυκτί, δι' ἡμέρας. καὶ συμπτώματα ἐπιγίνονται, οἷον κεφαλαλγία μὴ πρότερον γιγνομένη, καὶ τράχηλος συναλγεῖ, καὶ ὑποχόνδριον ἀνασπᾶται, καὶ δύσπνοιά τις ἐξαιφνίδιος, καὶ ἕτερα χαλεπὰ συμπτώματα πρώην μὴ γιγνόμενα φαίνεται. καὶ εἰ τούτων γιγνομένων οἱ σφυγμοὶ μὴ καταπίπτοιεν, ἀλλ' εἰς ὕψος μᾶλλον αἴροιντο, καὶ σφοδρότεροι γίγνοιντο, προσεπισφραγίζοι δὲ καὶ κρίσιμος ἡμέρα, καὶ αὕτη μάλιστα τῶν καλῶς κρινουσῶν, οὐ μόνον κρίσιν ἐσομένην, ἀλλὰ καὶ ἀγαθὴν αὐτὴν προσδόκα. μὴ καταπλαγῇς δὲ ἐν τούτοις, μηδὲ εἰ παραφρονοῦντα τὸν ἄνθρωπον ἢ ἀναπηδῶντα θεάσαιο, καὶ γὰρ καὶ ταῦτα τῆς ἄνω φορᾶς τῶν χυμῶν εἰσὶ γνωρίσματα. ὥσπερ αὖ τῆς κάτω ἕτερα, δῆξίς τε ὑπογαστρίου, καὶ στρόφος περὶ τὸν ὀμφαλόν, καὶ ὀσφύος ἄλγημα, καὶ βορβορυγμός, ἔσθ' ὅτε καὶ ἄλλα τούτοις ὁμογενῆ φαίνεται σημεῖα γιγνόμενα. πρὸς δέ γε τούτοις, εἰ δι' αἱμορροΐδος ὁ κάμνων εἰώθει κενοῦσθαι, καὶ ταύτης ὁ τῆς περιόδου συντρέχει χρόνος. ὡσαύτως δὲ κἀπὶ τῶν καταμηνίων, εἰ γύναιον εἴη τὸ νοσοῦν, οὐδὲν ἄτοπον διὰ τῆς τοιαύτης αὐτοῖς κενώσεως γίνεσθαι τὴν κρίσιν. καὶ τοὺς ἱδρῶτας δὲ ταῖς προηγησαμέναις ὡς εἰκὸς νοτίσι, καὶ μάλιστα ἐν ἐπιδήλῳ γενομέναις ἡμέρᾳ, καὶ τῇ τῶν πόρων ἀναπετείᾳ, προγνωστέον ἐστίν. τὴν δὲ διὰ τῶν ἄνω κενώσεων, ἐκ τῶνδε ἂν μάλιστα γνοίης. ἐμβλέπειν γὰρ ἤδη πρὸς τοῖς εἰρημένοις καὶ τὸ τοῦ νοσοῦντος πρόσωπον, καὶ εἴ τι πάλλοιτο τῶν ἐν αὐτῷ μορίων. ἢ σφύζοιεν αἱ ἐν τοῖς κροτάφοις φλέβες, ἢ μῆλον, ἢ ῥίς, ἢ ὀφθαλμὸς ἐρυθρότερος γίνοιτο, μᾶλλον ἐλπίζειν. εἰ δὲ καὶ δακρύοιεν ἀκόντες, ἢ εἰ καὶ μαρμαρυγὰς ὁρᾶν φαντάζοιντο, καὶ τὰς χεῖρας ἐπὶ τὰς ῥῖνας φέροιεν ὡς κνώμενοι, τηνικαῦτα μὲν οὐκ ἔτι μέλλον, ἀλλ' ἤδη ῥέον ὄψει τὸ αἷμα. κινησαμένων γὰρ αὐτῶν ἅπαξ καὶ δίς, ἐκρήγνυνται. δῆξις δὲ στομάχου καὶ τρόμος τοῦ κάτω χείλους, τὴν δι' ἐμέτων ἡμῖν πολλάκις ἐδήλωσεν κρίσιν. καὶ ταῦτα μὲν ἱκανά. προσέρχεται δὲ αὐτοῖς, ἥ τε τοῦ νοσοῦντος ἡλικία τε καὶ φύσις, βεβαιοῦσα τὴν ἐλπίδα, καὶ πρὸς ἔτι τοῦ ἔτους ὁ καιρός, ἥ τε παροῦσα κατάστασις. εἰ γὰρ μειράκιον εἴη τὸ νοσοῦν, ἢ ἄλλως φύσει θερμὸν ἢ πολύαιμον, ἔτι μᾶλλον ἐλπίσεις. εἰ δὲ

καὶ

καὶ πρόσθεν αὐτῷ κένωσις αἵματος ἐφαίνετο νοσοῦντι ἢ ὑγιαίνοντι ὡς ἔμπροσθεν εἴπομεν, τοῦτο καὶ μόνον ἱκανὸν αἱμορραγίας ἐλπίδα παρέχειν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτους ὁρῴης θέρος, ἢ οὐ θέρος μὲν, ἄλλως δὲ θερμὴν τὴν παροῦσαν κατάστασιν, καὶ πολλάκις κατ' ἐκεῖνον τὸν καιρὸν αἱμορραγίαις εἶεν κεκειμένοι. καὶ πληθωρικὸν τὸ σῶμα, καὶ συνήθων ἐκκρίσεων ἐπίσχεσις, καὶ ταῦτα ἂν αὐξήσειαν σου τὴν ἐλπίδα. παραπλησίως δὲ κἀπὶ τῶν λοιπῶν λογίζεσθαι κενώσεων. Εἰ δὲ τούτων μὲν μηδὲν ὀφθείη, δυσφορίας δὲ γινομένης ἔν τινι τῶν ὑπὲρ τὴν εἰκοστὴν μάλιστα κρισίμων ἡμερῶν, καὶ τοῦ νοσήματος ἀκμάζοντος, ὀδύναι τινὲς ἐν τισι τῶν ἄρθρων, ἢ παρὰ τὰ ὦτα ἢ καὶ ἐν ἄλλοις μορίοις, ἢ οὐκ ὀδύναι μὲν, ἱδρῶτες δὲ μερικοὶ κατά τι τῶν μορίων συνεχῶς γίγνοιντο, δι' ἀποστάσεως δεῖ τὴν κρίσιν δέχεσθαι, καὶ κατ' ἐκεῖνο μάλιστα τὸ μόριον γενήσεσθαι τὴν ἀπόστασιν, ἔνθα οὖν ἢ ἱδρῶτες, ἢ ὀδύναι, ἢ ὄγκοι γίγνοιντο.

Πῶς γεγονυῖαν ἀρίστην κρίσιν διαγινώσκομεν. ι.

Εἰ μὲν κένωσις προσήκουσα μετὰ πέψιν γίγνοιτο, ὅ, τε πυρετὸς τοῦ κενουμένου λύοιτο, καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων, εὐχερέστερός τε γίγνοιτο πρὸς λόγον τῆς κενώσεως, εὐσφυκτότερός τε εἴη καὶ ἰσχυρότερος ἐν ταῖς ἐπαναστάσεσι, καὶ τὸ πάντων ἀσφαλέστερον εὐφορία αὐτοῖς παρακολουθείη. αὕτη μὲν ἡ ἀρίστη κρίσις ἐστίν. εἰ δέ τι τούτων ἐλλείποι, τοσοῦτον ἀποδέοι τῆς ἀρίστης, ἡλίκη τοῦ λείποντος ἡ δύναμις.

Περὶ σφυγμῶν ἐκ τῶν Γαληνοῦ. ια.

Ὁ μὲν σφυγμὸς κίνησίς ἐστι καρδίας καὶ ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν γιγνομένη. χρεία δὲ αὐτοῦ διττή. τῇ μὲν γὰρ διαστολῇ, οἷον ἐξαπλώσει τινὶ καὶ ἀναπετάσει τῆς ἀρτηρίας οὔσῃ, ψυχρὸς ἀὴρ εἰσέρχεται, ῥιπίζων τε καὶ ἀναζωπυρῶν τὸν ζωτικὸν τόνον. ὅθεν καὶ τοῦ ψυχικοῦ πνεύματος ἡ γένεσις. τῇ δὲ συστολῇ, συνιζήσει καὶ συνδύσει τῆς ἀρτηρίας περάτων ἐπὶ τὸ κέντρον ὑπαρχούσῃ, τῶν λιγνυωδῶν περιττωμάτων, ἡ ἔκκρισις γίγνεται. αὗται δὲ αἱ ἀρτηρίαι, ἐπὶ μήκη μὲν εἰσὶν ἀγγεῖα κοῖλα καθάπερ αἱ φλέβες, ἀλλὰ διχίτωνα, διά τε τὴν εἰρημένην κίνησιν, καὶ ὅτι αἵματός τε καὶ πνεύματός εἰσι περιεκτικαί. ἐκφυόμεναι μὲν ἀπὸ καρδίας, διανεμόμεναι δὲ κατὰ πάντα τοῦ σώματος τὰ μόρια. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι, τὸν αὐτὸν τρόπον σφύζουσιν ἀλλήλαις τε καὶ τῇ καρδίᾳ, ὥστε ἐκ μιᾶς αὐτῶν δύνασθαι περὶ πασῶν συλλογίζεσθαι. οὐ μὴν αἰσθέσθαι γε τῆς κινήσεως ὁμοίως ἁπασῶν δυνατόν. ἀλλὰ τῶν μὲν ἐν τοῖς ἀσάρκοις τοῦ σώματος μορίοισι, σαφέστερον. τῶν δὲ ἐν τοῖς σαρκώδεσιν, ἀμυδρότερον. οὔτε δ' εὐσχημονέστερον, οὔτε τῇ χρείᾳ συμφορώτερον ἄλλης ἂν ἅψοιο, τὰς ἐν τοῖς καρποῖς παρεὶς. Ἔστι μὲν οὖν πρῶτον γένος σφυγμῶν, τὸ παρὰ τὸν χρόνον τῆς κινήσεως, ἔν τε τῇ διαστολῇ καὶ τῇ συστολῇ θεωρούμενον. διαφοραὶ δὲ αὐτοῦ ὅτε ταχύς ἐστι καὶ ὁ βραδὺς καὶ ὁ σύμμετρος. ὅτι καὶ πᾶν τὸ κινούμενον, ἢ ταχέως, ἢ βραδέως, ἢ μέσως πως κινεῖται κατὰ χρόνον. ταχὺς μὲν οὖν ἐστιν ὁ ἐν ὀλίγῳ χρόνῳ πολὺ κινούμενος διάστημα. βραδὺς δὲ, ὁ ἐν πολλῷ χρόνῳ ὀλίγον κινούμενος διάστημα. σύμμετρος δὲ, ὁ μέσως πως ἔχων περὶ τὴν κίνησιν. Δεύτερον δὲ γένος ἐστὶ τὸ παρὰ τὸ ποσὸν τῆς διαστολῆς. ἐπεὶ πᾶν σῶμα τρεῖς ἔχει διαστάσεις, μῆκος καὶ πλάτος καὶ βάθος. σῶμα δὲ, καὶ ἡ ἀρτηρία. τρεῖς ἔχειν ἀνάγκη καὶ ταύτην διαστάσεις. ἀλλ' ἐν μὲν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῷον, συμμέτρως πάντῃ διαστελλομένην αὐτὴν εὑρήσεις. ἐν δὲ τῷ παρὰ φύσιν, ἔστιν ὅπῃ τὸ μὲν ἐλλείπει, τὸ δ' ὑπερβάλλει καθ' ἥν τινα οὖν διάστασιν. ἐν τούτῳ δὲ χρὴ μεμνημένον. οἷος ἦν ὁ κατὰ φύσιν σφυγμός. εἰ μὲν τῷ πλάτει μείζων εὑρίσκοιτο, πλατὺν καλεῖν. εἰ δὲ τῷ μήκει, μακρόν. εἰ δὲ τῷ βάθει, ὑψηλόν. δῆλον δὲ καὶ τοὺς ἐναντίους αὐτοῖς, καὶ τοῦ κατὰ φύσιν ἐλάττους, κατὰ λόγον ὀνομάζειν στενόν, καὶ βραχύν, καὶ ταπεινόν. τῶν δὲ ἐν πάσαις ταῖς διαστάσεσιν, ὁμοίως εἰς τὸ παρὰ φύσιν τρεπομένων. ὁ μὲν πάντῃ μειωθεὶς, μικρός, ὁ δ' αὐξηθεὶς, μέγας ὀνομάζεται. Τρίτον ἐστὶ γένος σφυγμῶν, τὸ παρὰ τὸν τόνον τῆς δυνάμεως. διαφοραὶ δὲ αὐτοῦ τρεῖς, σφοδρὸς, καὶ ἀμυδρὸς, καὶ σύμμετρος. σφοδρὸς μὲν ἐστιν, ὁ πλήττων εὐρώστως τὴν ἁφὴν τοῦ ἰατροῦ. ἀμυδρὸς δὲ, ὁ ἀρρώστως τε καὶ ἀσθενῶς. σύμμετρος δὲ, ὁ τούτων μεταξὺ, ὅν τινες εἶναι τὸν κατὰ φύσιν ἐνόμιζον. τοὺς γὰρ θυμῷ καὶ γυμνασίοις σφοδρότερον γίγνεσθαι τὸν σφυγμὸν φασὶν, οὐ κατὰ φύσιν ὑπάρχοντα. πρὸς οὓς ὁ Γαληνὸς ὑπηντήσεν, οὐ μόνιμον, ἀλλ' ἑτοίμως μεταβάλλοντα φήσας, τὸν ἐπὶ τοῖς οὐ κατὰ φύσιν αἰτίοις σφοδρότερον γιγνόμενον σφυγμόν. ὁ τοίνυν σφοδρότερος, οὐ μεταβάλλων ἑτοίμως, οὗτος κατὰ φύσιν τε καὶ σύμμετρος ἂν εἴη. Τέταρτον γένος ἐστὶ τὸ παρὰ τὴν σύστασιν τοῦ ὀργάνου. λέγω δὲ τοῦ τῆς ἀρτηρίας σώματος. διαφοραὶ δὲ καὶ τούτου τρεῖς. ἢ γὰρ σκληρότερόν ἐστι τοῦ κατὰ φύσιν τὸ ὄργανον, καὶ καλεῖται σκληρὸς ὁ σφυγμός. ἢ μαλακώτερον, καὶ λέγεται μαλακός, ἢ μέσως ἔχον, καὶ σύμμετρος κατὰ τοῦτο προσαγορεύεται. Πέμπτον γένος ἐστὶ σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τοῦ τῆς ἀρτηρίας ἐγχύματος. διαφοραὶ δὲ αὐτοῦ, ὅτε πλήρης ἐστὶ, καὶ ὁ κενὸς, καὶ ὁ σύμμετρος. ἐπεὶ καὶ πᾶν

ἀγγεῖον ἢ πλῆρες ἐστὶν, ἢ κενὸν, ἢ συμμέτρως ἔχον ἐγχύματος. πλήρης μὲν οὖν ἐστι σφυγμὸς ὡς Ἀρχιγένης ὁρίζεται, ὁ ναστοτέραν ὑποδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτωσιν αὐτοῦ διασεσαγμένην ἐν χυλώσει. κενὸς δὲ, ὁ πομφολυγώδη ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων, κενεμβάτησιν ὑποπίπτειν. ταῦτα μὲν οὖν τὰ πέντε γένη τῶν σφυγμῶν κατὰ μίαν κίνησιν τῆς ἀρτηρίας συνίσταται. Ἐπειδὴ δὲ τὸ ποιὸν τῆς κατὰ τὴν καρδίαν θερμασίας ἔοικέ πως μᾶλλον κατὰ τὴν ἀρτηρίαν σαφέστερον φαίνεσθαι, ἠξίωσαν καὶ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἕκτον ὧδε τοῖς εἰρημένοις συγκατατάττειν. Τῶν δὲ ἄλλων γενῶν, τῶν τε καθ᾽ ἕνα, καὶ κατὰ πολλοὺς λαμβανομένων. τὸ, τε παρὰ τὸν χρόνον ἐστὶ τῆς ἠρεμίας, καὶ τὸ παρὰ τὸν ῥυθμὸν, καὶ τὸ παρὰ τὴν ὁμαλότητα καὶ ἀνωμαλίαν, καὶ τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν. τὸ μὲν οὖν παρὰ τὸν χρόνον τῆς ἠρεμίας, ὅπερ ἐστὶ ἕβδομον ἀπὸ τοῦ πρώτου, τέμνεται εἴς τε τὸν πυκνὸν καὶ τὸν ἀραιὸν καὶ τὸν σύμμετρον. τῆς γὰρ ἀρτηρίας διπλῆν κινουμένης κίνησιν ἐξ ἐναντίων συγκειμένην κινήσεων, διττὰς ἀναγκαῖον αὐτῇ συμπίπτειν ἠρεμίας. ἑτέραν μὲν, τὴν μετὰ τὴν διαστολὴν πρὸ τῆς συστολῆς. ἑτέραν δὲ, τὴν μετὰ τὴν συστολὴν πρὸ τῆς διαστολῆς. ἥτις καὶ ἀνεπαίσθητος εἶναι τοῖς πολλοῖς ἔδοξεν, ὥστε μεταξὺ τῶν δύο κινήσεων ἠρεμίαν τινὰ μεταλαβεῖσθαι. ᾧ μὲν οὖν πολὺς ὁ τῆς ἠρεμίας χρόνος, οὗτός ἐστιν ἀραιός. ᾧ δὲ βραχὺς, πυκνός. ᾧ δὲ μέσος, σύμμετρος. Ὄγδοον γένος σφυγμῶν τὸ παρὰ τὸν ῥυθμόν. ἔστι δὲ ῥυθμὸς, καθόλου μὲν σχέσις ἢ ἀναλογία χρόνου πρὸς χρόνον. ἐπὶ δὲ σφυγμοῦ. κατά τινας μὲν, χρόνου κινήσεως πρὸς χρόνον ἠρεμίας, οἷον τῆς διαστολῆς καὶ τῆς συστολῆς πρός τινα τῶν μεταξὺ ἠρεμιῶν. † καθ᾽ ἑτέρους δὲ χρόνου ἢ κινήσεως πρὸς κίνησιν, οἷον διαστολῆς πρὸς συστολὴν, ἢ ἠρεμίας πρὸς ἠρεμίαν, οἷον τῆς ἔσω πρὸς τὴν ἐκτός. διαφοραὶ δὲ τοῦ ῥυθμοῦ αἱ πρῶται δύο, εὔρυθμός τε καὶ ἄρρυθμος, ἄρρυθμον μὲν λέγοντος, οὐ τὸν μηδένα ῥυθμὸν ἔχοντα, τοῦτο γὰρ ἀδύνατον, ἀλλὰ τὸν κακόρυθμον. ὥσπερ ἄφωνόν τε καὶ ἀτράχηλον λεγόμενον, τὸν κακοτράχηλον καὶ κακόφωνον. τοῦ δὲ ἀρρύθμου διαφορὰ τριττή. ὁ μὲν γάρ ἐστι παράρυθμος, μετρίαν ἔχων τῆς εὐρυθμίας παρατροπήν. ὁ δὲ ἑτερόρυθμος, ἐπὶ πλέον παρατραπείς. ὁ δὲ ἔκρυθμος, ὁ παντελῶς διαφθείρων τὴν εὐρυθμίαν. οἷον σημειουμένου σου παιδίου, ὁ μὲν ἴδιος τῆς παιδικῆς ἡλικίας κατὰ τὸν ῥυθμὸν σφυγμὸς, εὔρυθμος καλεῖται. ὁ δὲ τῆς ἀκμαστικῆς, ἑτερόρυθμος. ὁ δὲ μηδὲν τῆς ταύτης διασώζων, ἔκρυθμος προσαγορεύεται. Ἔννατον δὲ γένος ἐστὶ σφυγμῶν ἐν ἅπασι τοῖς εἰρημένοις εὑρισκόμενον γένεσι, τὸ παρὰ τὴν ὁμαλότητα καὶ ἀνωμαλίαν, ὅπερ ἢ ἐν ἑνὶ σφυγμῷ θεωρεῖται ἢ ἐν πλείοσιν. ὃ καὶ συστηματικὸν καλεῖται. περὶ οὗ πρότερον ὡς σαφεστέρου λεκτέον. ὁμαλὸς μὲν οὖν ἐστι σφυγμὸς, ὁ ἐφεξῆς ἴσος, ἄντε κατὰ μέγεθος, ἄντε κατὰ τόνον, ἢ τάχος, ἢ τινὰ τῶν λοιπῶν, ἢ καὶ πάντα. ἀνώμαλος δὲ, ὁ ἐφεξῆς ἄνισος. εἰ μὲν γὰρ οἱ ἐφεξῆς ἅπαντες ἴσοι, κατὰ μέγεθος τυχὸν ὑποπίπτοιεν, ὁμαλὸς ὁ τοιοῦτος καλεῖται σφυγμός. εἰ δὲ, ὁ μὲν πρῶτος καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος ἴσοι φανεῖεν. ἄνισος δὲ, ὁ τέταρτος. δηλονότι ὡς ἀνώμαλος ὁ τοιοῦτος κατὰ μέγεθος λέγεται σφυγμός. τούτου τοῦ γένους εἰσὶν ὅ, τε διαλείπων καὶ ὁ παρεμπίπτων. οὐ μόνον γὰρ παρ᾽ ἕνα ἢ καὶ πλείονας μεγάλους εἷς φαίνεται μικρότερος, ἀλλ᾽ ἐνίοτε καὶ τέλεον ὅλη ἡ κίνησις ἀπόλλυται, καὶ οὗτος λέγεται διαλείπων ὁ σφυγμός. ὥσπερ ἕτερος παρεμπίπτων, ἐναντίως τούτῳ. ὅτε προσδοκωμένης ἠρεμίας ἐν τῷ μέσῳ, οἷον παρείσοδός τις ἐμπέσῃ σφυγμός. Εἰ δὲ ὁ μὲν δεύτερος τοῦ πρώτου βραχεῖ γένηται μικρότερος, ὁ δὲ τρίτος τοῦ δευτέρου, καὶ ὁ τέταρτος τοῦ τρίτου, τῷ ἴσῳ. καὶ τοῦτο ἄχρι πλείονος. τοὺς τοιούτους σφυγμοὺς μυουρίζοντάς τε καὶ μυούρους καλοῦσιν, ἀπὸ τῶν εἰς ὀξὺ τελευτόντων σχημάτων τοὔνομα μεταφέροντες. ὅσοι μὲν διαπαντὸς αὐτῶν μειοῦνται, καὶ οὐδέποτε παύονται τοῦ τοιούτου παθήματος, εἰς ἀκινησίαν παντελῆ τελευτῶσι. καὶ καλοῦμεν αὐτοὺς ἐκλείποντας μυούρους. Οἱ δὲ παύονται διττὴν ἔχουσι τὴν διαφοράν. τινὲς μὲν γὰρ αὐτῶν ἐν ᾗ πρῶτον ἐπαύσαντο μικρότητι, ταύτην διὰ παντὸς φυλάττουσι. τινὲς δὲ αὐξάνονται πάλιν, ἢ εἰς ἴσον τῷ κατ᾽ ἀρχὰς ἐπανερχόμενοι μέγεθος, ἢ εἰς ἔλαττον ἢ εἰς μεῖζον. οὓς μυούρους παλινδρομοῦντας καλοῦσι. γίνονται δὲ καὶ ἐν τῇ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίᾳ μύουροι σφυγμοὶ, περὶ ὧν ἐκεῖσε μετ᾽ ὀλίγον εἰρήσεται. τοιαύτη μέν τις ἐστὶν ἡ συστηματικὴ καλουμένη ἡ τῶν σφυγμῶν ἀνωμαλία. ἡ δὲ καθ᾽ ἕνα σφυγμὸν, ἢ καθ᾽ ἓν μόριον τῆς ἀρτηρίας, ἢ κατὰ διαφέροντα γίγνεται. ὥσπερ ἐπὶ τῆς κινήσεως τυχόν. καθ᾽ ἓν μὲν μόριον τῆς ἀρτηρίας ἀνωμαλία λέγεται. ὅτ᾽ ἂν ἄλλως ἄρξηται καὶ ἄλλως λήξῃ κινουμένη περὶ τὸν ἕνα δάκτυλον ἡ ἀρτηρία, ἀρχομένη μὲν ὠκυτέρα τελευτῶσα δὲ βραδυτέρα, ἢ τὸ ἀνάπαλιν. τοῦτο δὲ γίγνεται τριχῶς. ἢ συνεχῶς μενούσης τῆς κινήσεως, ἢ διακοπτομένης, ἢ παλινδρομούσης καὶ οἷον δικροτούσης. εἰ μὲν οὖν συνεχὴς μένουσα καὶ μὴ διακοπτομένη μεταβάλλοι ἀπὸ τοῦ τάχους ἐπὶ τὸ βραδύτερον, ἢ τὸ ἀνάπαλιν, ἀνισοταχὴς ὁ τοιοῦτος σφυγ-

μός

καθ᾽ ἑτέρους δὲ, χρόνου κινήσεως καὶ ἠρεμίας πρὸς χρόνον κινήσεως καὶ ἠρεμίας. ἢ κινήσεως πρὸς κίνησιν.

μός ἐστί τε καὶ λέγεται. εἰ δὲ ἠρεμίᾳ διακοπτόμενος τὸ λοιπὸν ὠκύτερος φαίνεται, δορκαδίζων καλεῖται, ἐκ μεταφορᾶς τοῦ ζώου τοῦ δορκάδος, ἥτις ἐν τῷ ἀναπηδᾶν μετέωρος ἵσταται κατὰ τὸν ἀέρα, καί τινα δευτέραν ἀδόκητον τῆς προτέρας ὠκυτέραν ποιεῖται κίνησιν. εἰ δὲ μετὰ τὸ διαστεῖλαι παλινδρομοίη, καὶ πρὶν συσταλῆναι τέλειον ἐκ δευτέρου πλήξῃ τὴν ἁφὴν, δίκροτος ὁ τοιοῦτος προσαγορεύεται σφυγμός. ἴδοις δ᾽ ἄν τι τοιοῦτο γινόμενον ἐπὶ τῶν ἀκμόνων, ὅταν αἱ σφῦραι πρὸς ἅπαξ μὲν διὰ χειρὸς φερόμεναι, πρὸς αὐτοὺς, πλήξωσιν ἀναπαλλόμεναι τῇ τοῦ ἄκμονος ἀντιτυπίᾳ, καὶ δεύτερον αὖθις ἢ καὶ τρίτον πλήξωσιν. οὐ μόνον δὲ κατὰ τὸν χρόνον τῆς κινήσεως, τὴν κατὰ μίαν πληγὴν ἐν ἑνὶ μορίῳ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐγχωρεῖ γενέσθαι, ἀλλὰ καὶ τὴν κατὰ τὸν τόνον τῆς δυνάμεως. ὅτι δὲ τὴν κατὰ τὸ ποσὸν τῆς διαστάσεως, οὐ γὰρ οἷόν τε τὸν αὐτὸν σφυγμὸν ἐν ταὐτῷ μορίῳ μέγαν τε καὶ μικρὸν γίγνεσθαι. ὅτι κατ᾽ ἄλλο γένος. ἀλλ᾽ ἐν διαφέρουσι μορίοις καταφέροντα μόρια τῆς ἀρτηρίας ἐν ἑνὶ σφυγμῷ ἀνωμαλία γίνεται διττή. ὅτε μὲν συνεχοῦς μενούσης τῆς κινήσεως, καὶ κατά τινας μὲν δακτύλους ταχύτερον κινουμένης τῆς ἀρτηρίας, κατά τινας δὲ βραδύτερον. ὅτε δὲ καὶ διακοπτομένης, ὥς τινας μὲν δακτύλους ἀντιλαμβάνεσθαι τῆς κινήσεως, τινὰς δὲ μή. καὶ κατὰ τὸ ποσὸν δὲ τῆς διαστολῆς, ἡ ἐν πλείοσι μορίοις ἀνωμαλία σαφής ἐστι. ἐξ οὗ γένους εἰσὶν οἱ μύουροι, κατὰ μίαν πληγὴν ἀπονενευκότες τε καὶ προνενευκότες. εἰ μὲν γὰρ κατὰ τὸν ἐνδοτέρω δάκτυλον μέγας ὑποπίπτων καὶ κυρτούμενος ὁ σφυγμὸς ἐκ τοῦ πρὸς λόγον μειοῖτο, ὥστε κατὰ τὸ ἐξωτέρω πρὸς τῷ τοῦ κάμνοντος ἀντίχειρι τῆς ἀρτηρίας μέρος μικρότατον αὐτὸν φαίνεσθαι, μύουρος καλεῖται καθ᾽ ὁμοιότητα τῆς τοῦ ζώου τοῦ μυὸς οὐρᾶς, ἢ μείουρος παρὰ τὸ μειοῦσθαι δίκην οὐρᾶς. εἰ δὲ κατὰ τοὺς μέσους δακτύλους μέγας ὑποπίπτων καὶ κυρτούμενος ἑκατέρωθεν μειοῖτο, μικρότερος φαινόμενος. ὥσπερ Ἀρχιγένης νενευκότα καὶ προνενευκότα προσηγόρευσε, σαφῶς δηλοῦν βουλόμενος τὸ κατὰ τὴν διαστολὴν βραχὺ μετὰ τῶν ἑκατέρωθεν περάτων οἷον ἀπονεύσεως· οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως ἀλλ᾽ ὡς ἀποκεκαμμένων τῶν ἑκατέρωθεν μερῶν εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει καθ᾽ ἑκάτερα τὰ μέρη. τῆς δὲ παρὰ τὸ μέγεθος ἀνωμαλίας τὸ μὲν πρωϊαίτερον ἢ ὀψιαίτερον προσειληφυίας, οἵ τε κυματώδεις καὶ σκωληκίζοντες γίγνονται σφυγμοί. εἰ δὲ καὶ τὰ παρὰ τὴν θέσιν προσλάβοι, οἵ τε σπασμώδεις καὶ κλονώδεις προσαγορευόμενοι, συνίστανται. ἀρκτέον οὖν ἀπὸ τῶν κυματωδῶν, ἐφ᾽ ὧν οὐχ ἅμα φαίνεται κατὰ τὴν τοιαύτην ἀνωμαλίαν ἡ ἀρτηρία πᾶσα διαστελλομένη, ἀλλὰ τὸ μέν τι πρῶτον αὐτῆς, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον, συνεχοῦς μενούσης τῆς κινήσεως, καθ᾽ ὁμοιότητα τῆς ἐπὶ τῶν κυμάτων ἐπάρσεως. καί τινες μὲν εἰς εὐθὺ τὸ κῦμα φερόμενον ἔχουσι, τινὲς δὲ καὶ εἰς τὸ πλάγιον ἐκκλῖνον. καί τινες μὲν ἐν βραχείᾳ τῇ κατὰ τὸ μῆκος διαστάσει τὸ ὕψος ἱκανόν, τινὲς δ᾽ ἔμπαλιν. καί τινες μὲν πλατύ, τινὲς δὲ στενόν. ὁμοίως δὲ καὶ κατὰ τὸ τάχος καὶ τόνον ἀνωμάλως ἔχουσιν. ὁ δὲ κυματώδης ὅλος εἰς μικρότητα μειούμενος σκωληκίζων προσαγορεύεται, σκώληκος πορείᾳ προσεοικώς. ὥσπερ δὲ τὸν κυματώδη σφυγμὸν μικρότερον γιγνόμενον ὁ σκωληκίζων διαδέχεται, οὕτω τὸν σκωληκίζοντα ὁ μυρμηκίζων, ὅταν ἀπολλυμένων τῶν κινήσεων τῶν πολλῶν, εἰς μίαν, καὶ αὐτὴν παντελῶς μικρὰν, τελευτήσῃ. κέκληται δὲ καὶ οὗτος ἀπὸ τῆς πρὸς τὸ ζῷον τὸν μύρμηκα ὁμοιότητος, διά τε τὴν σμικρότητα καὶ τῆς κινήσεως τὸ εἶδος. ἔστι γὰρ μικρὸς ἄγαν ὁ μυρμηκίζων, οὗ μικρότερος ἄλλος οὐκ ἔστιν. ὡσαύτως δὲ, καὶ ἀμυδρότατος πάντων καὶ πυκνότατος, οὐ μὴν ταχὺς ὡς Ἀρχιγένης ᾤετο. παράκειται δὲ τούτῳ ὁ ἑκτικός. ὥσπερ γὰρ πυρετὸς, οὕτω καὶ σφυγμὸς ἑκτικός ἐστιν, ὁ μηδεμίαν μεγάλην ῥοπὴν ποιούμενος, ἀλλ᾽ ἀεὶ παραπλησίως μένων, εἴρων τε ὡς ἐξ ἀρχῆς ἤρξατο καὶ μηδέποτε λυόμενος, ὅλης τῆς ἕξεως τετραμμένης νοσωδῶς. οἱ δὲ σπασμώδεις σφυγμοὶ, ἑκατέρωθεν ἐκ τῶν περάτων ἀνθελκόμενοί τε καὶ τεινόμενοι καὶ σπώμενοι φαίνονται, οἷον χορδῆς τινὸς τεταμένης αἴσθησιν παρέχοντες. ἐπὶ δὲ τῶν κλονωδῶν, οὐδὲν τοιοῦτον, ἀλλὰ μείζων μὲν ἐπὶ τούτων ἐστὶν ἡ διαστολή, ὥστε τῶν μορίων τῆς ἀρτηρίας, τὰ μὲν ἀναφέρεσθαι καθ᾽ ἕνα καὶ τὸν αὐτὸν χρόνον, καὶ μάλιστα τὴν κίνησιν ἄντικρυς αὐτῆς εἰκάσειεν τοῖς ἀκοντίοις, ὅσα σφοδρῶς ἀφεθέντα ταχέως φέρεται κραδαινόμενα. ἐμπρίων δὲ σφυγμός ἐστιν, ἡνίκα δοκεῖ τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μή, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι καὶ κλονῶδες ὁ σφυγμὸς οὗτος, καὶ ταχὺς μέν ἐστι καὶ πυκνός, οὐκ ἀεὶ δὲ μέγας.

Δέκατον ἐπὶ τοῖς εἰρημένοις ἐστὶ γένος σφυγμῶν ἐκ τῆς ἀνωμαλίας ἀπογεννώμενον, τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν. ὁ γοῦν τεταγμένος καὶ ἄτακτος, τμηθέντος τοῦ ἀνωμάλου εἴς τε τὸν κατὰ τὰς περιόδους ἴσον καὶ εἰς τὸν παντοίως ἄνισον, καθ᾽ ἑκάτερον τῶν τμημάτων τὴν γένεσιν ἴσχουσι. κατὰ μὲν τὸ τῶν περιόδων ἴσον, ὁ τεταγμένος. κατὰ δ᾽ αὖ τὸ παντοίως ἄνισον, ὁ ἄτακτος. ὁ μὲν γὰρ ὁμαλὸς σφυγμὸς πάντως ἐστὶ καὶ τεταγμένος, εἴγε ἐφεξῆς ἴσον αὐτὸν ἐλέγομεν, ὁ δὲ ἀνώμαλος, οὐ

πάντως ἄτακτος. εἰ μὲν γὰρ τὴν ἰσότητα διαφθείροι, περίοδον δὲ φυλάττοι τινὰ, οἷον τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς εἰ τύχοι δύο γενέσθαι μεγάλους καὶ ἕνα μικρὸν, εἶτα πάλιν δύο μεγάλους καὶ ἕνα μικρὸν, καὶ οὕτως ἐφεξῆς, κληθείη ἂν ὁ τοιοῦτος ἀνώμαλος μὲν τεταγμένος δέ. εἰ δὲ πρὸς τὸ τὴν ἰσότητα διαφθείρειν, μήτε τάξιν τινὰ τῆς ἀνωμαλίας διαφυλάττοι, πρὸς γὰρ ἀνώμαλον, καὶ ἄτακτος ὁ τοιοῦτος ἐστίν. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων γενῶν τῶνδε. τῶν δὲ ἀτάκτων οἱ μὲν εἰσὶ κατὰ πᾶν ἄτακτοι, μηδὲ μικρὰν τινὰ φυλάττοντες περίοδον. οἱ δὲ κατὰ περιόδους τεταγμένοι. καθ' ὃ μὲν γὰρ οὐκ ἔχουσι συνεχῆ τὴν τάξιν, κληθεῖεν ἂν ἄτακτοι. καθ' ὃ δὲ διὰ μακροῦ περίοδόν τινα φυλάττουσι, κατὰ περιόδους τεταγμένοι. οἷον εἰ τύχοι γενέσθαι δύο μεγάλους, καὶ δύο μικροὺς, εἶτα τρεῖς μεγάλους καὶ τρεῖς μικροὺς, καὶ τέσσαρας μεγάλους, καὶ τοὺς ἴσους μικρούς. καὶ πάλιν ὥσπερ ἀνακάμπτοντες, δύο μεγάλους καὶ δύο μικροὺς, καὶ τρεῖς μεγάλους καὶ τοσούτους μικροὺς, καὶ ἑξῆς ὁμοίως. ἴστον δὲ τῶν μὲν ἄλλων ἐναντίων ἑκάστου, μέσον εἶναί τινα. ὁμαλοῦ δὲ καὶ ἀνωμάλου, μέσος οὐδείς. οὐδὲ τεταγμένου καὶ ἀτάκτου. πλὴν εἰ μὴ βούλοιτο κατὰ περιόδους τεταγμένον μέσον εἰπεῖν, τεταγμένου τε καὶ ἀτάκτου. καὶ τῶν μὲν ἄλλων ἁπάντων οἱ μέσοι κατὰ φύσιν εἰσίν, πλὴν τῶν κατὰ σφοδρότητα καὶ ἀμυδρότητα ὡς ἐδείξαμεν. ἐν τούτοις δὲ ὁ μὲν ὁμαλὸς κατὰ φύσιν μόνον, οἱ δὲ ἄλλοι παρὰ φύσιν, ὅ τε ἀνώμαλος, καὶ ὁ τεταγμένος, καὶ ὁ ἄτακτος. ταῦτα τὰ γένη τῶν σφυγμῶν ἅπαντα, καὶ αἱ τοῦ γένους αὐτῶν διαφοραί. Τινὲς δὲ τούτοις καὶ ἑτέρας δύο προσκατηρίθμηνται, τό τε παρὰ τὴν θέσιν τῆς ἀρτηρίας καθ' ὃ ἄνω τε καὶ κάτω καὶ εἰς δεξιὰ καὶ εἰς ἀριστερὰ μετῆχθαι δοκεῖ, καὶ τὸ παρὰ τὸ πρωϊαίτερον ἢ ὀψιαίτερον, ἐξ ὧν ἔφαμεν εἶναι τούς τε κυματώδεις καὶ κλονώδεις σφυγμούς. καὶ ἡμεῖς μὲν διὰ τὸ σύνθετον τὰς ἁπλᾶς μόνον παρεδώκαμεν διαφοράς. ἐκ δὲ τῶν λελεγμένων ῥᾳδίως ταύτας συμπλέκοντες, καὶ τὰς κατὰ σύνθεσιν εὑρήσομεν. Ἑξῆς δ' ἂν εἴη λέγειν καὶ τὰ αἴτια τὰ τρέποντα τοῖς σφυγμοῖς, οἷς ἕπεται καὶ ἡ ἀπ' αὐτῶν πρόγνωσις. ἀπὸ τοῦ μεγέθους ἡμῶν ἀρχομένων, διὰ τὸ τῶν ἄλλων εἶναι σαφέστερον. μέγας τοίνυν γίνεται σφυγμὸς ἢ διὰ τὴν χρείαν κατεπείγουσαν, ἢ τὴν ἐν τῇ καρδίᾳ πλεονάζουσα θερμότης ἐφιεμένη τῆς ἔξωθεν ἐμψύξεώς τε καὶ οἷον ῥιπίδος. ἢ διὰ σώματος ἰσχνότητα, ὡς μετ' ὀλίγον δείξομεν. αὐξάνεται δὲ τὸ θερμὸν. ἢ διὰ τὰ κατὰ φύσιν αἴτια, οἷον ἡλικίαν ἀκμαστικὴν, ἢ παιδικὴν, ἢ ἁπλῶς θερμὴν ὥραν τε καὶ χώραν, καὶ κρᾶσιν θερμοτέραν. ἢ διὰ τὰ οὐ φύσει, οἷον τὸ περιέχον θερμότερον ὑπάρχον, λουτρὰ θερμὰ, γυμνάσια, σιτία, οἶνον, φάρμακα θερμότερα. ἢ διὰ τὰ παρὰ φύσιν, οἷον δυσκρασίαν θερμὴν, ἢ χυμῶν σῆψιν, ἢ θυμὸν, ἢ τὰ παραπλήσια. διακρίνεις δὲ τὸν ἑκάστου σφυγμόν. γὰρ τὰ μὲν κατὰ φύσιν μόνιμόν τε καὶ δυσμετάβλητον αὐτῶν ποιεῖσθαι τὸ μέγεθος, τὰ δὲ λοιπὰ ῥᾳδίως μεταβαλλόμενα, ὥστε καὶ ἤτοι συναπομένους πολλάκις, ἢ πάντως γε μετ' ὀλίγον, πάντως ἀποκαθίστασθαι. καὶ τοῖς μὲν διὰ θερμὰ λουτρὰ μεγάλοις σφυγμοῖς καὶ μαλακότης προσγίνεται, ὥσπερ αὖ τοῖς διὰ θερμὴν καὶ μάλιστα σὺν ξηρότητι δυσκρασίαν, σκληρότης. οἱ δὲ γυμνασάμενοι συμμέτρως ἢ τριψάμενοι, μέσως μὲν ἔχουσι κατὰ σκληρότητα καὶ μαλακότητα. τὰ δὲ περὶ τὰ στέρνα, θερμότερα μᾶλλον ἔχουσιν, ὃ δὴ καὶ τοῖς θυμωθεῖσι γίγνεται. τοῖς δὲ διὰ τροφὴν, ἢ οἴνου χρῆσιν, ἢ θυμὸν, πρὸς τῷ μεγέθει καὶ σφοδρότης ὑπάρχει. ὅσοι δὲ κρύπτειν σπουδάζουσι τὸν θυμὸν, ἢ ἕτερόν τι πεπραγμένον αὐτοῖς οὐκ ἐπιτρέψαντος τοῦ ἰατροῦ, ὥσπερ ὁ λαβὼν τὸ θερμὸν φάρμακον, καὶ τὸν ἰατρὸν ἅμα γὰρ τῆς χειρὸς ἅπτεσθαι πυνθανόμενον, ἀποκρύπτειν ἔθελων, πρὸς γὰρ μεγέθει καὶ σαφὴς ἀνωμαλία προσγίνεται. εἰς τοῦτο δὲ καὶ τὸ τοῦ κάμνοντος ἦθος τε καὶ ἔθος οὐ μικρὰ συντελεῖ πρὸς διάγνωσιν. ἔθος μὲν, τὸ φιλοφάρμακον. ἦθος δὲ, τὸ ἀβελτερόν τε καὶ δοξοκαθαιρετικόν. ὁ δὲ διὰ σῆψιν χυμῶν μέγας, πρὸς τῷ μεγέθει, καὶ τὴν συστολὴν μᾶλλον ἐπιταχυνοῦσαν ἔχει. πρὸς δὲ τὸ μέγαν γενέσθαι σφυγμὸν, οὐκ ἐξαρκεῖ τὰ τῆς χρείας μόνον, ἀλλὰ δεῖ καὶ δυνάμεως ἐξυπηρετούσης, καὶ τοῦ ὀργάνου τῆς συμμετρίας κατὰ σκληρότητα καὶ μαλακότητα. αὐξηθέντος τοίνυν τοῦ κατὰ τὴν καρδίαν θερμοῦ δι' ἣν τινα οὖν τῶν εἰρημένων αἰτίων, πρῶτον μὲν γίγνεται μέγας ὁ σφυγμός. ἐπειδὰν δὲ μὴ ἐξαρκέσῃ τῇ χρείᾳ τὸ μέγεθος, εὐθὺς αὐτῷ καὶ τάχος προσγίνεται. εἰ δὲ μὴ οὕτως ἐξαρκέσῃ, καὶ πυκνότητα προσλαμβάνει. μικροὶ δὲ καὶ βραδεῖς καὶ ἀραιοὶ σφυγμοὶ ὑπὸ τῶν ἐναντίων γίνονται. ἀλλ' ἡνίκα ἂν ἀπὸ μεγάλου καὶ ταχέως καὶ πυκνοῦ ἐπὶ τοὺς ἐναντίους ἡ μεταβολὴ γίγνεται, τῆς χρείας δηλονότι ἐνδεούσης, οὐκέτι τὸ πρῶτον ἐν γὰρ σφυγμῷ γεγονὸς, πρῶτον καὶ παύεται. ἀλλ' ὅπερ ὕστερον ἐκτήσατο, τοῦτο πρῶτον ἀποβάλλει, εὐθὺς μὲν γιγνόμενος ἀραιὸς, εἶτα βραδὺς, εἰς ὕστερον δὲ καὶ μικρός. εἰ δ' ἐπιπλέον ἥκοι βραδύτητός τε καὶ μικρότητος, πάλιν ἡ ἀραιότης εἰς πυκνότητα μεταβάλλει, ὅπως ἂν δι' αὐτῶν γε σῶα τὰ τῆς χρείας ἀποτελεσθείη. ταῦτα μὲν οὖν μεγέθους τε καὶ τάχους καὶ πυκνότητος, καὶ τῶν ἐναντίων αὐτοῖς σφυγμῶν τὰ αἴτια. Συναπτέον δὲ αὐτοῖς καὶ τὴν κατὰ μίαν μόνον διάστασιν

τοῦ σφυγμοῦ παρατροπήν. τὸ μὲν οὖν πλάτος μόνον αὔξεται διὰ ὑγρότητα μάλιστα πλεονάζουσαν, ἤτοι κατὰ φύσιν, ἢ καὶ παρὰ τῶν ἐκτὸς αἰτίων. ὥσπερ τὸ ὕψος, διὰ τὴν τοῦ ὀργάνου μαλακότητα, συνεπιδιδούσης εἰς τοῦτο τῆς δυνάμεως. τὸ δέ γε μῆκος, ὑπὸ ξηρότητός τε καὶ ἐκτήξεως τῶν σαρκῶν τῶν περικειμένων ἔκδηλον γίνεται, τῶν ἄλλων συμπεσουσῶν διαστάσεων. οὐ γὰρ δὴ μακροτέραν τοῦ κατὰ φύσιν ἐγχωρεῖ γενέσθαι τὴν ἀρτηρίαν. καὶ μᾶλλον ἄν τις οἰκείως ἰσχνὸν προσαγορεύσειεν τὸν τοιοῦτον σφυγμόν, ὥσπερ τὸν ἐναντίον αὐτῷ, κατὰ πλάτος μόνον αὐξηθέντα καὶ βάθος, ἁδρόν. τοῖς ἐναντίοις δὲ τούτων πάθεσιν ὁ σφυγμὸς ἐνίοτε περιπίπτει, καὶ κατά τινα ἢ τινας τῶν διαστάσεων κωλύεται, ταπεινός τις, ἢ στενός, ἢ βραχὺς φαινόμενος. οὐκ ὢν τοιοῦτος, ἀλλὰ διὰ πάχος πιμελῆς τινος ἢ σαρκῶν ἢ ὑμένων ἐπιπροσθούντων. ἐνίοτε καὶ ὅλος μικρὸς φαίνεται, μὴ ὢν ὄντως μικρός. καὶ ἀμυδρός, ὁμοίως. καὶ τί λέγω. πολλάκις γὰρ ἀσφυξία τελεία τισὶν ἔδοξεν εἶναι κατὰ πάσας τὰς ἀρτηρίας, οὐκ ὄντως ὑπάρχουσα. καὶ μάλιστα τοῖς ἀμελέστερον ἁπτομένοις. ἀλλὰ διὰ πλῆθος σαρκῶν διαλανθανούσης τῆς κινήσεως, οὔσης ἀληθῶς ἀμυδρᾶς. οὐ γὰρ οἷόν τε τελείαν ἀσφυξίαν ὄντως γενέσθαι, ζῶντος ἔτι τοῦ ἀνθρώπου. καθάπερ αὖ πάλιν ἐπὶ τῶν ἀσάρκων, καὶ οἱ μικροὶ σφυγμοὶ μεγάλοι δοκοῦσιν εἶναι. ἐκτακέντος γοῦν σφοδρῶς τοῦ σώματος, ἥ τε κατὰ τὴν ῥάχιν ἀρτηρία πολλάκις τοῖς ἁπτομένοις τοῦ ὑπογαστρίου τὴν κίνησιν διασημαίνει, καί τινες τῶν ἐν τοῖς κώλοις ἀφανεῖς πρότερον οὖσαι. διόπερ πᾶσι τοῖς αἰτίοις ἐπιμελῶς προσεκτέον, ἵνα μὴ λάθῃ ἡμᾶς διάγνωσις. σφοδρὸς δὲ σφυγμός, ὑπὸ ῥώμης δυνάμεως γίνεται, μηδενὸς τῶν ἄλλων ἀντεμπεπτωκότος αἰτίων, οἷον τῆς χρείας ἐκλελυμένης, ἢ τοῦ ὀργάνου σκληρότητος. ὁ δὲ ἀμυδρὸς ἀσθενοῦς δυνάμεως καὶ μόνης ἐστὶν ἔκγονος, κἂν μηδὲν ἕτερον παρῇ. ὁ μὲν γὰρ σφοδρός, ἁπάντων χρῄζει τῶν αἰτίων πρὸς γένεσιν. τὸν δὲ ἀμυδρόν, καὶ μόνη ἂν ἡ ἀσθένεια ἐργάζεται. ὁ μὲν οὖν ἐξ ἀρχῆς σφοδρὸς ὑπάρχων, ἡλικίαις τε, καὶ ὥραις, καὶ χώραις, καὶ κράσεσιν εὐκράτοις ἕπεται. ὁ δὲ ἀμυδρὸς ταῖς δυσκράτοις. ὁ δὲ παρὰ ἀμυδρότητος εἰς σφοδρότητα μεταπίπτων, γίνεται ῥωννυμένης τῆς δυνάμεως ἐκ προλαβούσης ἀσθενείας. ῥώννυται δὲ ἢ διὰ τὰ ἐν αὐτῷ τῷ σώματι, οἷον χυμῶν πέψιν, ἢ ἔκκρισιν, ἢ θυμόν. ἢ διὰ τὰ ἔξωθεν, οἷον οἴνους, ῥοφάς, γυμνάσια, καὶ ὅσα τὴν δυσκρασίαν ἐπανορθοῦται. καταλύουσι δὲ δύναμιν, ἀσιτίαι καὶ ἀγρυπνίαι καὶ κενώσεις ἄμετροι, λῦπαί τε καὶ φροντίδες καὶ ὀδύναι μάλιστα συγκοπτικαί, καὶ ὅσα δυσκρασίαν ἐργάζεται. τινὲς δὲ τῶν ἀγυμνάστων τὸν σκληρὸν σφυγμὸν ᾠήθησαν εἶναι σφοδρόν, ἀλλὰ τὸν γεγυμνασμένον τόν τε λογισμὸν καὶ τὴν ἁφὴν οὐκ ἂν λάθοι. ὁ μὲν γὰρ σφοδρὸς ὡς τὸ πολὺ μετὰ μεγέθους εἰς ὕψος αἴρεται, πλήττων εὐρώστως τὴν ἁφήν. ὁ δὲ σκληρός, τὸ μέγεθος οὐκ ἐπιδέχεται, διὰ τὸ τῆς ἀρτηρίας δύσεικτον. σκληρὸς τοίνυν γίνεται σφυγμὸς διὰ τὴν τοῦ ὀργάνου σκληρότητα. ταύτην δὲ ψύξις ἄμετρος, ἢ ξηρότης, ἢ τάσις παρὰ φλεγμονῆς, ἢ σπασμὸς ἐργάζεται. ἕπεται δὲ τῇ σκληρότητι καὶ μικρότης καὶ τάχος. ἐνίοτε, καὶ πυκνότης ἀντὶ τοῦ μεγέθους, διὰ τὴν χρείαν ἀκολουθεῖ. ὁ δὲ μαλακὸς σφυγμός, ὑγρότητι τῆς ἀρτηρίας ἕπεται. ταύτην δὲ ὑγροτέραν ἐργάζονται. τῶν μὲν οὐ παρὰ φύσιν ὑγρότεραι τροφαί, καὶ πλείω λουτρά, καὶ ὕπνοι πολλοί, δίαιτά τε καὶ ἁβροτέρα καὶ θυμηδία. τῶν δὲ παρὰ φύσιν, κώματά τε καὶ λήθαργοι καὶ ὕδεροι καὶ τὰ λοιπὰ φλεγματώδη. πλήρης δὲ σφυγμός, ἢ χυμῶν πλῆθος, ἢ σιτίων, ἢ οἴνου πόσεως δηλοῖ πλεονεξίαν. ὥσπερ ὁ κενὸς τἀναντία, ἢ γὰρ ἀσιτίαν, ἢ κένωσιν. θερμότερον δὲ τὸ τῆς ἀρτηρίας ὑποπίπτον σῶμα, πολλὴν τὴν ἐν τῇ καρδίᾳ θερμασίαν, καταψυχομένου τοῦ λοιποῦ σώματος. ἢ σπασμώδη τινὰ τῶν ἀρτηριῶν δηλοῖ διάθεσιν, τῇ βιαίᾳ κινήσει θερμαινομένων. Ἀρχιγένης δέ φησι τὸν τῆς ἀρτηρίας τόπον, ἰδίως ἐπὶ τῶν κατόχων θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς πυρεσσομένοις μετὰ καταφορᾶς. ὁ δὲ κατὰ τὸν ῥυθμὸν λόγος. ἴσος μὲν ὑπάρχων ἐν τῇ κινήσει καὶ ἠρεμίᾳ τοῦ παντός, εὐκρασίαν δηλοῖ σώματος, ὅσον ἐφ' ἑαυτῷ, ἢ οὐ μεγάλην τε τὴν παρατροπήν, ὡς ἐπὶ παιδικῆς ἡλικίας, καὶ τῶν ἄλλως εὐκράτων σωμάτων. εἰ δὲ πλείων ὁ τῆς ἠρεμίας εἴη χρόνος τοῦ τῆς κινήσεως, τὸ θερμὸν ἐπικρατεῖν δηλοῖ, καθάπερ ἐπὶ τῶν ἀκμαζόντων καὶ τῶν τούτοις ἐγγύς. ὥσπερ οὖν ἐπὶ τῶν γεροντικῶν σωμάτων ὁμαλῶς ψυχρῶν, πλείων ὁ τῆς κινήσεως ἐστὶ χρόνος τοῦ τῆς ἠρεμίας. Ἰστέον δὲ τὴν κατὰ τὸν ῥυθμὸν ἀνωμαλίαν, μέτρον ὑπάρχουσαν τῆς κατὰ τάχος καὶ πυκνότητα, ταύτην δὲ οἷον ὕλης ἐπέχειν λόγον πρὸς τὸν ῥυθμόν.

Διαλείποντες δὲ καὶ παρεμπίπτοντες γίνονται σφυγμοὶ θλιβομένης τε καὶ οἱονεὶ βαρυνομένης τῆς δυνάμεως. ἀλλ' οἱ μὲν παρεμπίπτοντες, μικροτέραν τὴν βλάβην. οἱ δὲ διαλείποντες, μείζονα δηλοῦσι. καὶ καθόλου δὲ ἡ θλιβομένη καὶ βαρυνομένη δύναμις εἰς ἀνωμαλίαν τε καὶ ἀταξίαν τρέπει τοὺς σφυγμούς, τήν τε ἄλλην ἅπασαν καὶ τὴν κατὰ σφοδρότητα καὶ μέγεθος. τῶν δὲ μυούρων σφυγμῶν διττῶν κατὰ γένος ὄν-

δεδειγμένων, ἢ γὰρ ἐν τῇ καλουμένῃ συστηματικῇ ἀνωμαλίᾳ, ἢ ἐν τῇ κατὰ μίαν εὑρίσκονται πληγήν. οἱ μὲν ἐκλείποντες, ἐλάττω τῆς δυνάμεως δηλοῦσι κατάπτωσιν. ἐπανερχόμενοι δὲ καὶ παλινδρομοῦντες, καὶ ὅτι μὴ ἀσθενῆ, ἀλλ' ἀπομαχομένην ἔτι καὶ ἀντέχουσαν καὶ ἀνανεύουσαν. οἱ δὲ κατὰ μίαν πληγὴν μύουροί τε καὶ ἐπιγεγονότες ἢ περιγεγονότες καλούμενοι, μάλιστα τοῖς συναπομαρανθεῖσι κατὰ βραχὺ ταῖς μηκυνθείσαις φλεγμοναῖς. ἤδη δὲ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχουσιν, ἐκτηκομένων τῶν περὶ τὰς ἀρτηρίας σωμάτων. αἱ ἐπιταχεῖς δὲ καὶ δορκαδίζοντες, πυρετικαῖς ἕπονται μάλιστα θερμασίαις. ἀλλ' εἰ μὲν τὰς ἀρχὰς ἐκλύων τῆς διαστολῆς ὁ σφυγμὸς ἐπιταχύνοι τὸ πέρας αὐτῆς, καὶ τῆς συστολῆς τὴν ἀρχήν, τὰ τῆς ψύξεως ἐπικρατοῦντα δηλοῖ, πρὸς ἔκκρισιν τῶν λιγνυωδῶν περιττωμάτων ἐπειγομένης τῆς φύσεως. εἰ δὲ ἔμπαλιν τῆς μὲν συστολῆς τὴν ἀρχὴν ἐκλύοι, πρὸς δὲ τὴν διαστολὴν μᾶλλον ἐπείγοιτο, τὴν θερμασίαν μᾶλλον ἐπικρατοῦσαν ἴσθι, τῆς ἐμψύξεως ἐφιεμένην. ἀκολουθεῖ δὲ τούτοις ἐν πυρετῷ καὶ πυκνότης μὲν ὡς τὰ πολλά, ἐνίοτε δὲ καὶ μέγεθος, εἰ μὴ τὰ τῆς δυνάμεως ἡ σκληρότης κωλύσει τοῦ ὀργάνου. ἐπιτεινομένης δὲ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος καὶ τῆς δυνάμεως οὐκ ἀσθενούσης, ὁ δίκροτος γίνεται σφυγμός. ὁ δὲ κυματώδης μάλιστα τοῖς ὑγροτέροις τῶν παθῶν ἕπεται, καὶ τούτων μᾶλλον ὑδέροις τε τοῖς ἀνὰ σάρκα, καὶ ληθάργοις, καὶ περιπνευμονίαις. ἀρξαμένης δὲ λύεσθαι τῆς δυνάμεως, ἔτι δὲ τέως ἐπ' ὀλίγον ἀντεχούσης, ὁ κυματώδης εἰς τὸν σκωληκίζοντα μεταπίπτει. ἐσχάτως δὲ καταπεσούσης αὐτῆς, καὶ τοῦτον ὁ μυρμηκίζων διαδέχεται. ὁ δὲ ἑκτικὸς ἰδίως, τοῖς φθίνουσί τε καὶ ἄλλως ἐκτηκομένοις συνεδρεύει. σπασμώδης δὲ σφυγμὸς γίνεται τῆς τῶν νεύρων ἀρχῆς φλεγμονώδη τινὰ διάθεσιν ἐχούσης, καθάπερ ἐπὶ φρενιτικῶν τε καὶ τῶν ὀξέως ἐπιλήπτων. ἡνίκα καὶ ἀποθνήσκουσιν οἱ τοῦτο παθόντες ἔτι θερμοί, ἔμπαλιν τοῖς συγκοπτομένοις. ἐκεῖνοι γὰρ ὄντες ἱκανῶς ψυχροί, ζῶσιν ἔτι. κλονώδης δὲ γίνεται ὁ σφυγμός, ὅταν ἡ μὲν χρεία δέηται μεγάλης διαστολῆς, ὅ, τε τόνος ὁ ζωτικὸς ἐργάζεσθαι δύνηται. μόνον δὲ τὸ τῆς ἀρτηρίας ἀντιλέγει σῶμα, ὑπὸ σκληρότητος ἀδυνατοῦν εἰς μεγάλην ἐξαίρεσθαι διαστολήν, καθάπερ ἐπὶ φλεγμονῶν τε μεγάλων, καὶ χρονίων ἐμφράξεων. ἐμπρίων δὲ σφυγμός, καθόλου φλεγμονῆς ἐστι σημαντικός, καὶ μάλιστα τῶν νευρωδῶν τινος. οὐχ ἥκιστα δὲ πλευρίτιδος ἴδιος, ἀνιέμενος μέν, μαλακῆς καὶ ῥαδίως πεφθησομένης. ἐπιτεινόμενος δέ, χαλεπῆς καὶ δυσπέπτου, ἥτις σὺν ἀσθενεῖ μὲν τῇ δυνάμει κινδυνώδης ὀξέως ἐστί. σὺν ἰσχυρᾷ δέ, χρονίως πεφθησομένη. ἢ γὰρ εἰς ἐμπύημα μετέστη πολλάκις, ἢ φθινώδης αὐτὴν διεδέξατο μαρασμός. εἰδέναι δὲ χρὴ ταῖς ἀνωμαλίαις τὴν ἀταξίαν ἑπομένην. σπανίως δέ ἐστιν εὑρεῖν ἀνώμαλον σφυγμὸν τεταγμένον. αἱ μὲν δὴ μικρότεραι βλάβαι τοὺς ἀνωμάλους τε καὶ τεταγμένους. αἱ δὲ μείζονες, τοὺς ἀνωμάλους τε καὶ ἀτάκτους σφυγμοὺς ἀπεργάζονται. αὗται μὲν οὖν αἱ ἁπλαῖ τῶν σφυγμῶν, αἰτίαι τε καὶ προγνώσεις. ἐκ δὲ τούτων καὶ τὰς συνθέτους, ὡς κἀν τῷ περὶ διαφορᾶς αὐτῶν λόγῳ ἐλέγομεν, οὐ χαλεπῶς εὑρίσκεται.

Περὶ διαχωρημάτων. ιβ.

Τῶν διαχωρημάτων ἄριστον μέν ἐστι, τὸ μαλθακόν τε καὶ συνεστηκός. καὶ κατὰ συνήθη ὥραν καθ' ἣν ἐν τῇ ὑγιείᾳ διεχώρει τὸ διαχωρούμενον. τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρον ἅμα τῇ προσηκούσῃ συστάσει, καὶ μὴ λίαν δυσῶδες. τὸ δὲ παρὰ ταῦτα οὐ χρηστόν. τὸ μὲν οὖν ὅμοιον τοῖς ἐδηδεσμένοις κατὰ τὴν χρόαν, καὶ λεπτόν, καὶ ἄχυμον, καὶ ταχέως διεξιόν, ἄπεπτόν ἐστιν. τὸ δὲ πυρρὸν ἀκράτως, ἐν ἀρχῇ μὲν χολωδέστερον ἐνδείκνυται νόσημα, εἰ δὲ κατὰ τὴν παρακμὴν ἐκκρίνοιτο τοιοῦτον, ἐκκαθαίρεσθαι χρηστῶς δηλοῖ τὸ σῶμα. τὸ χλωρὸν δέ, τῆς ἰώδους χολῆς ἐστι γνώρισμα. τὸ δὲ μέλαν, ἢ τῆς μελαίνης, ἢ τινὸς αἵματος αὐτόθι κατοπτηθέντος. τὸ δὲ πελιδνόν, ψύξιν τινὰ καὶ νέκρωσιν τῶν ἐντὸς οὐκ ἀγεννῆ δηλοῖ. τὸ δὲ λιπαρόν, συντήξεώς ἐστι τῆς ἐν τῷ σώματι πιμελῆς γνώρισμα. καθάπερ αὖ τὸ γλίσχρον, τοῦ λιπαροῦ χεῖρον ὑπάρχον σύντηξιν δηλοῖ τῶν τοῦ ζῴου μορίων. τὸ δὲ λίαν δυσῶδες, οὐ μικρὰν ἐνδείκνυται σῆψιν. ἐπὶ πάντων δὲ τούτων εἰ μὴ κατὰ τὸ ἐδηδεσμένον σιτίον ἡ ποιότης εἴη τῶν διαχωρουμένων, οὕτως ἤδη σκοπεῖσθαι καὶ τὴν διάθεσιν. ἁπάντων δὲ χεῖρον, καὶ ὀλέθριον ἂν εἴη τὸ μέλαν τε καὶ πελιδνὸν καὶ λιπαρὸν καὶ ταχέως διεξιόν.

Περὶ τῆς τῶν οὔρων σημειώσεως ιγ.

Ὥσπερ ἐπὶ τῶν διαχωρημάτων, οὕτω κἀπὶ τῶν οὔρων κανόνι τῷ τῶν ὑγιαινόντων κεχρημένοι, καὶ κατὰ τῶν νοσούντων σημειωσόμεθα. οὖρον τοίνυν ἄριστόν ἐστι, τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον. τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρόν τε ἅμα καὶ ὑπόξανθον. εὐθὺς δὲ τοῦτο καὶ πάχους συμμέτρως ἔχει. οὔσης δὲ τριττῆς τῆς τῶν θολερῶν οὔρων διαφορᾶς. ἢ γὰρ οὐρηθέντα τοιαῦτα, καθίστανται μετ' ὀλίγον.

γον. ἢ μένει παραπλησίως ἄχρι παντός. ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δὲ ἀναθολοῦται. μοχθηρὸν μὲν τὸ τρίτον εἰρημένον. ἐπιεικὲς δὲ τὸ πρῶτον. ἐν μέσῳ δ' ἀμφοῖν ἐστι τὸ δεύτερον. τὸ δὲ ἐσχάτως ἄπεπτον ὅπερ ἐστὶ τὸ ὑδατῶδες ἀκριβές, οἷον ἀπεγνωσμένης πέψεως σύμπτωμα τοῦ φλεβώδους γένους ὑπάρχον. ὅταν δὲ καὶ ταχέως διεξέρχηται. ὁ καλούμενος διαβήτης γίνεται. ἀλλὰ τοῦτο μὲν ἀπέπτων οὔρων τὸ χείριστόν ἐστιν. ἐφεξῆς δὲ αὐτῶν τὸ λεπτὸν οὕτω καὶ λευκόν, οἷον τὸ ὕδωρ. τούτων ἐγγύς ἐστιν, ἕτερον οὖρον ἐν πολλαῖς νόσοις φαινόμενον, ἐγγὺς ἱκανῶς τοῦ λεπτοῦ καὶ λευκοῦ. τὸ δὲ ὕπωχρον, ἐφεξῆς ἐστι τούτου. τὸ δὲ ὠχρὸν, εἴη μὲν ἤδη τοῦτο καὶ ὑπόπυρρον. πέπεπται δὲ ἤδη τῆς χρόας γε ἕνεκα. χρὴ δὲ αὐτὸ, καὶ κατὰ πάχος τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὕδατος, εἰ μέλλει πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. εἰ δὲ τὴν κατὰ φύσιν χρόαν ἀκριβῶς φυλάττων, ὑπόστασιν λευκὴν καὶ λείαν καὶ ὁμαλὴν καὶ πολλὴν ποιεῖ, πέψεως μὲν ἂν εἴη ἀκριβοῦς γνώρισμα. τὰ πλείονα δὲ, τὸν ὠμὸν χυμὸν ἐκκαθαίρεσθαι δηλοῖ. κἂν παχύτερον δὲ ᾖ μετρίως, καὶ ἔχῃ τινὰ ὑπόστασιν, οὐ πάντως ἤδη ἄπεπτον. εἰ γὰρ ἤτοι κριμνώδεις ἢ πεταλώδεις ἢ πιτυρώδεις, ἢ μελαίνας ἢ πελιδνὰς ἢ χλωρὰς ἢ δυσώδεις ὑποστάσεις ἔχοι, πρὸς τὸ πάνυ τὸ τοιοῦτον ἄπεπτον εἶναι, καὶ ἄλλως ὀλέθριον ὑπάρχει. τὰ δὲ εὔχροά τε ἅμα, καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς καὶ λείας καὶ ὁμαλὰς, ἢ νεφέλας τινὰς ὁμοίας, ἢ ἐναιωρήματα ποιούμενα, πάντων ἐστὶν οὔρων τὰ χρηστότατα. καὶ μάλιστα μὲν ὧν ἡ ὑπόστασις εἴη τοιαύτη. δεύτερα δὲ, ὧν ἂν ἐναιωρήματα. τρίτα δὲ, ὧν νεφέλαι, καὶ ἁπλῶς τὰ τοῖς οὔροις ἐμφερόμενα χρηστῶς, ὅσῳ περ ἂν ὑφιζάνῃ κάτω, τοσούτῳ βελτίω γίνεται.

Περὶ πτυσμάτων σημειώσεως. ιδ.

Ὅσα μὲν ὑπόξανθά ἐστι καὶ ὑπόπυρρα καὶ ὕπαφρα καὶ λεπτὰ, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα, κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται. τὰ δὲ ἀκράτως ξανθὰ καὶ πυρρὰ καὶ ἀφρώδη καὶ χλωρὰ καὶ γλίσχρα καὶ στρογγύλα, καὶ τούτων ἔτι μᾶλλον τὰ μέλανα, μοχθηρά. πλὴν γὰρ τοῦ αἵματος ὅστις ἂν τῶν ἄλλων χυμῶν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν ὑπὸ θερμότητος φλογώδους τὴν γένεσιν ἐχοῦσαν. τὰ μὲν οὖν αἱματώδη πτύσματα, μέτρια. τὰ δὲ τῆς ξανθῆς ἢ μελαίνης χολῆς, χαλεπά. προσεπισκέπτεσθαι δὲ δεῖ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον. εἰ γὰρ εὐπετέως ἀναπτύοιτο, πρόδηλον ὡς τὰ τοιαῦτα μὲν ἐστιν ἀγαθὰ, τὰ δὲ ἐναντία μοχθηρά. τελείας μὲν οὖν ἐστι πέψεως γνωρίσματα τὸ πτύαλον, ὅταν ᾖ λεῖόν τε καὶ λευκὸν καὶ ὁμαλὸν, καὶ τῇ συστάσει μήτε ὑγρὸν μήτε ὑπόπαχυ. παντελοῦς δὲ ἀπεψίας, τὸ μηδ' ὅλως ἀναπτυόμενον. εἰ δὲ μὴ πτύοιτο μέλαν ἀλλὰ λεπτὸν, πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. εἰ δὲ ἄκρατον εἴη πυρρὸν ἢ ξανθὸν, οὐκ ἀγαθόν. εἰ δὲ πελιδνὸν ἢ ἰῶδες ἢ μέλαν, ὀλεθριώτατον.

Περὶ ἐφημέρων πυρετῶν διάγνωσις καὶ θεραπεία. ιε.

Τῶν δὲ ἐφημέρων πυρετῶν ἴδιον καὶ ἀχώριστον σημεῖόν ἐστιν, ἡ τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. καὶ τὸ τῆς θερμασίας δὲ ἡδὺ τῶν τοιούτων πυρετῶν ἴδιον καὶ ἀχώριστον ἐστιν. μετὰ δὲ τὴν πρώτην λύσιν τοῦ πυρετοῦ πιστοτέραν ἕξεις τὴν διάγνωσιν. ἥτε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τῷδε καθάπερ ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος. καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία, μέγιστον καὶ αὐτὴ σημεῖον. εὐάλωτοι τοῖς τοιούτοις πυρετοῖς εἰσίν, ἐφ' ὧν αἱ ἀπόρροιαι τοῦ σώματός εἰσιν οὐκ ἀτμώδεις, ἀλλὰ δριμεῖαι καὶ οἷον καπνῶδες ἔχουσιν. οὗτοι δὲ εἰσὶν οἱ θερμοὶ καὶ ξηροὶ τὴν κρᾶσιν, καὶ ὅλως πικρόχολοι. τοὺς μὲν οὖν ὑπὸ κόπου πυρέξαντας λιπαρῶς τε ἅμα καὶ μαλακῶς ἀνατρίβειν καὶ λούειν. τοὺς δὲ ὑπὸ ξηρότητος, τρίβειν μὲν ἔλαττον τούτων, λούειν δὲ πλέον. τοὺς δὲ ὑπὸ φροντίσι καὶ λύπαις καὶ ἀγρυπνίαις καὶ θυμοῖς, λούειν μὲν μὴ πολλάκις. ἐλαίῳ δὲ πολλῷ χλιαρῷ, ἥκιστα μετέχοντι στύψεως ἀνατρίβειν βραχέα, καὶ λούειν ὡς ἔθος. τοὺς δὲ ἐπ' ἐγκαύσεσιν. εὐθέως μὲν ἐξ ἀρχῆς χρὴ τοῖς ψύχουσιν ἰᾶσθαι, καὶ λουτροῖς πλείοσιν. ἥκιστα δ' ἐλαίῳ δαψιλεῖ καὶ τρίψει. τὰ δὲ ψύχοντα, ῥόδινον ἔστω, καὶ ἔλαιον ὀμφάκινον χωρὶς ἁλῶν ἐσκευασμένον ψυχρόν. τὰ δὲ αὐτὰ σφοδρότερον καταχεῖν δεῖ κατὰ τοῦ βρέγματος, καὶ λούειν παρακμάζοντος τοῦ πυρετοῦ. εἰ δέ τις ψυχθεὶς πυρέξειεν, καὶ τοῦτον λούειν ἐν ταῖς παρακμαῖς. εἰ δ' ἅμα καταῤῥῷ πυρέττοιεν, πρὶν πεφθῆναι λούειν οὐ χρή, τοὺς δὲ ἐπ' ἐγκαύσει, καὶ τούτων παρόντων λουστέον. τοὺς δὲ ὑπὸ ψύξει, θερμαίνειν μετρίως, διαβρέχειν τε τὴν κεφαλὴν, οἷόν ἐστιν ἴρινον καὶ τὸ νάρδινον. ἐφ' ὧν δὲ ἡ στέγνωσις πυρετὸν ἐργάζεται, τούτοις ἁρμόττει λουτρὰ γλυκέων ὑδάτων εὐκράτων. καὶ τρίψις ἀραιωτική, καὶ γυμνάσια, καὶ δίαιτα γλυκύθυμος. εἰ δὲ καὶ δι' ἀσιτίαν γένοιτο πυρετὸς, τοῦ πρώτου παροξυσμοῦ παρακμάζοντος, εἰσάγειν εἰς τὸ βαλανεῖον αὐτοὺς, καὶ χλιαρὸν ἔλαιον πλεῖστον καταχεῖν. ἀνατρίβειν τε πραότατα, καὶ τὸ πλεῖστον τοῦ χρόνου ἐν τῇ θερμῇ δεξαμενῇ διατρίβειν. ἐξελθόντα καὶ ἀναλαβόντα τὴν δύναμιν εἰσάγειν εἰς τὸ λουτρὸν, καὶ μετὰ ταῦτα πιεῖν θερμὸν ὕδωρ διδόναι. πτισάνης χυλὸν, ἐνίοτε δὲ καὶ θριδακίνης, καὶ τῶν ἁπαλοσάρκων ἰχθύων ἐν λευκῷ ζωμῷ.

κοινὸν δὲ πάντων εἶδος ἔστω τῆς διαίτης, εὔχυμον, εὔπεπτον, οὐδαμόθεν κατὰ τοὺς πόρους ἰσχόμενον. οἶνον δὲ διδόναι τὸν ὑδατώδη καὶ ὄψει καὶ δυνάμει. δεῖ δὲ κατὰ τὴν τοῦ πυρετοῦ πρώτην εἰσβολὴν ἐνίοτε τοῦ πρώτου παροξυσμοῦ τούτων τινὰ στρέφειν, ἐφ' ὧν ἡ δυσκρασία τοῦ σώματος ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν ἐκτρεπομένη πυρετοὺς ἀνάπτει. οἱ δὲ ἐπὶ βουβῶσι πυρέξαντες, οὐδὲ πυνθάνονται τὸν ἰατρὸν ὅτι χρὴ ποιεῖν. ἀλλὰ τοῦ ἕλκους ἐφ' ᾧπερ ἂν ὁ βουβὼν γένηται προνοησάμενοι, λούονται κατὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ. εἴργειν δὲ αὐτοὺς οἴνου προσήκει, πρὶν τοὺς βουβῶνας λυθῆναι, καὶ λεπτοτέρον διαιτᾶν.

Τῶν ἐπὶ σηπεδόνι πυρετῶν διάγνωσις. ις.

Τῶν ἐπὶ σήψει πυρετῶν διάγνωσις. τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων προηγήσασθαι. καὶ τὸ μὴ ἀπὸ ῥίγους δὲ ἄρξασθαι τὸν πυρετόν, οὔτε δι' ἐγκαύσεως, οὔτε ἐμψύξεως ἰσχυρᾶς προηγησαμένης, ἴδιόν ἐστι καὶ αὐτό, τῶν ἐπὶ σηπεδόνι πυρετῶν, ὥσπερ γε καὶ τὸ τῆς θλίψεως τῶν σφυγμῶν. οὕτω δὲ ὀνομάζουσιν ὅταν ἀρχομένου τοῦ παροξυσμοῦ μικροὺς ἱκανῶς ἔχουσι καὶ ἀνωμάλους αὐτούς. ἴδιον γὰρ ἐξαιρετόν ἐστι τοῦτο τῶν τοιούτων πυρετῶν. μέγιστον γνώρισμα τῶν ἐπὶ σήψει πυρετῶν ἐστι καὶ ἡ τῆς θερμασίας ποιότης. καπνώδης γάρ ἐστιν, ὡς διαβιβρώσκειν τὴν ἁφήν. ἴδιόν ἐστι μάλιστα τῶν τοιούτων πυρετῶν καὶ ἡ τῶν οὔρων ἀπεψία, καὶ ἡ ἀμυδρὰ πέψις. μέγα δὲ καὶ ἀξιόλογον γνώρισμα πέψεως ἐν τοῖς πρώτοις οὔροις οὐδέποτε φαίνεται κατὰ τοὺς τοιούτους πυρετούς.

Ἴασις τῶν ἐπὶ σηπεδόνι πυρετῶν. ιζ.

Τῶν δυνάμεων ἰσχυρῶν οὐσῶν τοὺς ἐπὶ σηπεδόνι πυρέττοντας φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα. δυνάμεως δὲ ἀσθενούσης, ἢ κωλυούσης τῆς ἡλικίας, οὐ φλεβοτομήσεις. μετὰ δὲ τὴν κένωσιν τοῦ αἵματος ἐκκαθαίρειν χρὴ τὰ σεσηπότα, δι' οὔρων, καὶ γαστρός, καὶ ἱδρώτων. εἰ δὲ αὐτόματά ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ δι' ἐμέτων. ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν. ἐκλεκτέον δὲ ὕλας, ὅσαι χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκαναὶ τὰς εἰρημένας κενώσεις ἐργάζεσθαι. καθάπερ ὅ, τε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον, ὀξύμελί τε καὶ ἀπόμελι. καὶ ἡ τοῦ σελίνου ῥίζα. μὴ διαχωρούσης δὲ τῆς κοιλίας, κλύζειν μελικράτῳ. δι' ἐλαίου δὲ ὅλον τὸ σῶμα πρὶν μὴ κενῶσαι, μανοῦν οὐ χρή. κενώσαντας δέ, ἐγχωρεῖ μανοῦν χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου. ἐν τούτῳ τῷ καιρῷ, καὶ οἶνος πινόμενος ὑδατώδης ἁπάσας κινεῖ τὰς ἐκκρίσεις. καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέως ὕδατος. Ἀλλ' ὅταν ἀνθίσταται τὸ μέγεθος τοῦ πυρετοῦ. οὔτε οἴνῳ χρηστέον, οὔτε λουτρῷ. οὔτε ἀλείμμασιν ἀραιωτικοῖς. ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον ἐπιτηδειότατον, εἰ μή τι κωλύοι καὶ τοῦτο. εἰ μὲν οὖν καὶ δυνάμεις ἰσχυραὶ τύχοιεν οὖσαι πᾶσαι, καὶ ὁ πυρετὸς διακαέστατος, καὶ τὰ τῆς πέψεως ἐναργῆ σημεῖα. τὸ ψυχρὸν διδόναι θαρροῦντα. εἰ δὲ καὶ εὔσαρκος εἴη, καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρά, κἂν εἰς κολυμβήθραν αὐτὸν ἐμβάλῃς ψυχράν, οὐ βλαβήσεται. μετρίου δὲ ὑπάρχοντος τοῦ πυρετοῦ, καὶ τῶν δυνάμεων ἰσχυρῶν, ἅμα τοῖς τῆς πέψεως σημείοις. ὠφελεῖ τοὺς τοιούτους τὰ βαλανεῖα, καὶ ἡ τοῦ οἴνου πόσις, ὅσα τε τῶν ἀλειμμάτων μανωτικά.

Περὶ τριταίων διαγνώσεως. ιη.

Ὁ μὲν τριταῖος πυρετὸς ἔκγονος ὑπάρχων τῆς ξανθῆς χολῆς κινουμένης εὐθὺς κατ' ἀρχάς, ῥῖγος οὐκ ἀγεννὲς ἐπιφέρει. διαφέρον τοῦ τεταρταϊκοῦ ῥίγους, τῷ κεντεῖσθαι δοκεῖν καὶ τιτρώσκεσθαι τὸν χρῶτα. ἐν δὲ τοῖς τεταρταίοις ἡ εἰσβολὴ κατάψυξιν ἔχει σφοδράν. τῶν δὲ ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγος, ἀλλὰ περιψύχονται μόνον. ἔστι δὲ ἐν τοῖς τριταίοις καὶ τάξις ἀκριβὴς τῶν σφυγμῶν. ἐπιφέρει δὲ δίψος κατὰ τὰς ἀκμὰς σφοδρὸν ὁ τριταῖος, καὶ διακαίει τὸν ἄνθρωπον. καὶ μικρὸν ὕστερον ἀκμάζει, καὶ τὸ θερμὸν ὁμαλῶς ἐκτέτακται πάντη. εἰ δὲ ἐπιβάλλοις τὴν χεῖρα κατὰ μὲν τὴν πρώτην ἐπιβολήν, ἀπαντᾷ θερμασία πολλὴ καὶ δριμεῖα, καὶ οἷον μετὰ ἀτμοῦ τινὸς ἀναφερομένη. νικᾶται δὲ ὀλίγον ὕστερον ὑπὸ τῆς χειρὸς ἐπιμένοντος. πιόντος δὲ αὐτίκα δὴ μάλα πλῆθος ἄνεισι ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος ἀγγέλλον ἱδρῶτας. ἔμετος δὲ ἐπιφαίνεται χολῆς. ἢ γαστήρ που κατέρρηξεν. καὶ οὐροῦσι χολώδη. ἐπὶ τούτοις εἰς ἀπυρεξίαν παύεται, τὸν χρόνον τοῦ παροξυσμοῦ ποιησάμενος ὡρῶν οὐ πλειόνων δυοκαίδεκα. τὸν μὲν οὖν ἐντὸς τῶν δεκαδύο ὡρῶν παυόμενον, ἀκριβῆ τριταῖον ὠνομάζομεν. ὅστις δ' ἂν ἔχοι πολυχρονιώτερον τούτου τὸν παροξυσμόν, ἐκεῖνον ἁπλῶς τριταῖον καλοῦμεν. ὅστις δ' ἂν ἔχοι ἐπὶ πλεῖστον ἐκτεταμένον τὸν παροξυσμόν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον δ' αὖ πάλιν ὠνομάζομεν ἐκτεταμένον τριταῖον.

Θεραπεία τριταίου. ιθ.

Τὸν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ ξανθῆς χολῆς γινόμενον, ὑγραίνειν τε καὶ ψύχειν. καὶ τὸ μὲν εἰς γαστέρα συρρέον, κενοῦν δι' ἐμέτων τε καὶ κάτω. τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν.

τὴν

τὴν μὲν οὖν γαστέρα μαλακοῖς κλύσμασι κινεῖν. τὰ δὲ οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασι μὲν ἀποβρέχοντα. καὶ ἐπειδὰν σημεῖα πέψεως φαίνηται, θαρρῶν ἤδη καὶ τὸ ἀψίνθιον διδόναι λουτρὰ διὰ ὕδατος θερμοῦ ποτίμου. καὶ μήτε νίτρου μήτε ἁλῶν, μὴ νάπυος ἐν τοῖς λουτροῖς προσπάττειν. ἀλλ' ὅτι μάλιστα θερμὸν ἔλαιον προχέας ἐμβιβάζειν. τοὺς δὲ φιλολούτρους. οὐδὲ εἰ δὶς λούοις, ἁμαρτάνοις ἄν. εἰ δὲ καὶ πέψεως σημεῖα τῆς νόσου φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. οἴνου δὲ πρὶν μὲν πεφθῆναι τὸ νόσημα παντάπασιν εἴργειν. ἀρξαμένου δὲ πέττεσθαι, λεπτὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τήν γε πρώτην διδόναι. σιτία τε ὅσα ὑγραίνει τε καὶ ψύχει, χρήσιμα. ἀπέχειν δὲ μέλιτος καὶ νάπυος καὶ ταρίχους, καὶ τῶν φύσει θερμῶν. ταῦτα μὲν ἐπὶ τῶν παλαιῶν. καὶ οὐδὲν θαυμαστὸν εἰ γυμνασίοις μᾶλλον καὶ τροφῆς ἐνδείᾳ τῶν τότε διαιτωμένων ἀνθρώπων. νῦν δὲ τῆς τάξεως ἀντεστραμμένης, ἐπίμικτος φλέγματι ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται ἡ χολή. τοιγαροῦν οἱ πλεῖστοι τῶν τριταίων, ἢ χωρὶς γίνονται ῥίγους, ἢ κομιδῇ σμικρὸν αὐτοῖς γίνεται τὸ ῥῖγος. καὶ τὰ τῆς θεραπείας δὲ διαλλάττουσιν. οὔτε γὰρ λουτρόν, οὐδέ τις ἁδροτέρα τροφὴ πρὸ πέψεως ἁρμόζει τοῖς τριταΐζουσιν. ὅτι μηδ' ἄρτου ψιχῶν, καὶ ὠῶν, καὶ τῶν παραπλησίων.

Θεραπεία νόθων τριταίων. κ.

Λούειν ἐπὶ τῶν νόθων τριταίων οὐκ ἀγαθὸν κατ' ἀρχάς, ἀλλ' ἡνίκα ἂν ἤδη φαίνηται τὰ σημεῖα τῆς πέψεως. οὔτε καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει. καὶ ῥοφήματα σύμπεπτα. καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά. καὶ εἰ αἵματος ἀφαιρέσεως χρεία, μηδὲ τοῦτο παραλιπεῖν. ἡ δὲ ὅλη τῆς διαίτης κατάστασις, οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμπαν. ἀλλὰ καὶ τῆς τμητικωτέρας ῥοπῆς προσεπιλαμβανέσθω. μάλιστα δὲ ἁρμόσειεν αὐτοῖς ὁ πτισάνης χυλός, ἐμβαλλομένου πεπέρεως, ἢ ὑσσώπου, ἢ ὀριγάνου. καὶ στάχυος νάρδου. καὶ μελικράτῳ δὲ πεπέρεως ἐμβάλλων, καὶ ἕψων δίδου πίνειν. καὶ τὰ ἄλλα δὲ ὅσα οὔρησιν κινεῖ. πλὴν τῶν σφοδρῶς θερμαινόντων τε καὶ ξηραινόντων. μάλιστα δὲ τὸ ἀψίνθιον διδόναι μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὴν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησεν πινόμενον. καί τι τῶν ἁπλικῶν ὑπηλάτων. ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος τοῖς ἐν τούτῳ τῷ πυρετῷ χρονίζουσι, χρησιμώτατος.

Τεταρταίων διάγνωσις. κα.

Ὁ τεταρταῖος τὴν εἰσβολὴν ποιεῖται μετὰ πολλῆς καταψύξεως, ἅτε ἐκ ψυχροῦ χυμοῦ τῆς μελαίνης χολῆς τὴν γένεσιν ἔχων. ἀλλὰ καὶ τὸ θερμὸν καὶ διακαὲς οὐκ ἔχει τοῦ πυρετοῦ καθάπερ ὁ τριταῖος. ἀλλ' οὐδὲ χολῆς ἔμετος παρακολουθεῖ. ἐπὶ τούτοις εἰ λεπτὰ καὶ λευκὰ καὶ ὑδατώδη τὰ οὖρα τυγχάνοι, τεταρταῖος ἂν εἴη ὁ πυρετός. ἐξαίρετον δέ ἐστιν τεταρταίου γνώρισμα μικρὸς καὶ ἀραιὸς ὁ σφυγμός. καὶ φθινοπώρου δὲ μάλιστα τὴν ἀρχὴν ἴσχουσιν, τοῖς πλάνησιν ἐπιγινόμενοι πυρετοῖς. καὶ ποτὲ μὲν εἰς τὸν διὰ τετάρτης καθίσταται μάλιστα τύπον, ἔσθ' ὅτε δὲ καὶ διὰ πλειόνων ἡμερῶν κατὰ περιόδους τινὰς παροξύνεται.

Θεραπεία τεταρταίων. κβ.

Τοὺς τεταρταίῳ νοσοῦντας πρᾴως ἄγειν, μήτε φάρμακον μηδὲν ἰσχυρὸν προσάγοντας, μήτε κένωσιν, εἰ μήτι ἄρα σφόδρα φαίνοιτο πλεονάζειν αἷμα. ἡνίκα χρὴ φλεβοτομεῖν. δίαιταν δὲ ἄφυσον καὶ χρηστὴν προσάγειν. καὶ λαπάττειν τὴν γαστέρα διὰ τῶν συνήθων. εἰ δὲ μηδὲν ἀνύει ταῦτα, κλύσμασι χρῆσθαι, κατ' ἀρχὰς μὲν μαλακοῖς, ὕστερον δὲ δριμέσι. χοιρείων δὲ κρεῶν εἴργειν αὐτούς, καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα, καὶ τῶν ψυχόντων καὶ ὑγραινόντων ἐδεσμάτων πάντων. οἴνῳ δὲ χρῆσθαι λεπτῷ καὶ λευκῷ, καὶ συμμέτρως θερμῷ. ταρίχει δὲ καὶ νάπυϊ χρῆσθαι. καὶ δι' ἡμερῶν τριῶν, τὸ διὰ τριῶν πεπέρεων λαμβάνειν. ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ εἰ πεπέρεως δὲ μόνου σὺν ὕδατι λαμβάνοιεν καθ' ἑκάστην ἡμέραν, ὀρθῶς ἂν ποιοῖεν. εἰ δὲ ἐν ἀκμῇ τοῦ νοσήματος ὁ κάμνων εἴη, τότε χρὴ διαιτᾶν λεπτότατα. εὐθὺς δὲ καὶ ἡσυχάζειν κελεύειν εἰς μακρόν. καὶ τῶν σπλάγχνων προνοεῖν διὰ τῶν μαλαττόντων καὶ χαλώντων. ἐφεξῆς δὲ τοῖς οὐρητικοῖς φαρμάκοις χρῆσθαι. καὶ εἰ τὰ τῆς πέψεως σημεῖα φαίνοιτο, θαρρεῖν τηνικαῦτα καὶ τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσι, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πλεονάκις. μετὰ δὲ σφοδρὰν κάθαρσιν καὶ τοῦ δι' ἐχιδνῶν φαρμάκου διδόναι. καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς. ἐν οἷς ἐστι καὶ τὸ συνήθως ἡμῖν ἁπάντων δοκιμώτατον διὰ ὀποῦ τοῦ κυρηναϊκοῦ λαμβανόμενον.

Ἀμφημερινοῦ διάγνωσις. κγ.

Ὁ δὲ ἀμφημερινός, οὐδαμῶς μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν. ἀλλὰ προϊόντος τοῦ χρόνου, περίψυξις μᾶλλον ἢ ῥῖγος γίνεται. δυσεκθέρμαντος δέ ἐστι, καὶ πολυχρονίαν ἔχει τὴν ἀνάβασιν. οὐ μὴν οὐδὲ διακαεῖς τοὺς κάμνοντας ποιεῖ. οὐδὲ πολὺ καὶ πυκνὸν ἀναπνεῖν ἀναγκάζει. οὐδὲ ἐκφυσᾶν, ἢ πίνειν ψυχρόν. γίνονται δὲ καὶ φλεγματώδεις ἔμετοι. καὶ ὅσα διὰ γαστρὸς ἐκκενοῦται, ψυχρότερα καὶ ὠμότερα καὶ ὑδατωδέστερα ἐν τούτοις τοῖς πυρετοῖς εὑρί-

σεις. καὶ ἱδροῦσιν ἥκιστα περὶ τὰς πρώτας ἡμέρας, οὐδ᾽ εἰς ἀπυρεξίαν ἄρχονται. καὶ ὠχρόλευκος δὲ τούτοις ἡ χροιά. τὰ δὲ οὖρα λεπτὰ καὶ λευκά. ἢ παχέα καὶ θολερὰ καὶ ἐρυθρά.

Θεραπεία ἀμφημερινῶν. κδ.

Θεραπευόντων δὲ ἀμφημερινόν, ὀξυμέλιτι χρώμεθα ἐπὶ τὰς πρώτας ἡμέρας. καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις. καὶ τὸ σύμπαν εἶναι τῆς διαίτης εἶδος τμητικὸν ἔστω. περὶ δὲ τὴν ἀκμὴν χρὴ προνοεῖσθαι τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτα καὶ ἐμεῖν ἀπὸ ῥαφανίδων καὶ σιτίων κελεύειν. καὶ τοῖς φλέγμα κενοῦσιν ἁπλάζοις κεχρῆσθαι κατὰ πολὺ ἕως οὗ παυθῇ.

Περὶ ἠπιάλου πυρετοῦ καὶ ῥίγους ἀνεκθερμάντου. κε.

Τὸ ὑαλῶδες φλέγμα ψυχρότατον ὑπάρχον ἅπαντος φλέγματος, εἴπερ ἄσηπτες ἔτι μένον ἐν ὅλῳ πλεονάσῃ τῷ σώματι, τὸ ἀνεκθέρμαντον ἐργάζεται ῥῖγος ἄνευ πυρετοῦ. ἐπεὶ γὰρ τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν ἡ σῆψις ὡς μάλιστα τὴν πυρετικὴν ἀνάπτει θερμασίαν. εἰ δὲ σαπείη δι᾽ ὅλου μὲν ἑαυτοῦ σηπόμενον, ὅπερ ἐστὶ σπάνιον διὰ τὴν ἄμετρον ψύξιν, ἀμφημερινοῦ παραίτιον γίνεται. ἡμισαπὲς δὲ γινόμενον, οὐ δι᾽ ὅλης αὐτοῦ τῆς οὐσίας ὁμαλῶς, ἀλλὰ τινῶν μὲν μορίων σηπομένων, τινῶν δὲ μενόντων ἀσαπῶν. τὸν ἠπίαλον ἐργάζεται πυρετόν. καθ᾽ ὃν ἅμα ῥιγοῦσί τε καὶ πυρέττουσιν. τὰ μὲν ἄσαπῆ τοῦ χυμοῦ μόρια, δι᾽ ὅλων ἐνεσπαρμένα τῶν φλεβῶν ἢ καὶ τοῦ λοιποῦ σώματος, τὸ ῥῖγος ποιεῖ. τὰ δὲ σεσηπότα, τὸν πυρετὸν ἀνάπτει. λέγεται δὲ ἠπίαλος ἢ ἀπὸ μεταφορᾶς τῆς ἁλός. λέγω δὲ τῆς θαλάσσης, ἠπίας μὲν φαινομένης, χαλεπῆς δὲ κατὰ τὰς ἀρχὰς αὐτοῦ ὑπαρχούσης. ἢ παρὰ τὸ ἠπίως ἀλεαίνειν, ὅπερ ἐστὶ θερμαίνειν. καὶ οὗτος οὖν ὁ πυρετὸς τοῦ γένους ὢν τῶν ἀμφημερινῶν, ὡς ὑπὸ φλέγματος γιγνόμενος, τῇ ἐκείνων ὑπάγεται θεραπείᾳ καθ᾽ εἶδος. πλὴν ὅτι τοσοῦτον τοῦ λεχθέντος ἀμφημερινοῦ θερμοτέρων τε καὶ τμητικωτέρων χρήζει βοηθημάτων, ὅσῳ καὶ τὸ φλέγμα ψυχρότερον ἐκείνου τυγχάνει. τοῦ δὲ ἠπιάλου τὸ ἀνεκθέρμαντον ῥῖγος, ἔτι μᾶλλον δεῖται τῶν θερμαινόντων. τὸ γοῦν διὰ τῶν πιδῶν πεπέρεων, καὶ τὸ διὰ καλαμίνθης, ἔτι τε τὸ διὰ τοῦ ὀποῦ τοῦ κυρηναϊκοῦ τούτοις ἁρμόσει. καὶ τὰ διὰ καστορίου τε καὶ τῶν ὁμοίων σκευαζόμενα βοηθήματα. πλατυκωτέραν δὲ τὴν ἴασιν εὑρήσεις τούτων, ἐν τῷ περὶ ῥίγους ἀμέτρου καὶ ψύξεως κεφαλαίῳ με. καὶ οἱ λιπυρίαι δὲ καὶ τυφώδεις, ὅσοι τε παρὰ τοὺς εἰρημένους λέγονται πυρετοὶ τοῦ γένους ὄντες τῶν εἰρημένων, καὶ τὰς ἐπ᾽ ἐκείνων εἰρημένας τε καὶ λεχθησομένας ἀπαιτοῦσι θεραπείας.

Περὶ συνεχῶν πυρετῶν. κς.

Συνεχεῖς ὁμογενεῖς εἰσι πυρετοὶ τῶν διαλειπόντων ἑκάστῳ. τριταίῳ μὲν ἀκριβεῖ, καῦσος. ἀμφημερινῷ δὲ, ὁ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος. οὕτω δὲ καὶ τεταρταίῳ, ὁ διὰ τετάρτης. ὅ, τε γὰρ ἀκριβὴς καῦσος πάντα τὰ ἄλλα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα, μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν, μήτε εἰς ἀπυρεξίαν παύεσθαι, διεγνώσθη. ὅ, τε καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος, ὁμοίως πάντα ἔχει τὰ γνωρίσματα τοῖς ἀκριβέσιν ἀμφημερινοῖς. τῷ μὴ παύεσθαι δὲ εἰς ἀπυρεξίαν, διαφέρει τοῦ ὁμογενοῦς ἀμφημερινοῦ. ἐπὶ ταῦτα δὲ καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τῷ τεταρταίῳ. συνεχὴς μὲν οὖν ἐστι πυρετὸς, ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι μὴ παυόμενος. ὅταν δὲ μὴ παρακμήν τις φαίνηται, τοῦ γένους μέν ἐστι καὶ οὗτος τῶν καυσωδῶν, ὀξύτητι δὲ αὐτῶν διεγνώσθη.

Διάγνωσις καὶ θεραπεία συνεχῶν πυρετῶν. κζ.

Τῶν συνεχῶν πυρετῶν, ἡ μὲν γένεσις ἐξ αἵματός ἐστιν, ὅτε μὲν ζέσαντος μόνον, ὅτε δὲ καὶ σαπέντος ἐπ᾽ ἐμφράξει. διόπερ ὁ παροξυσμὸς αὐτοῖς ἄχρι τέλους εἷς ἐστιν. σημεῖα δὲ, σφυγμοὶ μέγιστοι καὶ σφοδροὶ καὶ ταχεῖς καὶ πυκνοὶ, καὶ ὁμαλεῖς. οὐ δακνώδεις. οὖρα δὲ τοῦ κατὰ φύσιν οὐ πάνυ τι ἀπολειπόμενα. ἴασις δέ ἐστι διὰ φλεβοτομίας, ἄχρι λειποθυμίας. μὴ φλεβοτομηθέντες δὲ οἱ τοιοῦτοι πυρέττοντες, εἰς ἔσχατον ἥκουσι κίνδυνον. εἰ δὲ διά τι κωλυθείημεν κενῶσαι διὰ φλεβοτομίας, τοῖς ἄλλοις δεῖ χρῆσθαι βοηθήμασι τοῖς ἐκφράττουσι, καὶ τὸ πλῆθος κενοῦσι, καὶ πραΰνουσι τὸ ζέον τοῦ πυρετοῦ. ὅταν δέ ποτε ἐπ᾽ αὐτοῦ ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα, καὶ μήτε ἐν κυρίῳ μορίῳ φλεγμονή τις ἢ ὄγκος οἰδηματώδης ἢ σκίρρος ᾖ, μήτε τι μόριον ψυχρὸν ὡς εἰς αὐτὸ κατασκῆψαι τὴν βλάβην. θαρρῶν δίδου τὸ ψυχρόν. καὶ μάλιστα εἰ ψυχροπότης ὁ κάμνων εἴη.

Καυσωδῶν διάγνωσις. κη.

Τοῖς καύσοις παρακολουθεῖ ἢ συμπτώματα. γλῶσσα μὲν ξηρὰ καὶ παχεῖα καὶ μέλαινα. δῆξις δὲ τῆς γαστρός. καὶ ὑποχωρήματα ὠχρά. καὶ δίψα σφοδρά. καὶ ἀγρυπνία. ποτὲ δὲ καὶ παραφροσύνη.

Καυσωδῶν θεραπεία. κθ.

Τῶν δύο τούτων ἀναγκαῖόν ἐστι τὸ ἕτερον γενέσθαι, εἰ μέλλοι λυθήσεσθαι τελέως. ἐκκριθῆναι τοὺς χολώδεις χυμοὺς, ἢ σβεσθῆναι. ἐκκρίνονται μὲν οὖν διὰ ἱδρώτων ἢ ἐμέτου ἢ τῆς κάτω γαστρός.

σβέννυται

σβέννυνται δὲ διὰ ψυχροῦ πόσεως ἢ διὰ παντὸς ἐθεραπεύσαμεν ἡμεῖς τοὺς καύσους. διαιτᾶν δὲ τοὺς καυσουμένους, οὐδὲ ἐφ' ὕδατος μόνου προσήκειν, οὐδὲ ἐπὶ μελικράτου μόνου. ἀλλ' ὑδαρὲς μελίκρατον ἑφθὸν διδόναι. δεῖ γὰρ τοὺς οὕτω νοσοῦντας ἐπὶ μόνων τῶν πομάτων διαιτᾶσθαι. λουτρὸν δὲ, τοῖς καυσώδεσι νοσοῦσιν ἐκείνοις ἁρμόσει μόνοις, ὅσοι χωρὶς ὄγκου φλεγμονώδους ἢ ἐρυσιπελατώδους. ἐὰν δὲ καὶ πέψεως ἔχουσι γνωρίσματα, πολὺ μᾶλλον αὐτοῖς ἁρμόσει. τοῖς δὲ δι' ἁλυκὸν χυμὸν καῦσον νοσοῦσιν, οὐχ ἁρμόσει. τούτους δὲ καὶ χυλῷ πτισάνης τρέφειν προσήκει.

Πυρετῶν ἐπὶ ἐρυσιπελατώδει διαθέσει θεραπεία καὶ διάγνωσις. λ.

Τοὺς ἐπὶ ἐρυσιπελατώδει τῇ περὶ τὰ σπλάγχνα διαθέσει πυρετοὺς. διαγνωστέον μὲν ἐκ τε τῆς ἐγχωρίου ζέσεώς τε ὑποβαλλούσης καὶ ὀδύνης σφοδρᾶς. ἔτι τε δίψης καὶ καύματος ἀμέτρου. καὶ ἁπλῶς εἰπεῖν τῆς σηπομένης σὺν αἵματι βραχεῖ δριμυτάτης χολῆς σημείων. θεραπεύειν δὲ τόνδε τὸν τρόπον. ἀπέχεσθαι μὲν χρὴ βαλανείου τὸ πάμπαν. ὕδατι δὲ ψυχρῷ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος, χρηστέον ἀγωνιστικῷ, τουτέστι ψυχροτάτῳ. ἐν ἀρχῇ δὲ οὐ χρηστέον. ἀλλ' ἔξωθεν ἐπιτιθέναι τὰ ψύχοντα. καὶ εἰ μηδὲν ἀνύσει, καὶ εἴσω τοῦ σώματος ἀναγκάζειν λαμβάνειν. μάλιστα δὲ αὐτοῖς ἁρμόττουσιν αἱ θριδακίναι καὶ τὰ ταύταις ἰσοδύναμα. ἔξωθεν δὲ καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος. ἀλλὰ καὶ ἀείζωον. καὶ τἄλλα ψύχοντα. καλλίστῳ δὲ ὡς μάλιστα χρώμεθα. τὸ γὰρ ὑγρὸν ἐκθλίψαντες τῶν ψυχόντων τινὸς, ἐμβάλλομεν ὅλμῳ μετὰ ἀνδράχνης. εἶτα κόψαντες, ἐκπιέζομεν. ἐπὶ δὲ τῆς χρήσεως ὀλίγον ἀλφίτου μίξαντες καὶ ἀναδεύσαντες ἐν ὕδατι ψυχρῷ, τοῦτο ψυχράναντες, ὀθόνιον δὲ δίπτυχον ἐν αὐτῷ δεύσαντες, ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν ὑποχονδρίων, οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἕτερον ψυχρὸν ἐπιτιθέντες. μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον.

Ἑκτικῶν πυρετῶν διάγνωσις. λα.

Ὁ ἑκτικὸς πυρετὸς, οὐκ ἐν τοῖς ὑγροῖς καὶ ἐν τῷ πνεύματι συνίσταται μόνον, ἀλλ' ἤδη καὶ τοῖς στερεοῖς. ἀνώδυνος δέ ἐστιν. καὶ νομίζουσιν οἱ πυρέττοντες, μὴ δὲ πυρέττειν ὅλως. οὔτε γὰρ αἰσθάνονται τῆς θερμασίας, ἁπάντων αὐτοῖς ὁμοίως ἐκτεθερμασμένων τῶν μορίων. διττὸν δέ ἐστιν εἶδος τῶν ἑκτικῶν πυρετῶν. οἱ μὲν γὰρ, ἐπὶ καυσώδεσι πυρετοῖς ὡς τὰ πολλὰ γίνονται ἤτοι μηκυνθεῖσιν εἰς τοσοῦτον, ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος. ἢ καὶ μενούσης ἔτι συχνῆς. οἱ δ' ἔτι μενούσης τῆς ὑγρότητος γιγνόμενοι, τὸ σῶμα τῆς καρδίας καταλαμβάνοντες, ἐντεῦθεν ἀνάπτονται. ἡ μὲν δὴ μία γένεσις αὐτῶν εἴρηται. καταλοιπός ἐστιν ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσιν, τὴν πρώτην γένεσιν ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι μετ' ἐγκαύσεως ἅμα γιγνομένῳ. τούτους μὲν οὐ χαλεπόν ἐστιν ἰᾶσθαι. τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικνουμένους, ἀδύνατόν ἐστιν ἰᾶσθαι. ὁ μὲν δὴ συνεμπίπτων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς, ἑτοιμότατός ἐστι γνωσθῆναι. ὀφθαλμούς τε γὰρ κοίλους ἀμέτρως θεάσῃ καὶ λήμας κατ' αὐτοὺς ἐμφερομένας ξηράς, καί τινα αὐχμώδη διάθεσιν. ἀπολωλὸς δὲ καὶ τῆς χρόας αὐτῶν τὸ ζωτικὸν ἄνθος. καὶ τὸ μέτωπον ξηρὸν καὶ περιτεταμένον. καὶ μέντοι καὶ μύουσιν ὡς τὰ πολλὰ καθάπερ ὑπνώττοντες. ἔστι δὲ οὐχ ὕπνος τὸ πάθος ἀλλ' ἐγρηγόρσεως ἀδυναμία. καὶ κρόταφοι συμπεπτωκότες εἰσίν. καὶ τί γὰρ ἄλλο ἢ ὀστᾶ καὶ δέρμα μόνον εἰσί; καὶ εἰ γυμνώσας ἐπισκέπτοιο τὰ κατὰ τὴν γαστέρα, δόξει σοι μήτε τῶν ἐντέρων μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι. καὶ τὸ ὑποχόνδριον ἀνεσπᾶσθαι σφοδρῶς. καὶ τὸ δέρμα δὲ αὐτοῖς ἐσχάτως καρφαλέον ἐστίν. ὁ σφυγμὸς ἰσχνὸς καὶ πυκνὸς καὶ σκληρός. ἡ δὲ θερμασία κατὰ μὲν τὴν πρώτην εἰσβολὴν ἀμαυρὰ, μετ' ὀλίγον δὲ τό, τε δριμὺ καὶ διαβρωτικὸν ἐνδείκνυται. μέχρι μὲν οὖν τοῦ σώζεσθαί τι τῆς ὑγρασίας, ἑκτικὸς μόνον πυρετὸς ἐστίν. ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτι εἶναι τῆς τοιαύτης ὑγρότητος μηδὲν, ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται.

Ἑκτικῶν πυρετῶν θεραπεία. λβ.

Οἱ ἑκτικῷ πυρετῷ νοσοῦντες, εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δέονται διὰ τὸ δαπανᾶσθαι τῶν χυμῶν. μέγιστον δὲ ἴαμα, ἡ ὑγραίνουσα δίαιτα. δεῖ οὖν ἢ ὅτι μάλιστα διὰ πτισάνης χυλοῦ καὶ χόνδρου ῥοφημάτων θρέψαντα, καὶ ἄρτου τε προσεπιδιδόντα, θεραπεῦσαι πόσει ψυχροῦ τὸν κάμνοντα μεμετρημένως. ὅταν μήτε φλεγμονή τις αὐτῷ συνῇ, μήτε σῆψις χυμῶν. καὶ εἰ μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην, ἐπισχεῖν μὲν δεῖ τὴν δόσιν τοῦ ψυχροῦ, τοῖς δὲ ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι. καὶ βαλανεῖα δὲ τοῖς οὕτω κάμνουσιν, ἐπιτήδεια κατὰ πάντα καιρόν.

Περὶ ἡμιτριταίων. λγ.

Τοῦ μὲν τριταίου μετὰ ῥίγους εἰσβάλλοντος, τοῦ δὲ ἀμφημερινοῦ χωρὶς ῥίγους. ὁ μικτὸς ἐξ ἀμφοῖν φρίκην ἐμφέρει, ῥίγους μὲν, ἔλαττόν τι πρᾶγμα, μεῖζον δὲ περιψύξεως, ὅπερ κεραννυμένων γίνεται τῶν ἄκρων. οὐκοῦν οὐδὲ ἀπὸ τρόπου τοὔνομα τῷ τοιούτῳ πυρετῷ τὸν ἡμιτρι-

ταῖον ἔθεντο. διττὸς δὲ ὁ τρόπος τῆς γενέσεως αὐτῶν, ἤτοι συνελθόντων εἰς ἓν τῶν δύο παροξυσμῶν, ἢ εὐθέως ἐξ ἀρχῆς ἀνακεκραμμένων ἀλλήλοις ἀμφοτέρων. ὅταν μὲν οὖν ὁ τριταῖος ἐπικρατῇ, φρικωδέστερος ὁ πυρετὸς γίνεται. καί τινας καὶ ῥίγους προσλαμβάνει κατὰ τὴν ἐπισημασίαν. εὐθὺς δὲ ὁ τοιοῦτος θερμότερός τέ ἐστι καὶ καυσωδέστερος. καί τινα χολῆς ἔμετον, ἢ διαχώρησιν, ἢ ἱκμάδα φέρει. θατέρου δὲ, τοῦ φλεγματώδους, πλεονεκτοῦντος, ἐπικρατοῦσι μὲν αἱ ψύξεις τῶν ἄκρων. ὀλίγαι δέ εἰσιν αἱ φρίκαι. οὐ μὴν οὐδὲ διψώδεις εἰσὶν, οὐδὲ καυσώδεις. ἐπειδὰν δὲ ἴσοι κατὰ τὸ μέγεθος ὑπάρχωσιν, ὁ τριταῖος διαλείπων καὶ ὁ ἀμφημερινὸς συνεχὴς, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ, μετὰ φρίκης γίνεται. καὶ ἡνίκα μὲν ἂν ὁ ἐκ τοῦ φλέγματος ἐπικρατήσῃ, συστολαὶ γίνονται καὶ φρίκαι. εἰ δὲ ὁ θερμότερος ἐπικρατήσῃ, ἀθρόως ἐκθερμαίνονται. τοιοῦτος μέν τις ἐστὶν ἀκριβὴς ἡμιτριταῖος, ἐξ ἰσοσθενοῦς κράσεως δυοῖν πυρετοῖς γινόμενος, τριταίου διαλείποντος καὶ ἀμφημερινοῦ συνεχοῦς. ὁ δὲ οὐκ ἀκριβὴς, ἤτοι τὸν χολώδη πλείονα κέκτηται, ἢ τὸν φλεγματώδη. ὃς δὴ καὶ μᾶλλον ἐστὶν εὐίατος. ἑτοίμως δυναμένου τοῦ ἥττονος νικᾶσθαι χυμοῦ, ὑπό τε τῆς τοῦ πλείονος ἐπικρατείας, καὶ τῆς ἀπὸ τῆς τέχνης ἐπικουρίας. εἰ μὲν γὰρ ἐπικρατέστερον εἴη τὸ φλέγμα, τοῖς ἐπὶ ἀμφημερινοῦ λελεγμένοις, μάλιστα κεχρήμεθα βοηθήμασιν. εἰ δὲ ἡ ξανθὴ χολὴ, τοῖς ἐπὶ τοῦ τριταίου. καθόλου πρὸς τὸ κατεπεῖγον ἐνιστάμενοι. μηδὲ θατέρου παντάπασιν ἀμελοῦντες.

Περὶ τῶν πανδήμων νοσημάτων. λδ.

Πανδήμους καὶ κοινὰς νόσους τὰς πολλοῖς ἅμα συμπιπτούσας ὀνομάζουσιν. ὧν ὥσπερ ἡ γένεσις, οὕτω καὶ ἡ αἰτία κοινή. κοινά τε οὖν ἐδέσματα πονηρὰ τίκτουσι τοιαῦτα νοσήματα κοινὰ, καὶ ὕδατος μοχθηροῦ πόσις. ταλαιπωρίαι τε ἄμετροι καὶ πόνοι συνήθεις ἐκλειφθέντες, ἔνδειαί τε καὶ πλησμοναὶ, λιμοῦ κατασχόντος ἢ εὐθηνίας γενομένης. καὶ χωρίων δὲ φύσεις, κοινὰ νοσήματα πολλάκις ἐπήνεγκαν. ἐνίοτε μὲν ἑλωδῶν, ἐνίοτε δὲ ἐχόντων βάραθρον παρακείμενον, ἀναθυμιάσιν δηλητηριώδη καὶ πονηρὰν ἀναπέμπον. ταῦτα μὲν οὖν συνεχῶς εἴωθε συμπίπτειν. ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ, τρέπει τὰς κράσεις, ἤτοι θερμότερος ἀμέτρως, ἢ ψυχρότερος, ἢ ὑγρότερος γινόμενος. τοῖς μὲν γὰρ ἄλλοις αἰτίοις, οὔτε πάντες ἅμα περιπίπτομεν, οὔτε δι' ὅλης ἡμέρας ὁμιλοῦμεν. ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ, ἔξωθέν τε περικέχυται πᾶσι, καὶ ἕλκεται διὰ τῆς εἰσπνοῆς. ἀναγκαῖον δὲ συνδιατίθεσθαι ταῖς κατὰ τὴν κρᾶσιν ἐξαλλαγαῖς αὐτοῦ τὰ τῶν ζώων σώματα. ὁ γοῦν γινώσκων, οὐ προγνώσεται μόνον τὰς γενησομένας νόσους ἐξ ἑκάστης τῶν καταστάσεων, ἀλλὰ καὶ κωλύσει γενέσθαι ταῖς τοῦ περιέχοντος ἀμέτροις κράσεσι, τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν. ὅσα μὲν οὖν ἐγγὺς τοῦ νοσεῖν ἐστὶ σώματα νόσον τινὰ διὰ τὴν οἰκείαν δυσκρασίαν, ταῦτα ὑπὸ τῆς ὁμοίας τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσεως ἐξελέγχεται. τὰ δ' ἐναντίως κεκραμμένα τῷ περιέχοντι, πρὸς τὸ μηδὲν ἀδικεῖσθαι γίνεται βελτίω, τὴν ἀμετρίαν τῆς κράσεως τῆς ἐναντίας ἀμετρίας κολαζούσης. καὶ ὁ γινώσκων τοῦτο, τὴν ὑγείαν φυλάξει τοῖς σώμασι τἀναντία προσάγων. ποτὲ μὲν ἀναψύξεσι χρώμενος, εἰ οὕτως τύχοι. ποτὲ δὲ θερμάσμασιν. ὕδατος μὲν ἐπαγωγαῖς ἀναψύχων, καὶ ἀργίαις καὶ τροφῶν ἐνδείαις, καὶ πόσεως πλεονασμοῖς. τῇ δὲ σκέπῃ θερμαίνων καὶ πόνοις καὶ σιτίῳ πλείονι καί ποτε ἐλάσσονι. καὶ πυρὰν δέ τις ἀνακαίων, πολλὰ δύναιτο ἂν μεταβάλλειν, ὥστε τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα, τέως ὑγρὸν ὄντα, καθάπερ ποιῆσαι φασὶν, Ἄκρωνα τὸν ἀκραγαντῖνον.

Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ. λε.

Πάντα ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα. καὶ οὐδὲν ἀποκεκριμμένον ὥσπερ καθ' ἕκαστον νόσημα. καὶ γὰρ παραφροσύναι γένοιντ' ἂν, καὶ χολῆς ἔμετοι, καὶ ὑποχονδρίων ἐντάσεις, καὶ πόνοι καὶ ἱδρῶτες πολλοὶ, καὶ ψύξεις ἄκρων, καὶ διάρροιαι χολώδεις, λεπταὶ φυσώδεις. καὶ οὖρα ὑδατώδη λεπτὰ, χολώδη, μέλανα, ὑποστάσεις κακὰς ἔχοντα. καὶ ἐναιωρήματα οἷα δὴ κάκιστα. ἀπὸ ῥινῶν στάξεις. καύματα ἐν θώρακι. γλῶσσαι καταπεφρυγμέναι, διψώδεις, ἄσηροι, ἄγρυπνοι, σπασμοὶ βίαιοι. καὶ ἄλλα πολλὰ πονηρά. εἰ δέ τις συνείδη μέλλοντα ἥξειν τὸν λοιμὸν, προσέχων ταῖς τε ὥραις πονηραῖς οὔσαις, καὶ τοῖς ἐπιτηδεύμασιν εἰς ὑγείαν οὐ συμφέρουσιν, ζώοις τε ἄλλοις προαπολλυμένοις. ὅταν ταῦτα ἐνθυμηθῇς, πρόσεστι κἀκεῖνο ἐνθυμοῦ, ποταπὴ μὲν ἡ παροῦσα ὥρα. ποταπὸν δὲ τὸ σύμπαν ἔτος. ἐντεῦθεν γὰρ τὰς διαίτας εὑρήσεις ποιεῖσθαι κάλλιστα, οἷον δὴ τῆς μὲν ὥρας εἴπερ ἦν ὀρθῶς γινομένη ξηρᾶς ὑπαρχούσης, νῦν ὑγρᾶς γεγενημένης. ἀνάγκη ταῖς διαίταις ἐπιξηραίνειν, ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλίσκηται. ἐπιμελητέον δὲ καὶ γαστρός. οἷς δ' ἂν ἡ ἄνω κοιλία φλέγμα ἔχῃ, ἐμέτοις κενοῦν. οἷς δ' ἂν τὸ αἷμα ὑπερβάλλῃ, φλέβα τέμνειν. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις, καὶ ὅσαι ἄλλαι. καὶ ἡ κατὰ πᾶν σῶμα. εἰ δὲ καὶ καυσούμενος ὁ κάμνων εἴη καὶ ἡ φλὸξ ἄχρι στήθους, οὐκ ἂν εἴη ἀπὸ τρόπου, ψυκτήριά τε τοῖς στήθεσι

προσάγειν, καὶ τὸ πόμα ψυχρὸν προσφέρειν, μὴ κατὰ μικρὰ προσφέρων, ἀνακαίει γὰρ πλέον, ἀλλὰ ἀθρόον ὥστε σβέσαι τὴν φλόγα. εἰ δὲ ὁ καῦσος ἔχοι τὰ ἔνδον, ἄκρα δὲ ψυχθείη, καὶ τὸ δέρμα ἐπιπολῆς ψυχρόν, καὶ τὸ ὑποχόνδριον συντείνοιτο, ἡ γαστὴρ τὰς συντήξεις, τὰς μὲν ἄνω πέμπει, τὰς δ' αὖ κάτω, ἀγρυπνία τε ἐνείη καὶ παραφροσύνη καὶ γλώττης τραχύτης. τούτοις θερμασμάτων δεῖ, ὥστε ἑλκυσθῆναι τὸ θερμὸν παντὶ τοῦ σώματος. καὶ εἴ δή τινι ἄλλῳ τρόπῳ οἷόν τε ἀνάγειν τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω. χρηστέον δὲ καὶ τῷδε προπότισμα. ἀλόης μέρη β΄. ἀμμωνιακοῦ θυμιάματος μέρη δύο. σμύρνης μέρος ἕν, ταῦτα λειώσαντες ἐν οἴνῳ εὐώδει, δοτέον ὅσον κυάθου ἥμισυ. δηλονότι καθ' ἡμέραν. οὐκ οἶδα, φησὶν ὁ Ροῦφος, ὅστις μετὰ τοῦτο τὸ ποτὸν οὐχ ὑπερδέξιος ἐγένετο τοῦ λοιμοῦ. ταῦτα μὲν ὁ Ροῦφος. ὁ δὲ Γαληνός φησι πρὸς τὰς λοιμικὰς σηπεδόνας, τὴν ἀρμενιακὴν βῶλον πινομένην, ὁμοίως δὲ καὶ τὴν διὰ ἐχιδνῶν θηριακὴν μεγάλως ὠφελεῖν. ἀμέλει κατὰ τὸν ἐν ῥώμῃ λοιμόν, φησίν, ὅσοις μηδέτερον τούτων ὠφέλησεν, πάντες ἀπέθανον.

Περὶ τῶν ὑπὸ πλήθει χυμῶν ὠμῶν συγκοπτομένων. λς.

Ἄρχονταί τινες πυρέττειν. πάμπολύ τι πλῆθος ὠμῶν χυμῶν ἀθροικότες ἅμα τῷ κακοῦσθαι τὸ στόμα τῆς γαστρός. ἐμπεφύσηται τούτοις τὸ ὑποχόνδριον. ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν τὸ στόμα τῆς γαστρὸς ἐστί. καὶ ἡ χροιὰ τούτοις μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ ὑδαλεώτερον ἐκτρέπεται. ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον. οὐδενὶ τῶν τοιούτων αἵματος ἀφαίρεσις αὐτῶν μεγίστης ἔξωθεν γίνεσθαι βλάβης. καίτοι δέονταί γε κενώσεως. ἀλλ' οὔτε φλεβοτομίαν, οὔτε κάθαρσιν φέρουσιν. οἱ δὲ καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. θεραπεύειν οὖν αὐτοὺς χρὴ διὰ τρίψεως. ἄρχεσθαι δὲ εὐθὺς ἐν ἀρχῇ τῆς νόσου προσήκει, τὸ μὲν πρῶτον, ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μετρίως τραχυτέρων ἐφεξῆς. καὶ ὅλας τὰς χεῖρας, ἄνωθεν κάτω. ἐπειδὰν δὲ ἱκανῶς τὰ κῶλα φαίνεται θερμά, καὶ φόβος ᾖ κοπώδους συναισθήσεως. ἐλαίῳ χαλαστικῷ χρηστέον. ἀπέχεσθαι δὲ τῶν στυφόντων. χειμῶνος δὲ ὄντος καὶ διαφορητικῷ χρηστέον. οἷόν ἐστι τὸ σικυώνιον ἔλαιον καὶ τὸ χαμαιμήλινον. τρίψαντες δὲ ἐπὶ πλεῖστον τὰ κῶλα, μετὰ ταῦτα χρὴ τὸ μὲν ἔλαιον ἀπομάττειν. ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην καὶ ταύτην ἀνατρίβειν ὁμοίως. εἶτα αὖθις ἐπὶ τὰ σκέλη μετιέναι. κἀκ τούτων αὖθις ἐπὶ τὰς χεῖρας. εἶτα ἐπὶ τὴν ῥάχιν ὅλης τῆς ἡμέρας τοῦτο πράττοντας. ἐπιτηδειότατον τούτοις ἐστὶ μελίκρατον ἐναφεψηθέντος ὑσσώπου. καὶ χρὴ μήτε σιτίον αὐτοῖς, μήτε ῥόφημα, μήτε ὕδωρ διδόναι. μήτε ἐπιτρέπειν ὅλως πίνειν δαψιλές. ἀλλ' ἀρκεῖσθαι τῷ μελικράτῳ μόνῳ κατὰ τὰς τρεῖς τὰς πρώτας ἡμέρας, ἐκ διαδοχῆς τρίβοντας. εἰ δὲ τόνου μετρίως ἔχοι, καὶ μὴ καλῶς τὰ κατὰ γαστέρα διεξίῃ, κλύζεσθαι θαρροῦντα. εἰ δὲ πλέον τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττωμάτων ἐπὶ τὴν γαστέρα γίνοιτο. τὴν μὲν πρώτην ἐπὶ πλέον ἑψεῖν τὸ μελίκρατον, ἧττον γὰρ ὑπάγει. φερομένης δὲ ἐπὶ πλέον μηδὲ οὕτως μὲν ἱστάναι. διδόναι δὲ ἀντὶ τοῦ μελικράτου πτισάνης χυλόν. εἰ δὲ ἐπιμένοι φερόμενα, τῷ ἐκ χόνδρου ῥοφήματι τρέφειν. ἐὰν δὲ διὰ ἀρρωστίαν ἐκ τοῦ σφυγμοῦ καταμάθωμεν, μεταπεπτωκυῖαν τὴν δύναμιν, ἄρτον ἐξ οἴνου διδόναι κεκραμμένου προσήκει. μήτε γαστρὸς μήτε ἥπατος φλεγμαινόντων. ὡς εἴγε φλεγμαίνοιεν, ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος, ἀνέλπιστος ὁ κάμνων ἔσται. ἐὰν δὲ αἴσθῃ ποτὲ παχεῖς ἱκανῶς εἶναι τοὺς χυμούς, ὀξύμελι δίδου διὰ παντὸς ἀντὶ τοῦ μελικράτου. εἰ μὲν δὴ θέρος ἐστί, καὶ θερμὸς εἴη καὶ ψυχροπότης ὁ κάμνων, ψυχρὸν τούτῳ διδόναι τὸ ὀξύμελι. χειμῶνος δὲ ὄντος, θερμόν. ἐναντιώτατα τούτοις ἐστὶ βαλανεῖα. εἰ δὲ συγκοπτομένων ἔτι κληθείης, ἀφλεγμάτων ὄντων ὧν εἶπον μορίων, διδόναι μὲν ἄρτου μὴ πολὺ διὰ οἴνου. εὐθέως δὲ ἐπὶ τὴν τρίψιν ἰέναι καὶ χρῆσθαι κατὰ τὸν εἰρημένον τρόπον. ἐφ' ὧν δὲ διὰ ξανθὴν χολὴν ἀδικήσασαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γίνεται, ψυχρὸν δὴ παραλαμβάνειν τὸ ποτόν, προσφέροντα τὸν οἶνον λεπτόν, καὶ κιρρὸν καὶ παλαιόν.

Περὶ τῶν ὑπὸ λεπτοῖς χυμοῖς συγκοπτομένων. λζ.

Τοὺς δὲ ὑπὸ λεπτοῖς χυμοῖς συγκοπτομένους θεραπευτέον ἐναντίως τοῖς εἰρημένοις. καὶ γὰρ τὰ διαγνωστικὰ σημεῖα τούτοις εὑρήσεις ἐναντία. τρέφειν οὖν κατὰ βραχὺ συνεχῶς. καὶ τούτους δὲ ἀνιάτως ἔχειν νομιστέον. ὅταν ἧπαρ αὐτῶν ἢ κοιλία φλεγμαίνοι, καμνούσης ἤδη τῆς δυνάμεως. ὑπὸ τούτων τῶν διαστάσεων ἡ νεκρώδης ἐν τῷ προσώπῳ κατάστασις ἐν τάχει γίνεται. τὸ μὲν δὴ τρέφειν ἀναγκαῖον. ὁμοίως δὲ καὶ τὸ πυκνοῦν τὴν ἐπιφάνειαν, ὥσπερ τῶν προτέρων ἀραιοῦν. καὶ ψυχρὸν τὸν ἀέρα ποιητέον. καὶ ἀλειπτέον αὐτοὺς τοῖς στύφουσι. καὶ τροφὰς δοτέον οὐ πάνυ διαρρεούσας. δοτέον οὖν ἄρτον τε καὶ τὰ διὰ χόνδρου ῥοφήματα. καὶ ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους, αὐτάς τε καθ' ἑαυτὰς καὶ μετ' ἄρτου. ἐπιτήδειος τούτοις ὁ ὑδατώδης οἶνος, εὐθὺς ἐξ ἀρχῆς ἐπὶ τοῖς σιτίοις παραλαμβανόμενος.

Περὶ τῶν ἄλλων προφάσεων ἐφ' αἷς γίνονται συγκοπαί. λη.

Εἰσὶ δὲ καὶ ἄλλαι προφάσεις ἐφ' αἷς συγκόπτονται, τέσσαρες. ἄλγημα σφοδρόν, ἀγρυπνία, κένωσις ἄμετρος. ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνησις ἐστὶν ὅτε. τετάρτην δὲ εἰ βούλει προστίθει, τὴν δυσκρασίαν τῶν ἀρχῶν. τάχιστα μὲν οὖν ἀπώλεια γίνεται τῆς καρδίας παθούσης. ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου. βραχὺ δὲ τοῦ ἥπατος.

Περὶ ὀδύνης. λθ.

Ἡ μὲν οὖν ναρκώδης ὀδύνη, διὰ ψυχρὰν γίνεται διάθεσιν. ὁ δὲ σφυγματώδης, πόνος ἴδιός ἐστι μεγάλης φλεγμονῆς. ἐὰν δὲ ὡς ὑπὸ σκώλοπος ἐμπεπαρμένου, ἢ ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι νομίζῃ, παχέως ἐντὸς τὸ εἶδος τῆς ὀδύνης ἐστίν. ὁ δὲ νυγματώδης συνίσταται περὶ τοὺς ὑμένας. ὁ δὲ διαϊστῶν πόνος, συμβαίνει ταῖς σφοδροτάταις, οὐχ ἑτεροκρανίαις μόνον, ἀλλὰ καὶ ταῖς κεφαλαίαις. ἔστι δὲ διαϊστῶν ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος μορίου, φέρηται ταχέως εἰς τὰ περικείμενα. διατείνοντες δέ εἰσιν ἑκατέρωθεν τῶν νεύρων, ὅτε καὶ πονοίη, καὶ τείνεται πρὸς ἄμφω τὰ πέρατα. ἥκιστα δὲ εἰς πλάτος ἐκτεταμένους ἔχει τοὺς πόνους τὰ νεῦρα. τρυώδεις δὲ καὶ ναρκώδεις ὑποφέρει τοὺς πόνους, ὁ ὑπὸ τῷ δέρματι τεταμένος ὑμήν. ὁ δὲ μεταξὺ τῆς σαρκὸς οἷον διασπωμένης. εἰσὶ γὰρ πολλοί καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες αὐτήν. οἱ δὲ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων, βύθιοί τε εἰσίν, αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσι φαντασίαν ὡς ὀδυνωμένων. ὅταν οὖν μηδὲν ἔξωθεν αἴτιον τῆς ὀδύνης φαίνηται γινόμενον, ἐπίσκεψαι τὴν προηγησαμένην δίαιταν. εἰ δὲ εἴη ἀργοτέρα παρὰ τὸ ἔθος. ἢ σιτίοις ἐχρήσατο πλείοσιν ὁ ἄνθρωπος, πολυτρόφοις. ἢ συνήθης ἔκκρισις ἐπεσχέθη. εἰ γάρ τι τούτων ἢ καὶ πάντα φαίνοιτο, πλῆθος αἴτιόν ἐστι τῆς ὀδύνης, καὶ ὅτι τάχιστα κενώσειν τὸν ἄνθρωπον. οὕτω γὰρ ἔξεστι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουομένοις τὰ ῥεύματα ἐπὶ τῶν ὀδυνωμένων χρῆσθαι μερῶν. εἰ μὲν οὖν αἵματος πλῆθος εἴη τὸ διατεῖνον, φλεβοτομητέον αὐτίκα μεγάλην τὴν ἐγγὺς τοῦ πάσχοντος μορίου. κακοχυμίας δὲ μόνης ἐνοχλούσης, καθαρτέον. συνελθόντων δὲ ἀμφοῖν, ἀμφοτέραις χρήσῃ ταῖς κενώσεσι, φλεβοτομήσας πρότερον. εἰ δὲ τούτων γινομένων ἐπιμένοι τὸ ἄλγημα, δῆλον δήπου κατὰ τὸ πεπονθὸς μόριον ἐμφωλεύεσθαι τὸ λυποῦν. εὔδηλος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς χρωμένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γινομένας ὀδύνας ἰασόμεθα. πρὸς λιπαροῦντες ἐπὶ αὐτῶν μᾶλλον τοῖς λεπτύνουσιν ἐδέσμασιν, ἐνέμασί τε καὶ καταπλάσμασι, καὶ καταιωνήσεσι, καὶ πυριάσεσιν ἀραιοῦντες τὸ περιέχον αὐτὸ σῶμα. εἰ δὲ ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον. εἰ δὲ διὰ δακνῶδες ὑγρόν, ἐναντιώτατα τούτοις ἐστὶ τὰ λεπτύνοντα καὶ θερμαίνοντα. ἄνηθον ἀναφεψημένον ἐλαίῳ, ἀνώδυνον καὶ ὑπνοποιὸν ὑπάρχει. καὶ μᾶλλον τὸ χλωρὸν τοῦ ξηροῦ.

Περὶ συντήξεως. μ.

Ὅταν ἐκκρίνηταί τι διὰ γαστρός, οὐκ ἐκ τῶν ἐδηδεσμένων καὶ πεπινομένων, ἀλλ' ἐκ τοῦ σώματος εἰς αὐτὴν καταρρέοντος χυμοῦ, παραπλησίου μὲν ὄντος τῇ συνεχῶς ἐμουμένῃ καὶ διαχωρουμένῃ ξανθῇ χολῇ. διαφέροντος δὲ αὐτῆς, τῇ τε δυσωδίᾳ, καὶ τῷ πυρρότερον φαίνεσθαι τὸ διαχώρημα καὶ πάχος ἔχον γλυῶδες, ἐνίοτε δὲ καὶ ἐλαιῶδες. τότε ἡ πιμελώδης σὰρξ καὶ νεοπαγὴς ὑπὸ πυρετοῦ διακαοῦς ἀναλύεται καὶ τήκεται. χρονίζοντος δὲ τοῦ κακοῦ, καὶ αὐτῶν ἀποτήκεταί τι τῶν στερεῶν. ἐπὶ τούτου τοῦ πονηροτάτου πυρετοῦ ψυχροῦ πόσις ἐστὶν ἀπὸ γῆς ψυχροτάτης. τοιαῦτα δὲ εἶναι χρὴ καὶ τὰ καταπλάσματα. καὶ ἐπιθέματα ψύχοντα, κατά τε τοῦ θώρακος ἐπιτιθέμενα καὶ τῶν ὑποχονδρίων. καὶ ἐμψύχουσαι τροφαὶ διδόμεναι.

Περὶ τῆς ἐν πυρετοῖς ἀγρυπνίας. μα.

Ὑπερβαλλόντως δὲ ἀγρυπνούντων. σκέλη καὶ χεῖρας δεσμεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ καθ' ὃν ἐπὶ τὸν ὕπνον εἰώθασι τρέπεσθαι κελεύομεν, καὶ ἐγρηγορέναι. διοίγειν δέ ποτε ἢ μῦσαι ἀναγκάζομεν τὰ βλέφαρα, μέχρις ἂν ἱκανῶς κάμνωσιν. εἶτα ἐξαίφνης λύομεν τοὺς δεσμούς, καὶ τὸν λύχνον αἴρομεν. ἡσυχίαν τε πολλὴν εἶναι κελεύομεν. ἰσχυρῶς δὲ ἐγκειμένης τῆς ἀγρυπνίας, ἐν ἀνέσει τοῦ παροξυσμοῦ προκλυστέον τὸ πρόσωπον ἀφεψήματι κωδύων μελαίνων. καὶ ὀσφραντέον μήκωνος λευκῆς κέλυφος φώξαντα καὶ τρίψαντα, καὶ μανδραγόρου ῥίζης, λεάνας ἴσον μετ' οἴνου. καὶ ῥοδίνου μάλαγμα ποιήσας, κατάπλασσε τὸ μέτωπον. ἑρπύλλῳ τε μετὰ μελιλώτου ἐν γλυκεῖ ἑψημένῃ, τούτῳ δὲ καὶ ἐν παροξυσμοῖς χρηστέον. ἢ λείας κωδείας ἀναλαμβάνοντες, ἄρτῳ μετὰ ῥοδίνου ἢ κηρωτῆς καταπλασσομεν. καὶ ἡ τροφὴ δὲ περιεργοτέρα πως ἔστω. συμβαλλέσθω δὲ τοῖς ῥοφήμασι κωδύας λευκῆς σπέρματος ὅσον κοχλιάρια τρία. τοῖς δὲ λαχάνοις συνηδυνέσθω μήκωνος μελαίνης, εἰ μὲν εἴη φύλλα χλωρὰ ὅσον τοῖς τρισὶ λαβεῖν δακτύλοις. εἰ δὲ μή, τρεῖς ἢ τέσσαρες κωδύαι ξηραὶ συναφεψηθεῖσαι ἐξαιρέσθωσαν. εἰ δὲ μὴ δι' οὕτως κατενεχθεῖεν, περιχριέσθωσαν ὀπῷ μήκωνος ἢ μανδραγόρου χυλόν. καὶ τὸ διὰ τῶν κωδυῶν δὲ συντιθέμενον ἔλιγμα,

ἔλιγμα, καὶ μάλιστα τὸ διὰ τοῦ ἑψήματος πινόμενον ὅσον κοχλιαρίου ἢ ἑνὸς ἡμίσεως πόσον, εἰς ὕπνον πολλάκις ἔτρεψεν. ἐφ' ὧν δὲ μὴ ἔστιν εὐπλήρωτος ἡ κεφαλή, χρηστέον ἐπὶ τῶν ἀγρυπνούντων ἐν πράγμασι καὶ θυμιάμασι τοιῷδε. φύλλου ἀμώμου, κόστου, ζαρναβῶν ἀνὰ γο. α'. καρποβαλσάμου λι. α'. στύρακος, ἀμώμου, ἀμμωνιακοῦ, βδελλίου σκυθικοῦ, μανδραγόρου ῥίζης, ὀποῦ μήκωνος. θυμία, ἐπὶ τῶν κυπαρισσίνων ξύλων.

Θεραπεία καταφορᾶς. μβ'.

Ἀποσπογγίζειν δεῖ τὸ πρόσωπον, ὀξυκράτῳ γαλακτώδει. καὶ διακρατεῖν εὐτόνως τὰ ἄκρα. ὀσφραντὰ δὲ προσαγέσθω, τὰ τμητικὴν ἔχοντα δύναμιν. καὶ ἐν ταῖς ἀνέσεσι σικυαζέσθωσαν ἐνεργῶς κατὰ μεταφρένου καὶ ῥάχεως ἐπιμενούσης τῆς νόσου. καὶ πταρμικὰ ἐν ἀνέσει τῶν παροξυσμῶν προσαγέσθω. ἔστω δὲ καὶ ἡ τῶν σιτίων ὕλη τμητικὴ καὶ διαιρετική, καθ' ἃ καὶ τοῖς ὑγιεινοῖς ἐλέγομεν.

Θεραπεία τῆς ἐν πυρετοῖς κεφαλαλγίας. μγ'.

Κεφαλαλγίας ὀχλούσης ἐν πυρετοῖς μετὰ τὴν προσήκουσαν τῶν πυρετῶν κρίσιν. κατὰ τὰς τῶν παροξυσμῶν παρακμάς. ἀλοιφῇ τῆς κεφαλῆς χρηστέον, πρῶτον μὲν κοινῷ ἐλαίῳ ὠμοτριβεῖ ἢ ῥοδίνῳ, μεμιγμένου αὐτῷ καὶ ὄξους ἐλαχίστου. θέρους μὲν καὶ καυσώδους πυρετοῦ, ψυχρῷ. χειμῶνος δὲ καὶ μὴ καυσώδους, θερμῷ ἢ χλιαρῷ. ἐνεψήσθω δή ποτε μὲν ἐλαίῳ καὶ ἑρπύλλου καὶ πολυγόνου χυλός. ἐν θέρει δὲ καὶ κωδύαι ἢ μήκων, ὥσπερ αὖ χειμῶνος πευκεδανοῦ τὸ σύμμετρον. μενούσης δὲ τῆς ὀδύνης ἐπὶ τοῦ μετώπου. κἂν τύχῃ βρέγμα ψιλὸν ὄν, καὶ τοῦτο καταπλαστέον ἐκ παλαιοῦ ἀλφίτου καὶ τοῦ πολυγόνου. ἢ ἐξ ἄρτου ὁμοίως καὶ ῥόδων. ἢ ὀλίγης μυρσίνης. ἢ τῆς ἑρπύλλου. τοὺς δέ, καὶ γλήχων παραπλακεῖσα μᾶλλον ἐκούφισεν. ἔστι δὲ ἐφ' ὧν καὶ πυρώδους τῆς αἰσθήσεως οὔσης, ψύλλιον τῷ ἀλφίτῳ συμμιχθὲν ὤνησεν. ἢ καὶ καθ' ἑαυτὸ ἰξοποιηθὲν ἐν τῇ ἑψήσει. καὶ συνεχῶς ἐξαλλαττόμενον. καὶ κορίανον ὁμοίως σὺν ἀλφίτῳ. καὶ ἀλόη δὲ σὺν ὄξει καταχρίεται. καὶ σμύρνα. καὶ ἀμμωνιακὸν ὁμοίως. καὶ κρόκομαγμα. τοὺς δὲ σφυγματώδεις πόνους. πήγανον. καὶ ἡδύοσμον σὺν μὲν ἄρτῳ διαπνεῖ, παραστάζομένου καὶ ῥοδίνου. ἀνυπείκτου δὲ πρὸς τὰ εἰρημένα τοῦ ἀλγήματος ὄντος. πρότερον ψιλῶσαι δεῖ τὴν κεφαλὴν ἐν χρῷ. εἶτα λιπαρωτέραις ἐμβροχαῖς διὰ ὅλης αὐτῆς χρηστέον. ἔπειτα σικύας προσενεκτέον μὲν ἰνίῳ. καὶ τὰ ἄκρα διαδετέον τε καὶ διαψηλαφητέον. ἀγαθαὶ δὲ καὶ βδέλλαι προστιθέμεναι. εἰ δέ τι καταρροϊκὸν ἢ κόρυζα προσγενομένη τὴν κεφαλαλγίαν ἀνάψειεν, τοῖς πρὸς ταῦτα κατὰ τὸν οἰκεῖον τόπον ἀναγραφησομένοις χρηστέον βοηθήμασιν. εἰ δὲ ἀπὸ τῶν περὶ τὸν στόμαχον χωρίων ἀναθυμιάσεις φερόμεναι τὴν κεφαλὴν βλάπτοιεν, καὶ τούτων προνοητέον ὡς ὑποτέτακται.

Περὶ τῆς τῶν περὶ τὸν στόμαχον ἐπιμελείας. μδ'.

Εἰ μὲν ἄρρωστος ὁ στόμαχος εἴη. τοῖς τονοῦν δυναμένοις ἐπιπλάττειν, οἷα τὰ τῶν φοινίκων σὺν ὄξει καὶ οἴνου, καὶ ἀλφίτων, καὶ κρόκου, καὶ μαστίχης, καὶ ἀλόης. ἐπιβρέχειν τε τοῖς διὰ ἀψινθίου καὶ μηλίνου, καὶ μαστιχίνου καὶ νάρδου καὶ οἴνου. καὶ εἰ ἐγκαίοιντο, μιγνύναι τι τῶν ἐμψυχόντων. οἷον κολοκύντης τε τὸν χυλόν, καὶ θριδακίνης, καὶ τῆς ἀνδράχνης, καὶ τοῦ στρύχνου, καὶ τῆς σέρεως, καὶ τοῦ ὄμφακος. εἰ δὲ φλεγμονῶδές τι περὶ τὰ σπλάγχνα φαίνοιτο, καὶ τῶν χαλαστικῶν τινὰ προσληπτέον. ταῖς μὲν ἐπιβροχαῖς, ἐλαίου τε καὶ χαμαιμηλίνου, καὶ κυπρίνου, καὶ στεάτων ὄρνιθος ἢ χηνός, καὶ βδελλίου ἢ ἀμμωνιακοῦ, καὶ τῶν παραπλησίων. τοῖς δὲ καταπλάσμασι, σελίνου τε σπέρματος καὶ τήλεως, ἀλθαίας τε καὶ χαμαιμήλων ἄνθους, καὶ ἁπλῶς εἰπεῖν σύνθετον ἐχέτωσαν δύναμιν, ἔκ τε τῆς χαλαστικῆς λεπτομεροῦς καὶ πικρᾶς, καὶ τῆς στυφούσης.

Περὶ τῶν ἐν πυρετοῖς ἀμέτρων περιψύξεων καὶ ῥιγῶν. με'.

Τοῖς μὲν κριτικῶς γιγνομένοις ῥίγεσιν, οὐ προσήκει ἀντιβαίνειν, οὐδὲ ἐκλύειν τὸν ἀγῶνα. καὶ ἡ ἐξ ἱδρῶτος δὲ γιγνομένη περίψυξις, ἑτοίμως ἀποκαθίσταται, καὶ οὐδὲν παρενοχλεῖ. ἐπὶ μόνου δὲ τοῦ ῥίγους, ἢ τῆς περιψύξεως οὔσης, ὑπὸ ψυχροτέρου δὲ καὶ πολλοῦ μάλιστα φλέγματος γίνεται, πρῶτον μὲν διασφιγκτέον τὰ κῶλα κατὰ πλείονας τρόπους. ἔπειτα τὸ πρότερον ἐπαλειπτέον ἐλαίῳ χαμαιμηλίνῳ, ἢ κυπρίνῳ, ἢ ἰρίνῳ. εἰ δὲ μείζονος δέοι, καὶ πεπέρεως ἐπιμικτέον τῷ ἐλαίῳ. ἢ κάχρυος, ἢ ἀδάρκης, ἢ καστορίου. καὶ τρῖψιν μαλθακὴν τοῦ παντὸς παραληπτέον σώματος. πρὸς δὲ τὸ μὴ ῥᾳδίως ἀπορρεῖν τὸ ἐλαιῶδες, οὐκ ἄτοπον καὶ κηροῦ ἐλάχιστον συντῆξαι. εἰ δὲ τὸ ῥῖγος δυσεκθέρμαντον εἴη, καὶ τοῖς διὰ τούτων ἰσχυροτέροις ἀκόποις, οὐχ ἥκιστα δὲ καὶ δρώπαξι καὶ σιναπισμοῖς χρηστέον. καὶ ἑτέρας ἁρμοδίως πυρίας προσεπιμηχανητέον. καὶ τὰ δριμύτερα δὲ τῶν ὀσφραντῶν ἁρμόδια, καλαμίνθη, γλήχων, ὕσσωπον. προποτιστέον δὲ καὶ πρὸ τῆς σημασίας μελίκρατον ἐν ᾧ ἐνήψηται πέπερι καὶ πήγανον. καὶ

ὀποῦ δὲ τοῦ κυρηναϊκοῦ ὅσον κέγχρου μέγεθος, περιπλασμένου ἑφθῷ μέλιτι, πρὸ δυοῖν ὡρῶν τοῦ παροξυσμοῦ διδῶμεν. ὁμοίως καὶ ὀποῦ σιλφίου. καὶ τὸ ἐπὶ τῶν τεταρταίων δὲ ὀποῦ τοῦ κυρηναϊκοῦ συντιθέμενον πολλοὺς ὤνησεν. καὶ εἰς ἔλαιον δὲ πλεῖον εἰς θερμὸν ἐμβιβασθέντες δυσαπότριπτα ῥίγη ἀπετρίψαντο, ὥς φησιν Ἀρχιγένης. ὁ δὲ Γαληνὸς πρὸ τῆς ἐπισημασίας ἀνατρίβειν φησὶ τὸ δέρμα διὰ ἀβροτόνου, ἢ καλαμίνθης ξηρᾶς, ἢ κονύζης τοῖς φύλλοις τε καὶ τοῖς ἄνθεσιν, ἢ κόστου, ἢ πυρέθρου. ἑκατέρου τούτων σὺν ἐλαίῳ καὶ ἢ οὐδ᾽ ὅλως, ἢ γοῦν ἧττον ῥιγώσουσιν.

Περὶ ἱδρώτων. μϛ.

Ἱδρῶτας τοὺς μὲν κρισίμους δέχεσθαι δεῖ ἕως αὐτάρκους κενώσεως, καὶ συνεργοῦντας θάλπει συμμέτρῳ καὶ ἡσυχίᾳ, ὥστε μὴ ἀπομάσσειν τὸν ἱδρῶτα. ἄγει γὰρ ἄλλος καὶ ἄλλον. καὶ θερμῷ διακλύσματι καὶ καταῤῥοφήσει καὶ ὕπνῳ. καὶ οἱ ἄνευ δὲ τῶν ἱδρώτων ὁμοίαν τοῖς κρισίμοις λαμβανέτωσαν τὴν συνεργίαν. τὰ μὲν οὖν τῶν ἱδρώτων ἀγωγὰ βοηθήματα κατὰ τὸ πρῶτον βιβλίον αὐτάρκως εἴρηται κεφαλαίῳ τεσσαρακοστῷ ὀγδόῳ. ἐπειδὰν δὲ οἱ ἱδρῶτες ἐπὶ πλέον προκόπτωσιν, δεῖ τότε ἀπομάσσειν, καὶ κουφίζειν τὰ σκεπάσματα πρὸς τὸ ἀναψύχειν. κόπτουσι γὰρ ὑπερεκπίπτοντες, ὥστε εἰς συγκοπὴν πολλάκις κατέστρεψαν. λεπτὸν οὖν ἔστω τὸ περιβόλαιον καὶ ἐμβεβρεγμένον. καὶ ἀὴρ εὐψυχέστερος. καὶ ὕπνος καὶ ῥιπὶς παραλαμβανέσθω. καὶ μυῤῥίνη μέλαινα λεία ἐμπασσέσθω τῷ σώματι. καὶ κηκὶς ὁμοίως. καὶ πύτυος φλοιός. ἤλεκτρόν τε καὶ ἄλφιτα σὺν οἴνῳ στύφοντι κατὰ τῶν ὑποδεχομένων μορίων ἐπιτιθέσθωσαν. καὶ ἀποσπογγιζέσθω τὸ πρόσωπον δι᾽ ὀξυκράτου. Ἀρχιγένης δὲ καὶ ἄσβεστον, καὶ τρύγα οἴνου κεκαυμένην ἐπί τε τούτων καὶ τοῦ ἀνεκθερμάντου παραλαμβάνει ῥίγους. ἄμφω γάρ, φησιν, ἀναθαλπόμενα ξηραίνεται. ἐπιβρέχειν δὲ καὶ τὰ μέσα κελεύει χυλῷ ἀρνογλώσσου ἢ κοριάνου, ἢ ἀνδράχνης, ἢ κράμβης. ἵνα περιπαγέντα τοὺς ἱδρῶτας ἀποστέγῃ. ἐν δὲ τοῖς ὕπνοις κιμωλίᾳ ὕδατι διαλυθείσῃ πιαινόμενα δρᾷ, καὶ ὑποβάλλεται μεταφρένῳ, καὶ θώρακι. ἐπαλειπτέον δὲ τὸ ὅλον σῶμα ῥοδίνῳ, ἢ μηλίνῳ, ἢ μυρσίνῳ, ἢ σχινίνῳ, ἢ ταῖς διὰ τούτων κηρωταῖς. ἐπιτήδεια γὰρ τούτοις μᾶλλον τὰ λιπάσματα, τῷ τοὺς ἀδήλους ἀποφράττειν πόρους κωλύοντα τὴν τοῦ ὑγροῦ διέξοδον. δῆλον δὲ ὅτι καὶ τροφὴ ξηροτέρα τούτοις ἁρμόττει. καὶ οἶνοι συμμέτρως στύφοντες. τῶν δὲ πλειόνων πομάτων καὶ μάλιστα τῶν ὑγροτέρων, καὶ συχνῶν δὲ διακλυσμάτων ἀπεχέσθωσαν. εἰ δὲ οἷόν τε καὶ ἐώρας παραλαμβάνειν ἐν ψυχροτέρῳ κατασκήματι. τὰ δὲ ἄκρα τούτοις ὡς μάλιστα ψυχέσθωσαν. τοὺς δὲ κατ᾽ ἔκθλιψιν γινομένους ἱδρῶτας, οὗτοι δὲ ἢ ἐπ᾽ ὀδύναις εἰσὶν ἢ ἐπὶ σπασμοῖς, καὶ διακρατήσει, καὶ θάλψει τῶν ἄκρων, καὶ ἀποψύχει διὰ ῥακιδίων θερμῶν, κούφως θεραπεύειν.

Περὶ βηχὸς τῆς ἐν πυρετοῖς. μζ.

Βηχὶ τῇ ἐν πυρετοῖς. μάλιστα δὲ τοῖς μετὰ ῥίγους γινομένοις, ἀντιβαίνειν δεῖ. τῇ γὰρ ἐνστάσει τῆς βηχός, ἀποδυθμαίνεται τὸ ὑποκλάζον τοῦ πυρετοῦ. δοτέον ὑπογλώττια ἐκ μέλιτος ἑφθοῦ παγέντος. ὑποτιθέμενα δὲ τῇ γλώττῃ, ὑποτήκεται καὶ διαλύει τὸ παραποδίζον τὴν εὔπνοιαν. ὁ καιρὸς δὲ αὐτῶν κατὰ τὰς ἀκμὰς τῶν παροξυσμῶν ἐστι, καὶ μέχρι πρὸ ὀλίγου τῆς ἐπισημασίας. διδόσθω δὲ καὶ ὑδρόμελι ἄπεφθον. οἷς δὲ οὐχ ὑποπίπτει τὸ νευρῶδες χρόνου γεγενημένου, δίδου θαῤῥῶν καὶ ὀξύμελι. εἰ δὲ μή, ὑσσώπου ἀφέψημα. τοῦτο καὶ τοῖς ῥιγοῦσιν βοηθεῖ. καὶ καστόριον μὴ καυσώδους ὄντος τοῦ πυρετοῦ, καὶ διὰ νευρώδη τοῦτο συμβάλλεται. ἐκλήγματα δὲ διὰ πιτυΐδων, καὶ στροβιλίων, καὶ ἴρεως, καὶ λινοσπέρμου, καὶ τῶν πικρῶν ἀμυγδάλων, καὶ κνίδης σπέρματος. τὰ δὲ πλεῖστα καὶ ταῖς τροφαῖς παραπλεκέσθωσαν. καὶ τῆς ῥητίνης δὲ καὶ τῆς τερεβινθίνης ἐν ᾠῷ διδόναι. ἔξωθεν δὲ διὰ θώρακι, καὶ τοῖς περὶ ἀρτηρίαν, ἔριον τεθειωμένον ἐπιτιθέσθω. καὶ ἡ λιπὼς δὲ ἢ πηγάνινον ἔσω, ἢ ἴρινον, ἢ ἀνήθινον. καὶ διάδεσμος εὔπορος ἐπὶ μακρὸν δεθείς, ἀκριβῶς ἐπέχει τὰς βῆχας. λέγω δὲ τῶν μέσων καὶ τῶν ἄκρων. οὐκ ἀλόγως δὲ βηχὸς ἕνεκα χρήσῃ σταφίδι ἀγρίᾳ συμμασσομένῃ τῇ ἡμέρῳ ἢ σὺν τῇ μαστίχῃ. καὶ τὰ ἄκρα δὲ ἀνατρίβειν τε καὶ διαψηλαφᾶν καὶ διαδεσμεῖν. εἶτα πάλιν ἀπολύειν τὴν ἀνθολκήν. εἰ δὲ διὰ τὴν τοῦ πυρετοῦ δριμύτητα βὴξ ὑπερεθίζει, χρηστέον ἀναγαργαρίσμασι διὰ ὕδατος χλιαροῦ. καὶ ψυχρὸν δὲ πολλάκις ὤνησεν. καὶ δι᾽ ὀξυκράτου καὶ φοινίκων ἀφεψήματος ἢ ῥόδων, ἢ τῆς γλυκείας ῥίζης. καὶ τοῖς σπλάγχνοις δὲ ἢ καὶ τῇ καρδίᾳ αὐτῇ ἐπιῤῥυπτέον τὰ μετρίως ἐμψύχοντα.

Περὶ πταρμοῦ, μη.

Ἐνοχλοῦσι πταρμοὶ πλεονάκις ἐμπίπτοντες ἐν πυρετοῖς. καὶ γὰρ πληροῦσι τὴν κεφαλὴν καὶ τὴν δύναμιν ἐλέγχουσιν. ἐνίοις καὶ αἷμα ἐκρηγνύουσιν. καὶ ἄλλα τοιαῦτα ἐπιφέρουσιν ὀχληρά. ἀντιβαίνειν οὖν αὐτοῖς δεῖ. κατέχει δὲ ἐπιφερόμενον πταρμὸν διάτριψις τῆς ῥινὸς καὶ τοῦ μετώπου καὶ ὀμμάτων, χάσμη τε καὶ τῆς ὑπερώας τρίψις σπουδαία, ὀργή, ἔνστασις λαγόνος, με-

τεωρισμός

περισμὸς τῆς κεφαλῆς, ἐπιστροφὴ ἐπὶ πλευράν, ψηλαφία τῶν ἄκρων μυῶν, λιπασμὸς μασητηρίων, θερμοῦ τοῦ ἐλαίου εἰς ὦτα ἔγχυσις, ἐπιδήματος θερμοῦ ὑπόθεσις τῷ γενείῳ. φυλάττεσθαι δὲ αἰφνιδίαν ἐξ ὕπνου διέγερσιν, καπνόν, κονιορτόν. τὰς δριμυτέρας ὀσμάς, πεπέρεως, καστορείου, νάπυος. ἡδιόσμου προσιέσθω, μήλου καὶ ἀλφίτου ὀσμή, ἀπαμβλύνει γὰρ τὴν ἔκπτωσιν τῶν πταρμῶν. οἵ τε ἐκ τῆς θαλάσσης κενοὶ σπόγγοι. γενομένης δὲ ὁρμῆς ἐπὶ τὸ πταρνῦναι, μὴ διεξιόντος δὲ τοῦ πταρμοῦ, ἀνάπαυσις τοῦ χείλους ἐπιτηδευέσθω. καὶ συνεχῶς τῶν δριμυτέρων ὀσμῶν πεῖρα, καὶ τῆς διανοίας ἄνεσις.

Περὶ ἀνορεξίας. μθ'.

Εἰ μὲν διὰ μοχθηροὺς χυμοὺς ἡ ἀνορεξία γίνοιτο, δοτέον αὐτοῖς ἐκεῖνα τῶν ἐδεσμάτων τε καὶ πομάτων, ἃ τοὺς τοιούτους χυμοὺς ἤτοι γε δι' ἐμέτων ἀπορρίψαντα, ἢ διὰ τῆς κάτω κοιλίας, ἐκκρίνειν πέφυκεν, ἢ ἐπικεράσαντα, βελτίους ἐργάζεται. τὴν δὲ τούτων ὕλην ἔχεις ἐν τῷ πρὸ τοῦδε γράμματι πρώτῳ τῆς ὅλης ὑπάρχοντι πραγματείας. εἰ δὲ δι' ἀρρωστίαν δυνάμεως ἀνορεκτοῦσιν. ἐπειδὴ πᾶσα δύναμις ἀρρωστεῖ διὰ δυσκρασίαν τῶν μορίων, χρὴ τὸ τῆς δυσκρασίας εἶδος διὰ τῶν ἐναντίων ἰᾶσθαι. τὸν μὲν οὖν ποικιλώτερον τῆς ἀνορεξίας λόγον, ἐν τοῖς στομαχικοῖς κατὰ τὸ τρίτον βιβλίον ἀποδώσομεν. ἐπὶ δὲ τῶν πυρεσσόντων, εὐθὺς κατ' ἀρχὰς ὀσφραντοῖς πειρατέον ἀνακτᾶσθαι τὴν ὄρεξιν. μάλιστα δὲ ἀλφίτων ὕδατι δεδευμένων, ἢ ὀξυκράτῳ, ἢ κράματι, ἢ τινὸς τῶν εὐωδῶν καὶ στυφόντων ὀπωρῶν ἀφεψήματι. ἀλείμματι δὲ προσηνεῖ καὶ ἀνατρίψει συμμέτρῳ τοῦ σώματος ὅλου, καὶ ψηλαφίᾳ, προσκλύσματί τε τοῦ προσώπου, καὶ καταρροφήσει βραχέος ὕδατος. καὶ καθέσει δὲ δακτύλων ταραχθεὶς ὁ στόμαχος, ἐπιστρέφεταί πως ἐπὶ τὸ προσενέγκασθαι σιτίον, καὶ μάλιστα χολώδους τινὸς ἢ ὀξώδους ἀνενεχθέντος. μετὰ δὲ τὰς πρώτας ἡμέρας καὶ καταπλάσμασιν ἔξωθεν ὁ στόμαχος ἐπιστρεφέσθω τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ἀψινθίου, ἀλόης. τροφαὶ δὲ παρασκευαζέσθωσαν πλείονες ἁπλαῖ τε καὶ σιτώδεις, καὶ τῆς ἄλλης ὕλης ἐξαλλαγάς τινας ἔχουσαι, μὴ πόρρω μέντοι τοῖς τῶν πυρετῶν ὑπαρχούσαις χρείαις. ἐν αἷς καὶ ὀπωρῶν αἱ μὴ ῥᾳδίως ἀποξυνόμεναι, μὴ δὲ ἄγαν γλυκάζουσαι, πέπειροι δέ. καὶ μὴ μέχρι κόρου, ἀλλ' ὅσον μόνον εἰς τὰς ἄλλας τροφὰς ἐρεθίσαι τὴν ὄρεξιν. παρέστωσαν δὲ τρεφομένοις αὐτοῖς οἱ προσηνέστατοι, δυσωπεῖν καὶ ἐντρέπειν δυνάμενοι. ἀπηλλαγμένων δὲ τῶν πυρετῶν, κἂν ταῖς ἀναλήψεσι παραμενούσης τῆς ἀνορεξίας, καὶ σίσαρον καθεφθὸν μετ' ὀξυμέλιτος, καὶ θριδακίνη, καὶ ἁλμάδες ἐλαῖαι, καὶ κάππαρις, καὶ τάριχος, καὶ βολβοὶ καὶ πᾶν ὁτιοῦν πρὸς εὐστομαχίαν ἐπινοείσθω. ἀναμιμνησκομένων αὐτῶν κἀκείνων, ἐν οἷς ἐδέσμασιν ὑγιαίνοντες μάλιστα ἐπλεόναζον. περίπατοί τε, καὶ ἑῶραι, καὶ ἀναφωνήσεις, καὶ δρωπακισμοί, καὶ ῥίψεις, καὶ γυμνάσια παραλαμβανέσθω. καὶ προποτισμοὶ δὲ ἀψινθίου χυλίσματος, ἢ ἀλόης. καὶ τὸ σκιλλίνου δὲ ὄξους ὅσον μύστρον καταρροφούμενον, σπουδαίως ἐνεργεῖ.

Περὶ βουλίμου. ν'.

Εἰ δὲ εἰς βούλιμον καταντήσοι τὰ τῆς ἀνορεξίας. λέγω δὲ τὴν ὑπερβάλλουσαν ἀτροφίαν. τούτοις ἀνακτησόμεθα. τοῖς τε ἄλλοις ὀσφραντοῖς, καὶ ὑείοις κρέασιν ὀπτοῖς καὶ ἐριφείοις. καὶ καθόλου πᾶσι τοῖς ὀσμὴν ἔχουσι κνισώδη. τῆς ὀξύτητος δηλονότι τῶν πυρετῶν παρεληλυθυίας. τά τε ἄκρα αὐτῶν διακρατεῖν δεῖ, καὶ ἐγείρειν αὐτούς, τάς τε σιαγόνας νύσσοντας καὶ τρίχας ἢ ὦτα ἀνατείνοντας. ἀνακτηθεῖσι δὲ ἄρτον ἐν κράματι, ἢ ἄλλο τι τῶν εὐαναδότων δοτέον.

Περὶ κυνώδους ὀρέξεως. να'.

Εἰ καὶ μὴ πάνυ τι κατὰ τοὺς πυρετοὺς τοῦτο γίνεται τὸ σύμπτωμα, ἀλλ' ἔστιν ὅτε μετ' αὐτούς. ἄλλως τε καὶ διὰ τὴν πρὸς ἀνορεξίαν συγγένειαν, οὐ χεῖρον καὶ περὶ τῆς ἀμέτρου λέγειν ὀρέξεως, ἀμφοῖν ἀμέτροιν ὑπαρχουσῶν. ἐπειδὴ τοίνυν ὑπὸ φλέγματος ὀξώδους μάλιστα τὸ πάθος γίνεται, τοῖς τοῦτο τέμνουσί τε καὶ ῥύπτουσι χρηστέον. τοιαῦτα δέ εἰσι μάλιστα γλυκέα, καὶ ἁλμυρά, καὶ ἄλλως σμηκτικὰ θερμαίνοντα. οἶνόν τε οὖν αὐτοῖς χρὴ διδόναι δαψιλῆ, τῶν ἱκανῶς θερμαινόντων. τοιοῦτοι δέ εἰσιν οἱ κιρροὶ τὴν χρόαν, ἢ ἐρυθροὶ χωρὶς τοῦ στύφειν. μᾶλλον δὲ καὶ γλυκυτέρους δοτέον κἂν μὴ διψῶσι. χρὴ δὲ αὐτοῖς ὅταν ἐπὶ τὸ ἄριστον ἀφίκωνται, πρῶτον μὲν διδόναι τὰ λιπαρά, καὶ τὰ ἄλλα δὲ πάντα δι' ἐλαίου πολλοῦ σκευάζοντα, μηδὲν αὐστηρὸν ἢ στύφον ἔχοντα. ταῦτα γὰρ εἰ καὶ μὴ πρὸς αὐτὴν ἄντικρυς ἀνίσταται τὴν αἰτίαν, ἀλλὰ τὴν εἰς τὰ σιτία λύουσιν ἀκρατῆ ὁρμήν. ἡ δὲ τούτων ἔνδεια, μειοῖ τὴν ἐν τῷ στομάχῳ τοῦ φλέγματος σύστασιν. καὶ ταρίχους δοτέον. μετὰ δὲ ταῦτα τῶν εἰρημένων οἴνων δαψιλῶς πινέτωσαν. πλείονι γὰρ χρόνῳ πραττόντων οὕτω, παύεται.

Περὶ δίψης. νβ'.

Τὴν μὲν πάνυ μικρὰν δίψαν, γίνεσθαι νομιστέον διὰ ξηρότητα τῶν μορίων, ἢ θερμότητα, δι'

ὧν φέρεται τὸ ὑγρὸν ἐκ τοῦ σώματος εἰς τὴν κοιλίαν. καὶ ἴαμα διὰ μὲν ξηρότητος ἐστὶν ὕπνος. διὰ δὲ θερμότητος, ἐγρήγορσις. ἔνιοι μέντοι διψώδεις ἐξ οἴνου γίνονται. καὶ διὰ τὴν τῶν ἐδηδεσμένων θερμότητα. καὶ ἴαμα τούτων ἐστὶ, τὸ ψυχρὸν πόμα. μοχθηρῶν δὲ ἐπιθυμοῦσι ποιοτήτων, ὥσπερ καὶ σιτίων, ἀνάλογον τῇ κρατούσῃ κακοχυμίᾳ. δίψεσι δὲ ἀπαύστοις καταληφθέντας, ἐξ ὧνπερ καὶ ἀπέθανον, οἶδά ποτε φαγόντας ἐχίδνας διψάδας. καὶ οἴνου παλαιοῦ μεθύσαντας. καὶ τοὺς ἐν τῷ πλοίῳ τοῦ ὕδατος ἐπιλιπόντος, ὧν ὅσοι διὰ θαλάττης ἐτόλμησαν πιεῖν, ἀπέθανον. τὸν δὲ ἐν πυρετοῖς δίψος, παρηγορεῖν πέφυκεν, ἐμβροχὴ διὰ κεφαλῆς ψυχροτάτου ἐλαίου, ἢ ῥοδίνου μετὰ κρουνισμοῦ γινομένη. κάλλιστα δὲ ποιεῖ πρὸς δίψος, τὸ τῆς μελαίνης θριδακος σπέρμα διαμασηθὲν, καὶ ἡ γλυκύῤῥιζα λεγομένη. καὶ τὸ τοῦ σικύου σπέρμα διακρατηθὲν ἐν τῷ στόματι. δίδου δὲ καὶ ἄδιψον καταπότιον τοῦτο. σικύου ἡμέρου < .η. τραγακάνθης < .δ. διάλυε τὴν τραγάκανθαν ὠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τρίψας τῷ σικυοσπέρμῳ προλεφθέντι, καὶ μαλάξας, ἀνάπλαττε καταπότια, καὶ ξήραινε ἐν σκιᾷ. καὶ δίδου ἐν ὑπὸ τὴν γλῶτταν κατέχειν. καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω. δίδου δὲ καὶ ἀπόβρεγμα καταῤῥοφεῖν. μήλων κυδωνίων, ἢ ἀπίων, ἢ μεσπίλων, ἢ ἑλίκων ἀμπέλου. ἢ ῥοᾶς χυλόν.

Περὶ γλώσσης τραχείας. νγ.

Ὑγραίνειν δεῖ τὴν τραχύτητα τῆς γλώττης, ποιοῦντας διακρατεῖν λινοσπέρμου ἀφέψημα τοὺς κάμνοντας ἐν τῷ στόματι. βέλτιον δὲ ἐνεργεῖ μυξίον τῷ λινοσπέρμῳ συγκαθεψημένον. καὶ τὸν δάκτυλον δὲ ἐν τούτῳ τῷ χυλῷ βρέξαντος, καὶ τὴν γλῶτταν ἀνατρίψαντος, ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ. ἢ σπόγγῳ περιμασσέσθωσαν, εἶτα ῥοδίνῳ ἐπαλειφέσθωσαν. καὶ αὐτὸ δὲ τὸ ῥόδινον μέλιτι συμμιγὲν σπουδαίως ἐνεργεῖ. καὶ ὁ διὰ ἀνδράχνης χυλὸς διακρατηθείς. καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα, μελικράτῳ μιγεὶς καλῶς ποιεῖ. καὶ δαμασκηνα. καὶ μυσκλίου, τοῦτο δὲ ἐστὶν ἡ μύξα, τὰ ὀστᾶ διακρατούμενα, καὶ τῇ γλώττῃ περικυλιόμενα. καὶ θριδακίνης καυλίον. Ἀρχιγένης δέ φησι καὶ ὁ ἅλς ὁ ἰνδικὸς. χρόᾳ μὲν καὶ συστάσει ὅμοιος τῷ κοινῷ ἁλί. γεῦσις δὲ μελιτώδης. φακοῦ δὲ μέγεθος ἤτοι γε πλεῖστον κυάμου διατρωχθεὶς, σφόδρα καθυγραίνειν δύναται. ἐπὶ πλευρὸν δὲ κατακείσθωσαν, ξηραίνει γὰρ ἡ ὑπτία κατάκλισις. καὶ τὸ στόμα μυέτωσαν, τὸ κεχηνέναι γὰρ ἐξικμάζει. πταρμοὶ ἐπιτηδευθέντες καθυγραίνουσι τὰς γλώττας, παντὸς ἄλλου ἐνδιαθετώτερον.

Περὶ ναυτίας. νδ.

Ὅταν χωρὶς τοῦ προσενεχθῆναι ναυτιώδης ὁ κάμνων γίνεται, πρόδηλον οἶμαι λογίσασθαι μοχθηροὺς χυμοὺς ἀνιᾶν τὴν γαστέρα. τινὲς δὲ σπαράττονται μὲν, ἐμοῦσι δὲ οὐδὲν, ἐν αὐτοῖς τοῖς χιτῶσιν ἀναπεπομένου τοῦ χυμοῦ. φλεγματώδεις μὲν οὖν ὄντας τοὺς χυμοὺς πέττειν χρὴ, ἐν ἡσυχίᾳ φυλάττοντας τὸν ἄνθρωπον, καὶ ἀσιτίᾳ καὶ ὕπνοις. τοὺς δὲ λεπτοτέρους, ἔμετος ἐκβάλλει. ποτὲ μὲν ἐπὶ τῷ διὰ πτισάνης χυλῷ γενόμενος, ἢ μελικράτῳ. ὅσοι δὲ γλίσχροι τέ εἰσι καὶ παχεῖς, τῶν λεπτυνόντων χρήζουσιν. ὁποῖόν ἐστιν τὸ ὀξύμελι καὶ τὰ ὅμοια. ὑγρότητος δὲ μοχθηρᾶς ἐν τοῖς χιτῶσιν ἀναπεπωμένης, ἡ διὰ τῆς ἀλόης πικρὰ χρήσιμος. τὰ στύφοντα δὲ βλάπτει γενναίως. ὥσπερ αὖ πάλιν ὑγρότητος οὔσης πολλῆς χωρὶς κακίας, τὰ στύφοντα μὲν ὡς ὠφελιμώτατα. τὸ δὲ διὰ τῆς ἀλόης φάρμακον εἰς μαρασμὸν ἄγει. ψύξεως δὲ προσούσης τῇ ὑγρότητι, μικτέον τοῖς στύφουσι καὶ τὰ θερμαίνοντα. σημεῖον δὲ τοῦ ψυχρὰν διάθεσιν εἶναι, τὸ μὴ διψεῖν, μήτε καύματος αἰσθάνεσθαι.

Περὶ χολεμεσίας. νε.

Τοῖς χολὴν ἐμοῦσι, κατάπλασμα προσενεκτέον διὰ φοινίκων. σιδίων, κηκίδος ἡψημένων ἐν οἴνῳ ἢ ὀξυκράτῳ. συλλεαινομένων ἄρτων. καὶ ἀκακία δὲ, καὶ ὑποκυστις, καὶ βαλαύστιον, καὶ ῥοῦς συμπλεκέσθω τῷ καταπλάσματι. καὶ σικύα δὲ προσβαλλομένη μεγάλως ὠφελεῖ, μετὰ φλογὸς πολλῆς. τὴν δὲ τροφὴν πολλάκις κατὰ βραχὺ δώσομεν. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν ἐμούντων, καὶ φυσωμένων τὸν στόμαχον, σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει. ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε,

Περὶ λυγμῶν. νς.

Ὁ λυγμὸς γίνεται. ἢ διὰ πλήρωσιν, ἢ διὰ κένωσιν, ἢ δριμέων χυμῶν δακνόντων τὸν στόμαχον. ὧν ἐμεθέντων παύεται. πολλοὶ δὲ καὶ τὸ διὰ τῶν τριῶν πεπέρεων μόνον λαβόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἴνου, λύζουσιν. ὅτι δὲ καὶ διαφθείροντες τινὲς τροφὴν λύζουσιν, τῶν γινωσκομένων ἐστί. καὶ ῥιγώσαντες δὲ πολλοὶ λύζουσιν. ἔμετον μὲν οὖν εὑρήσομεν αὐταρκὲς ἴαμα τῶν διὰ πλῆθος ἢ δῆξιν λυζόντων. θερμασίαν δὲ, τῶν διὰ ψύξιν. ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται

νηται λυγμός, βιαίας δεῖται κενώσεως. τοῦτο δὲ ὁ πταρμὸς ἐργάζεται. τοὺς δὲ ἐπὶ κενώσει λυγμοὺς, οὐκ ἰᾶται πταρμός. διδόναι δὲ τοῖς λύζουσι πήγανον μετ' οἴνου, ἢ νίτρου ἐν μελικράτῳ, ἢ σέσελι, ἢ δαῦκον, ἢ κύμινον, ἢ ζιγγίβερ, ἢ καλαμίνθην, ἢ νάρδον κελτικήν. ταῦτα τῶν ἐπὶ διαφθορᾷ σιτίων, ἢ ἐπὶ ψύξεσιν, ἢ ἐπὶ πληρώσει, βοηθήματα. τοῖς δὲ ὑπὸ πλήθους λύζουσιν ἐπὶ ψυχροῖς καὶ γλίσχροις χυμοῖς. καστόριον τριωβόλου δίδου πίνειν διὰ ὀξυκράτου. καὶ κατὰ τοῦ δέρματος δὲ ἐπιτιθέμενον ὠφελεῖ, ἅμα σικυωνίῳ παλαιῷ ἐλαίῳ. ἁρμόζει καὶ τὸ σκιλλητικὸν ὄξος ἢ ὀξύμελι, πινόμενον. καὶ κατοχὴ πνεύματος, μεγάλως ὀνίνησιν.

Περὶ τῆς ἐν πυρετοῖς ἐπεχομένης τε καὶ φερομένης γαστρός. νζ.

Τὰ μὲν προτρέποντα τὴν ἐπιξηραινομένην κοιλίαν, ἐν τῷ πρώτῳ λέλεκται γράμματι εἰς ὅσον ἐχρῆν. ἐπειδὴ δὲ καὶ ὑγραίνεσθαι συμπίπτει ταύτην ἐν πυρετοῖς, ἐνταῦθα λεκτέον. πολλοὶ γὰρ οὐ κατὰ τὸν τοῦ πυρετοῦ λόγον, ἀλλὰ διὰ μόνον τοῦτο τὸ σύμπτωμα διεφθάρησαν. ἐν ἀρχῇ μὲν οὖν δέχεσθαι δεῖ τὰ κομιζόμενα μηδὲν ἀναβαίνοντας ἀπὸ διαφθορᾶς καὶ ἀπεψίας φερόμενα. πέρα δὲ τοῦ μετρίου τῆς κενώσεως γιγνομένης, ἐπέχειν προσήκει. καὶ εἰ μὲν δριμύτερα φέροιτο, δεῖ τὰ προσφερόμενα εὔχυμά πως εἶναι καὶ ἄλλως παχύτερα. τοιαῦτα δέ ἐστι τὰ διὰ χόνδρου καὶ πτισάνης ῥοφήματα. καὶ λουτρὰ δὲ τούτοις μετὰ τὴν τοῦ νοσήματος πέψιν ἐπιτήδεια. ὅταν δὲ φλεγματωδέστερα καὶ περιρρέοντα φέρηται, τοὐναντίον, ξηρότερά τε εἴη καὶ θερμότερα τὰ σιτία, ἐφ' ὅσον ἐγχωροῦσιν οἱ πυρετοί. τοιαῦτα δέ ἐστι τὰ διὰ ἀρτυμάτων θερμαντικῶν σκευαζόμενα. λουτρῶν δὲ τούτους ἀφεκτέον, εἰ μή τι ἕτερον ἐκβιάζοιτο. ἀτονούσης δὲ τῆς πεπτικῆς δυνάμεως, τοῖς στύφουσιν ἐδέσμασί τε καὶ βοηθήμασι χρηστέον. ἐδέσμασι μὲν, ἐν οἷς μάλιστα ῥοιῶν ἢ μήλων, ἢ ἀπίων, ἢ μεσπίλων ἐμβέβληται, ἢ καὶ τούτοις αὐτοῖς. καὶ οἴνῳ λεπτῷ εὐόσμῳ στύφοντι. βοηθήμασι δὲ τοῖς διὰ καταπλασμάτων, δι' ἀλφίτων καὶ φοινίκων, καὶ ἀψινθίας, ῥόδων τε καὶ μύρτων. καὶ τῆς ὁμοειδοῦς τούτοις ὕλης. σκεπτέον δὲ ἐν ποίοις μάλιστα μορίοις ἐπιθετέον τὰ καταπλάσματα. λέγω δὴ τοῖς περὶ τὸν στόμαχον, ἢ τὴν κάτω κοιλίαν. ἔσθ' ὅτε δὲ καὶ περὶ τὴν ὀσφὺν ἐπιτίθεμεν. τὰς αἱματώδεις δὲ τῶν ἐκκρίσεων, ἀναστέλλει τὰ διὰ λιβάνου, καὶ ἐπιξηραίνει. ἢ ἀλφίτου γύρις σὺν λιβάνῳ ἢ μάννῃ ἐν οἴνῳ φυραθεῖσα, ἢ ὀξυκράτῳ. τὴν δὲ δριμυτέραν ὑγρασίαν, καὶ ἐν ἐνέματι ἀπογλυκαίνειν. ὅτε μὲν αὐτῷ τῷ ὕδατι, ὅτε δὲ πτισάνης χυλῷ, ἢ χόνδρου, ἢ ὀρύζης, ἢ τράγου, οὐχ ἅπαξ ἀλλὰ πολλάκις. ἐν ὑστέρῳ δὲ παραπλεκτέον καὶ ῥόδα ξηρὰ, ἢ μύρτα. ἔσθ' ὅτε καὶ κηκῖδας, καὶ ᾠὸν ἅμα ῥοδίνῳ καὶ οἴνῳ λεπτῷ στύφοντι, ἢ ῥόδων ἀφεψήματι ἐνιέμενον, ἢ καὶ τῇ ἕδρᾳ προστιθέμενον, ἀπαμβλύνει τὰς εἰς τὴν ἔκκρισιν προθυμίας. συχνῆς δὲ γινομένης τῆς ἐξαναστάσεως, ἀγάθιον ἐγκείσθω προστετυπωμένον τῇ ἕδρᾳ ἀπὸ θερμῶν στυμμάτων.

Περὶ στάξεως αἵματος καὶ τῆς ἀπὸ ῥινῶν αἱμορραγίας. νη.

Ἐπειδὴ ἡ μὲν στάξις δηλοῖ πλῆθος ἐν ὅλῳ τῷ σώματι, ἢ ἐν τῇ κεφαλῇ κατὰ ἔκθλιψιν γινομένη, ἢ διὰ πύκνωσιν. ἡ δὲ πλείων ἔκκρισις, ἱκανή ἐστι χαλάσαι καὶ μειῶσαι τὸ πλῆθος. κατὰ λόγον δέ ἐστι ποιεῖσθαι αὐτὴν ἐκεῖθεν ὅθεν ἡ φύσις ὥρμησεν. ταῦτα ἐννοήσαντες, ἐτόλμησαν ἐπὶ τῶν τεταρταίων ἀπὸ στάξεων διὰ τύφης, ὡς ἔθος, τρῶσαι τὰ ἐν τοῖς μυξωτῆρσιν ἀγγεῖα. δεῖ δὲ μὴ ἀρκεῖσθαι ὀλίγῃ ῥύσει, ἀλλὰ πρὸς τὴν δύναμιν ἀφαιρεῖν. τὰς δὲ αὐτομάτους ἐν πυρετοῖς διὰ ῥινῶν αἱμορραγίας, κριτικῶς μὲν γινομένας δέχεσθαι. ἀμέτρως δὲ φερόμενον τὸ αἷμα, πειρᾶσθαι στέλλειν. διαδεσμείσθω δὲ, πρῶτον εὐτόνως τὰ ἄκρα, καὶ μετέωρον ἔχων τὴν κεφαλὴν ἐσχηματίσθω ὁ νοσῶν. δοκεῖ δὲ καὶ τῆς ποσθῆς ἡ διάδεσις ἰδίως ἐπέχειν τὰς ἐκ ῥινῶν αἱμορραγίας. μὴ ἀπομυσσέσθω δέ. μὴ δὲ ἐρεθιζέτω τὸν τόπον. ἐάτω δὲ θρόμβον ἀποπήγνυσθαι. σπόγγῳ δὲ ἡ ῥὶς ἀποψυχέσθω ἐν ὀξυκράτῳ βραχέντι, καὶ σφηνίσκος ἐκ ῥάκους ὑποβαλλέσθω τῷ αἱμορραγοῦντι μυξωτῆρι τινὶ τῶν ἰσχαίμων χρισθέντι φαρμάκων. τὴν δὲ τούτων ὕλην καὶ τὴν ἄλλην θεραπείαν, ἐν τοῖς κατὰ τόπους πεπονθότας κατὰ τὸ μετὰ τοῦτο βιβλίον, ἱκανῶς ἐκθησόμεθα.

Περὶ λειποθυμίας. νθ.

Τοῖς μὲν ἐπὶ χολέραις καὶ διαρροίαις καὶ ταῖς ἄλλαις πολλαῖς καὶ ἀθρόαις κενώσεσιν ἐκλυομένοις, ὕδωρ τε ψυχρὸν προσραίνειν καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν, καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς, καὶ κελεύειν ἐμεῖν. παραθλίβειν τε τὸν στόμαχον, ἤτοι δακτύλων, ἢ πτερῶν καθέσει. ἀλλὰ καὶ δεσμεῖν πλείοσι δεσμοῖς ἰσχυρῶς. ὅταν μὲν διὰ τῶν κάτω μορίων, αἱ κενώσεις γίγνοιντο, τὰς χεῖρας. ὅταν δὲ διὰ τῶν ἄνω, τὰ σκέλη. προσεπινοεῖν δὲ τοῖς αἱμορραγοῦσι καὶ ἀνάρροπον ἀνωδύνως σχῆμα, καὶ σικύαν ἐπιβλητέον, ἐπὶ τἀναντία τῶν κενουμένων ἀντισπῶντας μόρια. ἰᾶται δὲ καὶ οἶνος ὕδατι κεκραμένος, τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις. εἰ μὴ φλεγμονὴ σπλάγχνων, ἢ κεφαλῆς ἄλγημα σφοδρὸν, ἢ παρακρουστικόν τι πάθος, ἢ πυρε-

τὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι κωλύει. μεγάλας γὰρ ἐπὶ τούτων ὁ οἶνος ἐργάζεται βλάβας. καὶ εἰ μὲν θέρος εἴη, καὶ θερμῆς κράσεως ἢ ψυχροπότης ὁ κάμνων, ψυχρὸν δοτέον, εἰ δὲ τἀναντία, θερμόν. τοῖς δὲ διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, πυκνοῦν τὸ δέρμα, καθὼς ἔμπροσθεν εἴρηται, καὶ πνευμάτων ψυχρῶν εἰσόδους ἐπινοεῖν. τοῖς δὲ εἰς τὴν γαστέρα ῥεύμασιν οὐδὲν τούτων ἁρμόζει, πλὴν ἐν αὐτῇ τῇ γαστρὶ καὶ τῷ στομάχῳ τὰ ἐνοῦντα προσφέρειν, καὶ λούειν δὲ τούτους. λουτρὰ γὰρ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατα. τὰς δὲ αἱμοῤῥαγίας καὶ τοὺς ἱδρῶτας, δεινῶς παροξύνει. τοὺς δὲ ἐπὶ πλήθει λειποθυμοῦντας, οἴνου τε καὶ τροφῆς ἀπέχειν, καὶ λουτρῶν, εἰ πυρέττοιεν. πόμα δὲ μελίκρατον διδόναι, ἢ θύμου, ἢ ὀριγάνου, ἢ γλήχωνα, ἢ ὕσσωπον ἔχοντος ἀναφεψημένον. ἐπιτήδειον δὲ τούτοις καὶ τὸ ὀξύμελι. εἰ δὲ διὰ πονηροὺς χυμοὺς λειποθυμεῖεν ἐν τῷ στομάχῳ περιεχομένους, κελεύειν ἐμεῖν δι' ὑδρελαίου καθέσει δακτύλων, ἢ πτερῶν. εἰ δὲ μὴ δύναιντο ἐμεῖν, ἔλαιον ὅτι κάλλιστον αὐτοὺς ποτιστέον. τούτους μὲν γε καὶ διὰ γαστρὸς κάτωθεν πολλάκις κενοῖ, καὶ τὸ ἀψίνθιον δὲ τούτοις ὀνίνησιν. εἰ δὲ δι' ἀῤῥωστίαν ἐκλύοιντο τοῦ στομάχου, τοῖς ἐνοῦσιν αὐτὸν δυναμένοις χρηστέον, ὡς ἔμπροσθεν ἐν τῷ περὶ αὐτοῦ κεφαλαίῳ λέλεκται, καὶ τὰ ἄκρα ἀναθλίβειν, καὶ τοὺς μὲν ἐγκαιομένους ἐπὶ λουτρὸν ἄγειν. τοῖς δὲ καταψυχομένοις, τὸ διὰ τριῶν πεπέρεων διδόναι, καὶ αὐτοῦ τοῦ πεπέρεως. τοὺς δὲ ὑπὸ θερμασίας πλείονι, ἢ δι' ἔγκαυσιν, ἢ διὰ τὸ ἐν βαλανείοις χρονίσαι λειποθυμοῦντας, ἰάσῃ τότε ψυχρὸν ὕδωρ προσραίνων, καὶ πρὸς ἄνεμον τρέπων, καὶ τρίβων τὸν στόμαχον, καὶ οἶνον διδοὺς καὶ τροφάς. εἰ δὲ διὰ μέγεθος φλεγμονῆς, ἢ κακοπάθειαν πυρετοῦ λειποθυμοῖεν ἐν ταῖς καταβολαῖς, καὶ καταψύχοιντο, τὰ κῶλα τρίβειν ἰσχυρῶς, καὶ θάλπειν καὶ διαδεῖν, ἐγρηγορέναι τε κελεύειν, καὶ τροφῆς ἀπέχειν. ταῦτα δὲ καὶ πρὸ τοῦ παροξυσμοῦ πρακτέον. τοῖς δὲ διὰ ξηρότητα λειποθυμοῦσι, πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τοῦ παροξυσμοῦ τροφὴν ἐπιδοτέον, ἢ χόνδρου χυλόν, ἢ ἄρτον δι' ὕδατος ἅμα ῥοιᾶς κόκκοις, ἢ μήλοις, ἢ ἀπίοις. εἰ δὲ μέγας ὁ κίνδυνος ἐλπίζοιτο, καὶ οἶνος δοτέον, καὶ τοῖς ἐξαίφνης δὲ λειποθυμήσασιν, οὕτω πρακτέον. καὶ πανταχοῦ δεῖ τὴν αἰτίαν λογίζεσθαι δι' ἣν ἡ λειποθυμία γίνεται, καὶ πρὸς ταύτην ἐνίστασθαι. ποτὲ δὲ καὶ τοῦ συμπτώματος, μᾶλλον φροντιστέον κινδύνου, ἢ καὶ θάνατον ἀπειλοῦντος.

Θεραπεία τῆς περὶ τὸ ἱερὸν ὀστοῦν ἑλκώσεως. ξ΄.

Καὶ τοῦτο τὸ πάθος τοῖς πυρετοῖς μάλιστα τοῖς χρονίοις συμπίπτει διὰ τὸν τῆς ἀνακλίσεως χρονισμόν. ἡνίκα μὲν οὖν ἄρχεται ἐνερευθὴς ὁ τόπος γίνεσθαι, κύκλον δὲ ἐρίου ποιήσαντες εὐμεγέθη ὑποθήσομεν τῷ τόπῳ, μετὰ ταῦτα δὲ ῥοδίνῳ, ἢ μυρσίνῳ κηρωτὴν ποιήσαντες, ἐγχέαντες λιθάργυρον ἢ ψιμμύθιον, ἐπιθήσομεν. φλεγμονῆς δὲ γενομένης, ἄρτῳ καταπλαστέον μετὰ στρύχνου, ἢ πολυγόνου, ἢ ἀρνογλώσσου, ἢ ἁπαλῆς κράμβης. εἰ δὲ νομώδης ἕλκωσις εἴη, φακῇ καταπλασσέσθωσαν μετὰ σιδίων.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

Ἐν τούτῳ τῷ βιβλίῳ, τρίτῳ τῆς πραγματείας ὑπάρχοντι, περὶ τῶν κατὰ τόπους πεπονθότας παθῶν ὁ λόγος ἐστίν, ἀρχόμενος μὲν ἀπ' ἄκρας κεφαλῆς, τελευτῶν δὲ ἐν ἄκροις τοῖς ποσίν.



ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΑΣ ΤΡΙΧΑΣ ΠΑΘΩ͂Ν ΠΕΡῚ ἈΛΟΠΕΚΊΑΣ ΚΑῚ ὈΦΙΆΣΕΟΣ ΚΑῚ ΦΑΛΑΚΡΏΣΕΩΣ.



ΚΑΘΆΠΕΡ ΤΩ͂Ν ΦΥΤΩ͂Ν, ἜΝΙΑ ΜῈΝ ὙΓΡΌΤΗΤΟΣ ἐνδείᾳ φθείρεται ξηραινόμενα, τινὰ δὲ ὑγροῖς ἀλλοτρίοις ἑαυτῶν. οὕτω καὶ ἐπὶ τῶν τριχῶν γίνεσθαι συμβαίνει. δι' ἔνδειαν μὲν γὰρ ὑγρῶν ἡ φαλάκρωσις πέφυκε γίνεσθαι. διὰ μοχθηρίαν δὲ χυμῶν, ἀλωπεκία καὶ ὀφίασις, σχήματι μόνον διαφέρουσαι τῶν ἄλλων. ὅτι παραπλήσιον ὄφει τὸ βεβλαμμένον φαίνεται μόριον. τὰς δὲ ἀλωπεκίας ἐκ τοῦ συνεχῶς ταῖς ἀλώπεξι τοῖς ζώοις γίνεσθαι τὸ πάθος ὠνόμασαν. ἐκ τῆς χρόας οὖν τοῦ δέρματος τὸν πλεονάζοντα στοχαζόμενοι χυμόν, τῇ διὰ καθαρτικοῦ πρότερον

φαρμακίου χρησόμεθα κενῶσαι. κἄπειτα τοῖς τοπικοῖς προθεραπεύομεν βοηθήμασιν. εἰ μὲν οὖν εἴη τὸ μελάντερον ἢ λευκότερον ἡ χροιὰ παρατραπεῖσα, διὰ τῆς ἱερᾶς αὐτὴν ὅτε καθαίρομεν, φλέγματός τε καὶ τοῦ μελαγχολικοῦ χυμοῦ κενωτικῆς ὑπαρχούσης. εἰ δὲ ἐπὶ τὸ ὠχρότερον, τὰ διὰ τῆς ἀλόης καταπότια δώσομεν. ἑκάστου δὲ τούτων τὴν γραφὴν ἐν τῷ περὶ συνθέτων φαρμάκων εὑρήσεται λόγῳ. μετὰ δὲ τὴν κένωσιν τοῦ ὅλου σώματος, ἀποφλεγματισμῷ χρηστέον, οὐχ ἅπαξ ἀλλὰ πολλάκις, δι' ὄξους καὶ νάπυος καὶ μέλιτος. ἄμεινον δὲ εἰ ἀποβραχείη τῷ ὄξει καὶ ὀρίγανον, ἢ γλήχων, ἢ θύμος, ἢ ὕσσωπον. κἀπὶ τῶν ἄλλων δὲ τῶν περὶ τὴν κεφαλὴν παθῶν τῇ αὐτῇ χρηστέον μεθόδῳ. πρῶτον τὸν πλεονάζοντα κενοῦντας χυμόν. ἢ διὰ καθάρσεως. ἢ καὶ διὰ φλεβοτομίας εἰ καὶ αἵματος εἴη πλεονασμός. εἶθ' οὕτως ἐπὶ τὴν τοπικὴν χωρεῖν ἐπιμέλειαν.

Περὶ ἀλωπεκίας.

Ἐκνιτρώσας, καὶ ὀθονίῳ τραχεῖ καὶ μᾶλλον ἐρέῳ ἐκμάξας, καὶ ἀνατρίψας ἄχρι ἐρεύθους, περιστερεῶνι ἐν ἡλίῳ σὺν ὄξει τριβέντι κατάχεε. ἢ ἀλκυόνιον τὸ τραχύτερον καύσας, καὶ λειώσας σὺν ἐλαίῳ ἀπὸ λύχνου, κατάχεε. ἢ καλάμου ῥίζαν, ἢ φλοιὸν ἀμυγδαλῆς πικρᾶς καύσας, ἐλαίῳ ἢ στέατι ἀρκείῳ ἀναλαβὼν κατάχεε. μέτρια μὲν οὖν ταῦτα, ἰσχυρότερα δὲ τὰ διὰ εὐφορβίου καὶ θαψίας καὶ ἀδάρκης, ἐλαίῳ δαφνίνῳ ἐκλειωθέντα, ἢ ὑγρᾷ πίττῃ. Ἄλλο. Ἐχίνων θαλασσίων τὰ ὄστρακα καύσας σὺν στέατι ἀρκείῳ ἀναλάμβανε, καὶ χρῖσον προεκνιτρώσας τὸν τόπον. Ἄλλο. Πεπέρεως, προβατείας κόπρου ξηρᾶς, ἐρυσίμου, εὐζώμου σπέρματος ἀνὰ < . δ̄. ἐλλεβόρου λευκοῦ < . γ̄. μυῶν ἀφόδων < . ᾱ. ἀναλάμβανε χολῇ ταυρείᾳ, ἢ τραγείᾳ, ἢ ὑείᾳ.

Ἄλλο διὰ πείρας πρὸς ἀλώπεκα.

Μανδραγόρου ῥίζης, ἀριστολοχίας, ἄρου ῥίζης, κηροῦ, ὑγροπίσσης χ̊. π̄. ὀξυγγίου χοιρείου ἀπάστου, νηρίου τῆς βοτάνης καρδίας ὀλίγον. ἕψε τὸ ὀξύγγιον καὶ τὸ νήριον, ἕως ἡ βοτάνη τακῇ. εἶτα ἀποσωρεύσας, τὴν βοτάνην ῥίπτε. καὶ ἐπίβαλε ἐν τῷ ὀξυγγίῳ τὰ λοιπά. καὶ ἕψε. εἶτα ἐπίβαλλε τὸν κηρὸν καὶ τὴν ὑγρόπισσαν, καὶ χρῶ θαρρῶν ἐν ἡλίῳ. καὶ ὅταν ἀπουλωθῇ τὰ ἕλκη τὴν κεφαλὴν ἀλώπεκος καῦσον, ἀλκυόνιον, ἀγχούσης τῆς μελαίνης φύλλα, πάντα τρίψας ἐπίβαλλε ἐπάνω τοῦ ἀλείμματος. διὰ τὸ τριχῶσαι τὴν κεφαλήν. Ἄλλο. Κυνὸς κεφαλῆς κεκαυμένης μ. ᾱ. ὄστρακον ῥύσιον ἐκ τῆς θαλάσσης μ. ᾱ. ὀξύγγιον χοίρειον. πάντα ἐν χυτριδίῳ ἑψήσας χρῶ. ἐπιπάσσων καὶ ἐκ τῶν αὐτῶν ξηρῶν.

Φάρμακον τὸ διὰ θαψίας πρὸς πάντα χρόνια πάθη.

Εὐφορβίου, θαψίας, δαφνίνου. ἀνὰ Γο. ᾱ. θείου ἀπύρου Γο. S̄. ἐλλεβόρου Γο. S̄. κηροῦ Γο. ς̄. δαφνίνου ἢ κικίνου παλαιοῦ ἐλαίου τὸ ἀρκοῦν. ἐπὶ τῶν ἰσχυροτέρων καὶ καρδαμώμου Γο. ᾱ. ἀλκυονίου κεκαυμένου Γο. ᾱ. οὐ μόνον πρὸς ἀλωπεκίαν, ἀλλὰ καὶ πρὸς πᾶσαν χρονίαν ποιεῖ κατάψυξιν. ἁπανταχοῦ δὲ τῇ προεκνιτρώσει καὶ ἀνατρίψει χρηστέον ἐπὶ τῶν ἀλωπεκιῶν. καὶ συνεχῶς ἀποξυράσθωσαν. πολλοὺς γὰρ οἶδα διὰ μόνης τῆς ἀνατρίψεώς τε καὶ συνεχοῦς ἀποξυρήσεως τριχοφυήσαντας.

Πρὸς φαλακρώσεις καὶ τριχῶν αὔξησιν ἐκ τῶν Κρίτωνος.

Λαγωῶν κοιλίας πέντε ξηράνας, ἐπιμελῶς φρύγε ἐν ἀγγείῳ ὀστρακίνῳ. πρὸς ταύτας λάμβανε τὸ ῥίτον μυρσίνης, ἀκρεμόνων, ἀκακίας καρποῦ, ἀκακίας χυλοῦ. κυνὸς βάτου τὸ ἴσον. ἀδιάντου Γο. γ̄. ταῦτα πάντα κόπτε καὶ σῆθε λεπτῷ κοσκίνῳ. εἶτα ἐπιβαλὼν στέατος ἀρκείου λι. δ̄. καὶ φώκης τὸ ἴσον, ἀνακόπτε. καὶ ἀναλόμενος εἰς πυξίδα μολυβδίνην φύλαττε. ἐπὶ δὲ τῆς χρείας ἄνιε ᾧ θέλεις ἡδύσματι.

Διαφυλακτικὰ τριχῶν.

Πολυτρίχου μ. α. λαδάνου μ. β̄. οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ ἀνάλαμβανε καὶ χρῶ. Ἄλλο. Ἀνεμώνης τὸ ἄνθος τρίψας μετὰ ἐλαίου κατάχριε. τὸ δὲ αὐτὸ καὶ μελαίνει. Ἄλλο. Περιστερεῶνα τὸν ὄρθιον σὺν ταῖς ῥίζαις ξηράνας καὶ κόψας, σῆθε λεπτῷ κοσκίνῳ. καὶ μίξας ἐλαίῳ, ὥστε γλοιοῦ χεῖν πάχος, εἰς ἀγγεῖον χαλκοῦν, ἀπόθου. καὶ ὅταν τακῇ χρῶ αὐτῷ ἐλαίου ὁμοίως.

Ὕδωρ αὐξητικὸν τριχῶν τὸ δὲ αὐτὸ καὶ μελαίνειν.

Ὕδατος ὀμβρίου ξ. ς̄. ῥοῦ ἀλεξανδρίνου ξ. γ̄. πολυτρίχου Γο. δ̄. βράθυος Γο. δ̄. λαδάνου Γο. ᾱ. μυρσίνης Γο. ᾱ. κολοκύνθης ξηρᾶς. Γο. ᾱ. ἔα βρέχεσθαι ἐν ἀγγείῳ ὑάλῳ ἐπὶ ἡμέρας π̄. κινῶν δὶς τῆς ἡμέρας, σπάθῃ δαδίνῃ. τῇ δὲ ἐπιούσῃ καταβάπτων εἰς τὸ ὑδάτιον καθ' ἕνα χρῶ καθ' ἑκάστην ἡμέραν. Τὸ σπέρμα δὲ τῆς ἀλθαίας ἐν βαλανείῳ σμώμενον, διαφυλάττει τὰς τρίχας καὶ αὔξει. ὁμοίως δὲ καὶ τὸ ἔλαιον ἀλειφόμενον ἐν ᾧ ἡψήθη ἢ συνετέθη αὐτὸ τὸ σπέρμα τῆς ἀλθαίας.

Λεπτυντικὰ τριχῶν.

Συκῆς φύλλων. ἀμπέλου ἀγρίας λευκῆς τὸν φλοιόν. κισσήρεως, ὀστράκων κηρύκων, γῆς κιμωλίας, ἀνὰ μναν μίαν. ταῦτα ἐμβαλὼν εἰς καινὴν ὠμὴν χύτραν, καὶ πηλῷ περιπλάσας ὄπτα ἐν κεραμείῳ. καὶ τρίβε ἐπιβαλὼν ἀφονίτρου μναν S. κηκῖδας ὀμφακίνας λ. καὶ λειώσας. ἐλόμενος χρῶ. Ἄλλο. Ἀφονίτρου μνᾶς ζ. κισσήρεως ὀπτῆς μνᾶς δ. στυπτηρίας σχιστῆς, ἱερᾶς ξηρᾶς, μυρσίνης ἀγρίας μελαίνης, κόμμεως, βρυωνίας ῥίζης, ἀνὰ < . δ. θέρμων ὠμῶν ἀληλεσμένων χ°. τὸ τέταρτον. χρῶ ἀλιπῆσι. Πρὸς ῥευσάσας τρίχας.

Ἀλόην σὺν οἴνῳ μέλανι αὐστηρῷ ἐπίχριε. ἢ πορφύρας πώματα σὺν ἐλαίῳ ἕψε. ἢ σμύρναν καὶ λάδανον σὺν οἴνῳ καὶ μυρσίνῳ. ἢ πυράθους καύσας ἐπ᾽ ὀστράκου λείου. μετ᾽ ἐλαίου ἐπίχριε, προξυρήσας.

Οὐλοποιΐα καὶ βάμματα τριχῶν, ἐκ τῶν κλεοπάτρας οὐλοποιιῶν. β.

Προαποσμηξάμενος τὴν κεφαλὴν, σπονδυλίου ῥίζῃ χριέσθω τὰς τρίχας μετ᾽ ἀκράτου. Ἄλλο. Ξυρήσας τὴν κεφαλὴν καὶ σμήξας. λαβὼν στροβίλιον νέον, κατάκαυσον ἕως γένηται σποδιός. καὶ ἐμβαλὼν εἰς θυίαν λείου περιεπιχέων μύρον μύρσινον ἄχρι μέλιτος πάχους. καὶ οὕτως ἄλειφε τὴν κεφαλήν. Ἄλλο. Μύρτων καὶ σεύτλου τὸ ἴσον χρῶ μετ᾽ ἐλαίου σμώμενος. Ἄλλο. Κηκῖδας π. ἀδιαντου го. β. χέε θαλάσσῃ ἄχρι μέλιτος πάχους. προσμήξας δὲ τὴν τρίχα οὔρῳ ἢ κονίᾳ, καὶ ἀποκλύσας θερμῷ ὕδατι, χριέσθω τῷ φαρμάκῳ ἐπὶ ἡμέρας δύο. συνέχοντα δὲ αὐτὸ τῇ τρίτῃ ἀποπλύνειν τε, καὶ ξυράναντα ἀλείφειν μυρσίνῳ. τοῦτο, ἁπαλὴν καὶ οὔλην καὶ μέλαιναν ποιεῖ τὴν τρίχα. οὐλοτέρα δὲ ἔσται ἐὰν προξυρήσας χρήσῃ.

Προφυλακτικὰ πολιῶν. καὶ ἕτερα μελαντικά.

Ἐλαίου ὀμφακίνου ℥. γ. νάρδου στάχυος < . α. ὄνυχος ἀρωματικοῦ < . δ. σχοίνου ἄνθους < . δ. ἕψε μετὰ ἐλαίου. καὶ χωρὶς ἔσω. ἀκακίας χυλοῦ го. α. οἴνῳ διαλυθεῖσα καὶ λειανθεῖσα ἐπιμελῶς. ὅταν δὲ τοῦ ἐλαίου τὸ τρίτον ἀπολειφθῇ. τότε δ᾽ ἰθὺ καὶ μίξας τῇ ἀκακίᾳ αὐτὸ εἰς ὑδρίσκην. καὶ χρῶ συγχρίων καθ᾽ ἡμέραν. Ἄλλο. Καρύων χλωρῶν τοῦ φλοιοῦ го. γ. πρίνου ῥίζης го. γ. οἴνου μέλανος ℥. γ. ἕψε εἰς τρίτον, καὶ ἐκθλίψας τὸ γενόμενον. ἀνάδησον ἐπὶ ἐλαίῳ μυρσίνῳ ℥. α. ἡ χρῆσις καθ᾽ ἡμέραν.

Ὕδωρ μελαντικὸν τριχῶν.

Κηκῖδος ℥. α. ῥοῦ βυρσοδεψικοῦ ℥. β. μύρτων μελάνων ℥. β. κύπρου τῶν φύλλων τὸ ἴσον. κιννάβαρις χειροπληθές, μήκωνος καπνέων τὸ ἴσον. ὕδατος λακκαίου ℥. ιβ. προβρέξας πολλὰς ἡμέρας, ἕψε εἰς τρίτον. εἶτα κατάχριε, πρόσμηξας. καὶ ξηρανθείσας τὰς τρίχας κατάχριε κιμωλίας ὀξυβάφῳ ἑνὶ, ἀσβέστου τὸ ἴσον. ταῦτα δὲ χυλῷ τεύτλων ἡψημένων διαλύσαντας ἐπιχρίειν. εἶτα ἐπάνω ἐπιτιθέναι σκέπης χάριν τεύτλου φύλλα. καὶ ὅταν ἱκανῶς διαστῇ, ἀποπλυνέσθω ἐν βαλανείῳ.

Πυῤῥὰς τρίχας βάψαι καὶ ξανθὰς ποιῆσαι.

Λαβὼν σμύρνης μ. α. ἁλὸς ἄνθους μ. α. λείου ἐπιμελῶς. καὶ ποιήσας γλοιοῦ πάχος προσμήξας τὴν κεφαλὴν ἐπίχριε τῷ φαρμάκῳ καὶ ἔα νύκτα καὶ ἡμέραν. καὶ τότε ἀπονίψασθαι κέλευε. Ἄλλο. Θέρμους ὠμοὺς σὺν ὕδατι κατάχριε. Ἄλλο. Λιθαργύρου < . α. κρητικῆς γῆς < . δ. ἀσβέστου < . α. ὕδατι ποιῶν γλοιοῦ πάχος κατάχριε. καὶ προσβαλὼν σεύτλου φύλλα ἐπὶ δύο ἢ τρεῖς ἡμέρας, ἀπόπλυνε.

Τρίχας μέλανας ξανθὰς ποιῆσαι.

Τρύγα οἴνου βαλὼν εἰς γλοιὸν βαλανείου. καὶ ποιήσας πάχος κηρωτῆς, χρίου, ὅταν μέλλεις καθεύδειν. καὶ εἰς τὸ πρωῒ γίνονται. Ἄλλο. κυπρίνου φύλλα βρέξον ἐν χυλῷ στρουθίου, καὶ χρῶ τῷ ἀποβρέγματι. Βαφὴ χρυσοειδής.

Στυπτηρίας < . ς. σανδαράχης < . ς. κρόκου < . β. θάψου ἣν τινὲς οἱ βαφεῖς χρῶνται, ἣν οἱ ῥωμαῖοι ἐρβαρωβίαν καλοῦσι < . η. κονίας πηλοποιητικῆς < . δ. ἕψε κονίαν καὶ θάψον συγκεκομμένην. καὶ ὅταν τὸ ἥμισυ λειφθῇ, ἔκθλιψον τὸ ὑγρόν. καὶ διάλυε τούτῳ στυπτηρίαν καὶ σανδαράχην καὶ κρόκον. εἶτα ἔμβαλε ἐν ἀγγείῳ ὑελίνῳ. ἐπὶ δὲ τῆς χρήσεως κατάχριε προσμήξας. ὅταν δὲ συμπίῃ, ἀπόπλυνε τῷ διὰ τῆς τήλεως καὶ κριθῆς, καὶ κυμίνου. ὕδατι προαλείψας χλιαρῷ ὅσον ἐξαρκεῖ. ἐπιβαλὼν καὶ σάπωνος τὸ αὔταρκες. Ἄλλο. Τρύγα οἴνου κεκαυμένην, καὶ ἔλαιον βαλάνινον ὁμοῦ συμμίξας, ἐπίχριε τὰς τρίχας. Ἄλλο. Σάπωνα γάλλικον σὺν ὕδατι σμάσθω καθ᾽ ἕκαστον βαλανεῖον. Ἄλλο σφόδρα καλόν. ῥοῦ ἐρυθροῦ ℥. α. καὶ κηκίδων λι. α. S. κελυφίου го. β. βοτάνης χρυσιζούσης, ἣν ῥωμαῖοι ῥωβίαν καλοῦσιν го. β. πολυτρίχου δέσμα β. ἀψινθίου δέσμης α. θέρμων λελεπισμένων κχ. β. ὕδατος ℥. ζ.

πάντα βαλὼν εἰς ἀγγεῖον ὑελοῦν, ἔα βρέχεσθαι ἐπὶ ἡμέρας θ´. κινῶν δὶς τῆς ἡμέρας. ἐπὶ δὲ τῆς χρήσεως σειρῶν τὸ αὔταρκες. καὶ τούτῳ ἀπόγονον βρέχων, ἀνάτριβε τὰς τρίχας, καὶ καθ᾽ ὑγράνας, ἔασον συμπιεῖν. ὅταν δὲ ξηρανθῇ ἀπόνιπτε σάπωνι θερμῷ ὕδατι λυθέντι.

Τρίχας λευκὰς ποιῆσαι.

Φλόμου λευκῆς τὸ ἄνθος καύσας, καὶ ὄξει δεύσας, καὶ μίσγε εἰς τὸ σμῆγμα. Ἄλλο. Φλόμου καρπὸν < α´. στυπτηρίας < α´. ῥαφανίνου φλοιοῦ < α´. κόψον καὶ μίξον ταυροκόλλῃ < δ´.

Περὶ τῶν κατὰ τὸ δέρμα τῆς κεφαλῆς παθῶν.

Περὶ πιτυριάσεως. γ´.

Ἡ πιτυρίασις λεπτῶν καὶ πιτυροειδῶν σωμάτων ἐκ τῆς ἐπιφανείας τῆς κεφαλῆς, ἢ καὶ τοῦ ἄλλου σώματός ἐστιν ἀπότηξις χωρὶς ἑλκώσεως. γίνεται δὲ κακοχυμίας ἀνενεχθείσης παρὰ τὴν κεφαλήν. ἢ φλέγματος ἁλμυροῦ, ἢ χολώδους καὶ μελαγχολικοῦ αἵματος. μετὰ τὴν κένωσιν οὖν τοῦ παντὸς σώματος ὡς εἴρηται. χρηστέον ταῖς ὑπογεγραμμέναις δυνάμεσι. κιμωλίαν προβρέξας ὕδατι, μίξον σεύτλου χυλὸν, καὶ κατάχριε, καὶ ἔα ἕως ἀποξηρανθῇ. εἶτα ἀποκλύσας, λείου λιβανωτὸν σὺν οἴνῳ καὶ ἐλαίῳ, καὶ διάχριε. τῇ δὲ ὑστεραίᾳ σταφίδα ἀγρίαν σὺν ἐλαίῳ κατάχριε. Ἄλλο. Νίτρου σφέκλης, μυροβαλάνων, ἀνὰ λι. α´, σταφίδος ἀγρίας λι. α´ S´. τὴν κεφαλὴν σμῆχε οἴνῳ αὐτὸ λύσας. εἰ δὲ τὸ ἄλλο σῶμα κνησμὸν ἔχοι, ξηρόν. πρὸς δὲ τὰς ὑγροτέρας πιτυριάσεις, ἅλμῃ ἀπόκλυζε ἢ θέρμων ἀποζέματι. τοῦτο πεῖραν ἔχον πολλήν.

Ψυδράκια καὶ ἐξανθήματα τῆς κεφαλῆς. Ψυδράκια μέν εἰσι, μικραὶ ὑπεροχαὶ φλυκτίσιν ὅμοιαι, ὑπερέχουσαι τῆς ἐπιφανείας. τὰ δὲ ἐξανθήματα ἐπιπόλαιαι ἑλκώσεις εἰσὶν, ὑπέρυθροι καὶ τραχεῖαι. ἀμφότερα δὲ θεραπεύεται δυνάμεσι ταῖς ὑποτεταγμέναις. λιθαργύρου < δ´. ψιμμυθίου < δ´. στυπτηρίας < β´. πηγάνου φύλλων χλωρῶν < β´. ὄξει καὶ μυρσίνῳ ἐλαίῳ ἐκλειώσας κατάχριε. Ἄλλο. Πήγανον καὶ στυπτηρίαν λειώσας μετὰ μέλιτος, χρίε προξυρήσας τὴν κεφαλήν. ἐὰν δὲ ἀφίσταται τῆς κεφαλῆς τὸ δέρμα, ἐλαίας φύλλα ἑφθὰ μετὰ μέλιτος κατάπλασσε. Ἄλλο. Λιθαργύρου, ψιμμυθίου ἀνὰ γο. ιβ´. θείου ἀπύρου < η´. κηρωτῇ μυρσίνῃ ἀναλάμβανε.

Τὰ ἐν τῇ κεφαλῇ ἑλκύδρια πυκνὰ καὶ ἐρυθρὰ μικραῖς παραπλήσια θηλαῖς ἀφ᾽ ὧν ἰχῶρες ἀποτήκονται.

Προξυρήσας τὴν κεφαλὴν καὶ ὕδατι καὶ νίτρῳ περιαποσμήξας, θείῳ ἀπύρῳ μετὰ οὔρου ἀνθρώπου λείῳ χρῶ. ἢ μελαντηρίαν σὺν ὄξει κατάχριε.

Περὶ ἀχώρων καὶ κηρίων.

Ἕν τι τῶν ἐν τῷ δέρματι τῆς κεφαλῆς γιγνομένων παθῶν ἐστιν ὁ καλούμενος ἀχώρ. λεπτοῖς πάνυ τρήμασι τὸ δέρμα κατατιτρῶν, δι᾽ ὧν ἰχὼρ ἀποδίδοται γλίσχρος. ὅμοιον δὲ αὐτῷ πάθος κατὰ τὴν ἰδέαν ἐστὶν, ὃ καλοῦσι κηρίον. ἐπειδὴ τὰς κατατρήσεις ἔχει μείζονας, ὑγρότητος μελιτώδους περιεκτικάς, παραπλησίως τοῖς τῶν μελιττῶν κηρίοις. ἡ γένεσις δὲ αὐτοῖς ἐκ νιτρώδους καὶ ἁλμυροῦ φλέγματός ἐστι. διαιτάσθωσαν τοίνυν εὐχύμῳ τροφῇ, παντὸς δριμέος καὶ ἁλμυροῦ ἀπεχόμενοι. καὶ μάλιστα εἰ φλεγμονῶδες εἴη τὸ πάθος. καὶ μετὰ τὴν προσήκουσαν τοῦ περιττεύοντος κένωσιν, ξυρήσας τὰς τρίχας πυρία δὶς, ἢ καὶ τρὶς, ἢ καὶ πλεονάκις, ὕδατι θερμῷ. ἐναφεψημένης μυρσίνης ἢ βάτου ἢ φακοῦ, ἢ πικρῶν θέρμων, ἢ ἀσπαράγου ῥίζης. ὅταν δὲ πλείονες ἰχῶρες ῥέωσι κατάπλασσε φύλλοις ἰτέας μεθ᾽ ὕδατος ἢ φακῷ. χρίσματα δὲ κιμωλία γῆ, ἢ κρητική, ἢ σαμία, ἢ πομφόλυξ, ἢ σπόδιον, ἢ λιθάργυρος, ἢ καδμία, ἢ χάρτης κεκαυμένος, ἢ καὶ τὸ διὰ τοῦ χάρτου ξηρίον. ἅπαντα δι᾽ ὄξους. σμήγματι δὲ χρηστέον τῷ διὰ θείου καὶ περδικιάδος βοτάνης καὶ σάπωνος τὸ ἴσον. σύνθετα δὲ ταῦτα. λιθαργύρου < ις´, πηγάνου φύλλων < η´. σταφίδος ἀγρίας < δ´. χαλκάνθου < β´. ὄξει καὶ μυρσίνῃ γλοιώδες ποιήσας ἐπίχριε. Ἄλλο. Σανδαράχης < δ´. σμύρνης < δ´. θείου ἀπύρου < β´. μάννης < δ´. σὺν ἐλαίῳ παλαιῷ κατάχριε.

Πρὸς ἀχῶρας.

Τοὺς ἰχωροῦντας ἕλκυσμα, ἢ μολύβδαιναν λειώσας, ἔμπλασσε. Ἄλλο. Πρὸς ἀχῶρας καὶ τὰς διύγρους ψώρας. ῥοδοδάφνης τῶν ῥόδων γο. δ´. θείου ἀπύρου γο. δ´. πίσσης ὑγρᾶς γο. γ´. πίσσης ξηρᾶς γο. γ´. κηροῦ γο. ς´. ἐλαίου μυρσινάτου τὸ ἀρκοῦν. ἐπὶ δὲ τῶν παιδίων γάλακτι ἐκλύσας κατάχριε.

Περὶ σύκων.

Σῦκα ὀνομάζουσι, βλαστήματα ἑλκώδη στρογγύλα ὑπόσκληρα ἐνερευθῆ. οἷς ἀκολουθεῖ καὶ ὀδύνη. φύεται δὲ ταῦτα τὸ μὲν πλεῖστον ἐν κεφαλῇ. κἂν τῷ δὲ ἄλλῳ σώματι. ἄριστον ἐπὶ τούτων φάρμακον στυπτηρία σχιστή, καὶ χαλκοῦ ἄνθος ὀπτόν, καὶ ταυρόκολλα, ἴσα. μετὰ λεπίδος χαλκοῦ διπλασίας. τρίβων δὲ μετ᾽ ὄξους κατάχριε. ἀγαθαὶ δὲ καὶ τῶν μαινίδων αἱ κεφαλαὶ κεκαυμέναι, καὶ βολβοὶ ἑφθοί, καὶ τέφρα μετ᾽ ὄξους μιχθεῖσα.

Πρὸς τὰ περὶ τῆς κεφαλῆς καὶ τοῦ γενείου συκώδη ἐξανθήματα ξυράφιον.

Μίσυος < .α. S. χαλκίτεως < .β. S. λεπίδος χαλκοῦ < .α. στυπτηρίας σχιστῆς < .α. λουσαμένῳ ἐπιτίθει δαψιλὲς τὸ ξηρίον, καὶ ἔα. τῇ δὲ ἑξῆς πάλιν λουσαμένου ἀποσπογγίσας περιτίθει. πίπτει γὰρ ἐφελκὶς παχυτάτη, καὶ πάλιν ταῖς ἑξῆς αὐτὸ ποιεῖν, χωρὶς οὐλῆς ὀλίγαις ἡμέραις ἀφυγιάζει. ἅπτεται δὲ οὐ μικρῶς τὸ φάρμακον.

Πρὸς φθεῖρας τὰς ἐν τῇ κεφαλῇ.

Θέρμων ἀποβρέγματι καθεψημένων, ἐν ὕδατι σμᾶσθαι κέλευε, ἢ σταφίδα ἀγρίαν, ἢ σανδαράχην, καὶ ἄμφω λειώσας, μετὰ ἐλαίου παλαιοῦ ἢ ὄξους ἐπίχριε, ἢ πεπέρεως ὀλίγου ὥστε μὴ ἑλκῶσαι σὺν ἐλαίῳ, ἢ κισσοῦ χυλῷ σὺν μέλιτι, ἢ συνωπίδι μετ᾽ ὄξους, ἢ κεδρίᾳ ὑγρᾷ πίσσῃ μετὰ στυπτηρίας, ἢ δαφνίδων πιέσματι, ἢ ἐλαίῳ ῥαφανίνῳ. ἐγὼ δὲ τὴν ἀγρίαν σταφίδα σὺν ὄξει καὶ ἐλαίῳ λειώσας καὶ χρίσας, ἀεὶ ἐπέτυχον.

Περὶ κεφαλαλγίας. δʹ.

Ἡ κεφαλαλγία τῶν χαλεπωτάτων οὖσα συμπτωμάτων, ποτὲ μὲν ὑπὸ ποιότητι δυσκράτῳ μόνου γίνεται, ποτὲ δὲ καὶ διὰ χυμῶν περιουσίαν, ἄλλοτε δὲ καὶ διὰ τὸ συναμφότερον. ἔσθ᾽ ὅτε δὲ καὶ διὰ προκαταρκτικὴν αἰτίαν, οἷον ἔγκαυσιν ἔξωθεν, ἢ ψύξιν, ἢ μέθην, ἢ πληγήν. σφοδρόταται μὲν οὖν αἱ κεφαλαλγίαι κατὰ τὰς δραστικὰς γίνονται ποιότητας, καὶ μάλιστα τὴν θερμήν. αἱ δὲ διὰ ξηρότητα, τὸ σφοδρὸν οὐχ ὁμοίως ἔχουσιν. ἡ δὲ ὑγρὰ ποιότης, παντάπασιν ἐστὶν ἀνώδυνος ὅσον ἐφ᾽ ἑαυτῇ, πλὴν εἰ μὴ μετὰ θέρμης ψύξεως, ἢ πλῆθος χυμῶν οὖσα τύχοι. περὶ μὲν οὖν τῆς ὑπὸ πυρετῶν γινομένης κεφαλαλγίας, ἐν τῷ πρὸ τοῦδε περὶ πυρετῶν γράμματι λέλεκται. περὶ δὲ τῶν ἄλλων νῦν λέγωμεν.

Περὶ τῶν ἀπὸ ἐγκαύσεως.

Τῶν ὑπὸ ἐγκαύσεως κεφαλαλγούντων, καὶ τὸ δέρμα θερμὸν τῇ ἁφῇ, καὶ ξηρότερον εὐθὺς φαίνεται κατὰ τὴν πρώτην ὑποβολήν, καὶ τοὺς ὀφθαλμοὺς ἐρυθροὺς ἴσχουσι. χαίρουσι δὲ καὶ τοῖς ψυχροῖς προσαντλήμασί τε καὶ ἀλείμμασι, καὶ ὠφελοῦνταί γε πρὸς αὐτῶν. ἡ δὲ θεραπεία τούτοις, ἁρμόσει μὲν καὶ περὶ τῶν ὑπὸ πυρετῶν κεφαλαλγούντων εἰρημένη. χρονιζούσης δὲ τῆς κεφαλαλγίας, χρηστέον τοῖς ὑπογεγραμμένοις καταπλάσμασιν. ἁρμόζει μετώπῳ καὶ κροτάφοις προσαγόμενα. ἄρτος δι᾽ ὀξυκράτου καὶ ῥοδίνου, ἔσθ᾽ ὅτε σὺν ἀμυγδάλοις, ἢ ῥόδοις, ἢ τοῖς ξηροῖς, ἢ ἁπαλοῖς, ἢ σὺν ἡδυόσμῳ μετὰ γλήχωνος μεμιγμένων, ἢ ἄρτος μετὰ περσικοῦ φύλλων. ποιεῖ καὶ ὤκιμον λεῖον σὺν ὄξει καὶ ῥοδίνῳ. ἢ κισσοῦ κόρυμβοι ἑφθοὶ ἐν ὄξει. συλλεανθὲν δὲ ῥοδίνῳ, ἢ ἑρπύλλου δι᾽ ὕδατος ἀφεψήματι μίσγειν πίτυινον ἄλευρον, ἢ καρδάμωμον φρυγὲν καὶ λεανθὲν ὄξει καὶ ῥοδίνῳ, ἢ ζύμη μετὰ ῥοδίνου, ἢ ἶρις ξηρὰ μετ᾽ ὄξους. συνεχῶς δὲ ἀλλασσέσθω ἕκαστον αὐτῶν. ἀπρακτεῖ γὰρ χρονίσαντα.

Τροχίσκοι πρὸς κεφαλαλγίαν ὑπὸ θερμῆς δυσκρασίας.

Κρόκου < .ε. χαλκάνθου < .ι. στυπτηρίας < .ις. σμύρνης < .ζ. ὀμφακίου < .γ. χαλκίτεως < .γ. κόμμεως < .γ. οἴνου αὐστηροῦ τὸ ἀρκοῦν, χρῶ σὺν ὀξυκράτῳ. εἰ δὲ καὶ ἀγρυπνία προσείη, καὶ τῶν ὑπνωτικῶν τι προσπλέκε.

Περὶ τῶν ἀπὸ ψυχρᾶς δυσκρασίας κεφαλαλγούντων.

Τοῖς ὑπὸ ἐγκαύσεως κεφαλαλγοῦσιν, ὑπεναντίως ἔχει ταῦτα σημεῖα τῶν ἀπὸ ψύξεως. καὶ γὰρ ἀσύμπτωτον καὶ ἄχροον ἐστὶν αὐτῶν τὸ πρόσωπον, καὶ τοῖς ψυχροῖς οὔτε χαίρουσιν οὔτε πρὸς αὐτῶν ὠφελοῦνται. βεβαιοῦσθαι δὲ καὶ τούτων ἥ τε δίαιτα καὶ τὰ λοιπὰ σύστοιχα τὴν διάγνωσιν. ἀλοιφὴ μὲν οὖν ἔστω πηγανίνη, δάφνινον, ἢ ἴρινον, ἢ νάρδινον, ἢ καὶ τοῦ βαλσάμου ὁ ὀπός. καὶ μάλιστα εἰ καὶ παχύτερα καὶ γλίσχρα περιττώματα εἴη. δεῖ δὲ χρίειν αὐτὸν κατὰ τοῦ μετώπου, καὶ τούτου, καὶ ὅσα διὰ πεπέρεώς τε καὶ εὐφορβίου σκευάζεται. διδόναι δὲ καὶ οἶνον λεπτομερῆ, καὶ κινήσει κεχρῆσθαι κελεύειν, καὶ λουτροῖς θερμοῖς, καί ποτε καὶ τὸ ἀπὸ ῥαφανίδων ἐμέτω. ἐφ᾽ ὧν δὲ ποιότης ἐστὶν ἄνευ πλήθους χρονίζουσα, κέχρησο καὶ τῷδε τῷ φαρμάκῳ. πεπέρεως λευκοῦ < .β. κρομμυομάγματος < .β. εὐφορβίου προσφάτου < .η. S. κόπρου περιστερᾶς < .α. S. ὄξους δριμυτάτου τὸ ἀρκοῦν, ἐπίχριε τὸ πάχος μύρου προανατρίβων τὸν τόπον.

Περὶ τῶν ὑπὸ χολώδους χυμοῦ κεφαλαλγούντων.

Τὰ μὲν σημεῖα παραπλήσια τοῖς ἐπ᾽ ἐγκαύσεως. προσέρχεται δὲ αὐτοῖς δῆξίς τε πλείων, καὶ ὠχρότης προσώπου, καί ποτε καὶ τοῦ στόματος ἐκπίκρωσις. ἡλικίαις δὲ μᾶλλον ἀκμαστικαῖς καὶ κράσεσι θερμοτέραις, καὶ βίῳ φροντιστικῷ, καὶ τοῖς χολὴν συνάγουσι ξανθήν, τοῦτο τὸ πάθος εἴωθε συμβαίνειν. λουτροῖς τε οὖν εὐκράτοις ὑπὸ τούτων, καὶ ἀλείμμασιν, καὶ ὑδαρεῖ πόματι χρηστέον. καὶ ἡ σύμπασα δίαιτα ὑγροτέρα τε καὶ εὔχυμος παραλαμβανέσθω. κενωτέον δὲ τὸν χολώδη χυμὸν

ἀψινθίας ἀποβρέγματι, ἢ διὰ τῆς ἀλόης, καὶ αὐτῆς τῆς πικρᾶς αὐτοδιδότου καθ' ἑαυτήν, ἢ καὶ σὺν ὀλίγῃ σκαμμωνίᾳ, διὰ τῶν διὰ τῆς ἀλόης καταποτίων. ἐπιχρηστέον δὲ τὸ μέτωπον ἢ διὰ κροκώδους τροχίσκου, ἢ διὰ τριγώνου, ἢ τινι τῶν παραπλησίων.

Περὶ τῆς κατὰ συμπάθειαν κεφαλαλγίας.

Εἰ δ' ὅλῳ τῷ σώματι συμπάσχοι ἡ κεφαλή, τούτου προνοητέον, πρός τε τὴν δυσκρασίαν καὶ πρὸς τὴν κρατοῦσαν ὕλην ἐνισταμένους. καὶ εἰ μὲν εἴη πλῆθος, καὶ μάλιστα κατὰ τὰς φλέβας, φλεβοτομητέον. εἰ δὲ μᾶλλον ποιότης, καθαρτικῷ χρησόμεθα φαρμάκῳ. εἰ δὲ μορίῳ συμπάσχοι, οἷον ἥπατι ἢ γαστρὶ ἢ στομάχῳ, τούτοις βοηθητέον. θερμῆς μὲν γὰρ αὐτοῖς ὑποκειμένης δυσκρασίας, ἄρτον ἐξ ὑδαροῦς οἴνου παρέχοντα, ἢ καὶ τὰ διὰ χόνδρων ῥοφήματα. καὶ τὰς ἔξωθεν μετρίως ἐμψυχούσας τε καὶ στυφούσας ἐπιβροχάς, ὡς ἔμπροσθεν εἴρηται. εἰ δὲ διὰ γλίσχρους τε καὶ παχεῖς χυμοὺς ἐν τῷ στομάχῳ περιεχομένους κεφαλαλγοῖεν, καὶ τούτους ἐκμοχλεύσομεν, ὀξύμελι πίνειν παρέχοντες, τό, τε ἁπλοῦν καὶ τὸ ἰουλιανόν. καὶ τοῖς διὰ ὑσσώπου τε καὶ ὀριγάνου, καὶ τούτων ἔτι θερμοτέροις τε καὶ τμητικωτέροις, καὶ τῷ ἀπὸ ῥαφανίδων ἐμέτῳ χρηστέον. ἐπιβροχαῖς τε θερμοτέραις καὶ καταπλάσμασιν.

Περὶ τῆς ἐξ οἴνου κεφαλαλγίας.

Εἰ μὲν ἄπεπτος ὁ οἶνος ἔτι μένοι, κελεύειν ἐμεῖν ὕδωρ πεπωκότας χλιαρόν. εἰ δὲ καὶ μετὰ πέψιν κεφαλαλγοῖεν. τοῖς ἐμψύχουσι καὶ ἀποκρουστικοῖς χρησόμεθα, οἷόν ἐστι τὸ ῥόδινον, καθ' ἑαυτό τε καὶ σὺν ὄξει, ἢ χυλῷ κισσοῦ, ἢ κράμβης. καὶ αὐτὰ δὲ τὰ φύλλα τῆς κράμβης ἀποβραχέντα θερμῷ, καὶ περιτεθέντα τὴν κεφαλὴν καὶ δεθέντα, φυσικῶς ἀντιπάσχει τῇ μέθῃ. δεῖ δὲ καὶ ἐσθίειν ἀποζεσθεῖσαν τὴν κράμβην, καὶ ἡ φακὴ τούτους ὀνίνησιν, καὶ μάλιστα τοὺς ὑγροτέραν ἔχοντας τὴν γαστέρα. καὶ ἅλικα δέ, καὶ ῥοιάς, καὶ μῆλα, καὶ ἀπίους ἐσθιέτωσαν, καὶ ὑδροποτείτωσαν.

Περὶ τῆς διὰ πληγήν.

Τοὺς δὲ διὰ πληγὴν κεφαλαλγοῦντας, εἰ μὴ παντάπασιν ἐπιπολέως ἐπλήγησαν, φλεβοτομήσωμεν αὐτίκα, καὶ ταῖς καταλλήλοις ἐμβροχαῖς ἐν τῇ κεφαλῇ χρησώμεθα, ἐλαίῳ τε γλυκεῖ διαβρέχοντες, ἐρίοις τε περισκέποντες αὐτήν, οἴνου τε τούτους καὶ σιτίων ἁδροτέρων ἀπέχοντες, καὶ μάλιστα εἰ πυρέττοιεν. καὶ τὸ σύμπαν ὡς πρὸς φλεγμονὴν τῶν νευρωδῶν, καὶ μάλιστα τῶν μηνίγγων ἁρμοσώμεθα. εἰ δὲ καὶ τραῦμα γεγονὸς εἴη, καὶ τοῦτο προσηκόντως θεραπεύσωμεν.

Μάλαγμα πρὸς κεφαλαλγίαν.

Κηροῦ < .ζ̄. ἀμυγδαλίνου ἐλαίου ℥ .γ̄. τερεβινθίνης < .η̄. ἰοῦ ξυστοῦ, κιμωλίας, χαλκίτεως, ἀνὰ < .δ̄. κισσήρεως < .γ̄. χαλκοῦ κεκαυμένου, λεπίδος στομώματος ἀνὰ < .β̄. ἐὰν δὲ δοκεῖ σκληρότερον εἶναι, ἀμυγδαλίνῳ ἀναμάλασσε.

Περὶ κεφαλαλγίας καὶ ἡμικρανίας. ε.

Τούτων τῶν παθῶν ἑκάτερον, παραμόνιμός ἐστιν τῆς κεφαλῆς ὀδύνη, παροξυνομένη ἐπί τε ψόφοις καὶ κραυγαῖς καὶ λαμπρῷ φωτὶ καὶ οἰνοποσίᾳ, καὶ τοῖς πληροῦσι τὴν κεφαλὴν ὀσφραντοῖς. δοκοῦσί τε πλήττεσθαι τὴν κεφαλήν, οἱ μὲν ἅπασαν, οἱ δὲ κατὰ θάτερον μέρος, οὓς καὶ ἡμικρανικοὺς ὀνομάζουσιν. καὶ οἷς μὲν ἡ διάθεσις ἔνδον ὑπάρχει τοῦ κρανίου, ὁ πόνος εἰς τὰς τῶν ὀφθαλμῶν ῥίζας διήκει. οἱ δὲ ἔξωθεν, περὶ αὐτὸ τὸ κρανίον ὀδυνῶνται. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα, πλῆθος δηλοῖ. τὰ δὲ μετὰ δήξεως, ἢ χυμῶν ἢ ἀτμῶν δριμύτητα. τὰ δὲ μετὰ σφυγμῶν, φλεγμονήν. τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ, πνεύματος λεπτοῦ καὶ φυσώδους πλῆθος. εἰ δὲ μετὰ σφυγμοῦ, φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἰσχόμενον. εἰ δὲ λεπτοὺς καὶ σαπεὶς ὁ χυμὸς θερμότερος γένηται, καὶ σὺν πυρετῷ κεφαλαλγοῦσι. πυρέττουσι δὲ τοὐπίπαν καὶ οἱ διὰ φλεγμονὴν ὀδυνώμενοι. πληθωρικοῦ τοίνυν τοῦ παντὸς ὑπάρχοντος σώματος, τὴν φλέβα τέμνειν, ἀφορῶντας τῇ δυνάμει, καὶ κλύσμασι χρῆσθαι δριμυτέροις. εἰ δὲ καὶ πλεονάζειν ἔτι τὸ αἷμα φαίνοιτο, καὶ διὰ ῥινῶν, ἀναστομώσαντας φλέβα, κενωτέον αὐτοῦ ὅσον αὐταρκὲς εἶναι δόξει. εἶτα τὴν ἱερὰν ὀξώσαντας δοτέον, κἄπειτα χρηστέον τοῖς ἀποφλεγματισμοῖς. καὶ ταῖς διὰ τῶν ῥινῶν κενώσεσιν διὰ τῶν ἐρρίνων, οἷόν ἐστιν τοῦ ἐλατηρίου ὁ χυλὸς μετὰ γάλακτος ἐγχεόμενος. ἤγουν καὶ ξηρὸν τὸ ἐλατήριον ἐμφυσώμενον, καὶ τῆς κυκλαμίνου ὁ χυλός, καὶ τοῦ πράσου. σύνθετα δὲ ταῦτα.

Ἔρρινον πρός τε χρονίας κεφαλαλγίας καὶ ὀφθαλμίας καὶ πρὸς ἐπιληπτικούς.

Μελανθίου < .η̄. ἅλος ἀμμωνιακοῦ < .δ̄. ἐλατηρίου < .δ̄. τρίψας ἀναλάμβανε σικυωνίῳ ἐλαίῳ, ἢ ἰρίνῳ ἢ κυπρίνῳ, ὥστε κηρωτῆς ἔχειν πάχος, καὶ παράπτου τῶν μυκτήρων.

Ἔρρινον ἐμφυσητόν.

Κυκλαμίνου ξηρᾶς < .η̄. νίτρου ἐρυθροῦ < .δ̄. ἐὰν δὲ ἀντὶ νίτρου ἐλατήριον ἐμβάλλοις, ἔτι βέλτιον.

βέλτιον. ἐμφύσα διὰ καλαμίσκου. κέχρησο δὲ καὶ ἐπιθέμασι κατὰ τῆς κεφαλῆς, καὶ χρίσμασιν ἐπὶ τῶν χρονιωτέρων τοῖσδε.

Ἐπίθεμα πρὸς κεφαλαίας.

Ἰρίνου μύρου, πολυκνήμου, κασορίου ἀνὰ < . α. δαφνίδων < . β. πηγάνου ἀκραιμόνων < . δ. ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ καὶ ξυρήσας τὴν κεφαλὴν ἐπιτίθει καθόλης αὐτοῦ. γυνὴ δέ τις ἐπὶ τῶν ἡμικρανικῶν καὶ τούτῳ χρωμένη θαυμασίως ηὐδοκίμει. τὴν ῥίζαν τοῦ ἀγρίου σικύου χλωρὰν εἰς λεπτὰ κατακόπτουσα, καὶ ἀψινθίαν ἧψει ἐν ὑδρελαίῳ ἕως τακηρώσεως. καὶ πρὸ μὲν ὑδρελαίῳ θερμῷ μετρίως κατεώνει τὸ πεπονθὸς μόριον. τὴν δὲ ῥίζαν καὶ τὴν ἀψινθίαν τρίβουσα λεῖα, κατέπλαττεν αὐτό. καὶ τούτῳ μόνῳ τούς τε σὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ ἡμικρανικοὺς ἐθεράπευσεν. ἐὰν δὲ παροξυσμὸς ἐπιγένηται μέγιστος, ὡς μὴ δύνασθαι φέρειν τὴν ὀδύνην, κέχρησο καὶ τοῖς παρηγορεῖν, καὶ μετασυγκρίνειν δυναμένοις, οἷον τοῖσδε.

Χρίσμα πρὸς κεφαλαίαν.

Ὀποῦ πολυκνήμου < . ις. ὀποῦ μήκωνος, ἀνήσου, ὑοσκυάμου, κρόκου, σμύρνης, σκαμμωνίας ἀνὰ < . β. ὄξει ἀναλάμβανε καὶ ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρείας, σὺν ὄξει ἢ ὀξυκράτῳ κατάχριε τοὺς διὰ παχεῖς χυμοὺς ἢ πνεύματα φυσώδη ὀδυνωμένους. καὶ δρώπακι δὲ καὶ σιναπισμῷ χρηστέον. καὶ πρὸ διὰ θαψίας τροχίσκῳ. καὶ τὸ διὰ τοῦ γραφικοῦ δὲ μέλανος, τοῦ πάνυ θαυμαζομένου ἐπὶ τῆς αὐτῆς αἰτίας ἐστίν. ᾧ χρηστέον ἐπὶ τούτοις, ὡς ἐν τῷ περὶ συνθέτων εἰρήσεται.

Καὶ τόδε δὲ θαυμαστόν, πρὸς τοὺς διὰ παχὺν καὶ γλίσχρον χυμὸν ἡμικρανικούς. εὐφορβίου μ. α. καὶ κασορίου τὸ ἴσον ἀναλαβὼν ὕδατι, ἐντίθει εἰς τὸ οὖς τὸ κατὰ τὸ ἀλγοῦν μέρος, καὶ εἰς τὸ βαλανεῖον εἰσιέναι κέλευε, καὶ ὀλίγον διατρίψαντος, οὕτω λαμβάνειν αὐτό, καὶ λούεσθαι συνήθως. οὕτω μὲν πεπείραται. οὐκ ἄτοπον δὲ καὶ εἰς ἔλαιον αὐτὰ ἀναλαβόντα ἐνστάζειν εἰς τὸ οὖς. καὶ ἡ εἰς ἰσχιαδικοὺς ἀναγραφομένη. καὶ τοὺς χρονίως κεφαλαλγοῦντας καὶ ἡμικρανικούς, τέλεον ἀποπαύει.

Πρὸς ἡμικρανίαν χρονίαν.

Σκόρδων < . δ. κηροῦ < . β. ὀξυγγίου παλαιοῦ < . β. κανθαρίδων < . β. ἐπὶ ὀρὰς ἐμπλάσας, ἔασον ἐννυκτερεῦσαι. ἕωθεν δὲ ῥήξας τὴν φλύκταιναν, πανύγρῳ ἀεὶ θεράπευε. Ἄλλο.

Δαφνίδων λελεπισμένων < . β. πηγάνου φύλλων < . β. νάπυος < . α. ὕδατι δεύσας κατάπλασσε. τοῖς δὲ ὑπὸ ψυχρῶν αἰτίων ἐνοχλουμένοις ὠφελιμώτατόν ἐστιν, ὥς τε πολλάκις ἅπαξ καταχρισθὲν πρὸ βαλανείου, ταχέως ἐξιᾶσθαι τὸ πάθος, ὥς τε μετὰ λουτρὸν ὑγιὲς γενέσθαι παντελῶς. ἄλλο. ἐλαίου σαβίνου λι. α. κηροῦ ℥. γ. εὐφορβίου ℥. α. τούτῳ κατάχριε τὸ ἥμισυ μέρος τοῦ μετώπου μετὰ τοῦ κροταφίτου δηλονότι μυός. ἐφ᾽ ὧν δὲ μὴ πολὺ ψῦξις ἐστίν. κικίδος καὶ κροκομάγματος τὸ ἴσον οἴνῳ ἐκλειώσας, κατάχριε. τοῖς δὲ ὑπὸ θερμῶν ἀτμῶν ἢ χυμῶν κεφαλαλγοῦσι, μὴ πρόσφερε τὰ διὰ εὐφορβίου.

Ἀποφλεγματισμὸς κεφαλαίας καὶ ἡμικρανίας.

Νάπυος ἐκλελειωμένου, καὶ κεχυλισμένου, ὄξει καὶ μέλιτι ℥. ιδ. σταφίδος ἀγρίας < . δ. πυρέθρου < . δ. κόψας σήσας μίξας ἐν ἡλίῳ κογχυλίαζε. εἰ δὲ διὰ χολώδη χυμόν, ἢ τινὰ δυσκρασίαν ἡ κεφαλαία χρονίζοι, τοῖς ἔμπροσθεν ἐν τῷ περὶ κεφαλαλγίας εἰρημένοις χρηστέον. ἐπιμενούσης δὲ καὶ μετὰ ταῦτα τῆς ἀλγηδόνος, καὶ μήτε σικυῶν μήτε βδελλῶν παραλειφθεισῶν, ὑποπιαζομένης δὲ διὰ τῶν ἀρτηριῶν τῆς ἀναδόσεως. οὐδὲν ἄτοπον καὶ τῇ ὄπισθεν τῶν ὤτων ἀρτηριοτομίᾳ χρήσασθαι. ἐπὶ δὲ τῶν ὑγροτέρων, καὶ αὐτοφυῆ λουτρὰ καλῶς ἂν παραληφθείη. Ἄλλο. Πρὸς ἡμικρανίαν. εὐφορβίου, γῆς ἐντέρων μετ᾽ ὄξους ἀναλαβών, τὸ ὀδυνώμενον μέρος ἐπίχριε, ἢ καθ᾽ ὅλου τοῦ μετώπου.

Περὶ φρενίτιδος. ς.

Ἡ φρενῖτις φλεγμονὴ τῶν μηνίγγων ἐστίν. ὅτε μὲν καὶ αὐτοῦ τοῦ ἐγκεφάλου συμφλεγμαίνοντος. ὅτε δὲ παρὰ φύσιν θερμασίας συστάσης ἐν αὐτῷ. αἴτιον δὲ τοῦ νοσήματος, ἢ τὸ αἷμα πλεονάσαν, ἢ ξανθοχολικὸς χυμός. ποτὲ δὲ καὶ ἡ ξανθὴ χολὴ ὑπεροπτηθεῖσα, καὶ εἰς τὴν μέλαιναν μεταπεσοῦσα, ὅτε καὶ χαλεπωτάτη ἡ φρενῖτις γίνεται. ἔστιν ὅτε καὶ τῷ διαφράγματι συμπάσχων ὁ ἐγκέφαλος, διὰ τῶν καταπεφραγμένων ἐν αὐτῷ νεύρων, τὸ πάθος ὑπομένει. ἡ δὲ κατὰ τὰς ἀκμὰς τῶν διακαεστάτων πυρετῶν, ἤτε κατὰ συμπάθειαν τοῦ στομάχου συνισταμένη παρακοπὴ οὐδὲ φρενῖτίς ἐστιν. ἀλλ᾽ αὐτὸ δὴ μόνον παραφροσύνη. παρέπεται δὲ τοῖς κυρίως φρενιτικοῖς, ἀγρυπνία μὲν ὡς ἐπίπαν, ἔσθ᾽ ὅτε δὲ καὶ ταραχώδεις ὕπνοι, ὡς ἐξανίστασθαι καὶ ἀναπηδᾶν καὶ βοᾶν παρακοπτικῶς. τοὺς μὲν διὰ αἱματικὸν χυμόν, μετὰ γέλωτος. τοὺς δὲ διὰ τὴν ξανθὴν χολήν, μετὰ θράσους. ὥσπερ οὖν τοὺς διὰ τὴν μέλαιναν, μανιωδῶς τε καὶ ἀκαταχέτως. ἐπιλανθάνονται τε τῶν λεγομένων τε καὶ γινομένων ὑπ᾽ αὐτῶν, καὶ τοὺς ὀφθαλμοὺς αἱματώδεις ἴσχουσιν. καὶ ἀναξηραίνουσι, ποτὲ μὲν αὐχμῶντας,

ποτὲ δὲ καὶ δακρύοντας ἢ λημῶντας. καὶ ἡ γλῶττα τραχύνεται. καὶ ἐκ τῆς ῥινὸς αἵματος ἀποστάξεις γίνονται. καὶ κροκυδίζουσιν. καὶ καρφολογοῦσι. καὶ πυρέττουσιν ὀξέως παρ' ὅλον τὸν νοσήματος τὸν χρόνον. ἐν βάθει κακοήθως ἐμφωλεύοντος τοῦ πυρετοῦ. καὶ τοὺς σφυγμοὺς μικροὺς καὶ ἀμυδροὺς ἴσχουσι μετά τινος καὶ σκληρότητος. καὶ ἡ ἀναπνοὴ μεγάλη τέ ἐστι καὶ ἀραιά, τοῦ ἐγκεφάλου πρωτοπαθοῦντος. εἰ δὲ κατὰ συμπάθειαν τῶν φρενῶν ἡ φρενῖτις γίγνοιτο, ἥ τε ἀναπνοὴ ἀνώμαλός ἐστιν, καὶ τὰ ὑποχόνδρια ἀνασπᾶται, καὶ θερμασίαν ἱκανὴν ἴσχουσιν. ὥσπερ αὖ τοῖς διὰ τὸν ἐγκέφαλον, τὰ περὶ τὸ πρόσωπον θερμά, καὶ ὕφαιμα, καὶ πλήρεις τὰς φλέβας ἔχοντα. εἰ δὲ καὶ φλεγματικὸς χυμὸς ἀναμιχθείη τῷ χολώδει, καθάπερ τὴν αἰτίαν, οὕτω καὶ τὴν ὀνομασίαν κέκτηται σύνθετον. ἄγρυπνον γὰρ κῶμα προσαγορεύεται. καθόλου μὲν χολώδους κατακρατοῦντος χυμοῦ. φρενιτίζουσι γὰρ οἱ τοιοῦτοι ἀγρυπνοῦντες. τοῦ δ' αὖ φλεγματώδους. κωματωδῶς αὖθις καταφέρονται, οἱ δὲ παλαιότεροι τοῦ Γαληνοῦ, κάτοχον τοῦτο προσηγόρευον.

Θεραπεία φρενίτιδος.

Εἴπερ ἡ δύναμις ἐπιτρέπει φλεβοτομεῖν, ἀπ' ἀγκῶνος αὐτίκα καὶ συχνὸν ἀφαιρεῖν. εἰ δὲ παραφρονῶν ὁ κάμνων μὴ ἐπιδιδῷ τὴν χεῖρα, ἢ κἂν ἐπιδιδῷ δέος αἱμορραγίας εἴη μετὰ τὴν κένωσιν, σπαραττομένης πολλάκις τῆς χειρὸς ἐκ τοῦ παρακοπτικῶς ταράττεσθαι τὸν κάμνοντα. τὴν ἐν τῷ μετώπῳ τέμνοντες ὀρθίαν φλέβα, πρὸς ἅπαξ αὐτάρκως ἀφέλωμεν. κλύσμασί τε χρησόμεθα. καὶ τοῖς δι' ἐλαίου ἢ ῥοδίνου σὺν τῷ χυλῷ τῆς πτισάνης, ἐνέμασιν. ἀγρυπνίας δὲ κρατούσης. ῥοδίνῳ ἢ καὶ ὀξυροδίνῳ τὴν κεφαλὴν ἀλείψομεν. ἔστιν ὅτε θερμῷ προκαταντλοῦντες αὐτὴν ὕδατι. καὶ τὰ διὰ κωδυῶν φάρμακα δώσομεν, εἰ μὴ ἡ δύναμις ἀσθενοῦσα κωλύει. καὶ ἕτερα δὲ πρὸς ἀγρυπνίαν ἐκ τῶν ἔμπροσθεν εἰρημένων ἐνταῦθα μετενεγκτέον. κατακείσθω δὲ ὁ κάμνων ἐν τόπῳ φωτός τε καὶ κράσεως συμμέτρως ἔχοντι. καὶ ποικίλων τινῶν ἀπηλλαγμένῳ ζωγραφιῶν. ταρακτικὸν γὰρ τῶν τοιούτων. ἐν ᾧ τινὲς τῶν καταθυμίων φίλων εἰσίτωσαν, καὶ προσφόρως ἐντυγχανέτωσαν. ποτὲ μὲν πρᾴως προσαγορεύοντες, ἔσθ' ὅτε δὲ καὶ καταπλήττοντες αὐστηρότερον. τροφὴ δὲ τὸ μὲν πρῶτον ἔστω μελίκρατον, ἔπειτα δὲ χυλὸς πτισάνης, καὶ τὰ διὰ χόνδρου ῥοφήματα μετά τινος τῶν ἡδέων πομάτων, οἷον ἀπομέλιτος ἢ ὑδροροσάτου, ἢ ῥοδομήλου, ἢ τοῦ γλυκέως ὑδρομήλου. τὸ γοῦν ἀπὸ κιβύρας οἰνῶδες ὑδρόμηλον, ἐν τοῖς μικροῖς ἀγγείοις φερόμενον, παραιτητέον. χείρονας οἴνου βλάβας, ἐπὶ τῶν τοιούτων ἀπεργαζόμενον. καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν καὶ περὶ πέψεως. καὶ πλυτὸν ἐξ ὕδατος ἄρτον παρέχωμεν, καὶ ἴντυβα, καὶ θριδακίνας ἑφθάς. εἰ δὲ πολλὴ ζέσις εἴη, καὶ ὠμὰ ταῦτα δοτέον. καὶ τοῦ σικύου τὴν ἐντεριώνην, καὶ πέπονος, καὶ δορακινῶν. καὶ τῶν παραπλησίων. ὕδατος δὲ ψυχροῦ τούτους ἀφεκτέον, μάλιστα εἰ ἐκ συμπαθείας φρενῶν τὴν αἰτίαν τοῦ πάθους εὕροιμεν. εἰ δὲ τὸ οὖρον αὐτοῖς ὡς εἰκὸς διὰ τὴν παράνοιαν ἐπέχοιτο, ποιήσαντες ἀλέαν καταντλήσωμεν θερμῷ ὑδρελαίῳ τό, τε ἦτρον καὶ τὴν κύστιν. κἄπειτα διὰ ἐπιθέσεως τῶν δακτύλων τῆς χειρὸς κατὰ τῶν τόπων ἐπερειδόντες, προτρέψωμεν εἰς ἀπούρησιν. ἐπαλείψομεν δὲ θερμῷ ἐλαίῳ τὸ λοιπὸν σῶμα, κατακειμένων αὐτῶν. καὶ γὰρ ἐν ἀκινησίᾳ κατὰ τὸ ἐγχωροῦν διαφυλαττέσθωσαν. εἰ μὲν ζάπλουτοί τινες εἶεν, διὰ παίδων διακρατούμενοι. εἰ δὲ μή, δεσμοῖς περισφιγγόμενοι. συγκοπτικὴ γάρ ἐστιν τῆς δυνάμεως, ἡ ἄτακτος κίνησις. καὶ δεῖ ἄλλον δὲ τρόπον δεσμοῖς οἱ πόδες διασφιγγέσθωσαν προαντλούμενοι, καὶ ψηλαφάσθωσαν ἀντισπάσεως ἕνεκα. εἰ δὲ μακρότερον καὶ δύσλυτον γίνοιτο τὸ πάθος, τῶν μὲν καρωτικῶν ἀφεκτέον. προσπλέκειν δὲ ταῖς ἐμβροχαῖς τῆς κεφαλῆς τὰ διαφορεῖν πεφυκότα. οἷον, ἡδυόσμου χυλόν, ἢ ἑρπύλλου, ἢ καλαμίνθης, ἢ πηγάνου. καὶ ἐρρίνοις δὲ τότε χρηστέον. μετὰ δὲ τὴν ἑβδόμην, εἰ φλεγμαίνοι τὰ σπλάγχνα τοῖς διὰ λινοσπέρμου, καὶ τῆς ὠμῆς λύσεως ἐν ὑδρελαίῳ, καταπλάσμασιν αὐτὰ παρηγορήσωμεν. ἔπειτα δέ, καὶ σικύας κούφας, ἢ καὶ μετ' ἐγχαράξεως, προσβάλωμεν αὖθις τε τούτοις, καὶ ἰνίῳ, καὶ ῥάχει. εἰ δὲ τὸ σῶμα λίαν αὐχμηρόν τε καὶ περικαὲς στοχάζοιο, κἂν ἔτι πυρέττοιεν, καὶ λουτροῖς χρηστέον διὰ ὕδατος ποτίμου, καὶ ἀλοιφῇ δαψιλεστέρᾳ. καὶ οἴνου ἀποδοτέον λεπτοῦ καὶ ὀλιγοφόρου. πρὸς ἀνάκτησιν τῆς δυνάμεως, μηδαμῶς ὑφορουμένους τὴν ἐξ αὐτοῦ γεννησομένην, ὡς εἰκός, ἔκστασιν. ἢ γὰρ οὐ γίνεται παρακμῆς οὔσης. ἢ καὶ γενομένη ῥᾳδίως ἀποκαθίσταται. προκοπτούσης δὲ τῆς παρακμῆς, καὶ αἰώραις χρηστέον, καὶ τῇ προσηκούσῃ ἀνακομιδῇ. τὰς δὲ τῶν φρενιτικῶν ἀναλήψεις ποιητέον, φυλαττομένους μέθας, ὀργάς, σιτίων διαφθοράς. καὶ πρὸ πάντων ἡλιοκαΐας.

Περὶ φλεγμονῆς ἐγκεφάλου. ζ.

Φλεγμαίνων ὁ ἐγκέφαλος. οἰδεῖ πολλάκις οὕτως, ὡς τὰς ἐν τῇ κεφαλῇ ῥαφὰς διΐστασθαι.

καὶ

καὶ ἡ ὀδύνη δὲ μεγίστη καὶ διαρκὴς παρέπεται, καὶ ἄση πολλή. ἔρευθός τε κατὰ τὸ πρόσωπον πολὺς συνίσταται σὺν οἰδήματι, καὶ τὰ ὄμματα προπετῆ γίνεται, καὶ ἡ κεφαλὴ διογκοῦται. φλεβοτομεῖν τούτους χρή, καὶ κενοῦν ἀπ' ἀγκῶνος. δεῖ δὲ καὶ ἀπὸ ῥινός, καὶ τῶν ὑπὸ τὴν γλῶτταν ἀγγείων κενοῦν τοῦ αἵματος. χρῶ δὲ καὶ ταῖς πρὸς τὰς φλεγμονὰς κατὰ τῆς κεφαλῆς διαβροχαῖς. καὶ καταπλάσμασι, τοῖς ὑγραίνειν καὶ πεπαίνειν δυναμένοις.

Περὶ ἐρυσιπέλατος ἐγκεφάλου. η.

Γίνεται καὶ ἐρυσίπελας ἐν ἐγκεφάλῳ. καὶ πάσχει ὁ κάμνων τάδε. ἀλγεῖ τὴν κεφαλὴν πᾶσαν, καὶ δοκεῖ φλόγας ἐν αὐτῇ εἶναι. καὶ τὸ πρόσωπον τοῦ κάμνοντος ψυχρόν ἐστι καὶ ὕπωχρον. καὶ ξηραίνεται τὸ στόμα. φλεβοτόμει ῥίνιν τὸν οὕτω πάσχοντα. καὶ μάλιστα τὰς ὑπὸ τῆς γλώσσης φλέβας διαίρει, καὶ πρόσφερε τὰ ψύχοντα. οἷς καὶ ἐπὶ τῶν ἄλλων ἐρυσιπελάτων χρώμεθα.

Περὶ ληθάργου. θ.

Καὶ ὁ λήθαργος βλάβη τις ὑπάρχων τοῦ λογιστικοῦ, τόπον μὲν ἔχει τὸν αὐτὸν τῇ φρενίτιδι, φημὶ τὸν ἐγκέφαλον. ὕλην δὲ τὴν ἐναντίαν. ὑπὸ φλέγματι γὰρ ὑγροτέρῳ καὶ ψυχροτέρῳ διαβρέχοντι τὸν ἐγκέφαλον, γίνεται. παρέπεται δὲ τοῖς ληθαργικοῖς πυρετὸς βληχρός, οὐ πάνυ δακνώδης, μετὰ καταφορᾶς. οἱ δὲ σφυγμοὶ τούτοις, μεγάλοι τε καὶ ἀραιοί, καὶ κενώδεις εἰσί. καὶ ἀναπνοὴ δέ, ἄγαν ἀραιά, καὶ ἀσθενής. ὑπνώδεις τε διαπαντός εἰσιν, καὶ δυσέγερτοι, καὶ δυσαποκρίτως κἂν ἐρωτηθῶσι. καὶ ἐπιλήσμονές εἰσι. καὶ παρανοοῦσι. χασμῶνταί τε συχνῶς, καὶ μύουσιν ἔσθ' ὅτε κεχηνότες, ὡς ἐπιλανθανόμενοι τὸ μύσαι τὸ στόμα. διαχωροῦσι δὲ διὰ γαστρός, οἱ μὲν πλείους ὑγρότερα, τισὶ δὲ καὶ τοὐναντίον ἡ γαστὴρ ἀποξηραίνεται. καὶ οὐροῦσιν ὁποῖα τὰ τῶν ὑποζυγίων. τινὲς δὲ καὶ τρέμουσι καὶ περιϊδροῦσι. καὶ ὁ κάρος δὲ τῆς αὐτῆς ὢν ὕλης τῷ ληθάργῳ τούτου διαφέρει, τῷ τὸν πυρετὸν ἡγεῖσθαι μὲν τοῦ κάρου, καὶ σφοδρότερον εἶναι. ἕπεσθαι δὲ τῷ ληθάργῳ. καὶ γὰρ, τὸν μὲν κάρον καὶ ἑτέροις ἕπεσθαι συμπτώμασι, παροξυσμός τε γὰρ ἐπιγίνεται πολλάκις πυρετῶν καὶ ἐπιληψίαις, καὶ θλίψεσιν ἐγκεφάλου. ποτὲ μὲν ὀστέου πιλοῦντος ἐν κατάγμασι. ποτὲ δὲ τοῦ μηνιγγοφύλακος τὴν ἐμπροσθίαν τοῦ ἐγκεφάλου κοιλίαν. τὸν δὲ λήθαργον ἰδίαν τινὰ σύστασιν ἔχειν.

Θεραπεία ληθάργου.

Ἐπιτρεπούσης μὲν τῆς δυνάμεως, κἀνταῦθα τὴν φλέβα τέμωμεν. οὐ συγχωρούσης δέ, κλύσμασι χρησώμεθα δριμέσι. κατακλίνωμέν τε ἐν οἴκῳ μείζονι σύμμετρον ἔχοντι φῶς. καὶ τὴν κεφαλὴν ἐμβρέξωμεν ἐλαίῳ τε προσμίξαντες αὐτῷ καὶ καστόριον. τινὲς δὲ ἀντὶ τοῦ ἐλαίου ὀξυροδίνῳ σὺν τῷ καστορίῳ χρῶνται, κενοῦντες ἅμα καὶ θερμαίνοντες διὰ τούτου τὴν κεφαλήν. τὸ δὲ λοιπὸν ἐπαλείφοντες σῶμα, καὶ μάλιστα τὰ ἄκρα, ἐλαίῳ παλαιῷ. σὺν νίτρῳ ὀπτῷ, ἢ πυρέθρῳ, ἢ πεπέρει, ἢ κόκκῳ κνιδίῳ διαμύσσουσι. δυνατὸν δὲ καὶ κηρωτὴν ἐκ τούτων ἅμα καστορίῳ ποιήσαντας χρῆσθαι. ὀσφραντὰ δὲ προσοίσωμεν. ὄξει λειώσαντες θύμον, ἢ ὀρίγανον, ἢ γλήχωνα. χρίειν δὲ τὸ στόμα καὶ τὰ περὶ τὸν οὐρανίσκον νάπυϊ τετριμμένῳ, μετ' ὀλίγου μέλιτος, φερόμενον, τὸ προσπλασσόμενον τοῖς δακτύλοις διεκβάλλειν φλέγμα. εἰ δὲ προσδέχοιντο, καὶ ἀποφλεγματισμῷ κέχρησο ὀξυμέλιτι μετὰ ὑσσώπου ἢ γλήχωνος ἢ ὀριγάνου, ἢ καὶ αὐτοῦ τοῦ νάπυος. διδόναι δὲ πίνειν τινὸς τῶν ὀξυπόρων, καὶ μάλιστα τοῦ διοσπολίτου, ὅσον κοχλιάριον ἓν μετ' ὀξυκράτου. ἐπὶ δὲ τῶν χρονισάντων τρομωδῶν καὶ καστορίου δοτέον ὅσον γράμματα δύο ἢ τρία. εἰ δὲ πλῆθος εἴη χυμοῦ, καὶ μή τι ἕτερον κωλύοι, καὶ σκαμμωνίας ὅσον ἓν γράμμα τῷ καστορίῳ προσπλέξωμεν. ἐπιμένοντος δὲ τοῦ πάθους, ξυρήσαντες τὴν κεφαλὴν πυριᾶν δεῖ διά τε ἁλῶν καὶ κέγχρων καὶ τῶν ὁμοίων ἐν μαρσίπποις. καὶ τοῖς σιναπισμοῖς τε κατὰ τῆς κεφαλῆς, καὶ τοῖς πταρτικοῖς χρῆσθαι. κἄπειτα σικύας προσάγειν κατὰ τοῦ ἰνίου, πῆ μὲν κούφας μετὰ πολλῆς φλογός, πῆ δὲ μετ' ἐγχαράξεως. τάς τε φυσικὰς ἐκκρίσεις συνεχῶς ὑπομιμνήσκειν δεήσει, τοῖς τε ἐνέμασι καὶ τοῖς διουρητικοῖς. ἐμβρεχέσθω δὲ τὸ ἦτρον ἐλαίῳ πηγανίνῳ ἢ σικυωνίῳ, σὺν ὀλίγῳ καστορίῳ. συχνότερον δὲ ὑπομνηστέον καὶ τὴν κατάποσιν, τῷ θερμῷ ὕδατι ἐπιρρέγνοντας τι τῶν ἡδέων πομάτων, μάλιστα τοῦ ἀπομέλιτος, διὰ τῶν βομβυλίων. καὶ εἴπου περὶ τὰ μέσα εἴη τις φλεγμονή, καὶ ταύτην θεραπευτέον διὰ τῶν ἐμβροχῶν τε καὶ καταπλασμάτων. ταῖς δὲ ῥισὶ προσάγειν νάπυ λειωθὲν ὄξει. ἢ καστόριον καυθέν. τρεφέσθωσαν διὰ πτισάνης ἢ βρόμου χυλὸν ἢ ἄλικος, σὺν ὀξυμέλιτι. ἢ ἅλσιν, ἢ γλήχωνι. ποτὲ μὲν καθ' ἡμέραν. ποτὲ δὲ καὶ διὰ μιᾶς. μετὰ δὲ τὴν τροφὴν διακρατητέον. ἤγουν καὶ ἀνακλαστέον τὰ ἄκρα ἐπὶ πολύ. καὶ κνηστέον τὰ σκέλη. καίποτε καὶ τὰς ἐν αὐτοῖς τρίχας ἐκτίλλειν πειρᾶσθαι βιαιότερον πρὸς τὸ διεγερθῆναι. καὶ φοινιγμοὶ δὲ μηρῶν τε καὶ σκελῶν πολλάκις εὐχρηστοῦσι. παρακμάσαντος δὲ τοῦ πάθους, εὐθέως ἑώραις καταλλήλοις χρηστέον. καὶ ἐπὶ

βαλανείου ἀκτέον, καὶ τὴν ἀναληπτικὴν ἀγωγὴν προσηκόντως παραληπτέον.

Περὶ κατόχου ἤγουν ἀγρύπνου κώματος. ι.

Ἤδη μὲν ἐν τῷ περὶ φρενίτιδος λόγῳ τὴν σύστασιν τούτου νοσήματος εἰρήκαμεν. τὰ δὲ σημεῖα καθόλου μὲν εἰπεῖν, κοινά πως εἰσὶ τῆς τε φρενίτιδος καὶ ληθάργου πρὸς τὴν ἐπικρατοῦσαν ὕλην ἐξαλλαττόμενα. κατὰ μέρος δὲ τάδε. καταλαμβάνεται δὲ ὁ κάμνων ὕπτιος ἀποτεταμένος, καὶ ποτὲ μὲν ὑποιδόν τε καὶ πελιδνὸν ἔχων μετρίως τὸ πρόσωπον, ὥσπερ τῶν ληθαργικῶν. ποτὲ δὲ καὶ ἐρυθρὸς αὐτοῖς ἐπανθεῖ. τό, τε ἄνω βλέφαρον αὐτῶν ἀνασπᾶσθαι δοκεῖ, καὶ διέχειν, ὥς τε μηδὲ σκαρδαμύττειν δύνασθαι. οὐδαμῶς δὲ φαίνεται ἀναπνέων, ἀλλ' ὡς ἀπονενεκρωθεὶς κεῖται. τὸν δὲ σφυγμὸν ἴσχει μικρόν τε καὶ ἀμυδρόν. καὶ σφόδρα πυκνόν. τά τε οὖρα καὶ ἡ κοιλία, ἐπέχεται. ἤγουν ἐπ' ὀλίγον φέρεται. καὶ οἱ μὲν μετρίως ἔχοντες, ἐγχυθέντος τινὸς ὑγροῦ καταπίνουσι. οἱ δὲ κρατηθέντες, ἀνακόπτουσιν αὐτὸ διὰ τὰς ῥῖνας. τοὺς οὖν τοῦ φλέγματος ἐπικρατοῦντος τῆς χολῆς συνισταμένους, διακρινοῦμεν ἀπὸ τῶν ληθαργικῶν, τῷ μήτε οἰδαίνειν, μήτε πελιδνὸν ἴσχειν τὸ χρῶμα καθάπερ οἱ ληθαργικοί, πλὴν ἐπ' ὀλίγον δή τι, καὶ ἐφιδροῦν μετρίως. χαλεποὶ δὲ μᾶλλον εἰσὶν οἷς ἀγρυπνία πολλὴ γίνεται, καὶ τὰ οὖρα ἐπέχεται, καὶ δύσπνοια ἐπιτείνεται. καὶ ἐφιδροῦσι. καὶ οἷς τὸ ποτὸν εἰς τὰς ῥῖνας ἀναρρυβδεῖται. εἰ δὲ γυνὴ πάσχουσα τύχοι, διακριθήσεται τῆς ἁλούσης ὑστερικῇ πνιγῇ, ἔκ τε τοῦ κατὰ φύσιν ὁρᾶσθαι κειμένην, καὶ τοῦ τῶν φθεγγομένων ἐπαισθάνεσθαι. καὶ τοῦ διεγείρεσθαί τε, καὶ αὖθις καταφέρεσθαι. ἔστι δὲ ὅπου τὸν κάτοχον ἕτερόν φασι παρὰ τὸ ἄγρυπνον κῶμα. μηκέτι σύνθετον, ἀλλ' ἁπλῆν τινα τὴν αἰτίαν ἔχον. ψυχροτέραν γὰρ καὶ ξηροτέραν ὕλην ἐμφράξασαν τὴν ὀπισθίαν τοῦ ἐγκεφάλου κοιλίαν τὸ πάθος ἐργάζεσθαι. ἐφ' ᾗ καὶ καταλαμβανόμενος ὁ κάμνων ἀφνιδίως, ἐπ' ἐκείνου μένει τοῦ σχήματος ἐφ' οὗ κατελήφθη, οἷον ἱστάμενος, ἢ καθήμενος, ἢ μύων, ἢ ἐμβλέπων. διὸ καὶ κατόχους ἢ κατεχομένους αὐτοὺς ἐκάλουν οἱ παλαιοί. κατοχὴν δὲ καὶ κατάληψιν τὸ πάθος οἱ νέοι. ἡ θεραπεία, παραπλησία μὲν τοῖς εἰρημένοις, ἐξαλλαττομένη δὲ παρὰ τὴν τῶν συμπτωμάτων διαφοράν.

Θεραπεία κατόχου.

Καὶ νῦν οὖν τὴν φλεβοτομίαν χρὴ παραλαμβάνειν. καὶ μάλιστα ἐφ' ὧν τὸ πρόσωπον ἐνερευθές ἐστι, τῆς δυνάμεως πάλιν ὑπαγορευούσης. ἤγουν κλύσμασι κεχρῆσθαι. ποτὲ μὲν τοῖς διεγείρουσι, τοῦ φλέγματος ἐπικρατοῦντος. ποτὲ δὲ τοῖς πραΰνουσι, τῆς χολῆς πλεοναζούσης. ὡσαύτως δὲ καὶ τῇ τῶν ἄλλων βοηθημάτων ἀγωγῇ χρηστέον. καὶ τρέφειν ὡσαύτως, ὅτε μὲν καθ' ἡμέραν, ὅτε δὲ ὑπὲρ μίαν. ἔστι δὲ σφόδρα ἐπικίνδυνον τὸ πάθος, εἴπου διά τινα τροφῆς ἢ πόματος ἁμαρτάδα γένηται. ἐφ' ὧν χρὴ ἐμεῖν ἀναγκάζειν αὐτίκα. καὶ τὴν συστολῆς φυλάττειν. ἐρεθίζειν τε τὴν κοιλίαν, τῇ τε διὰ κυμίνου ἢ πηγάνου τῶν σπλάγχνων ἐμβροχῇ κεχρῆσθαι. τοὺς δὲ διὰ μέθην ἁλόντας τῷ πάθει, μετὰ τὸ λυθῆναι τὴν κραιπάλην ὑγροτέρᾳ θεραπευτέον τροφῇ, τοιοῦτος δὲ ὁ χυλός ἐστι τῆς πτισάνης. καὶ τὴν κεφαλὴν ἐπιτέγγειν ταῖς καταλλήλοις ἀλοιφαῖς. εἰ μὲν θέρος εἴη, ψυχραῖς. εἰ δὲ χειμών, χλιαραῖς. εἰ δὲ μηδαμῶς ἡ κραιπάλη λυθείη, μὴ δὲ ἀνανήψῃ. ἀπαγορεύσαντα χρὴ μακρὸν ἀποφεύγειν.

Περὶ μνήμης ἀπωλείας, καὶ λογισμοῦ. καὶ κάρου καὶ μωρώσεως. ια.

Ἡ τῆς μνήμης ἀπώλεια. ποτὲ μὲν καθ' ἑαυτὴν συμβαίνει. ποτὲ δὲ καὶ μετά τινος βλάβης τοῦ λογισμοῦ. καθάπερ καὶ ἡ τοῦ λογισμοῦ βλάβη καθ' ἑαυτὴν πρότερον συμβαίνει, κἄπειτα ἐπακολουθεῖ ἡ τῆς μνήμης. ἀμφοτέρων δὲ πεπονθότων, ἡ καλουμένη συνίσταται μώρωσις. αἰτίαν δὲ ἔχουσι καὶ νῦν, τὴν συστᾶσαν δυσκρασίαν. ἀλλ' εἰ μὲν ὑγρὰ μόνον εἴη, τῆς τε μνήμης καὶ τοῦ λογισμοῦ κάκωσιν οἴσει, νωθρότητάς τε καὶ καταφορὰς καὶ ὕπνους μακροὺς καὶ βαθεῖς. εἰ δὲ μετὰ ψυχρότητος, κάρους τε καὶ ληθάργους. ὡσαύτως δὲ καὶ ἡ ξηρότης μόνη μὲν ἀγρυπνίας ἐπάγει. μετὰ δὲ θερμότητος, παραφροσύνας τε καὶ φρενίτιδας. συνίστανται δὲ αὗται αἱ δυσκρασίαι, ποτὲ μὲν ἐπὶ τοὺς χυμούς, ποτὲ δὲ ἐπὶ τὰς τοῦ ἐγκεφάλου κοιλίας, ἢ κατὰ τὰ ἐν αὐτῷ ἀγγεῖα, ἤγουν κατὰ τὴν παρεσπαρμένην ὑγρότητα, ἢ κατ' αὐτὸ τὸ τοῦ ἐγκεφάλου σῶμα. ἢ καὶ τῶν κροταφιτῶν μυῶν τι τοιούτων παθόντων. εἰ δέ που συνεπιμιχθῶσιν ἑαυτοῖς οἱ χυμοί, καὶ τὸ πάθος τοιοῦτον οἴσουσι. πότερον δὲ ἁπλῆ ἢ σύνθετός ἐστιν ἡ δυσκρασία, ἐκ τῶν ἐκκρινομένων εἰδέας μαθήσῃ. ὅτι μὲν γὰρ ἡ τῆς μνήμης καὶ τοῦ λογισμοῦ ἀπώλεια ψύξεως ἔκγονος ὑπάρχει, ἴσμεν. εἰ δέ που καὶ μεθ' ὑγρότητος ἢ ξηρότητος, μαθησόμεθα ἔκ τε τῶν ἐκκρινομένων, καὶ τῆς τοῦ κάμνοντος ἕξεώς τε καὶ κράσεως. καὶ τῆς τοῦ βίου διαγωγῆς. ὥρας τε καὶ χώρας.

Θεραπεία.

Εἰ μὲν ψυχρά τις εἴη δυσκρασία, θερμαίνειν δεῖ. εἰ δὲ μεθ' ὑγρότητος, καὶ ξηραίνειν. εἰ δ' αὖ

πάλιν

πάλιν μετὰ ξηρότητος, ὑγραίνειν τε ἅμα καὶ θερμαίνειν. ὡσαύτως δὲ κἀπὶ τῆς δυσκρασίας τῆς θερμῆς, ψύχειν. εἰ δὲ καὶ ξηρότης εἴη, καὶ ὑγραίνειν. εἰ δὲ μεθ' ὑγρότητος, ψύχειν ἅμα καὶ ξηραίνειν. ἐφ' ὧν δὲ τὸν αἱματικὸν χυμὸν εὕρεις πλεονάζοντα, φλεβοτομεῖν, ἢ κλύσμασι χρῆσθαι δριμέσι. κἄπειτα καὶ τὴν ἱερὰν διδόναι. καὶ ἀποφλεγματισμοῖς χρῆσθαι. ἀλείμματά τε προσφέρειν ἐν τῇ κεφαλῇ, τῷ ἐλαίῳ προσμίσγοντα τὰ ψύχοντα καὶ ξηραίνοντα, ῥόδα φημὶ, καὶ μυρσίνας, καὶ σχῖνον, καὶ τὰ παραπλήσια. καὶ τοῦ ὅλου δὲ σώματος προνοεῖν. εἰ δὲ ἐξ ἐγκαύσεως εἴη, καὶ κόπου. χρηστέον κατὰ τῆς κεφαλῆς τῇ διὰ ὀξυῤῥοδίνου ἐπιβροχῇ, καὶ τῇ λοιπῇ ψυχρᾷ καὶ ὑγρᾷ ἀγωγῇ, ἔν τε τοῖς ἄλλοις, κἀν τῇ τροφῇ καὶ τοῖς πόμασιν. εἰ δέ που κάρος ἐπὶ τῇ μωρώσει ἢ τῇ ἐπιλησμοσύνῃ ἐπιγίνηται, καὶ τούτου προνοητέον. ὡς ἔμπροσθεν ἐπὶ τῶν ληθαργικῶν ἐλέγομεν, ἔνθα καὶ τὴν διάκεισιν αὐτῶν ὑφηγήμεθα.

Περὶ σκοτωματικῶν. ιβ.

Τὸ σκοτωματικὸν πάθος συνίσταται ψυχροῦ καὶ γλίσχρου χυμοῦ καταλαβόντος τὸν ἐγκέφαλον. ὅθεν ὑπὸ σμικρᾶς οὗτοι προφάσεως ἑτοίμως καὶ καταπίπτουσιν. ποτὲ μὲν ἐνστρεφόμενά τινα βλέποντες ἔξωθεν, οἷον τροχοὺς, ἢ δίνας, ἢ καὶ αὐτοὶ στραφέντες. ποτὲ δὲ καὶ θαλφθέντες τὴν κεφαλὴν, κινουμένων τῶν ἐν αὐτῇ χυμῶν, ἢ καὶ τοῦ πνεύματος. ἔσθ' ὅτε δὲ καὶ θλιβομένων τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου, κατὰ τὰς ἀνατρήσεις τοῦ κρανίου ῥαγέντος. ἐφ' ὧν καὶ σφοδραὶ ὀδύναι γίνονται. προηγεῖται δὲ τῶν μὲν κατὰ πρωτοπάθειαν τῆς κεφαλῆς πασχούσης, ὀδύνη κατ' αὐτὴν σφόδρα, καὶ κάρος, καὶ ἦχος τῶν ὤτων. καὶ βλάπτονται τινὲς μὲν τὴν ὄσφρησιν, τινὲς δὲ τὴν γεῦσιν. οἷς δὲ κατὰ συμπάθειαν τοῦ τῆς γαστρὸς στόματος, ἐπακολουθεῖ καρδιωγμός. καὶ ναυτίαι συνέπονται.

Θεραπεία.

Τοὺς σκοτωματικοὺς. ἐν ἐπιθέσει μὲν γινομένους, διεγερτέον τοῖς τε ἐπιτηδείοις ὀσφραντοῖς χρωμένους, καὶ τρίψεσιν, καὶ τοῖς τοιούτοις. ἐν ἀνέσει δὲ τυγχάνοντας. πρὸς ἀνασκευὴν τοῦ πάθους, φλεβοτομητέον πρῶτον. εἶτα καθαρτέον τῇ ἱερᾷ. καὶ διαστήσαντα κλυστῆρι δριμεῖ χρηστέον κενταυρίου, ἢ κολοκυνθίδος ἀφεψήματι. μετὰ δὲ τὰς τοιαύτας κενώσεις. ἀμυκτέον τοπικῶς τὴν κεφαλὴν σικύαις κατὰ ἰνίου μετ' ἐγχαράξεως. καὶ μετὰ ταῦτα τοῖς ἀποφλεγματισμοῖς καὶ πταρμοῖς χρηστέον. ἐφ' ὧν δὲ θέρμη τῆς κεφαλῆς, καὶ τῶν ὤτων ἦχος ἐστὶν, ὡς ἀτμῶν θερμοτέρων διὰ τῶν ἀρτηριῶν ἀναφερομένων, καὶ τὴν ἀρτηριοτομίαν παραληπτέον ὄπισθεν τῶν ὤτων, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται.

Περὶ ἐπιληψίας. ιγ.

Ἡ ἐπιληψία, σπασμός ἐστι τοῦ παντὸς σώματος, μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν, ποτὲ μὲν ἐν αὐτῷ τῷ ἐγκεφάλῳ συνισταμένη ἔχει τὴν αἰτίαν. ποτὲ δὲ ἐν ταῖς τούτου κοιλίαις ἁπάσαις. αὕτη δέ ἐστιν, ὅτε μὲν φλεγματικὸς, ὅτε δὲ μελαγχολικὸς χυμός. ἔτι δὲ καὶ διὰ τὸ τῆς γαστρὸς στόμα κατὰ συμπάθειαν γίνεται. καθάπερ καὶ ἐπὶ κολικῶν, ὡς ἐν τῷ περὶ ἐκείνων εἰρήσεται λόγῳ. ἤγουν καὶ ἐξ ἀναδόσεως ἑτέρων μορίων, αὔρας τινὸς ἀνερχομένης ψυχρᾶς πρὸς τὸν ἐγκέφαλον, ὅτε μὲν ἀπὸ τοῦ σκέλους, ὅτε δὲ ἀπὸ τῶν τῆς χειρὸς δακτύλων. ὤφθη δέ ποτε καὶ ἀπὸ τῆς ὑστέρας ἐπί τινος γυναικὸς, καθ' ὃν ἔγκυος ἐγένετο χρόνον. μετὰ δὲ τὴν ἀπότεξιν ἀπεπαύετο. γίνεται δὲ τὸ πάθος μάλιστα μὲν παιδίοις, καὶ τούτων ἔτι τοῖς νεογνοῖς. μετὰ ταῦτα δὲ τοῖς μειρακίοις τε καὶ ἀκμάζουσιν. ἥκιστα δὲ πρεσβύταις τε καὶ γέρουσι. προηγεῖται μὲν οὖν τῶν ἐπιληπτικῶν, σώματος καὶ ψυχῆς στάσις ἀπροαίρετος, καὶ δυσθυμία, καὶ τῶν προσεχῶν λήθη, καὶ ἐνυπνίων ὄψεις ταραχώδεις, καὶ κεφαλαλγία, καὶ πλήρωσις τῆς κεφαλῆς συνεχὴς, ἐπ' ὀξυθυμίαις μάλιστα, ὠχρότης τε προσώπου, καὶ γλώττης ἄτακτος κίνησις. τινὲς δὲ καὶ καταδάκνουσιν αὐτήν. τῶν δὲ ἀπὸ στομάχου. καὶ παλμὸς αὐτοῦ τοῦ στομάχου προηγεῖται, καὶ κλόνος, καὶ δῆξις. κἀν ταῖς ἀσιτίαις, ἢ βραδυσιτίαις, παροξύνονται. ἐνστάντος δὲ ἤδη τοῦ συμπτώματος, κατάπτωσις αὐτοῖς αἰφνιδίως γίνεται, καὶ σπασμὸς, καὶ ἄσημος τις ἔστιν ὅτε ἀναβόησις. ἐξαίρετον δὲ μάλιστα σημεῖόν ἐστιν αὐτῶν, ὁ τοῦ στόματος ἀφρισμός. τῶν ἄλλων κοινῶς πως ὑπαρχόντων καὶ ἑτέροις νοσήμασι. τισὶ δὲ αὐτῶν, καὶ οὖρον ἀκουσίως ἐκκρίνεται καὶ κόπρος. ἔστι δὲ οἷς καὶ γόνος. ἐπί τινων μὲν οὖν ὀξύτατον ὑπάρχον τὸ πάθος, ταχέως ἀπέκτεινε τῇ τε συνεχείᾳ τῶν παροξυσμῶν, καὶ τῇ τοῦ συμπτώματος ἰσχύϊ. ἐπὶ δὲ τῶν πλειόνων εἰς μῆκος ἐκτείνεται. ὥς τε εἰ μὴ λυθείη κατὰ τὴν ἥβην, ἢ τὰς καθάρσεις, ἢ τὰς κυήσεις, ἢ εἰ μετὰ τοῦτον συσταίη τὸν χρόνον, ὡς τὰ πολλὰ συναποθνήσκει. χωρὶς εἰ μὴ τῆς προσηκούσης ἰάσεως ἐπιτύχοι. διελέγχει δὲ τοὺς ἐπιληπτικοὺς θυμιώμενα, ἄσφαλτος, ἢ γαγάτης λίθος, ἢ κέρας αἴγιον. ἐσθιόμενον δὲ ἧπαρ τράγιον, καὶ ἡ ὀσμὴ ὀπτωμένου τοῦ ἥπατος.

Εἰ μὲν ἔτι βρέφος εἴη τὸ κάμνον, οὐδὲν δεῖ περιεργάζεσθαι. τῆς τε γὰρ ἡλικίας ἐπὶ τὸ χολωδέστερόν τε καὶ ξηρότερον μεταβαλλούσης, καὶ τῆς διαίτης ἐπὶ τὸ σωφρονέστερον, αὐτομάτως ὡς τὰ πολλὰ τὸ πάθος ἀποπαύεται. χρὴ δὲ τῆς διαίτης καὶ μόνον, αὐτῶν τε τῶν βρεφῶν καὶ τῶν γαλουχῶν προνοεῖσθαι. μετὰ δὲ τὴν τῶν παιδίων ἡλικίαν τοὺς ἐμπεσόντας εἰς ἐπιληψίαν, λιπαρῶς τε ἐμβρέχειν τὰ σπώμενα καὶ διαστρεφόμενα μόρια, διακρατεῖν τε, καὶ ἀπευθύνειν. εἶτα διαστήσαντας τὸ στόμα, ἐπικαθιέναι δάκτυλον ἢ πτερὸν κεχρισμένον ἐλαίῳ ἰρίνῳ πρὸς τὸ κομίσασθαι φλέγμα. χρὴ δὲ καὶ τοῖς ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν, οἷον πευκεδάνῳ, κυρηναϊκῷ ὀπῷ, ἀσφάλτῳ, κεδρίᾳ πίσσῃ. μετὰ δὲ τοὺς παροξυσμοὺς, εἰ μηδὲν κωλύοι, φλεβοτομίᾳ χρηστέον ἀπ' ἀγκῶνος. μηδὲν δὲ ὑπακούοντος τοῦ παροξυσμοῦ, τὰ μὲν ἄκρα σιναπισμῷ καταληπτέον, σικύαν δὲ κολλητέον τοῖς ὑποχονδρίοις. μὴ γενομένης δὲ πρὸς ταῦτα ἀνοχῆς, ὀλιγίστη μὲν ἐλπὶς, ὅμως δὲ θαρσαλέως ὁ ἰατρὸς, καστόριον βιαζόμενος ἐγχείτω τῷ στόματι. καὶ ὀπὸν κυρηναϊκὸν μετὰ μέλιτος καὶ ὄξους. καὶ δι' ἕδρας ἐνιέτω κενταυρίου ἀφέψημα, ἢ κολοκυνθίδος. τοὺς δὲ διαναστάντας ἐκ τῆς ἐπιληψίας. μετὰ τὴν ἀνάληψιν τῇ διὰ τῆς ἱερᾶς καθάρσει κενωτέον. αὕτη μὲν δή τις ἐστὶν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία. ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσωμεν. χρὴ τοίνυν τοὺς πάσχοντας, ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν. ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ, φλεβοτομεῖν, εἰ μηδὲν κωλύοι, καὶ διαλείποντας τέσσαρας ἢ πέντε ἡμέρας, ἀναλαμβάνειν τὸ σωμάτιον. καὶ οὕτω καθαρτικῷ ἀποκενοῦν. μάλιστα μὲν δι' ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος. εἰ δ' οὖν γε διὰ σκαμμωνίας. δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς ἐντεριώνης κεκομμένου καὶ σεσησμένου, ἐμπάσσειν μελικράτου κυάθοις πέντε, ἢ ἕξ. ἢ μέλιτι ἀπέφθῳ ἀναλαμβάνειν μετ' ὀλίγου πεπέρεως. τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐκβαλόντας, πληροῦν αὐτὴν, ἔχουσαν καὶ τὴν ἐντεριώνην γλυκέως. καὶ ἐᾶν ὅλην τὴν νύκτα. ἕωθεν δὲ κεράσαντα τὸ γλυκὺ, διδόναι πίνειν. ἢ καὶ τῷ διὰ τοῦ λευκοῦ ἐλλεβόρου καθαρτηρίῳ χρηστέον. ἔστι δὲ τοῦτο· δαφνοκόκκων καθαρῶν < .η. πεπέρεως λευκοῦ < .η. ἀλυπιάδος < .η. εὐφορβίου < .η. ἐλλεβόρου λευκοῦ < .ϑ. ταῦτα δίδου ἐν μιᾷ δόσει σὺν τῷ γλυκεῖ τῷ ἐν τῇ κολοκυνθίδι. καλῶς κινοῖ δι' ἐμέτων. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν, λούειν αὐτούς. τῇ δὲ τρίτῃ σικυαστέον ὑποχόνδριά τε καὶ μετάφρενον μετ' ἀμυχῶν. εἶτα διαστήσαντας ἱκανὰς ἡμέρας, καὶ ἀναλαμβάνοντας τὸ σωμάτιον, τῆς διὰ κολοκυνθίδος ἱερᾶς προσάγειν. εἶτα μετὰ τοῦτο σικυαστέον κεφαλὴν καὶ ἰνίον. τῇ δὲ ἑξῆς καταπλάττειν αὐτὸν ἄρτῳ ἡψημένῳ μὲν ἐν μελικράτῳ, συλλελειωμένῳ δὲ, πικροῖς ἀμυγδάλοις, ἢ ἑρπύλλῳ, ἢ ἡδυόσμῳ, ἢ καλαμίνθῃ, ἢ πηγάνῳ. καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας. καὶ μετὰ ταῦτα ξυρᾶν μὲν τὴν κεφαλὴν, καὶ καταχέειν δὲ πευκεδάνῳ ὀπῷ σὺν ὄξει διειμένῳ, ᾧ σπονδύλιον ἐνήψεται. διαστήσαντα δὲ πάλιν καὶ ἀναλαμβάνοντα τὸ σωμάτιον, διδόναι τῆς διὰ κολοκυνθίδος ἀντιδότου ὀβολοὺς ἐννέα ἐν μελικράτῳ. καὶ διαστήσαντας ἡμέρας, πάλιν διδόναι τῆς ἀντιδότου γ̄. εἶτα πταρμικοῖς κεχρῆσθαι. καὶ μετὰ πέντε ἢ δέκα ἡμέρας, καστορίου διδόναι ἐν μελικράτῳ. καὶ διαστήσαντα πάλιν, κλύζειν τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδος. εἶτα τὴν ἱερὰν αὖθις διδόναι. καὶ ἐφεξῆς ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐῤῥίνοις. εἶτα τῷ σιναπισμῷ κατὰ τῆς κεφαλῆς. δεῖ δὲ καὶ δριμυφαγίαις ἐν καιρῷ χρῆσθαι. ὠφελεῖ δὲ τούτοις καὶ ὀξύμελι τὸ σκιλλητικὸν καθ' ἡμέραν πινόμενον. καὶ τὸ μέλι ἐν ᾧ σκύλλα συνετάκη, ὅσον κοχλιάριον. δίαιτα δὲ τούτοις ἁρμόσει τμητικὴ καὶ λεπτύνουσα. καὶ ἡ κάππαρις γοῦν συνεχῶς ἐσθιομένη, καὶ τάριχος. ἀπεχέσθωσαν δὲ κρεῶν τε καὶ ὀσπρείων, καὶ οἴνου πλείονος, ἀφροδισίων τε πλειόνων, καὶ βαλανείων, καὶ νάπυος. καὶ τοῦ πίνειν εὐθὺς μετὰ λουτρὸν, καὶ μάλιστα ἄκρατον οἶνον. κεχρήσθωσαν δὲ γυμνασίοις, καὶ τρίψεσιν, ὑστάτην τῶν ὅλων μορίων ἀνατριβόμενοι τὴν κεφαλήν.

Περὶ τῶν ἀπὸ στομάχου.

Εἰ δὲ προπαθοῦντος τοῦ στομάχου γίγνοιτο τὸ πάθος δυσπεψίας προνοοῦντα τὸν πάσχοντα, δεῖ περὶ τρίτην ὥραν ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου κεκραμένου, τῶν ἠρέμα στυφόντων καὶ λευκῶν. διδοῦ δὲ τούτοις τῆς δι' ἀλόης φαρμάκου, δὶς τοῦ ἢ τρὶς ἐφ' ἑκάστου ἔτους. οἶδα δέ ποτε παιδίον, φησὶν ὁ γαληνὸς, οὐδ' ὅλως ἐπιληφθὲν, ἐξ οὗ τῆς ῥίζης τοῦ γλυκυσίδου ἐφόρει, λέγει δὲ τὴν παιωνίαν, μέγα καὶ πρόσφατον ἐξαρτώμενον τῷ τραχήλῳ. καὶ τὸ ἀγαρικὸν δὲ τοὺς ἐπιληπτικοὺς ὀνίνησιν. σέσελί τε καὶ τοῦ σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα. καὶ ἀριστολοχία στρογγύλη μεθ' ὕδατος πινομένη. βοηθεῖ δὲ μεγάλως τούτοις καὶ ἡ ἀπόσχασις τῶν σκελῶν συνεχῶς γινομένη.

Περὶ τῶν ἀπό τινος μορίου.

Μέλλοντος δὲ γίνεσθαι τοῦ συμπτώματος, ἐπειδὰν αἴσθωνται τοῦ μορίου. ἐὰν ἢ ποὺς ἢ χείρ. δεῖ

βρόχῳ

βρόχῳ τὸ ὑπερκείμενον ἰσχυρῶς ἀεὶ λαμβάνειν. ἐν δὲ ταῖς ἀνέσεσιν ἀεὶ θεραπεύειν, τῶν καυστικῶν τε φαρμάκων τῷ μορίῳ προσφέροντας. οἷον ἐστὶ τὸ λεπίδιον, ἢ τὰ διὰ κανθαρίδος, καὶ τὰ παραπλήσια. καὶ τὸ ἰουλιάνιον δὲ ὀξύμελι τοὺς ἐπιληπτικοὺς μεγάλως ὀνίνησιν, κατὰ μέρος ἐκμοχλεῦον τὴν ὕλην. μετὰ δὲ πάντα τὰ λεχθέντα, καὶ θηριακὴ καὶ τὰ αὐτοφυῆ τῶν λουτρῶν χώραν ἔχουσι. παρ᾽ ὅλον δὲ τὸν τῆς ζωῆς αὐτῶν χρόνον φυλαττέσθωσαν μάλιστα μὲν τὴν ἀπεψίαν, καὶ τὸ τρέφεσθαι πρὸ πέψεως, καὶ τὰ παχύχυμα τῶν ἐδεσμάτων, καὶ τὴν βραδυπεψίαν, καὶ τὴν ἐκμόχλωσιν, τήν τε πολυοινίαν, καὶ τὸ πίνειν μετὰ λουτρὸν, ὡς εἴρηται, μάλιστα τὸν ἄκρατον, καὶ τοὺς πάνυ παλαιοὺς, καὶ τοὺς παχεῖς οἴνους. καὶ τὰ δριμέα τῶν ὀσφραντῶν, καὶ πληρωτικὰ τῆς κεφαλῆς. καὶ τὸ ἀτενίζειν ἐξ ὕψους. καὶ τὸ ἐγχρονίζειν ἐν βαλανείῳ. καὶ τὴν ἔγκαυσιν τῆς κεφαλῆς.

Περὶ μελαγχολίας καὶ μανίας καὶ ἐνθεαστικῶν. ιδʹ.

Η μὲν μελαγχολία παραφροσύνη τίς ἐστιν ἄνευ πυρετοῦ, ὑπὸ μελαγχολικοῦ μάλιστα χυμοῦ γινομένη καταλαμβάνοντος τὴν διάνοιαν. ποτὲ μὲν αὐτοῦ πρωτοπαθοῦντος τοῦ ἐγκεφάλου, ποτὲ δὲ τοῦ ὅλου συμμεταβαλλομένου σώματι. καὶ τρίτον δὲ μελαγχολίας εἶδός ἐστιν, ὃ φυσῶδές τε καὶ ὑποχονδριακὸν καλοῦσιν, ὑπὸ φλεγμονῆς τῶν περὶ τὸν στόμαχον ὑποχονδρίων συνιστάμενον, ποτὲ μὲν αὔρας τινὰς μοχθηρὰς, ποτὲ δὲ καὶ τῆς οὐσίας τοῦ χυμοῦ μέρος ἀναπεμπόντων πρὸς τὸν ἐγκέφαλον. σημεῖα δὲ κοινὰ μὲν ἁπάντων. ὅτε φόβος καὶ ἡ δυσθυμία καὶ ἡ μισανθρωπία. καὶ τὸ δοκεῖν, τοὺς μὲν ζῶα τινὰ εἶναι ἄλογα, καὶ μιμεῖσθαι τὰς φωνὰς αὐτῶν. τοὺς δὲ, σκεύη ὀστράκινα, καὶ φοβεῖσθαι τὸ καταγῆναι. καὶ τοὺς μὲν, ἐπιθυμεῖν τοῦ θανάτου. τοὺς δ᾽ αὖ, φοβεῖσθαι τοῦ ἀποθανεῖν. καὶ τοὺς μὲν ἀεὶ γελᾶν, τοὺς δὲ κλαίειν. τινὲς δὲ καὶ δοκοῦσιν ὑπό τινων μειζόνων ἐφορμᾶσθαι δυνάμεων, καὶ προλέγειν τὰ ἐσόμενα, καθάπερ ἐνθεάζοντες. οὓς καὶ ἐνθεαστικοὺς ἰδίως ὀνομάζουσιν. ἴδια δὲ σημεῖα τῶν μὲν διὰ συμπάθειαν ὅλου τοῦ σώματος μελαγχολικῶν, τό τε κατίσχνον τοῦ σώματος καὶ μέλαν καὶ δασύ. καὶ τὸ ὅλον μελαγχολικὸν, ἢ φύσει, ἢ καὶ ἐξ ἐπικτήτου διά τινας φροντίδας, ἢ ἀγρυπνίας, ἢ μοχθηρῶν σιτίων προσφορὰς, ἢ ἐπίσχεσιν αἱμοῤῥοΐδων, ἢ καταμηνίων. τοὺς δὲ διὰ ὑποχόνδρια μελαγχολικούς. ἀπεψίαι τε δηλοῦσι καὶ ὀξυρεγμίαι, καὶ καῦμα, καὶ βάρος αὐτῶν, καὶ τὸ ἀνασπᾶσθαι τὸ ὑποχόνδριον, ἔσθ᾽ ὅτε καὶ φλεγμαίνειν. καὶ τοῖς ἀρξαμένοις, εἶτα μείζοσι γινομένοις, ἀκολουθεῖν τὰ μελαγχολικὰ συμπτώματα. καὶ ταῦτα κουφίζεσθαι ταῖς πέψεσιν, ἢ ταῖς ἀποκρίσεσιν, ἢ φύσαις πλείοσιν, ἢ ἐμέτοις, ἢ ἐρυγαῖς. μηδενὸς δὲ τούτων, ἢ παντάπασιν ὀλίγων αὐτῶν γινομένων, τὰ μελαγχολικὰ φαινόμενα σημεῖα, πρωτοπαθεῖν δηλοῦσι τὸν ἐγκέφαλον, τοὐπίπαν ὑπὸ μελαγχολικοῦ χυμοῦ. εἰ δέ ποτε τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης εἰς μέλαιναν ἡ μεταβολὴ γένηται, τὴν καλουμένην οἴσει μανίαν, ἐφ᾽ ᾗ θηριωδῶς ἐκμαίνονται, ὥστε καὶ τοὺς ἀμελέστερον προστυγχάνοντας αὐτοῖς, διαχειρίσεσθαι.

Θεραπεία μελαγχολίας.

Τοὺς μὲν οὖν κατὰ πρωτοπάθειαν τοῦ ἐγκεφάλου μελαγχολικοὺς, διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς ἐκθεραπεύειν, ἅμα τῇ κατὰ τὴν ψυχὴν προσηκούσῃ θυμηδίᾳ, χωρὶς ἑτέρου βοηθήματος, ὅταν γε μήπω διὰ χρόνου μῆκος δυσεκκρίτως ὁ λυπῶν ᾖ χυμός. ὅτε καὶ ἰσχυροτέρας καὶ ποικιλοτέρας προσάγειν χρὴ τὰς ἰάσεις. καθαίρειν οὖν αὐτοὺς ἐξ ἀρχῆς ἐπιθύμῳ, ἢ ἀλόῃ. τούτων γὰρ εἰ καὶ ὀλίγον ἐφ᾽ ἑκάστης ἡμέρας λαμβάνοιεν, ὠφελεῖ τὰ μέγιστα, καὶ ἡσυχῇ ὑπάγοι. καθήραντα οὖν ὡς εἴρηται, διδόναι τοῦ ἀψινθίου. νῦν μὲν τῆς πόας, βρέχων ἐν ὕδατι καὶ ἕψων, ὅσον κυάθους δύο. νῦν δὲ τοῦ χυλοῦ, ὅσον ἡμίδραχμον, διατήκων ὕδατι συνεχῶς. καὶ ὄξους δὲ ὑποῤῥοφεῖν ὡς δριμυτάτου, βραχὺ καθεύδειν μέλλοντα. καὶ τὰ πολλὰ τῶν ὄψων εἰς τοῦτο ἀποβάπτοντας ἐσθίειν. ἄμεινον δὲ μεμῖχθαι τῷ ὄξει σκίλλης, καὶ πολίου, καὶ τῆς λεπτῆς ἀριστολοχίας. ὅταν δὲ ἐντύχῃς ἀρχομένῳ μὲν τῷ νοσήματι διὰ τὴν τοῦ ὅλου σώματος συμπάθειαν ὡς εἴρηται, συνεστῶτι δὲ τῷ σώματι, πάντως ἀπὸ φλεβοτομίας ἀρκτέον. μετὰ δὲ τὴν φλεβοτομίαν, ἀνακομισάμενον κάτω καθαίρειν τῷ διὰ σικυωνίας, καὶ τῷ διὰ τοῦ μέλανος ἐλλεβόρου. καὶ τὰς αἱμοῤῥοΐδας δὲ ἀναστομώσωμεν, καὶ καταμήνια προτρέψωμεν, εἰ διὰ τὴν τούτων ἐπίσχεσιν εἴη γεγενημένον τὸ πάθος. ἀγαθαί τε καὶ αἱ διουρητικαὶ δυνάμεις, καὶ αἱ τῶν ἱδρώτων καθάρσεις. εἰ δὲ διὰ τὴν τῶν ὑποχονδρίων κάκωσιν τὸ πάθος συνέστη, χρὴ καὶ τὴν τούτων ποιεῖσθαι φροντίδα. καὶ πυριᾶν μὲν αὐτὰ, διαβρέχοντας πηγάνου ἀφεψήματι καὶ ἀνήθου, καὶ ἀψινθίου, καὶ γλήχωνος, καὶ ἄγνου σπέρματος, καὶ δάφνης τοῦ καρποῦ. ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ, καὶ τὰς φύσας μεθίει. ἕψειν δὲ ἐν ἐλαίῳ καὶ καταπλάττειν. ἐχέτω δὲ καὶ τούτων τὰ καταπλάσματα, καὶ τῶν πρὸς τὰς φύσας τὸ σέλινον, ἢ τὸ ἄνισον, ἢ τὸ

κύμινον. οὐ χεῖρον δὲ καὶ κύπρον, καὶ ἶριν, καὶ λιβανωτίδα ἐμβάλλειν εἰς τὸ κατάπλασμα. ἐᾶν δὲ ἐπὶ πολὺ προσκεῖσθαι ταῦτα, καὶ δι' ἡμέρας, καὶ ἐδηδοκότι καὶ ἀσίτῳ. ὅταν δὲ ἀφέλῃς, ἄλλο τι σκέπασμα ἐπίβαλλε, ἔριον πλατύ. καὶ σικύας δὲ χρὴ, πρὸς μὲν τὰ πνεύματα κούφας, πρὸς δὲ τοὺς πόνους καὶ τὰς φλεγμονὰς, ἀποσχάζων. προσέχοντας δὲ τῇ θεραπείᾳ, μηδὲ τοῦ νάπυος ἐπιλανθάνεσθαι. χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι καὶ δρώπαξι κατά τε μετάφρενον καὶ τῆς γαστρός. ἐπὶ δὲ τῶν κεχρονισμένων κράτιστον βοήθημα καὶ ἡ διὰ τοῦ ἐλλεβόρου δι' ἐμέτων κάθαρσις. δίαιτα δὲ πᾶσι τοῖς μελαγχολικοῖς εὔχυμος ἁρμόσει, καὶ μετρίως ὑγραίνουσα. φυλαττομένων αὐτῶν, κρέα τε βόεια καὶ ἐλάφεια, καὶ φακῆν, καὶ κράμβας, καὶ κοχλίας, οἴνους τε παχεῖς καὶ μέλανας. καὶ ἁπλῶς ὅσα τὴν μέλαιναν χολὴν γεννᾷ.

Θεραπεία μανίας.

Καὶ τοὺς μαινομένους παραπλησίως τοῖς μελαγχολῶσι θεραπεύσωμεν. ἰδίως δὲ τῇ κεφαλῇ τούτων ῥόδινόν τε καὶ ὀξυρόδινον προσοίσωμεν. καὶ διὰ τῆς πικρᾶς ἀντιδότου καθάρωμεν προφλεβοτομήσαντες αὐτούς. καὶ βδέλλαις ἐπὶ τῆς κεφαλῆς χρησώμεθα. μάλιστα δὲ αὐτοὺς ὠφελεῖ ἱππομαράθρου ῥίζα, καὶ τὸ σπέρμα πινόμενον ἐν ὕδατι. καὶ βρυωνίας ῥίζης δραχμὴ μία μεθ' ὕδατος καθ' ἡμέραν. εἰ δὲ μὴ πείθοιντο τὰ καθαρτικὰ φάρμακα πίνειν οἱ παραφρονοῦντες, καταμικτέον αὐτὰ λεληθότως, ὅτε μὲν τοῖς ἐδέσμασιν αὐτῶν, οἷον βουκελλίοις, ἢ ἰσχάσιν, ἢ φοίνιξιν. ὅτε δὲ τοῖς πόμασι. πρὸ δέ γε πάντων ἢ συνδεδέσθωσαν ἐν τῇ κλίνῃ, διὰ τὸ μὴ κακόν τι δρᾶν, αὐτούς τε, καὶ τοὺς τυγχάνοντας, ἢ ἐωρείσθωσαν ἐν κλινιδίῳ, ἔνδοθεν γυργάθου τινὸς ἐξ ὕψους ἀπηρτημένου.

Περὶ τοῦ ἐφιάλτου. ιε.

Τὸν ἐφιάλτην οἱ μὲν ἀπὸ ἀνδρὸς ὠνομάσθαι λέγουσιν, ἢ ἀπὸ τοῦ φαντασιοῦσθαι τοὺς ἐν αὐτῷ γινομένους, ὡς ἐφαλλομένου τινός. Θεμίσων δὲ διὰ τοῦ δεκάτου τῶν ἐπιστολικῶν, πνιγαλίωνα προσωνόμασεν, ἴσως ἀπὸ τοῦ πνίγειν. συνίσταται δὲ περὶ τοὺς κραιπαλῶντας καὶ συνεχῶς ἀπεπτοῦντας. τοῖς δὲ ἐν αὐτῷ γινομένοις παρακολουθεῖ δυσκινησία, καὶ ναρκώδης συναίσθησις παρὰ τοὺς ὕπνους. πνιγμοῦ φαντασία, καὶ κατάληψις ὡς ἐπιπεσόντος τινὸς, μετὰ τοῦ ἀδυνατεῖν πρὸς ἐκβοᾶν, ἢ φωνεῖν ἀσημάντως. ἔνιοι δὲ φαντασιοῦνται καὶ ἀκούειν πολλάκις τοῦ ἐπιπεσόντος, καὶ ἀφροδισίων αὐτῶν ὀρέγεσθαι, φεύγειν δὲ τῶν δακτύλων συναχθέντων. φυλακτέον οὖν τὸ δεινὸν ἀρχόμενον. χρονίσας γὰρ συνεχῶς νυκτὸς ἐπιπίπτων, νόσημά τι τῶν μεγάλων, ἀποπληξίαν, ἢ μανίαν ἢ ἐπιληψίαν ἀγγέλλει, ὅταν ἐπὶ τὴν κεφαλὴν φέρηται ἡ αἰτία. ὅσα γὰρ οἱ ἐπιληπτικοὶ καθ' ἡμέραν, ταῦτα οἱ ἐφιαλτικοὶ πάσχουσι κοιμώμενοι. χρὴ οὖν τέμνοντα φλέβα καὶ καθάρσεις παραλαμβάνοντα, κενοῦν τὸ ὅλον σῶμα τοῦ πάσχοντος. μάλιστα δὲ βοηθεῖ τούτοις ὁ μέλας ἐλλέβορος < α. εἶτα σκαμμωνίας μίστροις ὀβολοὺς γ. καί τινα τῶν ἀνωδύνων, ἄννησον, δαῦκον, πετροσέλινον. καὶ ἡ διὰ τῆς σικυωνίας δὲ ἱερὰ μεγάλως βοηθεῖ. ἔστι δὲ ἡ Ῥούφου. ἡ δὲ δίαιτα ἔσω λεπτή. καὶ τὰ φυσώδη φυλάττεσθαι δεῖ. βοηθεῖ δὲ αὐτοῖς καὶ ὁ τῆς παιονίας καρπός. κόκκους δὲ πέντε καὶ δέκα τοὺς μέλανας τρίψας μεθ' ὕδατος πίνειν δίδου συνεχῶς.

Περὶ λυκάονος ἢ λυκανθρώπου. ις.

Οἱ τῇ λυκανθρωπίᾳ κατεχόμενοι, νυκτὸς ἐξίασι τὰ πάντα λύκους μιμούμενοι, καὶ μέχρις ἡμέρας περὶ τὰ μνήματα διατρίβουσιν. γνωριεῖς δὲ τὸν οὕτω πάσχοντα διὰ τῶνδε. ὠχροὶ τυγχάνουσι, καὶ ὁρῶσιν ἀδρανὲς, καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς, καὶ τὴν γλῶσσαν ξηροτάτην, καὶ σίελον οὐδ' ὅλως προχωροῦν αὐτοῖς. εἰσὶ δὲ καὶ διψώδεις, καὶ τὰς κνήμας, διὰ τὸ πολλάκις προσπταίειν, ἀνιάτως ἑλκωμένας ἔχουσι. τοιαῦτα μὲν τὰ γνωρίσματα. γινώσκειν δὲ χρὴ εἶδος μελαγχολίας εἶναι τὴν λυκανθρωπίαν, ἣν θεραπεύσεις ἐπὶ τοῦ χρόνου τοῦ τῆς ἐπισημασίας. τέμνων φλέβα, κενῶν τοῦ αἵματος ἄχρι λειποθυμίας. καὶ διαιτῶν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς. κεχρήσθω δὲ τοῖς λουτροῖς γλυκέσιν. εἶτα ὀρρῷ γάλακτος χρησάμενος ἐπὶ τρεῖς ἡμέρας, καὶ καθαρεῖς τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾶς, καὶ δεύτερον καὶ τρίτον. μετὰ δὲ τὰς καθάρσεις καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρῶ. καὶ τὰ ἄλλα παραλήψῃ ὅσα ἐπὶ τῆς μελαγχολίας εἴρηται. ἐπερχομένης δὲ ἤδη τῆς νόσου, τοῖς ὑπνοποιεῖν εἰωθόσιν ἐπιβρέγμασι χρήσῃ. καὶ ὀπίῳ δὲ χρίων τοὺς μυκτῆρας εἰς ὕπνον τρεπομένοις.

Περὶ τῶν ἐρώντων. ιζ.

Τοῖς κατὰ τὸν ἐγκέφαλον πάθεσι τοὺς ἔρωτας προσάπτειν οὐδὲν ἄτοπον, φροντίδας τινὰς ὄντας. ἡ δὲ φροντὶς πάθος ἐστὶ τῆς ψυχῆς ἐν κινήσει κοπώδει καθισταμένου τοῦ λογισμοῦ. παρακολουθεῖ δὲ τοῖς ἐρῶσι ταῦτα. ὀφθαλμοὶ κοῖλοι. καὶ οὐ δακρύουσι. φαινόμενοι δὲ ὡς ἂν ἡδονῆς πεπληρωμένοι εἰσίν. κινεῖται δὲ αὐτοῖς καὶ τὰ βλέφαρα θαμινά. τῶν τε ἄλλων τοῦ σώματος μερῶν οὐ συμπιπτόντων, μόνοι οὗτοι τοῖς ἐρῶσι συμπίπτουσι. σφυγμὸς δὲ τῶν ἐρώντων ἴδιος οὐδείς ἐστιν ὥς τινες ᾠήθησαν, ἀλλ' ὁποῖος ὁ τῶν φροντιζόντων. ὁπότε δὲ εἰς ὑπόμνησιν ἔλθοιεν τοῦ ἐρωμένου, ἤτοι δι' ἀκοῆς, ἢ ὁράσεως, καὶ μάλιστα ἐξαίφνης, τότε συμβαίνει τοὺς σφυγμοὺς

θορυβουμένους

θορυβουμένης τῆς ψυχῆς ἀλλοιοῦσθαι, μήτε τὴν κατὰ φύσιν ὁμαλότητα, μήτε τὴν τάξιν ἀποσώζειν. τούτους μὲν οὖν δυσθυμουμένους καὶ ἀγρυπνοῦντας, ἀγνοοῦντες τινὲς τὴν διάθεσιν, ἀλουτίαις τε καὶ ἡσυχίαις καὶ λεπτῇ διαίτῃ κατέτηκον. ἐφ' ὧν εὑρόντες οἱ σοφώτεροι τὸν ἐρῶντα, ἐπί τε λουτρὰ καὶ οἰνοποσίαν, ἑορτάς τε καὶ θεάματα, καὶ ἀκούσματα τὴν διάνοιαν ἀπάγουσιν. ἐνίοις δὲ φόβον ἐπιστᾶν δεῖ. οἱ γὰρ σχολάζοντες ἀεὶ τῷ ἔρωτι, δυσέκλειπτον ἔχουσι τὸ πάθος. χρὴ οὖν καὶ φιλονεικίας πρός τινας ἐπαγείρειν κατὰ τὰς ὑποθέσεις ὧν προῄρηνται βίων ἕκαστοι. καὶ τὸ ὅλον ἐφ' ἑτέρας μετάγειν φροντίδας τὸν λογισμόν.

Περὶ ἀποπληξίας καὶ ἡμιπληγίας ἤτοι παραλύσεως. ιη'.

Τῆς μὲν κοινῆς ἀρχῆς τῶν νεύρων παθούσης, κἀντεῦθεν πάντων τῶν κατὰ τὸ σῶμα μορίων ἀπολεσάντων τήν τε κίνησιν ἅμα καὶ τὴν αἴσθησιν, ἀποπληξία τὸ πάθος καλεῖται, μετὰ τοῦ καὶ τὰς ἡγεμονικὰς ἐνεργείας βεβλάφθαι. εἰ δὲ κατὰ θάτερον μέρος ἡ ἔμφραξις γένηται, ἡμιπληγία καὶ παράλυσις ὀνομάζεται. εἰ δὲ καθ' ἕν τι μόριον ἡ τοιαύτη συσταίη βλάβη, ἐκείνου τοῦ μορίου τὸ πάθος λεχθήσεται. φησὶ γοῦν Ἱπποκράτης, ἀπόπληκτον αὐτῷ τὸ σκέλος ἐγένετο. σώζεται οὖν ἐπὶ τῶν ἀποπλήκτων, βραχεῖά τις ἀναπνοή, ἥτις εἰ μὲν ἐπὶ πολὺ τῆς κατὰ φύσιν ἐνεργείας ἐκτραπείη, μεγίστην οἴσει τὴν διάθεσιν. εἰ δ' ἐπ' ὀλίγον, βραχεῖαν. χειρίστη δέ ἐστιν ὅταν διαλιμπάνει, ἢ καὶ μετὰ βίας μεγάλης προσγίγνεται. συνίσταται δὲ τὸ πάθος, ἀθρόως, ψυχροῦ πληρουμένου φλέγματος τὰς κυριωτάτας τοῦ ἐγκεφάλου κοιλίας. εἰ δέ ποτε ἡ τοῦ νωτιαίου ἀρχὴ ἅπαξ τὸ τοιοῦτο πάθοι, τὰ κάτω πάντα τοῦ προσώπου παραλυθήσονται. αὐτοῦ δὲ ἀπαθοῦς μένοντος, διότι τὴν αἴσθησιν καὶ τὴν κίνησιν τὰ ἐνθάδε ἀπ' ἐγκεφάλου δέχεται. εἰ δὲ κατὰ τοῦ ἡμίσεως, παραπληγία συνίσταται ἐκείνων τῶν μερῶν. εἰ δὲ ἡ ὄσφρησις πάθοι, ἤτοι τῶν ἔμπροσθεν κοιλιῶν τοῦ ἐγκεφάλου δυσκρασίαν ἀναδεξαμένων, ἢ τῶν ἐν τοῖς ἠθμοειδέσιν ὀστοῖς πόρων φραχθέντων, τὸ τοιοῦτον ἔσται. οἱ μὲν οὖν ἀπόπληκτοι κεῖνται ἄναυδοι, ἀκίνητοί τε καὶ ἀναίσθητοι, ἄνευ πυρετοῦ. προηγεῖται δὲ τοῦ πάθους, κεφαλῆς ἀθρόον καὶ ὀξὺ ἄλγημα, καὶ τῶν σφαγιτίδων φλεβῶν ἔπαρμα, καὶ σκοτοδινία, τῶν τε ὀφθαλμῶν μαρμαρυγαί, καὶ ψύξις ἄλογος τῶν ἄκρων, παλμοί τε τοῦ σώματος ὅλου καὶ δυσκινησία, καὶ ὀδόντων τρισμοὶ ἐν τῷ καθεύδειν. οὐροῦσί τε οἷον ἰώδη καὶ μέλανα ὀλίγα, καὶ κριμνώδη τινὰ ἔχοντα ὑπόστασιν. συμβαίνει δὲ τὸ πάθος περὶ τὴν πρεσβυτικὴν ἡλικίαν ταῖς φλεγματικωτέραις κράσεσι, καὶ διαίτῃ τοιαύτῃ. εἰ δὲ ἐν νεότητι καὶ θέρους ὥρα συσταίη, μεγάλην δηλοῖ τὴν ἀνάγκην.

Θεραπεία ἀποπληξίας καὶ ἡμιπληξίας ἤτοι παραλύσεως.

Τὸ τῆς ἀποπληξίας πάθος, οὐδαμῶς ἢ σπανίως θεραπεύεται. θάνατον γὰρ ἀπειλεῖ σύντομον. εἰ δέ που καὶ λυθείη, τὰ πολλὰ μετὰ παραλύσεως μέρους τινὸς τοῦ σώματος ἀπαλλάττεται. τοὺς μὲν οὖν ὅπως οὖν δυναμένους ἐξαθλῆσαι χρὴ αὐτίκα φλεβοτομεῖν. καὶ εἴπου ἐνδοσίν τινα σχοῖεν, ἐπαφαιρεῖν μὲν τῇ αὐτῇ ἡμέρᾳ, ἢ τῇ ἑξῆς. ὑπάγειν δὲ καὶ τὴν γαστέρα δριμεῖ κλυστῆρι, ἅλμῃ καὶ μέλιτι μίσγοντας. εἶτα ἀλειφέσθωσαν ἐλαίῳ πολλῷ τεθερμασμένῳ τὸ ὅλον σῶμα. τήν τε κεφαλὴν διὰ χαμαιμηλίνου ἢ ἀνηθίνου ἐλαίου, ἐν ᾧ ἀφεψήθη σφονδύλιον ἢ καλαμίνθη. μελίκρατόν τε ἐνστάζειν. καὶ ὀσφραντὰ προσάγειν, ὀποπάνακα, ἢ σαγαπηνόν, καὶ χαλβάνην, ἢ γοῦν καστόριον. δεῖ δὲ καὶ βιαίως διανοίγοντας τὸ στόμα, καθιέναι δάκτυλον ἢ πτερὸν ἐλαιοβραχές, ἐπὶ τῷ ἐκβάλλειν τὰ ἐγκείμενα. διαχρίειν δὲ καὶ τὴν ἕδραν, τοῖς ἐπαγωγοῖς τῶν πνευμάτων. διδόναι τε μελίκρατον ἢ ὀξύμελι πιεῖν. χρησόμεθά τε καὶ ἀποφλεγματισμοῖς τοῖς διὰ θύμου ἢ ὀριγάνου σὺν ὄξει ἑψημένοις. ἐνδόσεως δὲ γενομένης, παραληψόμεθα τὴν ἁπαλὴν καὶ εὐδιοίκητον καὶ χυλώδη τροφήν. τῆς ἀφωνίας δὲ ἐπιμενούσης καὶ τῆς δυνάμεως ἐπιτρεπούσης, καὶ σικύας τῷ ἰνίῳ προσάξομεν μετὰ ἐγχαράξεως. εἰ δὲ ἐνδέχοιτο, καὶ τοῖς ὑποχονδρίοις. κἄπειτα ἐωρείσθωσαν διὰ δίφρου ἢ φορείου ἢ τῆς κρεμαστῆς κλίνης. παραληπτέον δὲ καὶ τὰ πταρμικὰ συνεχέστερον, καὶ τοὺς ἀποφλεγματισμούς. μετὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἐπὶ τὰς λοιπὰς ἑώρας ἄξομεν. φροντίσωμεν δὲ καὶ τῆς διαλέκτου καὶ τὸ παλαιὸν ἀπόμελι δώσωμεν, μετὰ ψιχῶν ἢ ἄλικος. κἄπειτα δοτέον καὶ τῆς ἱερᾶς ὀλίγιστον. μετὰ δὲ μίαν καὶ εἰκοστὴν ἐπὶ βαλανεῖον ἄξομεν, καὶ οἶνον ἁπαλὸν δώσωμεν πιεῖν, ὑπερραίνοντες τῷ θερμῷ ὕδατι. καὶ τοῦ λοιποῦ διὰ βαλανείων καὶ ἀλειμμάτων τὰς ἀναλήψεις ποιώμεθα. διαγέτωσαν δέ, εἴπερ ἐγχωροῦν ἐστιν, ἐν παραθαλαττίοις τόποις.

Θεραπεία παρέσεως.

Εἰ δὲ πάρεσις εἴη, ἄνευ παίσεως τῶν ἡγεμονικῶν ἐνεργειῶν, πάντων τῶν μορίων ἢ ἐνίων, κἀνταῦθα χρὴ ἐκκενοῦν τὸν ἐνοχλοῦντα χυμὸν ὁποῖος ἂν εἴη. κἄπειτα διδόναι τῆς ἱερᾶς ἐχούσης καὶ καστορίου μέρος, ἀρχομένους ἀπὸ ἡμίσεως δραχμῆς, μετὰ ὀλίγου μέλιτος καὶ θερμοῦ ὕδατος.

ἀναλύοντας. ἤγουν καθ' αὑτὴν προσπλέκοντας καὶ πεπέρεως γράμμα τὸ ἥμισυ. κἄπειτα διαστήσαντας ἡμέρας δ΄, προσάγειν τελείαν δραχμήν. καὶ μετέπειτα μίαν καὶ ἡμίσειαν. εἶτα δύο καὶ τρεῖς. καὶ αὖθις διαστήσαντες τὰς αὐτὰς ἡμέρας, προσφέρειν τέσσαρας δραχμὰς, εἴγε οἷός τε ἦν ὁ πάσχων λαμβάνειν. ἐπιβάλλοντας μέλιτος κοχλιάριον α΄. ἤδη δὲ τὰ μόρια ἐπιτιθέναι τῶν διαφορητικῶν φαρμάκων τινά. καὶ τοῖς φοινίσσειν δυναμένοις, συνεπιβάλλοντας τούτοις τοῦ καστορίου, ἢ πεπέρεως, ἢ πυρέθρου, ἢ κάχρυος. ἢ εὐφορβίου. καὶ πρός γε τούτων ἐμβροχαὶ διὰ πηγανίνου ἐλαίου, ἢ σικυωνίου, ἢ παλαιοῦ. τροφαὶ σιτώδεις, ῥοφηματώδεις, ἢ ἄλλως εὔπεπτοι. καὶ ἀπέριττοι. σικύαι κολλάσθωσαν τοῖς παρειθεῖσι μέρεσιν. εἰ μὲν πολλὰ εἴη, μεμερισμένως, εἰ δ' ὀλίγα, ἐφ' ἕν. καταπλάσσειν δὲ μετὰ σικύας τοῖς διὰ πίσσης, ἢ ῥητίνης, ἢ μάννης. κάλλιστα δὲ ποιεῖ ἀρτεμισία συνεψομένη καλαμίνθῃ, καὶ κόνυζα, καὶ νίτρον. ὕδωρ δὲ μεμίχθω ὀλίγον. καὶ αὐτὸ δὲ ἐν τῇ ἑψήσει, ἀναλισκέσθω. ἥ τε κοιλία αὖθις ὑπαγέσθω, διά τε ἀλόης, ἢ πολυποδίου, ἢ σκαμμωνίας, ἢ τοῦ διὰ κολοκυνθίδος πολτοῦ. λιπάσματά τε συγχριστὰ τοιαῦτα. ἐλαίῳ παλαιῷ, ἐν ᾧ σκίλλα ἐνταριχεύεται ἤδη ἡμέρας μ΄ ὑφ' ἡλίῳ. εἰ δὲ μὴ παρείη τοῦτο. ἑψεῖς ἐν ἐλαίῳ δύο ℔. τῆς σκίλλης καὶ συγχρίεις. ἢ κάχρυν ὁμοίως σκευάσαντα. μικτέον δὲ καὶ κηροῦ ℔. α΄. ὑπὲρ τοῦ μὴ διαρρεῖν. εἰ δὲ καὶ χαλβάνης καὶ καστορίου καὶ εὐφορβίου καὶ ἀδάρκης καὶ νίτρου προσλάβοι ἀνὰ ℔. ς΄. φαρμακωδέστερόν ἐστιν. εὐθετεῖ δὲ ἀκριβῶς, καὶ βατράχιος βοτάνη ἐνεψομένη τῷ ἐλαίῳ ἐν ἡλίῳ ταριχευομένη. πότιμα δὲ καστορίου ὅσον < α΄. ὀποπάνακος κυάμου μέγεθος καταπινόμενος. θαυμαστῶς δὲ ποιεῖ καὶ τὸ σαγαπηνὸν ὀρόβου μέγεθος ἐν μελικράτῳ. καὶ τὸ καστόριον μετὰ ὀποπάνακος. καὶ ὀποῦ δὲ κυρηναϊκοῦ, κέγχρου μέγεθος. ὠφελεῖ καὶ ἡ διὰ τριῶν πεπέρεων ἀντίδοτος. χρησόμεθα δὲ καὶ ἀκόποις τοῖς θερμαίνουσι καὶ τοῖς ἀποφλεγματισμοῖς. μετὰ δὲ καὶ τὴν τεσσαρεσκαιδεκάτην, ἁδροτέρως δρῶμεν. καὶ γενομένης πολλῆς ὠφελείας, ἤδη βαλανεῖον ἄξομεν. μετὰ δὲ τριακοστὴν, δρώπακα προσφέρειν χρὴ, καὶ ἤδη βαλανεῖον ἄγειν. καὶ τὸ λοιπὸν καταπλάσσειν τῷ νάπυι, ἐφ' ὧν ἥ τε κίνησις καὶ ἡ αἴσθησις ἀπώλετο παρέχοντας, διὰ τὸ μὴ συναισθάνεσθαι εἰ μὴ ὑπερκαυθῶσιν. ἐπὶ δὲ τῶν μετεχόντων αἰσθήσεως, τοὺς φοινιγμοὺς μόνον δεῖ παραλαμβάνειν. χρὴ δὲ μετὰ τὸ οἰδῆσαι. ἤδη λουτρὸν ἄγειν, καὶ κηρωταῖς ἁπαλαῖς θεραπεύειν. καὶ τῷ ἀπὸ δείπνου δὲ κεχρήσθωσαν ἐμέτῳ. καὶ τῷ ἀπὸ ῥαφανίδων. ἐθιζέσθωσάν τε καὶ διὰ δίφρου, ἢ διὰ χειραμάξης, ἢ διὰ ζεύκτου. ἀγέσθωσαν δὲ τὸ λοιπὸν, ἤδη τὰ αὐτοφυῆ λουτρά. δίαιτα δὲ ξηροτέρα, καὶ ὀλιγοποσία, καὶ τρίψις ἁρμόσει. ξηροφαγείτωσαν γοῦν ἀνεχόμενοι τῆς δίψης ἐφ' ὅσον ἐγχωρεῖ.

Περὶ τῶν κατὰ χάλασιν ἢ κατάτασιν παρεθέντων.

Ἐπειδὴ τὰ παραλυθέντα μόρια ἢ ἐπισπᾶται ἢ χαλᾶται. καὶ τοῦτο ἢ ἀπὸ πληρώσεως, ἢ ἀπὸ κενώσεως, πάλιν προσέχειν χρή. καὶ πῆ μὲν ἀφαιρεῖν τοῦ αἵματος, πῆ δὲ οὔ. κἄπειτα ἤδη ἐπὶ τῶν κεχαλασμένων, τοῖς χαλῶσι τὰ στύφοντα μιγνύειν. καὶ τὴν τρίψιν ἐπιτεταμένην ποιεῖσθαι. ἐπὶ δὲ τῶν ἐναντίων, τοῖς χαλῶσι μόνον χρηστέον, μετὰ καὶ τοῦ κατατρίβειν μαλθακῶς. ἐχέτω δὲ τὸ ἔλαιον ἐπὶ τῶν κεχαλασμένων συνεψημένον ὀλίγον νίτρου καὶ σφέκλης. καταντλείσθωσαν δὲ σφοδρῶς θερμῷ τῷ ὕδατι, καὶ μάλιστα διὰ θαλάσσης, ἐν ᾗ ἀφεψήθησαν δάφναι, ἢ ἄγνου βλαστοὶ, ἢ σάμψυχον, ἤ τι τοιοῦτον. εἰ δὲ θέρος εἴη, καὶ νηχέσθωσαν ἐν τῇ θαλάττῃ. οἱ δὲ φοινιγμοὶ τούτοις μάλιστα ἁρμόζουσι. τοιγαροῦν καὶ τυπτέσθωσαν τὰ μόρια νάρθηξιν ἢ κνίδης κλάδοις. εἰ δὲ ἐπίμονοι ἡ παράλυσις. χρὴ τὴν μεταξὺ τῶν ἄρθρων κεχαλασμένην σάρκα ἐπισπασαμένους καίειν διαπείροντας καυστηρίοις μικροῖς καὶ λεπτοῖς. τοῖς δὲ συνηγμένοις ἐπιβάλλειν χρὴ συνεχῶς δρώπακα.

Περὶ τῆς ἐν ἑκάστῳ μορίῳ συνισταμένης παρέσεως.

Ἡ μὲν ἀπὸ διαιρέσεως νεύρου γινομένη τῶν μορίων πάρεσις ἀνίατός ἐστιν. ἡ δὲ ἀπὸ δυσκρασίας ἢ χυμοῦ τινὸς γινομένη βοηθεῖται, κοινῶς μὲν ταῖς εἰρημέναις δυνάμεσιν. εἰσὶ δὲ καὶ ἴδιαι τινὲς καθ' ἕκαστον αὐτῶν, ἃς ὑποτάξομεν. ἐπὶ μὲν οὖν τῶν κυνικῶς σπωμένων ἐξ ἴσης εἰς τὰ ἀντικείμενα παράγουσα διὰ τῆς φορβέας προσαγορευομένης, ἁρμόσει καὶ ἀφαίρεσις αἵματος ἀπὸ τῶν ὑπὸ τὴν γλῶτταν ἀγγείων. καὶ σικύαι κατὰ τοῦ πρώτου σπονδύλου. καὶ ἀποφλεγματισμοί. καὶ διὰ ῥινεγχύτου καθάρσεις. εἰδέναι οὖν χρὴ οὐ τὴν φαινομένην παρατετράφθαι σιαγόνα, τὴν παράλυσιν ἔχειν. ἀλλὰ τὴν ἀντικειμένην. καταπόσεως δὲ παρεθείσης, σικύας τῷ ἀνθερεῶνι κολλητέον. καὶ διαχριστέον τοῖς διὰ καστορίου, καὶ σαγαπηνοῦ, καὶ ὀποῦ παρθικοῦ. ὠφελεῖ δὲ καὶ ἀνακογχυλισμὸς διὰ τῶν δριμέων. καὶ τῆς γλώττης δὲ παρεθείσης, τὰς ἐν αὐτῇ φλέβας τμητέον. σικυαστέον τε τὸν ἀνθερεῶνα. καὶ ἀποφλεγματισμοῖς χρῆσθαι διὰ νάπυος.

νάπυος. καὶ γυμνασίοις τῆς γλώττης. τῶν δὲ φωνητικῶν παρεθέντων, περὶ θώρακι προσφέρειν τὰ βοηθήματα. πνεύματός τε κατοχῇ, καὶ ἀναφωνήσει χρῆσθαι. ἐπὶ δὲ ὀφρύων, τῶν βλεφάρων συγχρίσματα ὁμοίως ὠφελεῖ. ἐπὶ τέλει δὲ καὶ ἀναραφή. κύστεως δὲ παρεθείσης, εἴτ᾽ ἐπέχοιτο τὰ οὖρα, εἴτε ἀκουσίως ἐκκρίνοιτο, περὶ μὲν ἦτρον καὶ περίναιον τὰ φάρμακα προσενεκτέον. ἐνετέον δὲ τῇ ἕδρᾳ πηγάνινον ἔλαιον, ἢ σικυώνιον μετὰ βουτύρου καὶ καστορίου. χαλβάνης, ἢ ὀποπάνακος, ἢ ὀποῦ σιλφίου. καὶ τῇ κύστει δὲ παραπεμπόμενα ταῦτα διὰ τοῦ καυλοῦ, μεγάλως ὤνησεν, ἢ καὶ μόνα ἤρκεσεν. καὶ τὰ διὰ κενταυρίου δὲ καὶ κολοκυνθίδος κλύσματα τοῦ ἐντέρου, μετὰ σικυωνίου, χρήσιμα. σύνθετα δὲ καὶ τὰ διουρητικὰ πινόμενα. καὶ καστορίου ὡσαύτως. καὶ πρό γε πάντων καθετηριστέον τοὺς μηδὲν ἀφουροῦντας. ἐγκαθιστέον δὲ καὶ καταπλαστέον, τοῖς χαλαστικοῖς. τοὺς δὲ ἀπροαιρέτως ἐκκρίνοντας, στυπτικῶς ἀκτέον, διὰ τῶν στρυφνούντων βοηθημάτων. τροφαῖς δὲ ξηραῖς, καὶ ποτῷ ψυχρῷ χρηστέον. ἐν δὲ ταῖς ἀναλήψεσι, καὶ φοινιγμοῖς, καὶ αὐτοφυέσι λουτροῖς χρήσθωσαν ψυχροῖς. τοὺς δὲ ἐπὶ ῥάχεως τραύματι, ἢ πτώματι, ἢ ὀλισθήματι σπονδύλου, θανατικῶν συνδρομῶν συνεδρευουσῶν, ἀδύνατον ἰᾶσθαι. εἰ δὲ καυλὸς παρεθείη, τοῖς ἐπὶ κύστεως χρηστέον. ἐπί τε τῶν αὐτῶν μορίων καὶ τῶν ψοῶν. προσέτι δὲ καὶ τοῖς ἐντατικοῖς χρησώμεθα. ἀθετεῖ δὲ γάλα, τυρός, καὶ τὰ λοιπὰ πέμματα. θριδακίναι, καὶ τὰ λοιπὰ λάχανα. ἀπευθυσμένου δὲ παρεθέντος, ἐφ᾽ οὗ ποτὲ μὲν ἀκουσίως ἡ κόπρος ἐκκρίνεται, ποτὲ δὲ ἐπέχεται. τοῖς αὐτοῖς χρηστέον. ποτὲ μὲν τοῖς διὰ κλυστῆρος ἐνιεμένοις. ποτὲ δὲ τὰ στύφοντα. οἷον ἀφέψημα κυπαρίσσου, σχοίνου, βάτου. ποτὲ δὲ τὰ χαλῶντα, οἷον στέαρ ὕειον καὶ χήνειον, καὶ μολόχινον ἔλαιον. ἄλλοτε δέ, τὰ δάκνοντα. οἷον ἅλμην. ἢ κολοκυνθίδος, ἤτοι τῶν ὁμοίων ἀφέψημα. οὐδὲ γὰρ οὕτως ὠφελεῖ τὰς κινήσεις, ὡς ἡ ποικίλη μόχλευσις. εἰ δὲ ἀντίληψις εἴη ψύξεως. καὶ διὰ εὐφορβίου ἄκοπον ἐλαίῳ ἀνεθέντος ἐνιέσθω. τὰ δὲ κῶλα παρεθέντα μετὰ τῆς κοινῆς ἐπιμελείας, καμπτέσθω καὶ τριβέσθω. καὶ ἐκτεινέσθω κατὰ τὸν εἰρημένον τρόπον. τὸ γὰρ πλεῖστον τῆς ἐλπίδος, ἡ τρίψις ἐστίν.

Περὶ τῆς ἐπὶ κολικῷ νοσήματι γινομένης παρέσεως.

Κατὰ τοὺς ἡμετέρους χρόνους, κολική τις ὤχλησεν νόσος. ἐφ᾽ ἧς καὶ μάλιστα τοῖς σωθήσεσθαι μέλλουσιν, ἀκινησία μὲν παντελὴς ἀκολουθεῖ τῶν κώλων. ἡ δὲ τῆς ἁφῆς αἴσθησις, ἀβλαβὴς διαφυλάττεται ὡς ἔοικεν. οἷον κριτικῆς τινὸς ἐκ τοῦ βάθους μεταστάσεως γινομένης. ὅθεν αὐτομάτως ἐπανῆλθε τοῖς πολλοῖς ἡ κίνησις ἐν χρόνῳ. τοὺς δέ γε δυσιατοῦντας, καὶ τὰ ἁπλούστερα τῶν λεχθέντων ἰάσατο συγχρισμάτων. ἐξαίρετα δὲ τούτοις εὑρέθη, τό, τε διὰ τῆς αἰγείρου, καὶ τὸ διὰ τῆς ἐλάτης ἄκοπον. πολλοὺς δὲ καὶ τὰ στρυφνοῦντα καὶ μετρίως ὑποψύχοντα, μεγάλως ὤνησεν.

Περὶ σπασμῶν. ιθ΄.

Τῷ περὶ παραλύσεως, ὁ περὶ σπασμῶν ἀκολουθεῖ λόγος. ὅτι νεύρων εἰσὶν ἀμφότερα πάθη. διὸ καὶ περὶ τρόμων ἑξῆς εἰρήσεται. ὅταν μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς, ἢ οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος, ἀρξάμενοι γίνεσθαι σπασμοὶ διαμένουσιν, ὑπὸ πληρώσεως ἴσχουσι τὴν γένεσιν. ὅταν δὲ μεθ᾽ ἱδρῶτας πολλούς, ἢ ἐμέτους, ἢ διαχωρήσεις, ἢ αἱμορραγίας, ἢ ἀγρυπνίας, ἢ λιμόν, ἢ κινήσεις πολλὰς καὶ σφοδράς. ἐπὶ κενώσεσιν ἕπονται. καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων ἐξαίφνης σπασθῆναι συμβῇ, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι. εἰ δὲ ἐκ πυρετῶν διακαῶν ξηρανθείη τὸ ὅλον σῶμα καὶ τὰ νεῦρα, κἄπειτα διὰ τὴν ξηρότητα, σπασθείη. μέγιστον δὴ τοῦτο κακόν ἐστιν, καὶ σχεδὸν ἀνίατον. τὸ μὲν οὖν πρῶτον διακρατεῖν δεῖ τὰ συνελκόμενα πειθινίως, καὶ ταῖς ἀτάκτοις ἀντιβαίνειν κινήσεσιν. ἀνατριπτέον τε ἐλαίῳ διὰ πηγάνου, ἢ σικυωνίῳ, ἢ παλαιῷ, ἢ τινι τῶν τοιούτων. καὶ προποτιστέον μελικράτῳ. καὶ τοὺς μὲν ἐπὶ κενώσει σπωμένους, ἐλαίῳ τε ἢ ὑδρελαίῳ θερμῷ καταντλητέον. μηδενὸς δὲ κωλύοντος, καὶ εἰς λουτρὸν ἀπάξωμεν. εὐκράτῳ τε τῇ ἐμβάσει χρησώμεθα σὺν ἐλαίῳ, καὶ τρίψει μαλθακωτάτῃ. θρέψομέν τε αὐτοὺς τοῖς διὰ χόνδρου καὶ ἄλικος ῥοφήμασι. καὶ οἴνου λεπτοῦ, καὶ εὐαναδότου δώσομεν ὑδαροῦς. πλὴν εἰ μὴ πυρέττοιεν. τηνικαῦτα γὰρ πτισάνης χυλῷ χρησόμεθα, καὶ ὕπνον ἐπιτηδεύσομεν. τοὺς δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γινομένους σπασμούς, ἰάσῃ, τὸ μὲν πλῆθος κενῶν, τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτῆς βοηθήμασιν ἐκθεραπεύων. γίνεται δὲ σπασμός, καὶ ὅταν παραχθῶσιν σφοδρότερον ἐμοῦντες. βοηθεῖ δὲ τοῖς σπωμένοις, ἀκάνθου ῥίζα, καὶ ἀκάνθης τῆς λευκῆς τὸ σπέρμα πινόμενον. καὶ τῆς αἰγυπτίας ἀκάνθης. καὶ κενταυρίου δὲ τοῦ λεπτοῦ τὸν χυλὸν ἔνιοι διδόασι πίνειν, ὅταν διὰ πλήρωσιν ὁ σπασμὸς γίνεται. μὴ μόνον δὲ διδοὺς πίνειν, ἀλλὰ καὶ ἔξωθεν ἐπιχέειν κατὰ τοῦ δέρματος τὸ καστόριον ἅμα σικυωνίῳ. εἰ δὲ μὴ παύοιτο, σικύας προσβάλλειν μετὰ κατασχασμοῦ. σκελῶν μὲν συνελκομένων, ἰσχίοις καὶ τῷ ἐσχάτῳ σπονδύλῳ. χειρῶν τε σπωμένων, καὶ νώτῳ

καὶ τῷ πρώτῳ αὐτοῦ σπονδύλῳ τῷ τε ὑποκειμένῳ τοῦ ὤμου. ἀθρόως γε μὴν ὅλου τοῦ σώματος ἀπαθοῦς ὄντος, εἰ συνέλκοιτο χεῖλος ἢ βλέφαρον ἢ γλῶττα, χαλεπὸν ἡγητέον τὸ σύμπτωμα καὶ μεγάλων φόβων οἰστικόν, εἰ καὶ μικρὰ τὰ πεπονθότα μόρια δοκεῖ. τὰς οὖν ἀφαιρέσεις ἐπὶ τούτων ἀπό τε ἰνίου ποιητέον, καὶ τῶν πρώτων σπονδύλων.

Περὶ τετάνου καὶ τῶν τούτου διαφορῶν. κ̅.

Ὁ δὲ τέτανος σπασμός τις ὢν καὶ αὐτός. γίνεται οἷον ἀποπαγέντων τῶν τοῦ σώματος, καὶ μάλιστα τῶν κατὰ τὴν ῥάχιν μυῶν, ὑπὸ ψυχροῦ χυμοῦ ἔνδοθεν καὶ ἔξωθεν συστάντος. ὅθεν οὐδὲ σφᾶς αὐτοὺς ἐπικάμψαι δύνανται. ἀλλ' ὅταν μὲν εἰς τὸ πρόσω τείνεται τὰ μόρια τοῦ σώματος, λέγεται τὸ πάθος ἐμπροσθότονος. ὅταν δὲ εἰς τοὐπίσω, καλεῖται ὀπισθότονος. ὅταν δὲ ἰσοσθενῶς ἐφ' ἑκάτερα τείνεται, τέτανος τὸ πάθος προσαγορεύεται. ὁ δὲ Πέλοψ, ταῦτα τὰ πάθη τάσιν φησὶ καὶ συντονίαν τῶν περὶ τὸν τράχηλον μυῶν τε καὶ νεύρων, δι' ὧν ἐπίκυψίς τε, καὶ ἀνάνευσις καὶ περιστροφὴ τῆς κεφαλῆς γίνεται. ἀλλ' εἰ μὲν περὶ τοὺς ὄπισθεν μύας τοῦ τραχήλου συσταίη τὸ πάθος, ὀπισθότονος ἐκ τοῦ συμβαίνοντος. εἰ δὲ περὶ τοὺς ἔμπροσθεν, ἐμπροσθότονος. εἰ δέ γε περὶ ἀμφοτέρους, τέτανος προσαγορεύεται. τὸ δὲ αἴτιον, πλήρωσιν φησὶν τῶν μυῶν, πνεύματός τε καὶ ἀέρος παχέως καὶ νεφώδους. λέγει δὲ αὐτὸν ψυχρὸν ἄγαν, καὶ πεπηχότα, καὶ διὰ τοῦτο δυσκίνητον, ὅθεν καὶ τὰς ξηρὰς μᾶλλον πυρίας τούτοις, ἀλλ' οὐ τὰς ἐνύγρας ἁρμόττειν. αὗται μὲν αἱ τοῦ τετάνου διαφοραί. οὐκ ἐξαλλάσσεται δὲ παρὰ ταύτας ἡ θεραπεία κοινή τις οὖσα. κράτιστον μὲν οὖν ἁπάντων αὐτοῖς βοήθημα πυρετὸς ἐπιγινόμενος, οὐκ ὢν ἐξ ἀρχῆς. σημεῖα δὲ τούτων ἡ στεναγμώδης ἀναπνοή, καὶ σφυγμὸς ἀραιὸς καὶ μικρός. καίποτε καὶ γέλως αὐτοῖς σαρδόνιος ἐπιγίγνεται. καὶ ἔρευθος ἐπὶ τῷ προσώπῳ. καὶ τὰ ὄμματα αὐτοῖς ἐν ὄγκῳ μείζονι φαίνεται. καὶ ἢ οὐδ' ὅλως ἀπουροῦσιν, ἢ ὡς ὕδωρ αὐτοῖς ἐκδέδοται, ἢ ὕφαιμον ἔχον τινὰς πομφόλυγας. ἥ τε κοιλία ἀποξηραίνεται, καὶ ἀγρυπνητικώτεροι γίνονται. καὶ πολλάκις ὑπὸ σπασμῶν κινδυνεύουσιν ἀπὸ τῆς κλίνης ἐκπεσεῖν. καί που καὶ λύζειν ἄρχονται. καὶ ἀλγοῦσιν, οἱ μὲν τὴν κεφαλήν, οἱ δὲ συνωμίας καὶ ὀσφύν. τινὲς δὲ αὐτῶν, καὶ ὑπότρομοι γίνονται. ποιεῖ δὲ τὸ πάθος εἰ καὶ σπανίως, καὶ κόπος, καὶ χαμευνία, καὶ βάρους ἄρσις, καὶ πτῶμα, καὶ τραῦμα, καὶ καῦσις, καὶ πληγή. καὶ τὰ ἄλλα τὰ τὴν αὐτὴν ἐπιφέρειν βλάβην τοῖς νεύροις δυνάμενα. θεραπεύειν δὲ αὐτὰ ὡς τοὺς ἐπὶ κενώσει σπασμούς.

Θεραπεία τετάνων.

Τετανικῶς σπωμένους, ἐν ἀρχῇ φλεβοτομητέον, ἐρίοις τε σκεπαστέον ἐλαιοβραχέσι τὰ μέρη, διὰ σικυωνίου καὶ καστορίου σὺν παλαιῷ ἐλαίῳ. ἢ καὶ κύστιν πλατεῖαν θερμὸν ἔχουσαν ἔλαιον τοῖς τείνουσιν ἐπιτιθέναι. σικυαστέον τε μετὰ ἀμυχῶν. αἱ γὰρ κοῦφαι, καὶ βλάπτουσι. σικυαζέσθω δὲ ὅ, τε αὐχήν, καὶ ῥάχεως τὰ ἑκατέρωθεν, καὶ στήθους τὰ μυωδέστερα, καὶ ὑποχόνδρια. ὅ, τε τῆς κύστεως τόπος, καὶ ὁ τῶν νεφρῶν. μὴ φειστέον δὲ τῆς ἀφαιρέσεως, οὐκ ἀθρόον ἀφαιροῦντας, ἀλλὰ μεμερισμένως. τοὺς δὲ ἱδρῶτας ἐλαιοβραχέσιν ἐρίοις ἀναρπάζειν, μὴ λάθωσιν ψύξαντες. εἰ δὲ χρονίσειεν ὁ τέτανος, εἰς ἔλαιον ἐμβιβάζειν δὶς τῆς ἡμέρας. μὴ βραδύναντας εἰς αὐτό. ἐκλυτικωτάτη γὰρ τῶν δυνάμεων ἡ εἰς ἔλαιον ἔμβασις. ποτιστέον τε ὑδρομέλιτι λιπαρῷ εἰς ἥμισυ ἑψηθέντι. πάνακός τε ὀποῦ < .α̅. τοὺς εὐτόνους ποτιστέον. εἰ δὲ μή γε, τριώβολον ἢ τὸ ἐλάχιστον, ὀβολόν. ὑπείδοιτο δ' ἄν τις αὐτοῦ τὸ κακοστόμαχον. δοτέον καὶ ἀμμωνιακοῦ, ἢ ὀποῦ κυρηναϊκοῦ ὀροβιαῖον μέγεθος περιπλασθὲν ἀπέφθῳ μέλιτι καταπινέσθω. σιλφίου τε ῥίζης κοχλιάρια β̅. ἐμπλασθέντα μελικράτου κυάθοις τρισὶ δίδοται. ἢ ἀφεψήματι αὐτοῦ. ἢ σμύρνης < .α̅. μελικράτῳ ὑσσώπῳ τε ἀφέψημα. πάντων δὲ ἀπληκτότατόν ἐστιν καὶ ἀνυσιμώτατον καστορίου διδόναι κοχλιάρια β̅, ἢ τρία, μειώσαντα αὐτοῦ τὸ πλῆθος. οὐ λυπήσει γὰρ οὐδ' εἰ μετὰ τροφὴν ἐξ αὐτοῦ δίδως, καὶ τὰ λοιπὰ δὲ καὶ αὐτὸ τὸ ποτὸν χολῇ κατ' ὀλίγον λαμβανέτωσαν. δυσκαταποτοῦντες γὰρ εἰς τὰς ῥῖνας ἀνακόπτουσι τὸ πόμα. ὅθεν ἰσχυρῶς σπαρασσόμενοι ἐρεθίζονται σπᾶσθαι. διαχειέσθωσάν τε τὴν ἕδραν πηγανίνῳ ἐλαίῳ μετὰ ὀποπάνακος, ἐνιέσθωσάν τε τοῖς αὐτοῖς. τὴν δὲ τοῦ ψυχροῦ κατάχυσιν, ὡς Ἱπποκράτης φησίν, τολμηροτάτην οὖσαν, καὶ διὰ τοῦτο τοῖς μεταγενεστέροις οἶμαι διελεγχθεῖσαν, καὶ ἡμεῖς παραιτούμεθα. σύγχρισμα. νάρδου ξ. α̅. κηροῦ ℥. β̅. φύλλου ἀμώμου, στύρακος, μαστίχης ἀνὰ ℥. α̅. καστορίου, ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ ℥. στάχυος νάρδου, ὀποῦ βαλσάμου, ἀνὰ ℥. α̅.

Ὀπισθοτονικοῖς πότιμα.

Πάνακος ῥίζης, πεπέρεως λευκοῦ, κόστου, σμύρνης, μηκωνίου ἴσα δίδου ἄρακι ἴσον εἰς κοίτην. ποιεῖ καὶ ὀρθοπνοϊκοῖς. ἔστω δὲ καὶ τούτοις ἡ δίαιτα λεπτυντική τε, καὶ εὐδιοίκητος, καὶ παντάπασιν ἀπερίττος.

Περὶ τρόμων. κα΄.

Ὁ τρόμος καθόλου μὲν, διὰ τὴν τῶν νεύρων ἀσθένειαν γίνεται. τοῦτο δὲ μαρτυρεῖ ἡ γεροντικὴ ἡλικία. κατὰ μέρος δὲ πλείους αἰτίαι τοῦτον ἐργάζονται. καὶ γὰρ διὰ ψυχρὰν δυσκρασίαν καὶ διὰ ψυχροῦ πόσιν ὕδατος, καὶ μάλιστα ἐν πυρετοῖς ἀκαίρως παραληφθέντος. ἔτι τε διὰ ψυχρῶν καὶ γλίσχρων χυμῶν περιουσίαν. καὶ διὰ χρῆσιν οἴνου πλείονα. τοῖς μὲν οὖν ἐξ ἁμαρτημάτων προφανῶς τρέμουσιν, ἀποχὴ τῶν βλαψάντων ἔστω. ἐπιμένοντος δὲ καὶ πάλιν τοῦ τρόμου κατὰ τοὺς πυρετούς. πρῶτον μὲν ἐμβρεχέσθω τὸ σῶμα παλαιῷ ἐλαίῳ σαβίνῳ. ἐν δὲ ταῖς ἐνδόσεσι τῶν ἐπισημασιῶν παλαιῷ, ἢ σικυωνίῳ. σκεπέσθω δὲ τὰ ἄκρα, ἐρίοις μαλακοῖς περιειλημμένα. εἶτα προσβλητέον σικύας ἀπὸ τοῦ πρώτου σπονδύλου μέχρι ῥάχεως καὶ ὀσφύος. προκαταπλασσομένων τῶν μορίων μετὰ τῶν ὑποχονδρίων ὠμῇ λύσει. σκεπέσθω δὲ καὶ ταῦτα τὰ μέρη ἐρίοις ἐκ παλαιοῦ ἐλαίου ἢ σικυωνίου. εἰ δὲ χρονίσειεν οἱ πυρετοὶ, ἐμβιβαστέον παρὰ μίαν εἰς ἔλαιον ἢ ὑδρέλαιον. καὶ τρίψεσιν ἁπαλαῖς χρηστέον. εἰ δέ τι χρονίσει ἡ διάθεσις ψύξεως ὑπονοουμένης, προποτιστέον μελικράτῳ καὶ κασσορίῳ, καὶ θερμοῖς τόποις ἐωρητέον. εὐδιοίκητον δὲ τροφὴν παράγω μὲν. τὸ μὲν πρῶτον ῥοφηματώδη. εἶθ' ὕστερον δὲ καὶ πτηνῶν καὶ ἰχθύων τοὺς μελανοσάρκους. λυθέντων δὲ τῶν πυρετῶν, λουστέον παραιτουμένους τήν τε εἰς τὸ ψυχρὸν ἔμβασιν καὶ οἴνου πόσιν. εἰ δὲ πλῆθος εἴη παχέων καὶ γλίσχρων χυμῶν, τοῖς τέμνουσι καὶ λεπτύνουσι χρηστέον. ἔστι δὲ καὶ τόδε. πηγάνου κλωνίου, σφονδυλίου, ὅσον τρισὶ δακτύλοις, κασσορίου, καὶ νίτρου ἀνὰ ὀβολοὺς β΄. δίδου καθ' ἡμέραν κοχλιάριον ἓν μετὰ ὀξυμέλιτος, ἐφ' ἡμέρας τρεῖς νήστει. ἢ πάνακος καὶ πεπέρεως, κόκκους ε΄. ποτίζειν ἐν μελικράτου κυάθῳ α΄. ἁπλᾶ δὲ τρέμοντας προσποριζόμενα, ὠφελεῖ κασσόρειον. λαγωοῦ ἐγκέφαλος ἐσθιόμενος, ἀλθαίας ῥίζης ἀφέψημα. δαμασωνίου φύλλων < δ΄. ἐν μελικράτῳ. εὐπατόριον μεθ' ὕδατος. ἐπικρατούσης δὲ τῆς ψύξεως, καὶ τῷ διὰ ζωσίμου συγχρίσματι, καὶ τοῖς πρὸς πάρεσιν ἀναγεγραμμένοις ἀκόποις καὶ συγχρίσμασι καὶ φοινιγμοῖς χρησόμεθα. καὶ γυμνασίοις τοῖς διατρίψεσιν. καὶ τοὺς δι' οἰνοποσίαν δὲ τρέμοντας, ἀφεκτέον τοῦ οἴνου μέχρι τελείας ἀπαλλαγῆς.

Ὀφθαλμικὰ, καὶ πρῶτον περὶ ὀδύνης ἐκ τῶν Γαληνοῦ. κβ΄.

Ὅταν ὀδύναι γίνωνται σφοδρότεραι κατὰ τοὺς ὀφθαλμοὺς, ἐπισκέπτου κατὰ τίνα διάθεσιν, ὀδυνᾶσθαι συμβαίνει τὸν ὀφθαλμὸν ἐν ταῖς φλεγμοναῖς. ἤτοι γὰρ ἐν τῷ δάκνεσθαι σφοδρῶς ὑπὸ τῆς τῶν ἐπιρρεόντων δριμύτητος, ἢ διὰ τὸ τείνεσθαι πεπληρωμένους τοὺς χιτῶνας, ἢ δι' ἔντασίν τινα παχέων χυμῶν, ἢ πνευμάτων φυσωδῶν, αἱ ὀδύναι γίγνονται σφοδραὶ κατ' αὐτούς. τὰς μὲν οὖν δήξεις διὰ τῶν καθαρτηρίων κενοῦντας θεραπεύειν, καὶ τοῦ ὠοῦ τὸ λευκὸν ἐγχέοντας. πεπεμμένης δὲ τῆς φλεγμονῆς ἤδη, καὶ ἀπερίττου τοῦ σώματος ὄντος, ἐπιτηδειότατα τούτοις ἐστὶ λουτρά. τὰς δὲ ἐπὶ πληρώσει φλεγμονὰς διά τε κενώσεως αἵματος καὶ γαστρὸς ὑπαγωγῆς καὶ τρίψεως τῶν κάτω μορίων, ἰᾶσθαι προσήκει. τὰς δὲ ἐντάσεις, προκενώσαντα τὸ πᾶν σῶμα, καὶ μέντοι καὶ ἀντισπάσαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν, ἑξῆς αὐτοῖς τοῖς τοπικοῖς τοῖς διαφοροῦσι θεραπεύειν. πυριατέον οὖν αὐτοὺς, καὶ τὸ τῆς τήλεως ἐγχυτέον ἀφέψημα. ἐφ' ὧν δὲ ἡ ἔντασις ἐστὶν αἵματος παχέος ἐν τοῖς τῶν ὀφθαλμῶν φλεβίοις, ἄνευ πληθωρικῆς διαθέσεως ἐν ὅλῳ τῷ σώματι, οἴνου χρῆσθαι πόσει, διαθερμαίνειν τε δυναμένου, καὶ κενοῦν, καὶ ἐκφράττειν.

Περὶ ταράξεως καὶ ἰδίως ὀφθαλμίας.

Ἡ μὲν τάραξις ὑγρότης ἐστὶ τοῦ ὀφθαλμοῦ καὶ θερμότης σὺν ἐρεύθει παρὰ τὸ κατὰ φύσιν, οὐκ ἐκ τοῦ σώματος ἀλλ' ὑπό τινος ἔξωθεν αἰτίου γινομένη, οἷον ἡλίου, καπνοῦ, κονιορτοῦ, ἐλαίου. διὸ καὶ λύεται τάχιστα χωριζομένης τῆς αἰτίας. καὶ ἡ ὀφθαλμία διατάραξις τίς ἐστιν. οὐ μόνον ἔξωθεν, ἀλλὰ καὶ χωρὶς φανερᾶς αἰτίας γινομένη, καὶ ἐπιμένουσα ἕως τρίτης ἢ τετάρτης ἢ καὶ πέμπτης ἡμέρας. θεραπεύεται δὲ ῥᾷστα τῶν ἔξωθεν ἐρεθιστικῶν παραφυλακῇ, ὀλιγοσιτίᾳ, ὑδροποσίᾳ ἢ περιπάτῳ, εὐλυσίᾳ κοιλίας.

Περὶ φλεγμονῆς.

Ἐναπολειφθείσης δὲ φλεγμονῆς ἐν τοῖς ὀφθαλμοῖς. μετὰ τὴν ὅλου σώματος κένωσιν, ὑπαλείψεσι χρηστέον διὰ τῶν ἀποκρούεσθαι δυναμένων τὴν ἐπιφορὰν, καὶ πραΰνειν τὸν ἐρεθισμόν. οἷόν ἐστι τὸ νείλου διάρροδον, ἢ καὶ τὸ μηδιακὸν, καὶ τὸ νάρδινον. φλεγμαίνοντος δὲ τοῦ ἐπιπεφυκότος, τοῖς μονημέροις καλουμένοις χρηστέον μετὰ λευκοῦ τοῦ ὠοῦ ἐγχέοντας. κατὰ δὲ τὴν ὑστεραίαν, εἰ μή τι τὰ τῆς φλεγμονῆς ἐπιτείνοι, ἐπαλειπτέον τῷ ναρδίνῳ. πυρίᾳ δὲ χρῆσθαι δι' ἀφεψήματος μελιλώτου τε καὶ τήλεως. παχέος δὲ ὄντος τοῦ τὴν ὀφθαλμίαν ποιοῦντος ὑγροῦ, φαρμάκοις χρησώμεθα, μήτε ἐμπλάσσουσι, μήτε παχύνουσι τὰ ὑγρὰ, ἀλλὰ διαχεῖν τε καὶ

ὑγραίνειν καὶ ἐκκρίνειν δυναμένοις, οἷόν ἐστι τὸ χιακόν. ἐὰν δὲ περὶ τὴν κεφαλὴν ἐμφυσώθῃ τὰ ἐν ὑγρασίᾳ, σικύαν προσβάλλειν ἐπὶ ἰνίῳ, ἢ κατασχάζειν, ἢ βδέλλας προσάγειν ἐπὶ μετώπῳ κατὰ τὸν ἀλγοῦντα ὀφθαλμόν. καταπλάττειν τε ἄρτου καθαροῦ βραχέντος ὕδατι σὺν ὀλίγῳ ῥοδίνῳ. ἢ ἀλφίτοις ἑψηθεῖσι κωδυῶν ἀφεψήματι, ὁμοίως σὺν ῥοδίνῳ. καὶ δραστικωτέρῳ δὲ χρηστέον καταπλάσματι, ἀπό τε κρόκου, καὶ μελιλώτου, καὶ φοινίκων σαρκῶν, καὶ κοριάνου φύλλων ἁπαλῶν, ὠῶν τε καὶ πυρῶν ὀπτηθέντων καὶ ψιχῶν βραχεισῶν εἰς ἕψημα, καὶ ῥοδίνου βραχέως, λειουμένων κωδυῶν ἀποζέματι. καὶ τοῦ σπέρματος δὲ τῶν κωδυῶν ἔστιν ὅτε μίγνυμεν ἀνωδυνίας χάριν. εἰ δὲ πολλὴ εἴη ὀδύνης ἡ ἀνάγκη καὶ ὀπίου μικτέον ἐλάχιστον. χωρὶς δὲ μεγίστης ὀδύνης, παραιτητέον τὰ ναρκωτικά. εἰ δὲ μετρία ἡ φλεγμονὴ εἴη, ἀλόης καθ' αὐτὴν ἀνεὶς, ἢ ὕδατι ἢ ὠοῦ τῷ λευκῷ ἔγχριστον. ἵνα δὲ καὶ ἕτοιμον ὑπάρχοι βοήθημα. βαλὼν κρόκου < .ς̄. ἀλόης < .ιϛ. κόμμεως < .θ̄. ὕδατι ὀμβρείῳ ἀναλάμβανε, καὶ ποίει κολλούρια. καὶ τὰ διάκροκα δὲ προσαγορευόμενα, πρὸς ἀρχὰς ὀφθαλμιῶν εἰσὶν ἐπιτήδεια. ἐφ' ὧν δὲ οἰδηματώδης ὄγκος καὶ ἔκλευκός ἐστι περί τε τὰ βλέφαρα καὶ τὸν ἐπιπεφυκότα χωρὶς βλάβης τῶν χιτώνων. εὐχρηστεῖ καὶ τὰ ὑγροκολλούρια καλούμενα, διά τε κρόκου καὶ χαλκάνθου καὶ μέλιτος σκευαζόμενα. καὶ τοῦτο δὲ κάλλιστον.

Ὑγροκολλούριον ἀνώδυνον.

Μελαντηρίας σκυθερμικῆς. μέλιτος ἀττικοῦ, χυλοῦ τήλεως ἴσον ἕψε ἄχρι μέλιτος ἔχῃ πάχος. εἶτα ἐπὶ πυρῆνι τῆς μήλης ἅπτου τῶν δύο κανθῶν.

Πρὸς ἐπιφορὰν ῥευμάτων.

Πρὸς δὲ τὰς ἐπιφορὰς τῶν ῥευμάτων. ἐν ἀρχῇ μὲν ἁρμόζει ἀσιτία καὶ ὑδροποσία, καὶ πάντων μᾶλλον συνουσίας ἀποχή, καὶ κοιλία ὑποσυρέσθω, καὶ ὀξυκράτῳ ὑδαρεῖ προσκλυζέσθω τὸ πρόσωπον. εἰ μάλιστα ζέον εἴη τὸ ῥεῦμα. εἰ δὲ μή. χαλκάνθῳ σὺν μέλιτι καταχριέσθω τὸ μέτωπον καὶ τὰ βλέφαρα. ἔνιοι δὲ τὸ χάλκανθον ὕδατι διέντες διδόασι προσκλύζεσθαι. ἐπὶ δὲ τῶν ἄνευ φλεγμονῆς ῥευματιζομένων. ἢ καὶ σὺν φλεγμονῇ μέν, ὑπὲρ τὸ σκύφιον δὲ τῆς κατασκευῆς οὔσης, ἀνακολλήμασι χρηστέον κατὰ τοῦ μετώπου. ἁπλοῖς μέν, ἀμπέλου φύλλοις χλωροῖς ἢ βάτου χυλίσματι. ἢ ἀνδράχνης, ἢ κυδωνίων σὺν λεπτῷ ἀλφίτῳ. ἢ κηκίδι λείᾳ σὺν οἴνῳ. καὶ τῷ λεπτῷ τοῦ ἀλφίτου, ἢ κωνίου, ἢ ψυλλίου σὺν ὕδατι. ἢ στρύχνῳ, ἢ κοχλίοις σὺν τοῖς ὀστράκοις λείοις, καταπλασθεῖσιν ἀπὸ κροτάφου ἐπὶ κρόταφον. καὶ καθόλου εἴη στύφουσί τε καὶ ψύχουσι. συνθέτοις δὲ τοῖσδε. γύρις σιτίνη, καὶ σμύρνα, ἢ λίβανος σὺν ὠοῦ τῷ λευκῷ καταχριέσθω. ἢ σαμία γῆ μετὰ σμύρνης καὶ μάννης, ὁμοίως τῷ λευκῷ τοῦ ὠοῦ. ἐπὶ δὲ τῶν ψυχροτέρων ῥευμάτων, θείου ἀπύρου, ἀσφάλτου, πίσσης, κολοφωνίας ἀνὰ < .β̄. καὶ ὁ μοῦσα δὲ τροχίσκος, καὶ ὁ ἀστὴρ, καὶ τὰ παραπλήσια καλῶς ἀποκρούεται. καὶ ἡ θηριακὴ οἴνῳ στύφοντι διειμένη ἐν τῷ μετώπῳ ἐπιχριομένη, τὰ ψυχρὰ τῶν ῥευμάτων ἵστησιν. αὕτη μέν γε καὶ πινομένη, μεγάλως τούτοις ὀνίνησιν. ἐπ' αὐτῶν δὲ τῶν ὀφθαλμῶν. ἔριον ἢ ῥάκος λεπτὸν ἐπὶ λευκῷ τοῦ ὠοῦ δεύσας, ἐπιτίθει. καὶ τυρὸς νεοπαγὴς, ὁμοίως ἐπὶ τῶν ὀφθαλμῶν τιθέμενος τὰ δριμέα μάλιστα τῶν ῥευμάτων ἐπέχει. καὶ τὰ στακτικὰ λεγόμενα κολλούρια, ἐπιχριόμενά τε καὶ ἐνσταζόμενα ὑδαρῆ τοῦτο δρᾷ. εἰ δὲ διὰ βάθους καὶ ὑποσκύφιον τὸ ὑγρὸν ὑπάρχον εἰς χρόνου μῆκος ἐκτείνεται. μετὰ τὰς καθόλου κενώσεις, ἐρρινοῖς τε καὶ ἀποφλεγματικοῖς χρηστέον, καὶ ξυρήσει καὶ φοινιγμοῖς τῆς κεφαλῆς. ἐπὶ δὲ τούτων καὶ τὰς ἐν τῇ κεφαλῇ χειρουργίας παραλαμβάνουσιν. ἀγγειολογίαν φημὶ καὶ ἀρτηριοτομίαν, ὑποσπαθισμόν τε καὶ περισκυφισμόν. καὶ καῦσιν κατὰ τῆς κορυφῆς, ἕως ὀστέου. καὶ σικύαι δὲ κατὰ τὰ τοῦ ἰνίου μετ' ἐγχαράξεως, ἀντισπᾶν δύνανται τὴν ἐπίρροιαν. σημεῖα δὲ τῶν μὲν ἔξω τοῦ σκυφίου ῥευμάτων, διατάσεις ἀγγείων περὶ μέτωπον καὶ κροτάφους. καὶ οἷον δεσμὸς τῆς κεφαλῆς. καὶ τὰ ξηραίνοντα τῶν ἀνακολλημάτων ὠφελοῦντα. τούτων δὲ μὴ παρόντων, τῆς ἐπιρροίας χρονιζούσης, καὶ πταρμῶν ἔσθ' ὅτε ἐνοχλούντων, ὑποσκύφιον νομιστέον εἶναι τὸ ὑγρόν.

Περὶ χημώσεως.

Χήμωσιν λέγουσιν, ὅταν ὑπὸ φλεγμονῆς ἰσχυρᾶς ἀμφότερα τὰ βλέφαρα ἐκτραπῇ, ὡς μόλις ὑπ' αὐτῶν τοὺς ὀφθαλμοὺς καλύπτεσθαι. καὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ μετεωρότερον τοῦ μέλανος γίνηται, καὶ ἐρυθρὸν, καὶ πολυμερῶς ἐπιλαμβάνει τοῦ μέλανος. θεραπεύειν δὲ αὐτὴν φλεβοτομίᾳ, καθαρτικῷ τε καὶ ἐπὶ διαρρόδῳ κολλουρίῳ ἐπὶ λευκῷ, καὶ τῷ σποδιακῷ, μετὰ γάλακτος ἢ ὠοῦ τοῦ λευκοῦ. ἐπὶ δὲ αὐτῷ περιχρίειν τὰ βλέφαρα, καὶ κροτάφους, καὶ μέτωπον. πυρίαις τε καὶ καταπλάσμασι παρηγορικοῖς χρηστέον. ἐνδούσης δὲ τῆς φλεγμονῆς, ὑπαλειπτέον τοῖς δριμυτέροις. οἷόν ἐστι καὶ τὸ χλωρὸν διάρροδον.

Περὶ

Περὶ ὑποσφαγμάτων καὶ ἐμφυσημάτων.

Ὑπόσφαγμά ἐστι ῥῆξις τῶν φλεβῶν τοῦ ἐπιπεφυκότος, ἐκ πληγῆς ὡς μάλιστα γινομένη. ἐγχυματίζειν οὖν αὐτοὺς αἵματι φάσσης ἢ περιστερᾶς, ἢ θερμῷ γάλακτι γυναικείῳ, βραχὺ ἀποτρίβων λιβανωτοῦ. ἢ ἅλμην ἔνσταζε, καὶ μάλιστα ἀπὸ καππαδοκικῶν ἁλῶν. καὶ πυρίᾳ κέχρησο διὰ ἀφεψήματος ὑσσώπου. πρὸς δὲ τὰ γινόμενα περὶ τοὺς ὀφθαλμοὺς οἰδήματα διὰ πληγὰς ποιεῖ, πυρία δι' ὀξυκράτου συνεχής, καὶ σπόγγος ἐκ τοῦ ὀξυκράτου ἐπικείμενος. ἐπίχριστον δὲ σφεκλάρειον κεκαυμένον καὶ κόπρος περιστερᾶς ἴσα, οἴνῳ ἢ ὄξει λεῖα. καταπλάσσειν δὲ τυρῷ νεαρῷ, ἢ ῥαφανοῦ φλοιῷ, ἢ σταφίδι χωρὶς τῶν γιγάρτων, ἑκάστῳ ἐν ὀξυκράτῳ ἢ μελικράτῳ. τὰ δὲ αὐτὰ καὶ πρὸς ἐμφυσήματα.

Πρὸς ἐμφυσήματα κνησμώδη καὶ ψωροφθαλμίας.

Τὸ μὲν ἐμφύσημα, ὄγκος ἐστὶν οἰδηματώδης τοῦ βλεφάρου. ἡ δὲ ψωροφθαλμία, κνησμώδης τοῦ βλεφάρου ψωρίασις, δι' ἁλμυρὸν καὶ νιτρῶδες ὑγρὸν γινομένη. ἁρμόζει οὖν αὐτοῖς τό, τε ὀξύκρατον καὶ φακῶν ἀφέψημα. καὶ ῥόδων πυρίαν. ὑγροκολλούριον δὲ τόδε. χαλκοῦ < ϛ. μίσυος ὀπτοῦ, σμύρνης ἀνὰ < γ. κρόκου < α. S. πεπέρεως < α. οἴνου χίου καὶ γλυκέως κρητικοῦ ἀνὰ κύ α. S. ἕψε ἕως μέλιτος ἔχῃ πάχος. αὕτη δέ ἐστιν ἡ Ἐρασιστράτου πάγχρηστος ποιοῦσα καὶ πρὸς συνάγχην, καὶ τὰ ἐν στόματι ἕλκη, καὶ ἐν αἰδοίῳ, καὶ ὠταλγίας. χριέτωσαν δὲ καὶ ἐλαίῳ τὰ βλέφαρα καθεύδειν μέλλοντες. ἀπεχέσθωσαν δὲ ὀξέων, καὶ ἁλμυρῶν, καὶ δριμέων.

Περὶ σκληροφθαλμίας καὶ ξηροφθαλμίας.

Ἡ μὲν σκληροφθαλμία, σκληρότης καὶ δυσκινησία ἐστὶ τοῦ ὀφθαλμοῦ, μετὰ πόνου καὶ ἐρεύθους, χωρὶς ὑγρασίας. πυριᾶν οὖν αὐτοὺς συχνῶς σπόγγοις ἐξ ὕδατος θερμοῦ. καὶ ἐπιτιθέναι τοῖς βλεφάροις εἰς κοίτην ᾠὸν μετὰ ῥοδίνου, ἢ στέαρ χηνός, φεύγοντας τὰ ψυχρὰ καὶ σκληρυντικά. σκεπαζέσθω δὲ καὶ λιπαινέσθω ἡ κεφαλή, καὶ ἡ κοιλία ὑπαγέσθω. ἡ δὲ ξηροφθαλμία κνησμώδης ἐστὶ τῶν ὀφθαλμῶν διάθεσις χωρὶς ῥεύματος. θεραπεύειν δὲ αὐτὴν λουτροῖς τε καὶ ἀλείμμασι καὶ εὐχύμῳ διαίτῃ. ἐφαρμόσει δὲ κοινῶς ἐπ' ἀμφοῖν καὶ φάρμακα τῶν δριμέων, ὥστε καὶ δάκρυον προκαλεῖσθαι, δι' ὧν ἥ τε σκληρία ἀνεθήσεται, καὶ ἡ ξηρότης διυγρανθήσεται. τοιαύτη δέ ἐστιν καὶ ἡ Ἐρασιστράτου πάγχρηστος, καὶ τὸ λεγόμενον δικέντητον, καὶ τὸ καλούμενον στρατιωτικόν.

Περὶ ἐκτροπίων.

Ἐκτροπὴ τοῦ βλεφάρου. τοῦτο τὸ πάθος ἐστίν, ἢ διὰ οὐλήν, ἢ διὰ ὑπερσάρκωσιν γιγνόμενον. ἐπὶ μὲν οὖν τῶν διὰ ὑπερσάρκωσιν χρονισάντων, ἰὸν ξυστὸν φώξας, λείου καὶ πρόσαπτε. ἢ μολίβδῳ κεκαυμένῳ μετὰ θείου ἀπύρου, καὶ πεπλυμένῳ. ἢ ἀμφοτέροις ἴσοις, τῷ τε ἰῷ, καὶ τῷ μολίβδῳ. τὸ γὰρ διὰ οὐλὴν ἐκτρόπιον, εἴπερ ὅλως θεραπεύοιτο, ἡ χειρουργία ἰᾶται.

Περὶ αἰγίλωπος καὶ ἀγχίλωπος.

Ὁ μὲν αἰγίλωψ ἀπόστημά ἐστιν μεταξὺ τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινός, ῥηγνύμενόν τε καὶ εἰ ἀμεληθείη συριγγούμενον ἕως ὀστέου. πρὶν ἢ δὲ εἰς ἕλκος ἐκραγῇ τὸ ἀπόστημα, αἰγίλωψ λέγεται. καλῶς οὖν ποιεῖ καὶ γλαύκιον καὶ κρόκος, ἅμα χυλῷ περδικιάδος ἐπιτιθέμενα. συνεχῶς δὲ ἀλλάσσειν χρή. καὶ οὐδὲ φθάσωσι μεταβληθῆναι. Ἄλλο. Ἄλιξ ἑψόμενος ἐν ὄξει καὶ καλῶς τριβόμενος, οὐ μόνον ἀρχομένους ἀλλὰ καὶ μεταβληθέντας εἰς πύον, ἰᾶται, καὶ ῥήγνυσι, καὶ ἄχρις ὀστέου κάτεισι. τούτῳ χρησάμενος, οὐ μόνον αἰγίλωπας ἀλλὰ καὶ ἀγχίλωπας ἰάσῃ. Ἄλλο. Πήγανον ἥμερον ἅμα προτοσάλκτῳ λειούμενον καὶ ἑψόμενον καὶ ἐπιτιθέμενον, πάνυ καλῶς ἀνασκευάζει τοὺς αἰγίλωπας. καὶ ἄχρι τοῦ ὀστέου κάτεισιν, κατ' ἀρχὰς δάκνων, ὕστερον δὲ οὐκ ἔτι. καὶ τὸ θαυμαστόν, ὅτι οὔτε οὐλὴν ἄσχημον φέρουσιν. Ἄλλο. Κοχλίους μετὰ τῶν ὀστράκων λεάνας τοῦτο ἐπίθες. ἔστι δ' ὅτε καὶ ἀλόης ἢ σμύρνης ἐπιμιγνυμένης τούτῳ, πρὸ τοῦ εἰς πύον μεταβληθῆναι τὸν αἰγίλωπα. καὶ μετὰ τὸ ῥαγῆναι δὲ ξηραίνει.

Περὶ τραχώματος.

Τὸ μὲν τράχωμα, τραχύτης ἐστὶ τῶν ἔνδον τοῦ βλεφάρου. ἡ δὲ τούτων ἐπίτασις, ὥστε καὶ οἷον ἐντομὰς ἔχειν, σύκωσις καλεῖται. χρονίσασα δὲ καὶ τυλωθεῖσα, τύλωσις ὀνομάζεται. κολλυρίοις μὲν οὖν χρηστέον. τῷ τε διὰ οἴνου καὶ τῷ διὰ τῶν δύο λίθων. καὶ αὐτῷ τῷ αἱματίτῃ λίθῳ δι' ὕδατος πλυθέντι καθ' ὑποβολήν, ὑποσμύχοντα τὸ βλέφαρον. καὶ τὸ ἁρμάτιον δὲ μετ' ὀλίγου τοῦ κυκναρίου, ἢ διακρόκου, πρὸς ταῦτα καὶ ταῖς ψωροφθαλμίαις ἁρμόζει χωρὶς ἑλκώσεως. ἐκστρεφομένου τοῦ βλεφάρου ἐπιχειρούμενον. εἰ δὲ σκληρὸς ὢν ὁ τύλος μὴ τούτοις εἴκοι, ἐκστρέψαντες τὸ βλέφαρον, ξέσωμεν διὰ κισσήρεως, ἢ σηπίας ὀστράκου, ἢ φύλλων συκῆς, ἢ καὶ διὰ τοῦ ὀργάνου τοῦ βλεφαροξύστου καλουμένου.

Περὶ χαλαζίων.

Χαλάζιόν ἐστιν, ἀργοῦ ὑγροῦ σύστασις κατὰ τὸ βλέφαρον· ἐφ' οὗ ἀμμωνιακὸν ὄξει λειώσας ἅμα χαλβάνῃ, χρίε. ποιεῖ δὲ καὶ ἅμα κηρωτῇ καὶ τερεβινθίνῃ ἀναλαμβανομένη.

Περὶ κριθῆς.

Κριθή ἐστιν, ἀποστημάτιον κατὰ τὸν τοῦ βλεφάρου ταρσὸν ἐπίμηκες. δεῖ οὖν αὐτῷ κηρῷ λευκῷ πυριᾶν, ἢ μυίας τὴν κεφαλὴν ἀποβαλόντα τῷ λοιπῷ σώματι παρατρίβειν. ἢ κριθῶν ἀποβρέγματι καταντλεῖν.

Περὶ φθειρὸς τοῦ ἐν τοῖς βλεφάροις.

Ἐκκαθάραντας πρότερον τοὺς φθεῖρας, δεῖ, θαλάσσῃ προσκλύζειν χλιαρᾷ. εἶτα προσάπτεσθαι τοῦ ταρσοῦ τῷ ὑπογεγραμμένῳ φαρμάκῳ. στυπτηρίας σχιστῆς μ. β̄. σταφίδος ἀγρίας μ. ᾱ. λείοις χρῶ.

Περὶ μαδαρώσεως ἤτοι μιλφώσεως.

Ἀπόπτωσίς ἐστι τῶν τοῦ βλεφάρου τριχῶν, τοῦτο τὸ πάθος. μετὰ οὖν τῆς ὅλου τοῦ σώματος ἐπιμελείας χρῶ τοῖς καλλιβλεφάροις λεγομένοις σμήγμασι. γῆς ἀμπελίτιδος, κρόκου κιλικῆς, λαδάνου ἴσα λειάνας χρῶ. Ἄλλο. Στίμεως ὀπτοῦ πεπλυμένου < . ᾱ. μολίβδου Κπ̄. < . δ̄. κρόκου < . δ̄. νάρδου ἰνδικῆς < . γ̄. λείοις χρῶ. Ἄλλο. Φοινίκων ὀστῶν κεκαυμένων < . γ̄. νάρδου κελτικῆς < . β̄. λείοις χρῶ. τοῦτο καὶ τοὺς ψωρώδεις ὀφθαλμοὺς ἰᾶται.

Τὸ τοῦ νεαπολίτου πρὸς μιλφώσεις, καὶ χρονίας τῶν βλεφάρων διαθέσεις.

Στίμεως, καδμίας, χαλκίτιδος, μίσυος ξενικοῦ, ἴσα κόπτε παχυμερῶς, καὶ μέλιτι φυράσας ὄπτα, καὶ λειώσας, χρῶ.

Περὶ πτιλώσεως.

Ἡ πτίλωσις, παχύτης ἐστὶ τῶν βλεφάρων τυλώδης, ἐνερευθής, οἷς συμβαίνει πολλάκις καὶ τῶν τριχῶν ἀπόπτωσις. πρὸς τοῖς εἰρημένοις οὖν καὶ τοῦτο ἄκρως ποιεῖ. μυόχοδα κεκαυμένα, καὶ μέλιτι συλλεωθέντα, ἔγχριε.

Πρὸς τὰς τῶν ὀφρύων μαδαρώσεις.

Ἐλαίῳ ἢ στέατι χηνείῳ χρίσας τοὺς δακτύλους, μόλιβδον διάτριβε. καὶ τούτῳ χρίε. Ἄλλο. Τοῦτο καὶ ὑπομελαίνει. κάρυα ποντικὰ καύσας τρίβε ἅμα στέατι αἰγείῳ, ἢ ἀρνείῳ. Ἄλλο. Τοῦτο ποιεῖ καὶ πρὸς τὰς ἐν πώγωνι ἀλωπεκίας. ὑοσκυάμου < . β̄. μυοχόδων δραχμὴ μία. πολυτρίχου < . ᾱ. ἰρίνου μύρου κοχλιάρια δ̄. τρίψας εὖ μάλα πρόμιξον τὸ μύρον, καὶ προπυριῶν ἐπίχριε. ἐὰν δὲ προξυρήσῃς, μᾶλλον ποιεῖ.

Πρὸς τριχίασιν βλεφάρων.

Προεκτίλας τὰς νυσσούσας τρίχας, ἐπίχριε τὸν τόπον εὐθέως αἵματι βατράχου καθ' αὐτό. ἢ μετὰ τέφρας χαμαιλέοντος λευκοῦ. ἢ αἷμα κορέων. ἢ καπνοῦ, τοῦ ἐν ταῖς κριθαῖς φυομένου, χυλὸν μετὰ κόμμεως. ἢ τελλινῶν τέφρα ταριχηρῶν, μετὰ κεδρίας. ἢ λωτοῦ τέφραν. ἢ στυπτηρίαν φορίμην. ἢ κρότωνος ἀπὸ κυνὸς αἷμα, πάνυ ποιεῖ.

Τριχοκόλλια.

Ἀνακόλλα δὲ τὰς εἰς κεκλασμένας τρίχας, ἄσφαλτος, μαστίχη, κολοφωνία, κόμμι κοχλίου τὸ κολλῶδες.

Περὶ ἐγκανθίδων καὶ ῥυάδων.

Ἡ ἐγκανθίς, ὑπεραύξησίς ἐστι τοῦ φυσικοῦ κατὰ τὸν μέγαν κανθὸν σαρκίου. ἡ δὲ ῥυὰς αὖ, τούτου μείωσις. τὰς μὲν οὖν ἐγκανθίδας, τοῖς τε πρὸς ἐκτρόπια λεχθεῖσι, καὶ τοῖς παραπλησίοις καυστικοῖς, ἢ σηπτοῖς ἂν ἐκδαπανήσαις. μὴ ὅλας, ἵνα μὴ ῥυὰς πάλιν γένηται, ἀλλ' ἄχρι τοῦ φυσικοῦ μεγέθους. τὰς δὲ ῥυάδας, ὅλου μὲν ἐκδαπανηθέντος ἢ ἀπὸ χειρουργίας ἀτέχνου, ἢ διὰ φαρμάκων, τοῦ σαρκώδους, ἀνιάτους ἴσθι. εἰ δὲ μέρος αὐτῶν ἐμειώθη, τοῖς μετρίως στύφουσι καὶ σαρκοῦσιν αὐτὸ ἐπαναθρέψειας. οἷα τὰ διὰ κρόκου καὶ γλαυκίου καὶ ἀλόης. καὶ τὰ διάκροκα τῶν κολλουρίων. καὶ ὑοσκύαμος ἐν οἴνῳ ἑψηθεὶς καὶ ἐπιτιθέμενος, καὶ ὀλίγη στυπτηρία σὺν οἴνῳ.

Περὶ ἑλκῶν.

Τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν, τὸ μὲν γένος ἕν ἐστιν. αἱ δὲ κατὰ μέρος διαφοραὶ πλείονες. τὸ μὲν γὰρ ἐν τῷ κερατοειδεῖ κοιλόν τε καὶ στενὸν καὶ καθαρὸν ἕλκος, βόθριον ἐπονομάζεται. τὸ δὲ πλατύτερον μὲν τοῦ βοθρίου, ἧσσον δὲ βαθύ, κοίλωμα καλεῖται. ἄργεμον δέ, τὸ ἐπὶ τοῦ τῆς ἴρεως κύκλου γινόμενον ἐπιλαμβάνοντι καὶ τοῦ πέριξ, ὥστε κατὰ μὲν τὸ ἔξω τῆς ἴρεως ἐνερευθὲς φαίνεσθαι, κατὰ δὲ τὸ ἔνδον, λευκόν. τὸ δὲ ἐπίκαυμα, ἕλκος ἐστὶ ῥυπαρὸν καὶ ἀκάθαρτον καὶ ἐσχαρῶδες. οὕπερ ἀνακαθαιρομένου, πολλάκις ἐκρεῖ τὰ ἐν τῷ ὀφθαλμῷ ὑγρά. καὶ

ἄλλας

ἄλλαι δὲ πλείους ἑλκῶν εἰσὶ διαφοραί, περὶ ὧν κοινότερον ἐροῦμεν. εἰ μὲν οὖν τύχῃ τὸ ἕλκος ἅμα φλεγμονῇ συστῆναι, καὶ τὴν θεραπείαν διὰ τῶν τὴν φλεγμονὴν πραΰνειν τε καὶ συμπέττειν δυναμένων, ποιητέον, ἅμα τῇ καὶ πρὸς τὸ ἕλκος ἰδιότητι. τοιαῦτα δέ ἐστι κολλύρια μὲν, τό, τε λιβάνιον καὶ ὁ κύκνος. καὶ τὰ πηλάρια καλούμενα, καὶ ὁ ἀστὴρ, καὶ τὰ παραπλήσια, καὶ ὅσα διὰ μήλου καὶ γῆς ἀστέρος καὶ ψιμυθίου σύγκειται. πάντων δὲ μᾶλλον ἀνώδυνον ἴσμεν τὸν ἐλάμωνα. ἀλλὰ μὴ ἐγχρονίζωμεν αὐτῷ, διὰ τὸ πάνυ ναρκωτικόν. ἄριστον δὲ καὶ τὸ διὰ ζεμάτων, οὐκ ἔχων οὐδὲ τὸ ναρκωτικόν. εἰ δὲ σὺν ῥεύματι τὸ ἕλκος εἴη, τῶν πρὸς ἐκεῖνο κολλυρίων τι μίξομεν, ὁποῖόν ἐστι τό, τε δι' ὕδρας καὶ τὸ χιακόν. ὅ, τε κιῤῥὸς κύκνος. καὶ ὅσα τῆς ἀποκρουστικῆς ἀδήκτου μετέχει δυνάμεως. ῥυπαρῶν δὲ τῶν ἑλκῶν ὄντων, τῷ τε μελικράτῳ μετρίως ὑδαρεῖ καὶ τῷ τοῦ τήλεως ἀφεψήματι χρησώμεθα, καθ' ἑαυτά τε καὶ σὺν τοῖς πρὸς ταῦτα κολλυρίοις. δριμυτέρων μὲν ὄντων, τῶν λευκῶν, σεβηριανῷ τε καὶ διαχυλῷ τήλεως. μὴ δριμέων δὲ, τοῖς τε διασμύρνοις καὶ ναρδίνοις. καθαρθέντα δὲ τὰ ἕλκη καλῶς πέφυκεν ὁ κλαίων ἀφελοῦν, πρὸς τῷ, καὶ τὴν οὐλὴν ὁμόχρουν ἐργάζεσθαι.

Περὶ προπτώσεως.

Πρόπτωσίς ἐστι προπέτεια τοῦ ῥαγοειδοῦς χιτῶνος, ἐκ διαβρώσεως ἢ ῥήξεως τοῦ κερατοειδοῦς γινομένη. ἥτις μικρὰ μὲν ἔτι οὖσα ὡς προσεοικέναι μυίας κεφαλῇ, μυιοκέφαλον καλεῖται. ἐπὶ πλέον δὲ αὐξηθεῖσα, παραπλησίως ῥαγὶ σταφυλῆς, σταφύλωμα. ἐπὶ πλεῖστον δέ, ὡς ὑπερεκπίπτειν καὶ τὰ βλέφαρα, μῆλον. εἰ δὲ τυλωθείη τοῦτο, ἧλος προσαγορεύεται. εἰ μὲν οὖν ἐπ' ὀλίγον ἄρχει μυιοκεφάλου τὰ τῆς προπτώσεως εἴη, ταῖς ἀποκρουστικαῖς καὶ πιλούσαις αὐτὸ χρηστέον δυνάμεσι, τῷ τε χίῳ, καὶ φαιῷ, καὶ ναρδίνῳ, καὶ θεοδοτίῳ. τῷ τε διὰ θαλλίας καὶ τῷ διὰ κέρατος. καὶ σπογγοδετεῖν ἀθλίπτως αὐτοὺς, ὀξυκράτῳ, ἢ οἴνῳ στύφοντι, ἢ ῥόδων ἀφεψήματι τὴν σπογγιὰν βρέχοντας. ἢ σπλήνιον. ἀριστεύει δὲ κατὰ τὰς προπτώσεις, καὶ τὰ ἕλκη πάντα, τὸ ὀλυμπιακὸν ἢ ὄλυμπος καλούμενον, μετὰ χυλοῦ ἰτέας, ἢ πολυγόνου, ἢ πολίου. τὰ δὲ αὐτὰ ταῦτα καὶ τοῖς ἥλοις ἁρμόζει. καὶ τοῖς σταφυλώμασι, πρὶν ἢ λευκωθῆναι. λευκωθέντα δὲ ἢ τυλωθέντα, τῶν ἀνιάτων ἐστίν.

Περὶ ὑποπύων.

Ὑπόπυος ὁ κερατοειδὴς ἐνίοτε γίνεται, ποτὲ μὲν διὰ βάθους, ποτὲ δὲ δι' ἐπιπολῆς, ὄνυχι προσεοικότος τοῦ πύου κατὰ τὸ σχῆμα. διὸ καὶ τὸ πάθος, ὄνυχα προσαγορεύουσι. σκοπὸς οὖν ἐστι τῆς θεραπείας, ἢ διαφορῆσαι τὸ πύον διὰ τῶν μετρίως τοῦτο ποιούντων. οἷον ἐστὶ τὸ μελίκρατον, καὶ τοῦ τήλεως ὁ χυλὸς, καὶ τὰ δι' αὐτοῦ κολλύρια, τό, τε λιβάνιον καὶ τὰ διὰ λιβάνου. ἢ συῤῥῆξαι καὶ ἀνακαθᾶραι διὰ τῶν ἰσχυροτέρων, οἷα τά τε διάσμυρνα καὶ τὸ ὑγίδιον. πρὸς δὲ τοὺς ἄνευ ἑλκώσεως ὑποπύους, καὶ τῷδε τῷ ὑγροκολλυρίῳ χρηστέον. χαλκάνθου, κρόκου ἀνὰ <.η̄. σμύρνης <.δ̄. μέλιτος λι.ᾱ. καὶ ἡ φλύκταινα δὲ ἐπανάστασις οὖσα τοῦ κερατοειδοῦς, ὑγροῦ τινὸς ὑποδέραντος κτηδόνας αὐτοῦ, τῇ τῶν ὑποπύων ὑπάγεται θεραπείᾳ.

Ὑγρὰ πρὸς ὑποπύους ἢ Βάσου.

Κρόκου, ἀλόης, σμύρνης ἀνὰ Γο.ᾱ. οἴνου Γο.γ̄. μέλιτος καλλίστου Γο.ς̄. λειοῦται ὁ κρόκος σὺν ὀλίγῳ οἴνῳ. εἶτα ἀλόη καὶ σμύρνα. καὶ ἐπειδὰν παχυνθῇ, ἐπίβαλλε τὸ μέλι. καὶ ἑνώσας ἀπόθου ἐν ὑέλῳ ἀγγείῳ. χρῶ δὲ δὶς τῆς ἡμέρας. εἰ δὲ ἐπείγοι, τρίς. καὶ ἐπειδὴ τὸν ὀφθαλμὸν ἅμα καθαίρει, σαρκοῖ, ἀπουλοῖ.

Περὶ οὐλῶν καὶ λευκωμάτων.

Τὰς ἐπιπολῆς μὲν γινομένας ἐν τοῖς ὀφθαλμοῖς οὐλὰς, οἱ μὲν αὐτὸ δὴ μόνον οὐλὰς, οἱ δὲ νεφέλιον καλοῦσι. τὰς δὲ διὰ βάθους, λευκώματα. τούτων δὲ τὰ ῥυπτικά τε καὶ σμηκτικὰ λεγόμενα εἰσὶν ἰάματα. τὰ μὲν οὖν νεφέλια, τῆς ἀνεμώνης ὁ χυλὸς ἀποσμήχει. καὶ τοῦ μικροῦ κενταυρίου ὁ χυλὸς, μετὰ μέλιτος. τὰ δὲ χρονιώτερα, καὶ ἡ κεδρία λεπτύνει, καὶ ὁ χαλκὸς μόνος ὕδατι λειούμενος ὡς κολλύριον. καὶ τὰ σμηκτικὰ τῶν κολλυρίων, οἷον τὸ διὰ κέρατος ἐλαφείου καὶ ῥινάδειον, ἑκατόμβη τε καὶ τὰ παραπλήσια. τὰ δὲ λευκώματα νίτρον μετὰ ἐλαίου παλαιοῦ λειωθὲν ἐπιμελῶς, καὶ ἐγχεόμενον καλῶς ἀποσμήχει. καὶ τῆς σηπίας τὸ ὄστρακον καυθὲν μετὰ μέλιτος καὶ λειωθέν. ἐν δὲ κολλυρίοις, τοῦτο καλῶς καὶ πρᾴως ἀποσμήχει. μαμιρὰ, ἀμμωνιακοῦ θυμιάματος. σμύρνης τρωγλίτιδος. κροκοδείλου κόπρου ἴσα, ποίει κολλύριον καὶ χρῶ. ἢ κροκοδείλου χερσαίου κόπρον ὕδατι λειώσας ἔγχειε, κολλύρια ποιῶν. καλῶς δὲ ποιήσεις λύσας ὕδατι καππαδοκικοὺς ἅλας. τούτῳ λύων τὰ λευκωματικὰ κολλύρια, ἐνστάζοις.

Οὐλῶν βάμματα.

Κηκίδος, ἀκακίας ἀνὰ <.δ̄. χαλκάνθου <.β̄. κολλύριον δὲ τοῦτο. ῥοιᾶς ἄνθους τῶν κυτίνων

χαλκάνθου, ἀκακίας, κόμεως ἀνὰ <. δ̄. στίμμεως, κηκῖδος, ἀνὰ <. β̄. ὕδατι λέου. μὴ παρόντος ἄνθους ῥοᾶς, τὸ ἐντὸς μεταξὺ τῶν κόκκων ὑμενῶδες μίγνυε.

Περὶ πτερυγίων.

Τὸ πτερύγιον, νευρώδης ἐστὶ τοῦ ἐπιπεφυκότος ὑμένος ὑπεροχή. ἐκφυομένη μὲν ἀπὸ τοῦ κανθοῦ, προϊοῦσα δὲ μέχρι τῆς στεφάνης. ὅταν δὲ ὑπεραυξηθῇ, καὶ τὴν κόρην καλύπτει. τὰ μὲν οὖν μεγάλα καὶ χρόνια τῶν πτερυγίων, διὰ μόνης χειρουργίας ἐκτέμνεται. τὰ δὲ νεώτερα καὶ σύμμετρα τῷ μεγέθει, καὶ τὰ σμηκτικὰ τῶν βοηθημάτων, οἷα τὰ τραχωματικά τε ἐστὶ καὶ λευκωματικά, δαπανᾷ. ἐν ἁπλοῖς μὲν οὖν, χαλκὸς κεκαυμένος ἢ χάλκανθος ἅμα χοιρείᾳ χολῇ καλῶς ποιεῖ. δραστικώτερον δὲ τοῦτο. χαλκάνθου μέρος ᾱ. κόμεως μέρος. S. οἴνῳ ἐκλειοῦντος ἐγχέομεν, ἢ καὶ κολλούρια πλασσόμενα. τινὲς δὲ χολὴν αἰγὸς μέλιτι μίξαντες ἐγχέουσιν.

Πρὸς πτερύγια καὶ ὑποπύους καὶ ἀμβλυωπίας, ὀρειβασίου.

Λίθου μαγνήτου, ἰοῦ ξυστοῦ, σινωπίδος, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ <. δ̄. κρόκου <. β̄. μέλιτος ἀττικοῦ κοχλιάριον τὸ S. ποιεῖ δὲ καὶ πρὸς λευκώματα.

Περὶ ἀνθρακώσεως καὶ καρκινωμάτων.

Τὸ μὲν καρκίνωμα πάθος ἐστὶ τοῦ κερατοειδοῦς, ἔχον ὀδύνην διάτασιν, ἔρευθος τῶν χιτώνων, ἄλγημα νυγματῶδες ἕως κροτάφων, καὶ μᾶλλον ἐὰν σεισθῶσιν. ἀνορεκτοῦσί τε. καὶ πρὸς τὰ δριμέα παροξύνονται. τοῦτο δὲ τῶν ἀνιάτων ἐστὶ τὸ πάθος. ὅμως δὲ παρηγορητέον αὐτούς, γαλακτοποσίᾳ, καὶ τῇ τῶν στερεῶν τε καὶ ἄλλως εὐχύμων ἐδεσμάτων προσφορᾷ, χωρὶς ἁπάσης δριμύτητος. καὶ κολλουρίων ἁπαλῶν ἔγχυσις, οἷον σποδιακῷ, σεβηριανῷ, καὶ τοῖς παραπλησίοις. προνοεῖσθαι δὲ καὶ τῆς τοῦ ὅλου σώματος εὐκρασίας. ἡ δὲ ἀνθράκωσις, καὶ αὐτὴ κακόηθες ἕλκος ἐστὶν ἐσχαρῶδες, ποτὲ μὲν περὶ βολβῷ, ποτὲ δὲ ἐν τοῖς βλεφάροις, καθάπερ καὶ τοῖς ἄλλοις τοῦ σώματος μέρεσιν, συνανιστάμενον. ἐπὶ μὲν οὖν τῶν κατὰ τὸν βολβὸν ἀνθρακώσεων. κατ' ἀρχὰς μὲν δεῖ κενοῦν κλυστῆρι πρῶτον. εἶτα τῷ γάλακτι ἀπέφθῳ συμμέτρως καθαίρειν. εἶτα σπόγγῳ πυριάσαντα, καταπλάσσειν ἀλεύρῳ ὀροβίνῳ, ἢ πυρίνῳ ἐν μελικράτῳ ἑφθῷ. ἐνίοτε καὶ ἴριν λεπτὴν προσεμπλάσαντα. καὶ γάλακτι ἐκκλύζειν τὸν ὀφθαλμόν. ἐὰν δὲ νέμηται τὰ ἕλκη, φακῷ καταπλάσσειν μετὰ μέλιτος, ἢ μήλων κυδωνίων ἑφθῶν. ἐπὶ πλεῖον δὲ νεμομένου, ἐλαίας φύλλοις ἑφθοῖς, ἢ σιδίοις ἐν οἴνῳ ἑψημένοις λείοις μετὰ μέλιτος. ἀποσταθείσης δὲ τῆς νομῆς καὶ τῆς ἐσχάρας ἐκπεσούσης διὰ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τοῦ εἰρημένου, καὶ καθαρῶν τῶν ἑλκῶν γενομένων. καταπλάσσειν λεκυθίοις ὀπταῖς λείαις μετὰ κρόκου καὶ μέλιτος, μέχρι κατουλώσεως. τὸ δὲ φάρμακόν ἐστι τόδε. σποδίου <. δ̄. σμύρνης μὴ ἄγαν πεφωσμένης δραχμαὶ γ̄. ὀβολοὶ γ̄. λεάνας ἐν οἴνῳ ἀμιναίῳ ἕως ἂν ξηρανθῇ, μίσγε γλυκέος κρητικοῦ παλαιοῦ. καὶ συλλεάνας ὑγρὸν ἀνελοῦ εἰς πυξίδα κεραμιαίαν, καὶ ὑπάλειφε. πρὸς δὲ τοὺς ἐν τοῖς βλεφάροις ἄνθρακας. ῥοιὰν ὀξεῖαν κατατεμὼν ταύτην ἕψησον ἐν ὄξει, τακερωθεῖσαν δὲ μάλα λειοτριβήσας, ἔμπλασσε εἰς ὀθόνιον, καὶ χρῶ. ἀλλάσσων δὶς μὲν τῆς ἡμέρας καὶ τρίς, ἅπαξ δὲ τῆς νυκτός.

Περὶ μυδριάσεως.

Ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν ἀλλοιότερον φαίνηται, πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν. καὶ ποτὲ μὲν ὁλοσχερῶς ἐμποδίζει τὸ ὁρᾶν, ποτὲ δὲ ἐπιπολύ. καὶ τὰ ὁρώμενα αὐτοῖς πάντα δοκεῖ μικρότερα εἶναι. μυδρίασις μὲν τὸ πάθος ἐστίν. αἰτία δὲ αὐτοῦ περιττωματική τις ὑγρότης ἐστίν. θεραπεύειν οὖν δεῖ αὐτὴν φλεβοτομοῦντας ἀπ' ἀγκῶνος, ἢ καθαίροντας. εἰ δὲ μή, τὰς γοῦν ἐν τοῖς κανθοῖς διαιρεῖν φλέβας. εἶτα σικυὰν τῷ ἰνίῳ προσβάλλειν. καὶ θαλάσσῃ προσαντλεῖν τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμούς. εἰ δὲ μὴ παρείη θάλασσα, ἅλμῃ ἢ ὀξυκράτῳ. φαρμάκοις δὲ χρηστέον τοῖς καὶ πρὸς φλυκταίνας ἁρμόζουσιν.

Περὶ φθίσεως καὶ ἀτροφίας.

Ἡ φθίσις. πάθος ἐστὶ τῆς κόρης στενουμένης, καὶ ἀμαυροτέρας καὶ ῥυσοτέρας γινομένης. τὰ δὲ ὁρώμενα ὑπὸ τούτων μείζονα φαίνεται. αἰτία δέ, πύκνωσις, ὑπὸ ξηρότητος μᾶλλον γινομένη. διαφέρει δὲ ἡ φθίσις τῆς ἀτροφίας, τούτῳ. ἡ μὲν γὰρ φθίσις στενωτέραν ποιεῖ τὴν κόρην. ἡ δὲ ἀτροφία ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον. θεραπεύειν δὲ τούτους χρὴ γυμνάζοντας καὶ τρίβοντας ἐπιμελῶς, τήν τε κεφαλὴν καὶ τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμούς. καὶ ὕδατι προσαντλοῦντας τὸ πρόσωπον. καὶ χρίοντας τὴν κεφαλὴν μύρῳ τινὶ θερμαίνοντι. ὑπαλείφειν δὲ τοὺς ὀφθαλμοὺς ἀραιοῦντι καὶ δριμυτέρῳ φαρμάκῳ. οἷόν ἐστι τὸ ὑποτεταγμένον, ἀμμωνιακοῦ <. ᾱ. κροκομάγματος <. δ̄. κρόκου <. β̄. ἰοῦ <. ᾱ. λεάνας ἐν ὕδατι ἀνάπλασσε καὶ χρῶ.

Περὶ

Περὶ νυκτάλωπος.

Νυκτάλωπας λέγουσιν, ὅταν συμβῇ τὴν μὲν ἡμέραν βλέπειν, δυομένου τε ἡλίου ἀμαυρότερον ὁρᾶν, νυκτὸς δὲ γινομένης οὐδ' ἀμῶς ὁρᾶν. θεραπεύειν οὖν χρὴ καὶ τούτους, κενοῦντας ἀπ' ἀγκῶνος καὶ τῶν κανθῶν. ἑξῆς καθαίροντας, ἢ κενοῦντας κλυστῆρι. εἶτα ἀποφλεγματίζειν κελεύοντας, ἢ πταρμοὺς κινεῖν. διδόναι δὲ πρὸ τροφῆς ὕσσωπον πίνειν, ἢ πήγανον. ἐὰν δὲ μὴ ὑπακούῃ, πάλιν δεύτερον τὸ διὰ τῆς σκαμμωνίας καὶ τοῦ κασορείου καθαρτικόν. ἐγχεῖν δὲ μέλιτι ἀπηφρισμένῳ, καὶ καμμύειν πιέζοντα καὶ συνέχοντα τὰ ὑγρὰ τῆς συνηθείας Κς μ΄ β΄. ἁλὸς ὀρυκτοῦ μ΄ α΄. λεῖα μετὰ τοῦ μέλιτος ὑπαλείφειν. Ἄλλο. Ἧπαρ τράγειον ὀπτήσας, τὸν ἐν τῇ ὀπτήσει ἰχῶρα συναγαγὼν ἔγχει. αὐτὸ δὲ τὸ ἧπαρ ἐσθίειν δίδου. καὶ ἑψομένου δὲ τὸν ἀτμὸν τοῖς ὀφθαλμοῖς ἀνεῳγόσι δέχεσθαι κέλευε.

Περὶ γλαυκώματος καὶ ὑποχύματος ἐκ τῶν Ῥούφου.

Γλαύκωμα δὲ καὶ ὑπόχυμα οἱ μὲν ἀρχαῖοι ἕν τι ἡγοῦντο εἶναι. οἱ δὲ ὕστερον, τὰ μὲν γλαυκώματα, τοῦ κρυσταλλοειδοῦς ὑγροῦ πάθη ἐνόμιζον, ὑπὸ ὑγρότητος μεταβαλλομένου ἐπὶ τὸ γλαυκόν. τὰ δὲ ὑποχύματα, ὑγρῶν παρέγχυσιν πηγνυμένων μεταξὺ τοῦ κερατοειδοῦς καὶ τοῦ κρυσταλλοειδοῦς. ἔστι δὲ πάντα γλαυκώματα, ἀνίατα. τὰ δὲ ὑποχύματα ἰᾶται οὐ πάντα. θεραπεύειν δὲ τοὺς ὑποχεῖσθαι πειρωμένους, πρὸ τοῦ συστῆναι τὸ πάθος, αἵματος ἀπ' ἀγκῶνος ἀφαιρέσει, καὶ καθάρσει. καὶ κενώμασι δριμυτέροις, καθάπερ τοῖς διὰ κενταυρείου ἀφεψήματος, ἢ σικύου πικροῦ καὶ κοιλίας λύσει συνεχεστέρᾳ. καὶ σικύας ἐπ' ἰνίῳ προσβάλλειν μετὰ κατασχασμοῦ. δεῖ δὲ καὶ ὑδροποτεῖν παρ' ὅλην τὴν δίαιταν. καὶ κεχρῆσθαι τροφαῖς λεπτυνούσαις, συνοίσει δὲ χρόνου διελθόντος καὶ ἀποφλεγματισμοῖς, διὰ τινων ἡμερῶν. ὅσοις δὲ παροράσεις γίνονται, οἷον κωνωπίων προφαινομένων, ἐκ τινος κακοχυμίας, ἢ χολωδεστέρων ἀτμῶν ἀναδιδομένων. τὸ διὰ τῆς ἀλόης πικρὸν δώσομεν φάρμακον κατὰ συνέχειαν. ἢ καὶ διὰ τούτου καθάρωμεν. ἐν δὲ τοῖς ὀφθαλμοῖς, φαρμάκοις χρηστέον. τὸ μὲν πρῶτον ἁπλοῖς, καθάπερ μέλιτι, καὶ ἐλαίῳ σὺν μαράθρου χυλῷ. ὕστερον δὲ καὶ τοῖς συνθέτοις, οἷόν ἐστι καὶ τόδε. σαγαπηνοῦ < β΄. ὀποῦ κυρηναϊκοῦ, ἐλλεβόρου λευκοῦ ἀνὰ < ϛ΄. οἱ δὲ καὶ ἐν μέλιτος κοτύλαις ὀκτώ. ἡμεῖς δέ φησιν Ὀρειβάσιος ἐπὶ ὑπογεγραμμένῳ χρώμεθα. καυκαλίδων χυλοῦ, χαμαίδρυος, κορωνόποδος, ἑκάστου ἴσον λεάνας. ποίει δὲ κολλούρια. καὶ τὸ διὰ τοῦ χυλοῦ τοῦ μαράθρου, καὶ ὁ πρωτεύς, ὅ, τε θαλάσσερος, καὶ τὸ διὰ ὀποβαλσάμου, καὶ τὰ διὰ τούτων σκευαζόμενα κολλούρια πέφυκεν ὠφελεῖν. καὶ τοῦ μαράθρου τὸ ἀφέψημα προσαντλούμενον ἐν ἀρχαῖς, ὀνίνησι. καὶ τὸ διὰ τῶν χυλῶν καὶ ὀποβαλσάμου, μέλιτος, καὶ ἐλαίου παλαιοῦ, καὶ τῶν παραπλησίων.

Περὶ ἀμαυρώσεως καὶ ἀμβλυωπίας.

Ἀμαύρωσίς ἐστιν ὁ παντελὴς ὡς ἐπὶ τὸ πολὺ τοῦ ὁρᾶν παρεμποδισμός, χωρὶς φανεροῦ πάθους περὶ τὸν ὀφθαλμόν. ἀμβλυωπία δὲ ἀμαυρότης τοῦ ὁρᾶν ὑπό τινος ἀδήλου αἰτίας γινομένη. θεραπεία δὲ ἁρμόζει. κοινῶς μὲν ἡ ἐπὶ τῶν ὑποχεομένων ῥηθεῖσα. ἰδίως δέ, ἀπό τε κανθῶν κένωσις αἵματος, καὶ βδελλῶν προσβολὴ κατὰ τοὺς κροτάφους, τρίψεις τε τῶν κάτω μερῶν. προϊόντος δὲ τοῦ χρόνου, καὶ τοῖς πταρμικοῖς χρηστέον, καὶ νήστεσιν ἐμέτοις. καὶ ὑπαλείψεσιν, τὸ μὲν πρῶτον διὰ μέλιτος καὶ ἐλαίου ἴσον. ἔπειτα τῷ ὑπογεγραμμένῳ συνθέτῳ. κρόκου ὀβολοὶ β΄. χολῆς ὑαίνης < α΄. πεπέρεως κοινοῦ κόκκοι π΄. μαράθρου χυλοῦ < ιϛ΄. ἀμμωνιακοῦ θυμιάματος < α΄. λεάνας τὰ ξηρὰ μετὰ τοῦ χυλοῦ. μέλιτος κοχλιάριον δ΄. σκεύαζε, καὶ ἀναλόμενος ἐν χαλκῇ πυξίδι χρῶ. πρὸ δὲ τοῦ ἐγχεῖν, ἀποπυριάτω τοὺς ὀφθαλμοὺς εἰς θερμὴν θάλασσαν βάπτων.

Περὶ στραβισμοῦ.

Αἱ ἐκ γενετῆς στραβότητες τῶν νηπίων, θεραπεύονται προσωπείου περιθέσει, ὅπως εἰς τὸ εὐθὺ βλέπωσι. σπασμώδης γάρ ἐστιν τῶν κινούντων τὸν βολβὸν μυῶν διάθεσις ὁ στραβισμός. καὶ τοῦ λύχνου δὲ ἀντικρὺς τιθεμένου, καὶ μὴ ἐκ πλαγίου παραφαίνοντος. καὶ ὅταν ἐστὶ πρὸς τὴν ῥῖνα συννεύσωσι τοὺς ὀφθαλμούς. κροκίδας φοινικίνας παρακολλᾶν, καὶ τοῖς πρὸς τοὺς κροτάφους κανθοῖς. ὅπως πρὸς ταύτας ἀτενίζοντες διορθῶσι τοὺς ὀφθαλμούς.

Περὶ ἐκπιεσμοῦ.

Ἐκπιέζονται οἱ ὀφθαλμοὶ ἐνίοτε, ὥστε διαμένειν ἐξελθόντας. τοὺς μὲν ὑπ' ἀγχόνης ἐκπιεσθέντας, ἀπ' ἀγκῶνος φλεβοτομεῖν. εἰ δὲ ἄλλως πως γένοιτο, φαρμακεύειν ἐλλεβόρῳ μέλανι ἢ σκαμμωνίᾳ. τὰς δὲ ἐκ τῶν ὀδυνῶν ἐκθλίψεις τῶν ὀφθαλμῶν, πολλάκις μέν, καὶ ἐν τοῖς ἐντέροις ἐπιγινόμεναι καθάρσεις λύουσιν. ὅθεν δεῖ συνεργεῖν ταύταις. ἐπὶ δὲ τῶν ἀνδρῶν, μετὰ τὴν

φλεβοτομίαν, εἰ μὴ καταστάίη, σικύαν ἐπὶ ἰνίῳ προσβάλλειν. ἐπιθεῖναι τε ὀθόνιον μέλιτι κεχρισμένον. ἢ κρόκῳ δι' μεθ' ὕδατος, ἄνωθέν τε πτύγμα ἐπιδεῖν ἡσυχῆ. συμφέρει δὲ τούτοις καὶ θάλασσα ψυχρὰ προσαντλουμένη ἐπὶ προσώπῳ. καὶ στέρεως χυλὸς, καὶ πολυγόνου μετὰ μηκωνίου ἐπιχριόμενος. καὶ τὰ ἄλλα ὅσα δύνανται στέλλειν καὶ συνάγειν.

Περὶ συγχύσεως.

Τὰς δὲ ἐκ πληγῆς συγχύσεις. φλεβοτομία τε ἀπ' ἀγκῶνος. καὶ αἵματι νεοσφαγοῦς, μάλιστα μὲν τρυγόνος, εἰ δὲ μὴ καὶ περιστερᾶς ἐκπληροῦντας ὅλον τὸν ὀφθαλμὸν, θεραπεύειν. εἶτα ἐπιθεῖναι ὀθόνιον μαλακὸν, βρέξαντας εἰς ᾠὸν ἀνακεκομμένον μετ' οἴνου καὶ ῥοδίνου, καὶ ἐπιδεῖν. τῇ δὲ ἑξῆς τὸ αὐτὸ ποιεῖν. καὶ τῇ τρίτῃ ἀποπυριᾶν, καὶ γάλακτι ἐγχυματίζειν, καὶ καταπλάττειν τοῖς ἐπιτηδείοις. εἶτα ὑπαλείφειν τοῖς πρὸς τὰς παλαιὰς διαθέσεις, οἷόν ἐστι τὸ χιακόν.

Περὶ μυωπιάσεως.

Μυωπίαι δὲ λέγονται ἐκ γενετῆς. τὰ μὲν ἐγγὺς βλέποντες, τὰ δὲ ἐξ ἀποστάσεως οὐχ ὁρῶντες. ἀνίατος δέ ἐστιν ἡ τοιαύτη διάθεσις, ὑπὸ ἀσθενείας γινομένη τοῦ ὀπτικοῦ πνεύματος. ἐναντία δὲ πάσχουσιν οἱ γηρῶντες τοῖς μύωψι. τὰ γὰρ ἐγγὺς μὴ ὁρῶντες, τὰ πόρρω βλέπουσιν.

Ὠτικὰ καὶ πρῶτον περὶ ὀδύνης. κγ.

Τὴν μὲν διὰ ψύξιν γινομένην ὠταλγίαν, ἔκ τε τῆς ὥρας, καὶ τῆς προηγησαμένης διαίτης, ἢ καὶ τῆς τοῦ κάμνοντος ἀνακλίσεως, εἰ διὰ προκαταρκτικὴν αἰτίαν γένοιτο, μαθόντες. ἔκ τε τοῦ διὰ βάθους ἐστηρίχθαι τὸν πόνον χωρὶς βάρους, ἢ διατάσεως, ἢ πυρώσεως. τοῖς θερμαίνουσιν ἰασώμεθα βοηθήμασιν. ἔλαιον πηγάνινον θερμὸν, ἢ νάρδινον, ἢ δάφνινον θερμὸν, ἢ ἀμαράκινον, ἢ φουλλίατον, ἢ σπικάτον. ἢ κοινῷ σὺν εὐφορβίῳ, ἢ πεπέρι, ἢ καστορίῳ. ἢ τὸ κομμαγηνὸν καλούμενον μύρον, ἢ ὀπὸν βαλσάμου εἰς τὸν ἀκουστικὸν ἐνστάζοντες πόρον. καὶ τὸ ἔλαιον δὲ ἐν ᾧ ἐνέψηται σκόροδον ἢ κρόμμυον, ἐνσταζόμενον ὠφελεῖ. Τὴν δὲ διὰ θερμὴν δυσκρασίαν ὀδύνην, ἐφ' ἧς ζέσεως τινὸς χωρὶς βάρους ἢ τάσεως αἰσθάνονται. τοῖς ἐναντίοις ἰάσαιο. τὸ λευκὸν ἐνστάζων τοῦ ᾠοῦ, λεανθὲν, ὥσπερ ἐπ' ὀφθαλμοῦ. καὶ γάλα γυναικεῖον, μετά τινος τῶν ἀνωδύνων κολλουρίων. ἢ χυλοῦ περδικιάδος, σὺν ὀλίγῳ ῥοδίνῳ. καὶ αὐτὸ τὸ ῥόδινον, ἢ ὀξυρόδινον. ἢ χυλὸν στρύχνου, ἢ κορυάνου, ἢ ἀσφοδέλου. ἢ ἔλαιον, ἐν ᾧ γῆς ἔντερα, ἢ ὄνοι οἱ παρὰ τὰς ὑδρίας ἐνέψηνται. ἢ τὸ ἀμυγδάλινον ἔλαιον καθ' αὐτὸ, ἢ ζῶντα κηρύκια τρία ἑψήσας ἐν αὐτῷ, φυσικῶς δρᾷ. Τὴν δέ γε διὰ γλίσχρους καὶ παχεῖς χυμοὺς ὀδύνην ἔκ τε τοῦ τῆς κεφαλῆς, καὶ αὐτῆς τῆς ἀκοῆς βάρους, καὶ τῆς προηγησαμένης διαίτης διαγινώσκε. χωρὶς δὲ βάρους, ἡ διάστασις μόνη τῆς ἀκοῆς, πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον δηλοῖ. χρηστέον οὖν ἐπ' ἀμφοῖν τοῖς ἐκφράττουσί τε καὶ τέμνουσι φαρμάκοις. οἷόν ἐστι τὸ ἀφόνιτρον σὺν ὄξει καὶ μέλιτι. καὶ ἡ προβατία χολὴ σὺν ἐλαίῳ κοινῷ ἢ ἀμυγδαλίνῳ. καὶ τοῦ πράσου καὶ τοῦ κρομμύου ὁ χυλὸς χλιαρὸς μετὰ μέλιτος. ἢ ὀρίγανον τρίψας μετὰ μέλιτος καὶ γάλακτος γυναικείου, ἔνσταζε. πρὸς δὲ τὰς ἰσχυροτέρας ἐμψύξεις, χολὴν αἰγείαν μετὰ χυλοῦ πράσου ἔνσταζε. ἐφ' ὧν δὲ πολὺς ὁ πόνος καὶ χρόνιος καὶ δυσηκοΐα πάρεστι, χρηστέον καὶ τοῖσδε. οἷός ἐστιν, ὅ, τε τῆς δρακοντίου χυλὸς καὶ ἄρου καὶ βρυωνίας, καὶ τὰ παραπλήσια. ἰδίως δὲ τοὺς διὰ πνεῦμα φυσῶδες ὀδυνωμένους. σικύα ὕδατι θερμῷ προπυρουμένη, καὶ περὶ τὸ οὖς ἐπιτιθεμένη, μεγάλως ὀνίνησιν. εἰ δὲ καὶ βάρος, καὶ διάτασις ἅμα θερμὴ, καὶ σφυγματώδης ἡ ὀδύνη γίνοιτο, ἢ καὶ πυρέττοι φλεγμαίνειν. ἴσθι τὴν ἀκοήν. καὶ πρὸ πάντων μὲν τῇ φλεβοτομίᾳ χρηστέον. εἶτα πυριατέον συχνῶς ἐλαίῳ γλυκεῖ θερμῷ, διὰ μηλωτίδος ἠμφιεσμένης ὀθονίῳ. ἐνστακτέον δὲ ἐπὶ πόρῳ τό, τε τοῦ χηνὸς στέαρ, ἢ τὸ τῆς ἀλώπεκος, ἢ τὸ βασιλικὸν φάρμακον, σὺν ῥοδίνῳ ἢ κυπρίνῳ ἢ ἰρίνῳ. καὶ καταπλαστέον ἔξωθεν, τοῖς τε παρηγορεῖν καὶ συμπέττειν δυναμένοις. Βιαζομένης δὲ τῆς ὀδύνης, τοῖς μετρίως τὴν αἴσθησιν ναρκοῦσι χρησώμεθα. οὐ γὰρ ὀλίγος ὁ κίνδυνος ἐγκεφάλου γειτνιῶντος ἀκουστικῷ νεύρῳ φλεγμαίνοντι. καλῶς οὖν τοῦτο παρηγορεῖ. ὀπίου μέρος α. καστορίου μέρη β. μετὰ γυναικείου γάλακτος, ἢ τοῦ λευκοῦ τοῦ ᾠοῦ, ἢ οἴνου γλυκέως χλιαρὸν ἔνσταζε. καὶ ὁ κροκώδης δὲ τροχίσκος, καὶ ὁ ἀστὴρ, καὶ ἡ Φίλωνος ἀντίδοτος τούτους πολλάκις ὤνησεν. δεῖ δὲ συχνῶς πυριῶντα, ἢ τῷ κοινῷ ἐλαίῳ, ἢ τινὶ τῶν θερμῶν πυριῶν, ὀθόνιον ἐν αὐτῷ τούτῳ βεβρεγμένον ἐπιτιθέναι τῇ ἀκοῇ, μηδαμῶς, ὡς οἷόν τε, ψαύοντα τῶν φλεγμαινόντων μορίων. ἐγχρονιζούσης δὲ τῆς ὀδύνης, καὶ μελλούσης εἰς πῦον μεταβάλλειν. κέχρηται ἐπὶ διὰ τοῦ χυλοῦ τοῦ λινοσπέρμου φαρμάκῳ, ἐνστάζων αὐτὸ λυθὲν ἅμα ῥοδίνῳ, ἢ χαμαιμηλίνῳ. ὅταν δὲ ἐξ ὕδατος φαρμακώδους περιεχομένου κατὰ τὸν ἀκουστικὸν πόρον ὀδυνῶνται. εἰ μὲν εἴη πολύ. διὰ τοῦ στόματος, ἢ καὶ διὰ τοῦ καλαμίσκου αὐτὸ ἐκμυζᾶν δεῖ. ὀλίγον. ἀπομάξαντας τοῦτο διὰ τῆς ἠμφιεσμένης ἐπὶ ἐρίῳ μηλωτίδος, ἐνστάζειν ἔλαιόν τι, τῶν λεπτομερῶν. ἢ ῥοδινόν. ἢ ᾠοῦ τὸ λευκόν.

τὸ λευκόν. ἢ γυναικεῖον γάλα. θερμὰ δὲ πάντα μετρίως εἶναι χρή, τὰ τοῖς ὠσὶ προσφερόμενα.

Πρὸς τὰ ἅμα φλεγμονῇ ἕλκη.

Λύκιον καὶ μηκώνιον ἴσα τρίψας μετὰ μέλιτος ἐπίβαλλε.

Πρὸς ὀδύνας τὰς μεγίστας καὶ πύον καὶ δυσηκοΐας.

Ἀμύγδαλα λελευκασμένα καὶ ἀφρονίτρου < . γ. ὀπίου < . γ. λιβάνου < . γ. κρόκου < . δ. χαλβάνης < . β. σμύρνης < . α. ὄξει ἐκλείων ἔνσταζε. ὀδύνης μὲν οὔσης ῥοδίνῳ διείς. πυορροούντων δέ, οἰνομέλιτι ἢ ὀξυμέλιτι. δυσηκοούντων δέ, ὄξει. τὰ δὲ πρόσφατα ἕλκη, τὸ γλαύκιον θεραπεύει λυόμενον ὄξει. καὶ τὰ διὰ αὐτοῦ κολλούρια. καὶ τὰ διάρροδά τε καὶ διάκροκα καὶ διάσμυρνα. ὥσπερ αὖ τὰ πυορροοῦντα χωρὶς ὀδύνης ἡ σκωρία τοῦ σιδήρου σὺν ὄξει λειωθεῖσα ἐπὶ χρόνον.

Πρὸς ῥύπου σκληρότητα.

Νίτρον ὄξει διεὶς μεθ' ὕδατος ἔγκλυζε, καὶ ἐκμάξας ἔνσταζε νίτρον ὄξει διημένον σὺν ῥοδίνῳ. Ἄλλο πρὸς ῥύπον. Καρδάμωμον καὶ νίτρον βραχὺ μετὰ ἰσχάδων ἀναλαβὼν χωρὶς τῶν κεγχραμίδων, καὶ κολλούρια ποιήσας ἔνθες εἰς τὴν ἀκοήν, καὶ κόμιζε διὰ ἡμερῶν τριῶν. ἄγει γὰρ ῥύπον πολὺν καὶ ἱκανῶς κουφίζει. ποιεῖ καὶ τοῖς ὑπερσαρκώμασι, χρονίαις ὀδύναις καὶ ἑλκώσεσιν. ἀλόης, λιβάνου, σμύρνης ἀνὰ < . α. μίσυος < . δ. διὰ ὄξους τροχίσας αὐτό, ἐπὶ τῆς χρείας ὄξει καὶ ῥοδίνῳ λύων ἐγχυμάτιζε. καὶ τὸν Ἀνδρῶνος τροχίσκον, καὶ τὴν ἥρω, καὶ τὸν μουσᾶ.

Πρὸς χρόνια ἕλκη.

Κεδρίαν σὺν μέλιτι μίξας ἔγχει. Ἄλλο. Μίσυ καύσας καὶ λεάνας ἐμφύσα. πρὸ δὲ τῶν ἐγχύτων ἐγκλυζέσθω τὰ ὦτα διὰ κλυστηριδίου ὀξυκράτῳ ἢ ὀξυμέλιτι, ἢ οἰνομέλιτι, ἢ ἀφεψήματι τινῶν τῶν ἀποκρουστικῶν, οἷον φακῆς ἢ ῥόδων.

Πρὸς αἱμασσόμενα ὦτα.

Ἔγκλυζε μὲν σχοίνου ἀφεψήματι. ἔνσταζε δὲ πολυγόνου χυλὸν σὺν ὀλίγῳ ὄξει, ἢ λύκιον, ἢ ἀμόργην, ἢ ἀκακίαν, ἢ πράσου χυλόν.

Πρὸς ὑπερσαρκώματα.

Ἐκκλύσας νίτρον δι' ὕδατος θερμοῦ ἅμα λεπίδι χαλκοῦ μετὰ σανδαράχης ἴσοις. ἐσχαρωθέντα δέ, μέλιτι ἀνακάθαιρε.

Πρὸς σκωληκιῶντα ὦτα.

Ἔγκλυζε ἀφεψήματι ἀψινθίου, ἢ κενταυρείου, ἢ πράσου. ἔνσταζε δὲ καππάρεως φύλλων χλωρῶν, ἢ τοῦ καρποῦ χυλόν. ἢ κεδρίαν, ἢ οὖρον ἀνθρώπινον παλαιόν, ἢ ἐλλέβορον λευκὸν σὺν μέλιτι, ἢ καλαμίνθης χυλόν, ἢ σκαμμωνίαν σὺν ὄξει, ἢ χυλὸν ἀψινθίας. τὸ δὲ ἔλαιον ἐνσταζόμενον τῷ πόρῳ ἄχρις ἄνω ἀναπλεῖν αὐτοὺς ποιεῖ. κάλλιον δὲ τὸ ὀξέλαιον. καὶ πρὸς τὰ ἐμπίπτοντα δὲ τοῖς ὠσὶ ζωΰφια τοῖς αὐτοῖς κέχρηται.

Περὶ ψηφίδων καὶ τῶν παραπλησίων ἐμπιπτόντων τοῖς ὠσί.

Εἰλήσας ἔριον περὶ μηλωτίδα, βάψον αὐτὸ τερεβινθίνῃ, ἢ κόμμι, ἢ τινὶ τῶν ἐχεκόλλων. καὶ οὕτως αὐτὸ ἀνάσπα. εἰ δὲ μὴ ἕξοι, ἔλαιον θερμὸν ἔνσταζε συχνῶς τῷ πόρῳ. καὶ εἰ μὴ ἐκπέσοι ἢ ληφθείη, ἐπὶ τοῖς ἄλλοις κέχρηται τρόποις, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται.

Περὶ ἤχων.

Εἰ μὲν πυρετοῖς, ἢ ταῖς τούτων κρίσεσι ἦχοι γίνοιντο, μηδὲν παρενοχλεῖν. παρ' αὐτίκα γὰρ ὡς ἐπὶ τὸ πολὺ παύονται. εἰ δὲ καὶ μετὰ τὴν νόσον ἐπιμένοιεν, ἀψινθίῳ πυριάσας ἀφεψήματι, ὄξος καὶ ῥόδινον ἔγχει. ἢ ῥαφάνου χυλὸν μετὰ ῥοδίνου. ἢ ἐλλεβόρου μέλανος μετὰ ὄξους. πρὸς δὲ τοὺς χρονίους ἤχους ἐπὶ πάχεσι καὶ γλίσχροις γινομένους χυμοῖς, γνωριεῖς δὲ τοῦτο τῷ μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος αὐτοὺς συνίστασθαι, ὄξει καὶ νίτρῳ καὶ μέλιτι κλύζε. Ἄλλο. Ἐλλεβόρου λευκοῦ < . β. καστορίου < . β. κρόκου < . γ. νίτρου < . ις. ποίει τροχίσκους ἐν ὄξει λειώσας καὶ χρῶ.

Πρὸς τοὺς χρονίους ἤχους καὶ συρισμούς.

Εὐφόρβιον μετὰ κυπρίνου ἐλαίου λειώσας. καὶ θερμάνας, χρῶ. ἐφ' ὧν δὲ διὰ πολλὴν συναίσθησιν, τῶν ἀναδιδομένων ἀτμῶν ἢ πνευμάτων αἰσθάνονται. καστόρειον καὶ κωνίου σπέρμα λειώσας σὺν ὄξει ἐπίσταζε.

Περὶ δυσηκοΐας, καὶ κωφώσεως.

Αἱ μὲν ἐκ γενετῆς, ἢ καὶ μετὰ τὸ τεχθῆναι μὲν χρονιώταται δὲ καὶ παντελεῖς συνιστάμεναι κωφώσεις, τῶν ἀνιάτων εἰσίν. αἱ δὲ μὴ παντελεῖς, χρόνιαι δέ, καὶ αὗται τῶν ἀνιάτων, ἢ δεινῶς εἰσι δυσιάτων. τὰς μέντοι διὰ χολώδη χυμὸν ἀνάρροπον γινόμενον συνισταμένας, ταῖς διὰ τῶν χολαγωγῶν φαρμάκων κενώσεσιν οὐ χαλεπῶς ἰάσαιο. τινὲς δὲ καὶ αὐτομάτως παύονται τοῦ πάθους, χολῆς αὐτοῖς ὑπελθούσης. τὰς δὲ διὰ ὠμοὺς καὶ παχεῖς χυμοὺς συνισταμένας

κωφώσεως ἢ δυσηκοΐας, θεράπευε φλέβα τέμνων, ἢ πάντως γε καθαίρων διὰ τῆς ἱερᾶς. ἀποφλεγματισμοῖς τε καὶ ἐῤῥίνοις χρώμενος. αὐτοφυέσι τε ἤτοι διὰ θαλάσσης λουτροῖς. εἰς δὲ τὸν ἀκουστικὸν πόρον ἐνστάζειν ἁρμόζει μὲν καὶ τὰ πρὸς ἤχους ἀναγεγραμμένα. ἰδίως δὲ ταῦτα. αἰγὸς οὖρον, καὶ χολὴν αἰγός. ἢ κατὰ μόνας τὴν χολὴν ἔνσταζε. ἢ πηγάνου χυλὸν σὺν μέλιτι. ἢ καστόρειον σὺν ἐλαίῳ ἀνηθίνῳ. ἢ ὕσσωπον τὸ φάρμακον σὺν ναρδίνῳ μύρῳ. ἢ χολὴν αἰγὸς μετὰ χαλβάνης. ἢ τοῦτο, καστορίου < .β. νίτρου, ἐλλεβόρου λευκοῦ ἀνὰ < .α.

Πρὸς θλάσιν ὤτων.

Ὁ μὲν Ἱπποκράτης παραινεῖ μηδὲν αὐτοῖς προσφέρειν. ἐπειδὴ δὲ πολλάκις ὑπὸ τῶν πεπονθότων ἀναγκαζόμεθα, χρηστέον τοῖς δε. σμύρνης, ἀλόης, λιβάνου, ἀκακίας, ἴσα. ὄξει ἢ οἴνῳ λευκῷ καταχέειν. ἢ ἄρτου θερμοῦ τὸ ἐντὸς σὺν μέλιτι ὀλμοκοπήσας, κατάπλασσε. ἢ τοῦτο. ἀσφάλτου, λιβάνου, ἀλόης, κοχλιῶν τῆς σαρκός, βολβῶν ἀφρῶν ἴσα ὄξει συλλεάνας ἐπιτίθει. φλεγμονῆς δὲ γενομένης σησάμῳ λειώσας κατάπλασσε. ἢ χόνδρῳ σὺν ὄξει ἑφθῷ. ἐλαφρὰ δὲ ἔστω τὰ καταπλάσματα. καὶ χωρὶς ἐπιδέσεως, ἢ ἐλαφρῶς ἐπιδείσθω. καὶ ἔριον ἐλαιοβραχὲς ἐντιθέσθω περὶ πόρῳ τοῦ ὠτός.

Περὶ παρωτίδων.

Ἡ παρωτίς, πάθος ἐστὶ τῶν παρὰ τοῖς ὠσὶν ἀδένων ὕλης ἐκπεμπομένης. ποτὲ μὲν ἀπὸ τῆς κεφαλῆς ὑπερπληρωμένων ἐν αὐτῇ χυμῶν. ποτὲ δὲ ἀπὸ τοῦ λοιποῦ σώματος κριτικῶς ἐν πυρετοῖς γινόμενον. εἰ μὲν οὖν ἔτι διὰ βάθους οὖσα μὴ ἐκδίδοται εἰς ὄγκον ἡ παρωτίς, συνεργήσομεν τῇ φύσει τῶν ἑλκτικῶν βοηθημάτων προσφερομένων. ἢ καὶ σικύαν προστιθέντες. ἢ πυρίαις χρώμενοι συχναῖς. ὡς εἴγε παλινδρομήσει κατὰ τὸ βάθος ἡ ὕλη, κίνδυνος οὐχ ὁ τυχὼν γενήσεται. εἰ δὲ εἰς ὄγκον ἀποκορυφώσει φλεγμάνασα, τοὐναντίον τοῖς παρηγορεῖν τε καὶ συμπέττειν δυναμένοις χρησόμεθα καταπλάσμασιν. οἷόν ἐστι τό, τε διὰ κριθίνου, ἢ σιτίνου, ἢ λινοσπέρματος ἀλεύρου σὺν μελικράτῳ, ἢ τήλεως ἢ ἀλθαίας ἢ χαμαιμήλων ἀφεψήματι ἑψόμενον. καὶ τὸ διὰ λαπάθου καὶ ὀξυγγίας χωρὶς ἁλῶν. εἰ δὲ καὶ πλεονάζειν αἷμα φανείη σοι, προκενωτέον αὐτὸ διὰ φλεβοτομίας, ἐπιτρεπούσης μάλιστα τῆς δυνάμεως. μὴ διαφορουμένου δὲ τοῦ ὄγκου, τοῖς διαπυΐσκουσι χρηστέον φαρμάκοις. οἷόν ἐστι τὸ σίτινον ἄλευρον μετὰ ἰσχάδων ἀφεψήματος καὶ ἐλαίου. τό, τε διὰ γύρεως καὶ τὸ διὰ ζύμης φάρμακον. μεταβληθέντος δὲ ἀποστήματος, ἢ διὰ τομῆς ἐκκρίνωμεν τὸ πῦον, ἢ δριμεῖ φαρμάκῳ συῤῥήξωμεν. οἷόν ἐστι τό, τε σμιλίον καλούμενον, καὶ τὸ διὰ σκορόδων. τὰς δὲ δυσαλθεστέρας τῶν παρωτίδων. καὶ πυρία διὰ ἅλμης διαφορεῖ, καὶ τὸ διὰ τοῦ ἀπεράντου φαρμάκου. τοῦτο μέν γε καὶ τὸ μεταβληθὲν ἤδη πῦον διεφόρησεν, πρὸς τὸ καὶ ἀνωδυνώτατον ὑπάρχειν. πρὸς δὲ τὰς κεχρονισμένας παρωτίδας, κηρύκων ἢ πορφυρῶν κεκαυμένων τέφραν μετὰ μέλιτος ἢ ὀξυγγίας ἐπιθήσωμεν, ἢ σῦκα ἑψημένα θαλάσσῃ, ἢ πράσιον μετὰ ἁλῶν. τὰς δὲ σκληρυνθείσας ἤδη μαλάττει, ἥ τε μνασαίου καὶ ἡ ἀριοβαρζάνος. καλλίστη δὲ καὶ ἡ διὰ τοῦ χυλοῦ τοῦ λινοσπέρμου. πρὸ δέ γε τούτων καταπλάττειν αὐτὰς τοῦ ἀμμωνιακοῦ, μιγνύντας τοῖς καταπλάσμασι πίσσης ὑγρᾶς, ἢ στέατος ταυρείου, ἢ βδελλίου, ἢ στύρακος, ἢ ἐλαφείου μυελοῦ.

Περὶ τῶν τῆς ῥινὸς καὶ τῆς ὀσφρήσεως παθῶν. κδ.

Τῆς ὀσφρητικῆς βεβλαμμένης δυνάμεως, εἰ μὲν ἀβλαβὴς ἡ φωνὴ σώζοιτο, τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν τὸ πάθος ὑπονοητέον, ἤτοι κατὰ δυσκρασίαν ψιλὴν βεβλαμμένων, ἢ καὶ διὰ πλῆθος μοχθηρῶν χυμῶν. εἰ δὲ καὶ ἡ φωνὴ συμβλαβείη μογγοτέρα πως γεγονυῖα, διὰ ἔμφραξιν τῶν ἠθμοειδῶν ὀστῶν, τὸ πάθος ὑπολάμβανε γεγενῆσθαι πάλιν ὑπὸ μοχθηρῶν τινῶν χυμῶν. τὴν μὲν οὖν τοῦ ἐγκεφάλου δυσκρασίαν διὰ τῶν πολλάκις εἰρημένων εὑρηκώς, τοῖς ἐναντίοις κέχρησο βοηθήμασι. τοὺς δὲ χυμοὺς ἐκκένου τοῖς ἀποφλεγματισμοῖς, μάλιστα δὲ τοῖς ἰσχυρῶς κινοῦσι ἐῤῥίνοις. ὀσφραντά τε πρόσφερε λεπτομερῆ καθάπερ ἐπὶ τῶν κατάῤῥων. εἰ δὲ πλῆθος ὑπολάβοις καθ᾽ ὅλον τὸ σῶμα, τοῦτο πρότερον κένωσον ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως διὰ τῆς ἱερᾶς. οὕτω δὲ κἀπὶ τοῦ πολύποδος, καὶ τῆς ὀζαίνης κέχρησο. εἶθ᾽ οὕτως καὶ τὰ τοπικὰ πρόσφερε βοηθήματα. καὶ ἡ θηριακὴ πινομένη πλειστάκις μεγάλως ὀνίνησιν. ἔστι δὲ ὁ μὲν πολύπους ὄγκος παρὰ φύσιν ἐν ταῖς ῥισὶ γεννώμενος, ἐοικὼς κατὰ τὴν οὐσίαν τῇ τοῦ πολύποδος σαρκί. τῆς αὐτῆς δὲ οὐσίας ἐστὶ καὶ τὸ σάρκωμα. ἡ δὲ ὄζαινα ἕλκος ἐστὶν σηπεδονῶδες ἐξ ἐπιῤῥοῆς ὑγρῶν δριμέων γινόμενον.

Πρὸς πολύποδας καὶ σαρκώματα.

Λεπίδος χαλκοῦ < .η. χαλκάνθου < .ς. σανδαράχης < .δ. ἐλλεβόρου μέλανος < .β. ἐμφύσα καὶ χρῶ ὡς καλλίστῳ. ἐν μὲν γὰρ ἡμέραις ιγ. ὠφέλειαν ἔκδηλον ποιεῖ. ποιεῖ δὲ καὶ χάλκανθος

σὺν

σὺν ὄξει. Ἄλλο. Σιδίων < .ιβ. χαλκάνθου < .ι. χαλκίτεως < .η. χολῆς ταυρείας. ἀμώμου, σμύρνης, καλαμίνθης. πρασίου ἀνὰ < .δ. κρόκου < .β. ἐλλεβόρου λευκοῦ < .δ. ξηρῷ χρῶ. Ἄλλο. Διφρυγὲς λείον προσάπτου καὶ μοτῷ ἐλλυχνιωτῷ, διάστελλε δὲ τοὺς μυκτῆρας.

Πρὸς ὀζαίνας.

Μίσυος, χαλκίτεως, σμύρνης ἀνὰ < .ζ. χαλκάνθου < .ϛ. στυπτηρίας σχιστῆς, κηκίδος, λεπίδος χαλκοῦ ἀνὰ < .δ. στυπτηρίας στρογγύλης < .β. λιβάνου < .α. ὄξους ξ .α. ἕψε τὸ πᾶν ἐν χαλκῷ σκεύει. μελιτώδει δὲ χρῶ διὰ μοτῶν. Ἄλλο. Ἰὸν καὶ λεπίδα ἴσα ξηρὸν ποίει.

Πρὸς τὰς τῆς ῥινὸς δυσωδίας.

Σμύρνης, ἀκακίας, ἀμώμου ἀνὰ < .α. μέλιτι ἑφθῷ ἀναλαβὼν κέλευε προσκολλᾶσθαι τῷ ἄκρῳ τοῦ τῆς ῥινὸς διαφράγματος. Ἄλλο. Αμώμου, σμύρνης, ῥόδων ξηρῶν. ἴσα μύρῳ ναρδίνῳ ἀναλαβὼν ὑπόχριε. ποίει καὶ ἡδυχρόου μάλαγμα μετ᾽ οἴνου.

Τὰ ἐν ῥινὶ ἕλκη.

Ψιμμυθίου λι. α. λιθαργύρου ℥ο. γ. μολίβδου σκωρίας ℥ο. γ. ἢ μολίβδου κεκαυμένου. πάντα δὲ πεπλυμένα ἔστω. ἀναλάμβανε οἴνῳ, καὶ μυρσίνῳ ἐλαίῳ.

Πρὸς τὰ γλυκέα λεγόμενα ἕλκη.

Λιθαργύρου < .δ. πηγάνου νεαροῦ < .δ. στυπτηρίας σχιστῆς < .β. μυρσίνῳ ἐλαίῳ καὶ ὄξει ἀνάλαμβανε.

Πταρμικά.

Ἐλλέβορος λευκός. ἢ καστόριον, ἢ πέπερι, ἢ στρούθιον. ἢ ὁμοῦ πάντα. οὐ χρὴ δὲ ἐμφυσᾶν, ἀλλὰ πτερῷ ἢ δακτύλῳ προστιθέναι ἕως ἐσωτάτω τῆς ῥινός. πλεοναζόντος δὲ πταρμοῦ, ἐκ φαρμάκου παύειν ἐγχυματίζοντα νάρδον, ἢ ῥόδινον, ἢ γλυκέλαιον. καὶ ὀσφραντὰ δὲ παύει πταρμόν. ἄνηθον, ὠκίμου κάρφη κοπέντα. πρὸς δέ γε πάντων τούτων ξηραντέον τὴν κεφαλὴν σμήγμασι τοῖς ἀπὸ νίτρου καὶ κιστήρεως. ἢ καὶ τῷ καλουμένῳ ἀσκληπίῳ χρηστέον, καὶ τῷ Κωνσταντίνου σάπωνι, καὶ τῶν καππαδοκικῶν ἁλῶν, καὶ τοῖς ὁμοίοις.

Περὶ τῆς τῶν ῥινῶν αἱμοῤῥαγίας.

Περὶ μὲν τῆς ἐν πυρετοῖς αἱμοῤῥαγίας ἐκ ῥινῶν. ἐν ἐκείνοις κατὰ τὸ δεύτερον εἴρηται βιβλίον. περὶ δὲ τῆς ὁπωσοῦν ἄλλως γινομένης ἁπλῶς δυσεπισχέτου, νῦν εἰρήσεται. χαλκίτην λεάνας, ἀνάλαβε δεδευμένῳ ὕδατι ἐλλυχνίῳ ἢ πριαπίσκῳ, καὶ ἐντίθει τοῖς μυξωτῆρσι. ἢ ᾠοῦ τὸ ὄστρακον καύσας, μίσγε αὐτῷ καὶ κηκίδος, τὸ ἥμισυ. ἢ λυκίῳ ἰνδικῷ διάψαι. ἢ ὀνίδα καύσας ἐμφύσα τὴν σποδόν. ἢ χυλίσας τὴν ὀνίδα, ἔνσταζε τὸν χυλόν, ἢ μυλίτου λίθου σβεσθέντος ὄξει τὴν ἀτμίδα ὀσφραινέσθω. ἢ καὶ παρεμπλαστικῷ τούτῳ κέχρησο. μάννης λιβάνου μέρος α. ἀλόης μέρος. S. ᾠοῦ τὸ λευκὸν ἀνάλαμβανε. καὶ χρῶ διὰ ἐλλυχνιωτοῦ, προστιθεὶς ἔξωθεν τῷ χρίσματι λαγωοῦ τρίχας. ἢ τὴν καλουμένην λυχνίδα ἐνθὲς τῷ μυκτῆρι. ἢ σικύαν κούφην κατὰ τοῦ κατ᾽ εὐθὺ τοῦ αἱμοῤῥαγοῦντος μυκτῆρος ὑποχονδρίου πρόσθες, μεγάλην τε καὶ πολυμόνως. ἢ τὰ ὦτα στεῤῥῶς ἐμφραττέτω. καὶ τὸ μέτωπον σπόγγοις, ἐξ ὕδατος ψυχροῦ καταβρεχέσθω. ἢ σικύαν ἰνίῳ κολλᾶν μεθ᾽ αἵματος ἀφαιρέσεως. ἔσθ᾽ ὅτε δὲ καὶ φλεβοτομεῖν εἰ μηδὲν κωλύει. καὶ τὰ ἄκρα διαδεῖν, μάλιστα δὲ βραχίονας καὶ μηροὺς καθάπερ ἐπὶ φλεβοτομιῶν. καὶ κελεύει κινεῖν αὐτά, χεῖρας μὲν ἀνατείνοντας, πόδας δέ, βαδίζοντα. πληρουμένων γὰρ αἵματος τῶν ἐνταῦθα φλεβῶν, τὰ περὶ τὰς ῥῖνας λειφαιμήσουσι. καὶ σπόγγος δὲ πολλάκις ἐν ὀξυκράτῳ δευθεὶς ψυχρῷ, καὶ προσκείμενος ἔξωθεν τοῦ αἱμοῤῥαγοῦντος μυκτῆρος μετὰ πλήσεως, τὸ ῥέον ἐξελώνυσεν. κάλλιον δὲ προϋποβεβλημένου μακροῦ σφηνίσκου τῇ ῥινί.

Πρὸς τὰ κατὰ τὸ πρόσωπον. πρὸς τὸ ἀῤῥυτίδωτον φυλάξαι πρόσωπον. κε.

Λιβάνου < .δ. φύκους < .γ. λιθαργύρου πεπυρωμένου < .η. διαλύσας ἅπαντα ἰχθυοκόλλης κοπείσης ἀποβρέγματι, καὶ ποιήσας τροχίσκους, χρῶ. Ἄλλο. Ἐλέφαντος ῥινήματος < .υ. λιβάνου ἄῤῥενος, ἰχθυοκόλλης τὸ ἴσον. χρῶ καθάπερ προείρηται.

Πρὸς τὰς τοῦ προσώπου μελανώσεις.

Ἴρεως ἢ πτισάνης ἐρεγμοῦ ἀνὰ ξ .α. S. ἁλὸς ἀμμωνιακοῦ. κέρατος ἐλαφείου κεκαυμένου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ℥ο. β. ὕδατι διαλύσας ποίει τροχίσκους. καὶ πάλιν ὕδατι λέαινε χρῖε πρὸ βαλανείων. Ἄλλο. Πτισάνης, ὀρόβου, λιβάνου, ἰλλυρίδος, ἀφρονίτρου ἀνὰ χοίνικας δ. κόστου, ἀμυγδάλων πικρῶν ἀνὰ < .η. ἀνάπλαττε ᾠῶν τῷ λευκῷ καὶ γάλακτι ὀνείῳ, καὶ χρῶ καθὰ προείρηται. ποιεῖ δὲ καὶ ὁ πεπονάτος τροχίσκος.

Πρὸς ἔφηλιν καὶ φακούς.

Γῆς κιμωλίας πεφρυγμένης χ. S. ἀφρονίτρου ὀπτοῦ < .η. ὀροβίνου λεκίθου < .δ. χολῆς ταυ-

είας ῥινημάτων <.η. τρίψας σμῶ. Ἄλλο. Τρυγὸς <.ι. ὀροβίου <.ι. βρέγμου <.ι. ἐλλεβόρου λευκοῦ <.ε. ἀφρονίτρου <.ι. ἀλκυονίου <.ι. λείοις σμῶ.

Πρὸς ὑπώπια.

Κατ᾽ ἀρχὰς μὲν ἀφεψήματι τήλεως, ὕστερον δὲ καὶ μελιλώτων, πυριῶν. τὸ νέαλου διάβροχον κολλούριον ὕδατι δὶς ἐπίχριε. εἶτα τῷ διάσμυρνον. εἰ δὲ μὴ δράσῃ, τῷ διὰ σάνδυκος χρῖσαι κεκαυμένον. ἢ ὕσσωπον μεθ᾽ ὕδατος ἐπιτίθει. ἢ ἐνδήσας τὸ ὕσσωπον εἰς ῥάκκος, καὶ βάπτων ὕδατι θερμῷ, πυρία. ἢ ἅλμῃ δριμείᾳ πυρία, καὶ τῆς ῥαφανίδος τὸν φλοιὸν μετὰ μέλιτος τρίψας ἐπιτίθει. τοῦτο καὶ πρὸς τὰ χρόνια. Πρὸς δὲ τὰ χρόνια ὑπώπια καὶ πελιώματα. κροκοδίλου μέρος β̄, γῆς σαμίας μέρος ᾱ. σὺν μέλιτι ἐπιτίθει προσέχων μὴ ἑλκωθῇ. Ἄλλο. Ἀπόψηκτρον. ὑσσώπου, θαψίας, κασσίας ἀνὰ <.β̄. κηροῦ <.β̄. τερεβινθίνης <.ᾱ. ἐπιτίθει προσέχων μὴ ἑλκωθῇ. καὶ διὰ τοῦτο αἴρων συνεχῶς.

Πρὸς ἰόνθους.

Εἰσὶ δὲ ὄγκοι σμικροὶ καὶ σκληροὶ περὶ τὸ πρόσωπον. ὀξυμέλιτι ἐπίχριε προανατρίβων. ἢ λιθάργυρον μετὰ τερεβινθίνης καὶ ὀλίγου ἐλαίου λευκοῦ τρίψας, κατάχριε ἀνατρίβων. ἢ χιστὴν μετὰ τερεβινθίνης. ἢ ἀμύγδαλα πικρὰ λειώσας ὄξει, ἀνάτριβε. Πρὸς δὲ τοὺς τετυλωμένους ἰόνθους. σάπωνος γαλλικοῦ <.δ̄. λιβάνου, ἀμμωνιακοῦ ἀνὰ <.ᾱ. ὕδατι δὶς κατάχριε, καὶ μετὰ ὥραν ἀπόνιπτε.

Πρὸς ἰόνθους καὶ τρίχας καὶ τραχύματα τοῦ προσώπου.

Κηροῦ <.ι. τερεβινθίνης <.ᾱ. ἰξοῦ <.β̄. σύντηξον ἐλαίου παρεπιχέων. καὶ τούτῳ τὸ πρόσωπον ἔκμασσον. αἴρει γὰρ ἐκ ῥιζῶν. Ἄλλο. Μήκωνα λεῖον ἢ γλήχωνα μεθ᾽ ἁλὸς καὶ ὄξους κατάπλασσε.

Κηρωτὴ θαΐδος, ὥστε ἐρυθρὸν ποιεῖν πρόσωπον.

Κρόκου, ἐρυθροδάνου ῥίζης, φύκους, λιβάνου, σμύρνης ἀνὰ <.β̄. ἀναλάμβανε στέατι μοσχίῳ καὶ μαστιχίνῳ ἐλαίῳ, εἶτα ἐπίχριε. καὶ διαστήσας περίματτε σπόγγῳ θερμοῦ. ἁρμόσει δὲ τὰ τοῦ προσώπου κἀπὶ τοῦ λοιποῦ σώματος.

Περὶ τῶν κατὰ τὸ στόμα παθῶν. καὶ πρῶτον περὶ ὀδόντων. κϛ.

Τῶν ὀδυνωμένων ὀδόντων ἄνευ τῆς τῶν οὔλων φλεγμονῆς. ἔσθ᾽ ὅτε μὲν ἐν αὐτῷ τῷ οἰκείῳ σώματι τὴν ὀδύνην. ἔσθ᾽ ὅτε δὲ ἐν τῷ εἰς αὐτοὺς καταφερομένῳ νεύρῳ γίνεσθαι συμβαίνει. σφοδροτάτων οὖν χρεία φαρμάκων. διὰ τοῦτο τὰ πλεῖστα αὐτῶν δι᾽ ὄξους σκευάζεται δριμυτάτου. ὅλων δὲ διὰ φλεγμονὴν ὀδυνωμένων, ἄριστον ἐστὶ φάρμακον ἔλαιον σχίνινον, εὔκρατον, διακρατούμενον. ἔστω δὲ νέον. ὥς τό γε παλαιόν, εἰς τοσοῦτον τοῦ νέου φαυλότερον εἰς ὅσον παλαιότερον. ὁ κοινὸς δὲ καὶ νῦν πεφυλάχθω λόγος. ὡς δεῖ προκενοῦσθαι τὸν ἐν ὅλῳ τῷ σώματι πλεονάζοντα χυμόν.

Πρὸς φλεγμονὴν ὀδόντων.

Διακλυζέσθωσαν ὄξος ἐν ᾧ ἀφήψηται κηκίς, ἢ ἁλικακάβου ἡ ῥίζα, ἢ ὑοσκυάμου σπέρμα ἢ τὰ φύλλα, ἢ γλήχων, ἢ στρύχνου ὁ χυλός, ἢ καππάρεως ῥίζα, ἢ μυρσίνης φύλλα, ἢ πόλιον, ἢ σικύου ἀγρίου ῥίζα, ἢ πηγάνου φύλλα μετ᾽ ὀξυμέλιτος, ἢ κέρας ἐλάφειον, ἢ καὶ τὸ σκιλλητικὸν ὄξος, ἢ πύρεθρον μετὰ ὑσσώπου. εἰς δὲ τὸ βεβρωμένον τοῦ ὀδόντος, ἐντίθει στύρακα μετὰ ὀπίου, ἢ χαλβάνην, ἢ θεῖον ἄπυρον μετὰ λυκίου. ἢ ὑοσκυάμου σπέρματος ὑπατμιζέσθω διὰ χωνίου. ἢ ἡ Φίλωνος ἀντίδοτος περιπλασσομένη τῷ ὀδόντι ἀνωδυνίαν ἐμποιεῖ. ῥευματιζομένων δὲ τῶν ὀδόντων, μυρσίνης καὶ σχίνου καὶ κηκίδος ἀπόζεμα διακλυζέσθω. ἢ ῥοῦ συριακοῦ καὶ βαλαυστίων, ἢ σιδίων. ἐπίπλασσε δὲ ἁλῶν μ. β̄. στυπτηρίας καὶ σβεσθείσης ὄξει καυθείσης καὶ λειωθείσης μ. ᾱ. εἶτα οἴνῳ διακλυζέσθω. αἱμάσσουσι δὲ οὔλοις στυπτηρίαν λεπτὴν ἐπίπασσον. ἢ ἀλόην μετ᾽ οἴνου διακλυζέσθω. ἢ βάτου ῥίζαν οἴνῳ ἀποζεσθεῖσαν. ἢ ῥοῦν συριακόν. αἱμασσομένων δὲ καὶ ῥευματιζομένων οὔλων. ὠμοτάριχον ἐν χύτρᾳ καύσας ἕως ἀνθρακωθῇ, τῇ σποδιᾷ παράπτου. ἵστησι δὲ σειομένους ὀδόντας ἐπιπασσομένη ἀλόη, ἢ ῥοῦς συριακός, ἢ χιστὴ ἢ κηκίς, ἢ βάτου ῥίζα, καθ᾽ ἑαυτά, ἢ σὺν οἴνῳ ἑψόμενα. Ἄλλο. Καρύου χλωροῦ τὸν φλοιὸν λεάνας, καὶ τὸν ζωμὸν αὐτοῦ ἔχων, ἔμβαλλε εἰς αὐτὸν σμύρναν ἀληθῆ *, καὶ στυπτηρίαν σχιστήν. καὶ ἑνώσας πάντα, ἔγχεε ἐν τῇ χρήσει. καὶ ἔμβαλλε εἰς τὰ ὅλα εἰς τὸ μέρος τοῦ ὀδυνωμένου ὀδόντος, καὶ ἰᾶται. Ἄλλο. Σκόροδον καὶ πέπερι καὶ ἀγρίαν σταφίδα τρίψας, καὶ ἐν λινῷ ἐρίῳ ποιῶν κομβία μικρὰ καὶ ὑπαλλάσσων, καθαίρεις τὸ ἐν τῇ κεφαλῇ ὑγρὸν καὶ θεραπεύσεις ὀδόντας.

Πρὸς σειομένους ὀδόντας. καὶ πρὸς οὖλα ῥευματιζόμενα. καὶ πρὸς πᾶσαν νομὴν τὴν ἐν τῷ στόματι.

Χαλκίτεως ὀπτῆς <.ιβ. καδμείας <.η. χρῶ ξηρῷ σὺν ὄξει. Ἀπόνως ὀδόντας αἴρει.

ἄλευρον

ἄλευρον μετὰ ὀποῦ τιθυμάλλου ἐπίθες, καὶ ἐπάνω κισσοῦ φύλλων, καὶ ἔασον ὥραν. αὐτομάτως γὰρ θρυβήσεται.

Ὀδοντόσμηγμα καὶ πρὸς παρουλίδας.

Στυπτηρίας πλινθίτιδος Γο. δ΄. ἁλῶν ἀμμωνιακῶν Γο. δ΄. σμύρνης, κόστου, πυρέθρου, ἀνὰ ∠ δ΄. πεπέρεως κόκκοι π΄.

Πρὸς παρουλίδας.

Θείου ἀπύρου, πεπέρεως, σχιστῆς στυπτηρίας ἴσα. Καὶ ἡ παρουλὶς μέν ἐστι φλεγμονὴ περὶ τὸ μέρος τῶν οὔλων, ἥτις μὴ λυθεῖσα ἐκπυΐσκεται. ἐκπυηθεῖσα δὲ φλεβοτόμῳ διαιρεθεῖσα διαστέλλεται μοτῷ. Ἐπουλὶς δέ ἐστιν ἀπὸ φλεγμονῆς ὑπερσάρκωμα κατὰ τὸν ἔσχατον γόμφιον. ἔσθ᾽ ὅτε μετὰ πυρετοῦ, καὶ ὀδύνης. χρείαν οὖν ἔχει καταστολῆς. χρηστέον τοίνυν ἰῷ ξυστῷ καθ᾽ αὑτό, ἢ μετὰ ἴσης κηκῖδος, ἢ σίδει Κϛ΄. ἢ στυπτηρίᾳ πάσῃ Κϛ΄. ἢ κηκῖδι καθ᾽ αὑτήν. ἢ λεπίδι χαλκοῦ μετ᾽ ὄξους λειωθείσῃ ἐπὶ ἱκανὰς ἡμέρας, καὶ ξηρανθείσῃ.

Ὀδοντόσμηγμα.

Ἀριστολοχίας ῥίζαι Κϛ΄. ἐλαφείου κέρας Κϛ΄ σὺν βραχεῖ μαστίχης. ἄλευρον λευκὸν φυραθέντος μέλιτι καὶ ἐνειληθέντος συκῆς φύλλοις καὶ καυθέντος ἄχρις ἀνθρακωθῶσι. Ἄλλο. Κήρυκες ἁλὸς πληρωθέντες καὶ καυθέντες. κοχλίαι χερσαῖοι καυθέντες σὺν μέλιτι. ὄστρεα οἰσυπηρὰ Κϛ΄. μετ᾽ ὀλίγων ἁλῶν. ἑκάστῳ δὲ αὐτῶν εὐωδίας χάριν μισγέσθω, σχοίνου ἄνθος, ἢ νάρδου στάχυος, ἢ φύλλον μαλαβάθρου, ἢ κύπειρον, ἢ ἶρις.

Ὀδόντας λευκαῖνον, καὶ οὔλας στέλλον. εὐωδίαν ἐμποιοῦν.

Κισσήρεως, ἁλῶν ὀπτῶν, ἴρεως ἀνὰ ∠ δ΄. κυπέρου ∠ ε΄. ναρδοστάχυος ∠ α΄. πεπέρεως ∠ ϛ΄. λείοις χρῶ.

Πρὸς αἱμωδίαν.

Αἱμωδίαις ἀνδράχνη ποιεῖ διαμασωμένη. ἢ ἔλαιον ὠμοτριβὲς περιτριβόμενον. ἢ ἀμόργη ἐν χαλκῷ ἐλαίῳ ἑψηθεῖσα μέχρι μελιτώδους στάσεως, καὶ παλαιωθεῖσα, διαχριομένη.

Πρὸς ὀδόντας ἐψυγμένους.

Ὀδοῦσιν ἐψυγμένοις. δαφνίδων, καὶ σχιστῆς στυπτηρίας, ἀριστολοχίας κληματίτιδος, ἴσα.

Πρὸς διαβεβρωμένα οὖλα.

Ῥόδων ἄνθους ∠ η΄. κηκίδων ∠ δ΄. σμύρνης ∠ β΄. διακλυζόμενον δὲ τὰς τῶν οὔλων ἀναβρώσεις καὶ πλάδους ἰᾶται γάλα ὄνειον, ἐλαίας φύλλων ἀφέψημα, ὄξος σκιλλητικόν. ξηρὰ δὲ προσαπτόμενα, ἰὸς σιδήρου, κύτινοι. πρὸς δὲ τὰ οἰδοῦντα καὶ ἐκσαρκοῦντα, ἀνδράχνης χυλὸς διακρατούμενος, ἅλμη κολυμβάδων ἐλαιῶν, ἔλαιον θερμὸν ὠμοτριβές, ἢ σχίνινον, ἢ μήλινον, ἢ ἀμόργη. ξηρὰ δέ, ἰὸς σιδήρου ἢ χαλκοῦ, ἀριστολοχίας ῥίζαι, ἀρνογλώσσου σπέρμα, διφρυγές, χάλκανθος ὀπτή. κύτινοι.

Πρὸς χείλη ἐρρωγότα.

Ἀμόργη ἑφθῇ διάχριε. ἢ [illegible] στέαρ χήνειον μετὰ μέλιτος τερεβινθίνης, ἴσα. ῥόδων ἄνθους, οἰσύπου ῥοδίνου ἀνὰ βραχύ.

Πρὸς τὸν λεγόμενον βάτραχον.

Ὁ βάτραχος ὄγκος ἐστὶν φλεγμονώδης ὑπὸ τῇ γλώσσῃ συνιστάμενος, μάλιστα ἐπὶ τῶν παιδίων. διάτριβε οὖν τὸν τόπον, μίσυος, ἰοῦ ξυστοῦ, ἴσα. ξηρῷ. κατὰ δὲ τοῦ ἀνθερεῶνος χρηστέον τῇ ἀνθηρᾷ, ἢ διὰ σφαιρίων, ἢ διὰ ὠῶν περιύγρων. τῶν δὲ τελείων περιδιαιρεῖν, τὰς ὑπὸ τῆς γλώσσης φλέβας. Ἄλλο. Ποιεῖ καὶ πρὸς ἄφθας. ἰοῦ ξυστοῦ, κηκῖδος, χαλκίτεως ἴσα. σὺν δὲ γλυκεῖ ἐστι καὶ διάκλυσμα. Ἄλλο. Ὀροβίνῳ μετὰ μέλιτος περιαποσμήξας, διάχριε κηκῖδι λείᾳ μετὰ μέλιτος. ἢ ῥόδων ἄνθει ὁμοίως. ἢ ἐλαίας φύλλων ἀφεψήματι διακλυζέσθω.

Πρὸς παρισθμίων φλεγμονήν.

Εἰ μὲν ἐν πυρετῷ φλεγμαίνοι παρίσθμια καὶ κιονίς, ἀναγαργαρίσματα ἁρμόζει διὰ ἀφεψήματος πιτύρων, ἢ ῥόδων, ἢ φοινίκων, ἢ μυξῶν, ἢ φακῆς. ἐνδιδούσης δὲ τῆς φλεγμονῆς ἢ ἀκμαζούσης, μικτέον αὐτοῖς τὸ μέλι. ὃ ἐν ἀρχαῖς οὐ χρὴ ποιεῖν, οὐδὲ ἐν ἐπιδόσεσιν, ὡς μὴ τῇ δριμύτητι ἐφέλκῃ τι ῥεῦμα. εἰ δὲ ἐκπυηθέντα ῥαγῇ, γαργαριστέον μελικράτῳ, ἢ μετὰ φακοῦ ἀφεψήματος, ἢ ῥόδων, ἐπιμένοντας μέχρι παντελοῦς λύσεως. ἢ στοματικὴν διάκλυσιν καὶ διδόναι γαργαρίζειν. εἰ δὲ λοιμικὰ ἕλκη ἐν παρισθμίοις γένοιτο. χρηστέον μὲν καὶ τοῖς προγεγραμμένοις, ἰδίως δὲ προσοιστέον, τήν τε διὰ μόρων μεθ᾽ ὕδατος θερμοῦ. ἢ ὑδρόμελι ἔχον ἄνθος ῥόδων ἐμπεπρησμένων, ἢ κόστον, ἢ ῥοῦν, ξηρὰ ἢ ἀφεψημένα. ἢ γλαυκίου φύλλων ξηρῶν ἀφέψημα. ἔστι μὲν οὖν πικρόν. κάλλιστα δὲ ποιεῖ, εἰ τὸν χυλόν, ὡς εἰς τὰ κολλύρια χρώμεθα, λύοις ἐν διὰ μελικράτῳ.

αὐτοῦ δὲ τοῦ θαμνίσκου ξηροῦ ἐμφυσωμένου, καλλίστη ἡ χρῆσις, ἢ δακτύλου προσαπτομένου. πειρᾶσθαι δὲ μηδ᾽ ὅλως χειραπτεῖν, ἢ εὐαφῶς πάνυ παράπτεσθαι. ὤνησεν δὲ καὶ ὁ Ἀνδρώνιος τροχίσκος. μετὰ δὲ τοὺς ἐρεθισμοὺς τούτων, γαργαρίζειν τῆς διὰ γλυκυῤῥίζης. ἢ τὸ διὰ σκυβελίτου, καὶ κρόκου, καὶ χίας, καὶ σμύρνης. ὕστερον δὲ ἀμύλου, τραγακάνθης. σταθείσης δὲ τῆς νομῆς, τῷ διὰ γάλακτος καὶ σαμίας γῆς γαργαριστέον. Ἄλλο, πρὸς αὐτιάδας. Ῥοιὰν γλυκεῖαν σὺν τοῖς λεπύροις κόψας, καὶ ἐκπιάσας, τοῦ χυλοῦ ϛ΄ μοίραις πρὸς μίαν μέλιτος μίξας ἕψε ἄχρι μελιτώδους συστάσεως, καὶ διάχριε. Ἄλλο. Κηκῖδος ὀμφακίνης Γο. β΄. σχιστῆς στυπτηρίας Γο. α΄. ἁλῶν ἀμμωνιακῶν ὠπτημένων Γο. α΄. ξηρῷ παράπτου. Ἄλλο. Κηκῖδος < η΄ μίσυος < β΄ ἁλῶν ὀπτῶν < ε΄. χρῶ ξηρῷ. ἔστι δὲ αὐτίας ὄγκος σκιῤῥώδης τῶν παρισθμίων.

Περὶ κιονίδος.

Κιονίδος φλεγμαινούσης γαργαρίσμασι χρηστέον, τοῖς ἐπὶ παρισθμίων φλεγμονῆς. καὶ τοῖς μετρίως στύφουσιν, οἷός ἐστι ῥοᾶς χυλὸς διὰ κοχλιαρίου ἢ τοῦ ὀργάνου τοῦ σταφυλεπάρτου λεγομένου ὑποτιθέμενος. καὶ καθ᾽ αὑτά, καὶ σὺν μέλιτι ἱκανῶς ἑψημένῳ. ἡ γλυκεῖα ῥίζα μιγνυμένη τῷ τῆς ῥοᾶς χυλῷ. ποιεῖ, καὶ χυλὸς τῆς γλυκείας ῥίζης ἐνδιηθεὶς σὺν μέλιτι. ἀναστέλλει δὲ καὶ αἱματίτης λίθος. καὶ ὁ φρύγιος κεκαυμένος. καὶ ὁ ἀγήρατος, καὶ τὸ διὰ λίθου φρυγίου αἰδοιϊκόν. καὶ γῆ σαμία, καὶ ἐρετρίας, καὶ σινωπίς, καὶ ἡ λημνία. καὶ ὀμφάκιον καθ᾽ αὑτὸ καὶ σὺν τούτων τινί. καὶ ἀκάνθης αἰγυπτίας ὁ καρπός. καὶ ἡ σχιστὴ στυπτηρία. τοῦ δὲ ῥόδου καὶ τὸ σπέρμα καὶ τὰ φύλλα πραότερον ἐνεργεῖ. ἔτι δὲ πραότερον κόμμι τραγάκανθα. σαρκόκολλα. ἄμυλον. οἷς χρηστέον ἐπ᾽ ἂν θλίβηται μᾶλλον, σφιγγομένη ὑπὸ τῶν στυφόντων. ἰσοπαχοῦς δὲ αὐτῆς οὔσης, ὃ δὴ κίονα καλοῦσι, γαργαρίσμασι πιστευτέον, καὶ τοῖς διὰ σμύρνης τε καὶ κρόκου, καὶ κυπέρου. τὰς δὲ περιθλάσεις εὐλαβεῖσθαι, καὶ πόρρω μᾶλλον διαχρίειν. Σύνθετον δὲ τοῦτο. ῥοὸς συριακῆς < η΄. κρόκου < δ΄. κόστου < η΄. ῥόδων σπέρμα < δ΄. καὶ οὔλοις ποιεῖ. λινοῦν ἀπὸ πορφύρας θαλαττίας περιτιθὲν ἐχίδνης τραχήλῳ καὶ πνῖξαν αὐτήν, εἶτα περιαπτόμενον, θαυμαστῶς πως ὀνίνησιν παρίσθμιά τε καὶ ὅσα περὶ τράχηλον. ὡς μαρτυρεῖ Γαληνός.

Πρὸς τὰς ἐκ στόματος αἱμοῤῥαγίας.

Πράσου φύλλα κόψας ἐπιτίθει. ἢ σπόγγον καινὸν βάψας εἰς πίσσαν ὠμὴν κατάκαυσον, καὶ λεάνας χρῶ. χρήσιμον σφόδρα ἐστί. καὶ διακλύσματα δὲ ῥόδων ξηρῶν ἢ χλωρῶν. ἀφέψημα ψυχρόν, ἢ ἑλίκων ἀμπέλου, ἢ σχίνου φύλλων, ἢ βάτου, ἢ μήλων κυδωνίων, ἢ ῥόδων, ἢ γιγάρτων ἢ φακῶν.

Περὶ συνάγχης, καὶ τῶν ταύτῃ παρακειμένων, ἐν ᾧ καὶ περὶ τῶν ἀπαγχομένων, ἢ ἄλλως πως πνιγομένων λέγεται. κζ΄.

Τῶν μὲν ἔνδον τῆς φάρυγγος μυῶν φλεγμαινόντων ἡ καλουμένη συνάγχη γίνεται. τῶν δὲ ἐκτός, ἡ παρασυνάγχη. ὡσαύτως δὲ καὶ τοῦ λάρυγγος, οἱ μὲν ἔνδον μύες φλεγμαίνοντες τὴν κυνάγχην. οἱ δὲ ἐκτός, τὴν παρακυνάγχην ἐργάζονται. παρέπεται δὲ πᾶσιν ὀρθόπνοιά τε καὶ πόνος μετὰ δυσπνοίας, ἐνίοις δὲ καὶ πυρετός. ἔρευθός τε τοῦ προσώπου καὶ τραχήλου, καὶ ὄγκος ἐπὶ τινῶν. τότε στόμα διεωγὸς ἔχουσι, καὶ κατὰ πίνειν οὐ δύνανται. τοῖς δὲ κυναγχικοῖς, καὶ πνιγμὸς ἔσθ᾽ ὅτε παρηκολούθησε. γίνεται δὲ τοῖς παιδίοις κατὰ τὸ σπάνιον, τῶν τοῦ τραχήλου σπονδύλων παθόντων ἐκ καταπτώσεως, τοιοῦτον πάθος. ἀλλ᾽ ἐκείνοις μὲν ὡς ἀνιάτοις, οὐκ ἐγχειρητέον. τοὺς δὲ ἄλλους, αὐτίκα φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος. καὶ κενοῦν οὐκ ἀθρόως, ἀλλὰ πλεονάκις ταμιευομένους τὸ πλῆθος. ἐκ γὰρ τῆς ἀθρόας κενώσεως, λειποθυμήσασιν αὐτοῖς, πνιγμοῦ κίνδυνος ἐπιγίνεται, συῤῥεούσης ἀθρόως εἰς τὸ πεπονθὸς μόριον τῆς ὕλης. μὴ κουφιζομένων δὲ παρ᾽ αὐτά. καὶ τὰς ὑπὸ τὴν γλῶτταν φλέβας τμητέον. ἢ καὶ αὐτὴν ἐγχαρακτέον τὴν γλῶτταν, εἰ προπετεστέρα σὺν ὄγκῳ φαίνοιτο. τήν τε κοιλίαν κλυστέον δριμυτέρῳ κλύσματι. καὶ τοὺς πόδας ἐπαντλητέον, ὕδατι θερμῷ. καὶ διαδετέον εὐτόνως τὰ ἄκρα. σκεπαστέον τε τὸν τράχηλον ἐρίοις οἰσυπηροῖς, ἢ καὶ ἐλαιοβραχέσι, καὶ τῆς διὰ ὠμῆς λύσεως καταπλαστέον. ἀναγαργαριζέσθωσαν δὲ κατ᾽ ἀρχὰς μέν, τοῖς ἐπὶ φλεγμονῇ παρισθμίων εἰρημένοις. ἢ τῷ ἁπλῷ διαμόρῳ, σὺν ἀφεψήματι ῥοός. Βέλτιον δὲ τὸ ἀπὸ τῶν ἀγρίων μόρων διάμορον. μετὰ δὲ ταῦτα. καὶ τῷ συνθέτῳ διαμόρῳ, ἢ τῷ διὰ καρύων διαχριέσθωσαν. ἀκμαζούσης δὲ τῆς νόσου, καὶ νίτρου βραχὺ ἐπιμικτέον, ἢ καὶ θείου ἀπύρου. πλήν, εἰ μὴ δριμύτης τις ἀποκωλύοι. καὶ ἡ κυνεία δὲ κόπρος ξηρὰ κοπεῖσα, καὶ σὺν μέλιτι διαχριομένη, κάλλιστον ἐστὶ φάρμακον, καὶ ταύτης ἡ λευκὴ μάλιστα. καὶ τῶν ἀγρίων χελιδόνων ἡ σποδὸς ὁμοίως. χρονιζόντων δὲ τοῦ πάθους. καὶ τῷ διὰ τοῦ βυσσὰ χρηστέον διαχρίσματι, ποτὲ μὲν ἐκλύοντας,

ποτὲ

ποτὲ δ᾽ αὖ πάλιν ἐπιτείνοντας αὐτοῦ τὴν δύναμιν, ἑτέρων φαρμακικῶν ἐπιμιξίᾳ. καὶ σικύας ἢ βδέλλας προσακτέον αὐχένι τε καὶ τραχήλῳ. καὶ τοῖς ἰσχυροτέροις, χρηστέον ἀναγαργαρίσμασι, διὰ ἴρεως, ὑσσώπου, μελανθίου, ἀβροτόνου, γλυκυρρίζης, ἰσχάδων ἑψηθέντων ἐν μελικράτῳ, ἢ πηγάνου χυλῷ μετὰ γάλακτος, ἢ νάπυϊ σὺν ὀξυμέλιτι. εἰ δέ τις ἐκ τούτων δριμύτης γένηται, δοτέον αὐτοῖς ἔλαιον ὡς ὅ,τι κάλλιστον θερμόν. ἢ ῥόδινον καθ᾽ αὑτό, ἢ μετὰ χυλοῦ πτισάνης ἢ τήλεως ἀναγαργαρίζεσθαι. τροφὴ δὲ μελίκρατον ἔσω μέχρι τῆς τρίτης. μεθ᾽ ἣν ὁ τῆς πτισάνης χυλὸς σύν τινι τῶν ἡδέων πομάτων. εἶτα καὶ τῶν ὠῶν τὰ κροκὰ δίυγρα. καὶ τοῖς διὰ χόνδρου δὲ ῥοφήμασι χρηστέον, ἀπευθυνομένης τῆς καταπόσεως. καὶ ταῖς ἁρμοζούσαις τῇ τοῦ κάμνοντος δυνάμει τροφαῖς. παρακμῆς δὲ φανείσης, ἐπί τε περίπατον καὶ λουτρὸν ἄξομεν. τοὺς δὲ τόπους σκεπάσωμεν κηρωτῇ ἀπὸ ἐλαίου πηγανίνου. καὶ τῇ λοιπῇ προσηκόντως ἀναληπτικῇ ἀγωγῇ χρησώμεθα. τῶν δὲ ἀπαγχομένων, οἷς μὲν ἀφρὸς ἤδη περὶ τὸ στόμα, μὴ ἐγχειρεῖν Ἱπποκράτει πειθομένους. τῶν δὲ ἄλλων ἀνάκλησις γίνεται ὄξους ἐγχύσει καὶ πεπέρεως, ἢ κνίδης καρποῦ ἐν ὄξει τριφθέντος δριμυτάτῳ. ἐρυγωδῶς δὲ παραδέχονται, ἀλλὰ χρὴ βιάζεσθαι. διαλυομένων δὲ τῶν περὶ τὸν τράχηλον ἐρυθημάτων, εὐθὺς ἀναβλέπουσι καὶ ἀνίονται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ναυαγῶν, καὶ ὅλως τῶν ἐκπνιγομένων. ἀναζωπυρεῖται γὰρ τούτων τὸ θερμόν.

Περὶ κορύζης καὶ κατάρρου καὶ ἀρτηριακῶν καὶ βηχός. κη.

Κοινὸν μὲν ὑπάρχει τοῖς πάθεσι τούτοις. τὸ περιττωματικὴν ἐκ τῆς κεφαλῆς ὑγρότητα παρὰ τὰ ὑποκείμενα φέρεσθαι μόρια. ταύτης μὲν κατὰ τοὺς μυκτῆρας ἐνσκηψάσης, κόρυζα τὸ πάθος προσαγορεύεται. κατὰ δὲ φάρυγγα καὶ τὴν ὑπερῴαν, ἁπλῶς κατάρρους. ἐπειδὰν δὲ κατὰ τὸν λάρυγγα ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν ἐνεχθῇ, ὥστε καὶ τὸν ἔνδον ὑπαλείφοντα ταύτην ὑμένα τραχυνθῆναι, βραγχώδης ἡ φωνὴ γίνεται. καλοῦσι δὲ βράγχον τε τὸ πάθος καὶ ἀρτηριακόν. ἐφ᾽ ὧν οὐ μόνον ἐκ τῆς κεφαλῆς, ἀλλὰ καὶ διὰ σφοδρᾶς ἀναφωνήσεως, καὶ διὰ ψυχροῦ πνεύματος εἰσπνοήν, τραχύτης γίνεται φλεγμονώδης. χρονίζοντος δὲ τοῦ νοσήματος, καὶ τοῦ ῥεύματος εἰς τὰ κατὰ θώρακά τε καὶ πνεύμονα φερομένου, βῆχες αὐτοῖς γίνονται κακοήθεις. καὶ διὰ δυσκρασίαν δὲ πολλάκις ἡ βὴξ γίνεται, ποτὲ μὲν θερμήν, ὡς ἐν πυρετοῖς. ποτὲ δὲ ψυχράν, ὡς ἐν βορείοις καταστήμασιν, ἥτις καὶ ξηρὰ μᾶλλόν ἐστι. καὶ ἑτέρων δὲ νοσημάτων ἡ βὴξ ἔσθ᾽ ὅτε σύμπτωμα γίνεται, οἷον πλευριτικῶν, ἡπατικῶν, φθισικῶν, περιπνευμονικῶν. ὁ μὲν οὖν Γαληνὸς ἐπὶ χρονίαις βηξὶν ἱστορεῖ χαλαζίων τινῶν ἀναγωγὴν ἀπὸ θώρακος γίνεσθαι. Ἀλέξανδρος δέ, καὶ λίθον τινὰ βαρύν, οἷον τὸν ἐν τοῖς νεφριτικοῖς, γινόμενον, φησὶν ἐπὶ χρονίαις ἀνενεχθῆναι βηχός. ἐφ᾽ ὧν καὶ παύσασθαι τὴν βῆχα. ἡμεῖς δὲ ἐπὶ αἵματος ἀναγωγῇ, τῶν λίθων ἔκκρισιν ἴδομεν. ὡς ἐκεῖσε γενόμενοι, ἀκριβέστερον ἱστορήσομεν. τοῖς μὲν οὖν ἐπ᾽ ἐγκαύσει τὴν κόρυζαν ἢ τὸν κατάρρουν ἔχουσι, θερμασίας συναίσθησις περὶ τὰ μόρια γίνεται. καὶ δριμέων τε καὶ λεπτῶν ὑγρῶν ῥύσις, διά τε μυκτήρων καὶ τοῦ στόματος. ἔρευθός τε τῶν περὶ τὸ πρόσωπον καὶ τὰς ῥῖνας. τοῖς δὲ ὑπὸ ψύξει διάτασις τῶν περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον, καὶ τῶν ἠθμοειδῶν πόρων ἔμφραξις, ὥστε μὴ διηχεῖσθαι τὴν φωνὴν ἄνωθεν διὰ τῶν ῥινῶν. χρονίζουσι δὲ αὐτοῖς, καὶ βῆχες προσγίνονται, καὶ φλέγματος ἀναγωγή. ποτὲ μὲν ἀπέπτου καὶ διύγρου. ποτὲ δὲ χλωροῦ. τισὶ δὲ καὶ πυρετὸς ἐπιγίνεται. τοὺς μὲν ἐπ᾽ ἐγκαύσει μηδὲν ὠφελῶν. τοῖς ἐπὶ ψύξει δέ, καὶ σύμπεψιν ἐργαζόμενος.

Θεραπεία κατάρρου καὶ κορύζης.

Θερμῆς μὲν οὖν δυσκρασίας ἐπικρατούσης, ὅσα τοῖς ἐπὶ τοιαύτῃ κεφαλαλγοῦσιν αἴτια, ἁρμόσει βοηθήματα. καὶ λουτροῖς δὲ χρηστέον. καὶ θερμῷ πλείονι προσαντλητέον τὴν κεφαλήν. τροφαὶ δὲ τούτοις ἁρμόσουσιν, αἱ ῥοφηματώδεις. καὶ τὰ ὠὰ τὰ ῥοφητά. καὶ ἄμυλος. καὶ ἴτρια. καὶ σήσαμα. καὶ * εἰσικαί. ἀμύγδαλά τε καὶ ὁ τοῦ κώνου καρπός. καὶ ὅσα διὰ γάλακτος πέμματα. καὶ τῶν οἴνων οἱ γλυκεῖς καὶ μὴ παλαιοί. τό, τε διὰ κωδυῶν ἔκλεικτον φάρμακον, καὶ τὰ πρὸς ταῦτα σύνθετα τῶν βοηθημάτων. ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης καὶ δυσλύτου τοῦ νοσήματος, ὀλιγοσιτία τε παραλαμβανέσθω, καὶ τῆς κεφαλῆς ἀλοιφὴ διὰ τῶν θερμῶν τε καὶ λεπτομερῶν, ναρδίνου, πηγάνου. τὸ δὲ ἴρινον μὴ μόνον ἀλειπτέον, ἀλλὰ καὶ ταῖς ῥισὶν ἐνστακτέον. καὶ διαχριστέον ἔνδοθεν αὐτὰς λιβάνῳ καὶ σμύρνῃ σὺν ἐλαίῳ. καὶ μάλιστα ἐπὶ τῶν κορυζόντων ὑπὸ ψύξει. τοὺς δὲ καὶ ὀσφραντὰ διὰ ῥάκους κεκαυμένου, ἢ μελανθίου ἢ κυμίνου καυθέντων τε καὶ ἐνδεθέντων ἐν ῥάκει, ὀνήσει. καὶ τὸ κῦφι τὸ σεληνιακόν, ὀσφραινέσθωσάν τε καὶ κατὰ τοῦ μετώπου χριέσθωσαν. ἐφ᾽ ὃ καὶ μία τῶν ἀφλεγμάντων ἐμπλάστρων κεκολλήσθω, οἷον ἱκέσιος, ἢ ὀξηρά, ἢ βάρβαρος, ἢ ἀθηνᾶ. πρὸς δὲ τὸν ὑπὸ ψύξει κατάρρουν, καὶ πίνειν τοῦ κύφεως συνοίσει, κατὰ δὲ τοῦ θώρακος, τοῦ βαλσάμου τὸν ὀπὸν ἐπαλειπτέον διὰ ὑοσηπήρων

ϐρίων. αὐτὸν περιθαλπέτω μετὰ στύρακός τε καὶ ἰρίνου, ἢ ἀνηθίνου. καὶ τροφαῖς θερμοτέραις τε καὶ συμπεπτικαῖς χρηστέον. ἤδη δὲ πεπτομένης τῆς ὕλης, ἀποφλεγματισμός τε αὐτοῖς ἁρμόσει. καὶ σμήγματα τῆς κεφαλῆς, οἷον ὁ τοῦ Κωνσταντίνου σάπων, καὶ τὰ παραπλησίως.

Ἀρτηριακῶν θεραπεία.

Τοῖς δὲ ἀρτηριακοῖς καὶ βραγχοῖς προσαγορευομένοις, ἁρμόσει μὲν καὶ τὰ λεχθέντα. ἰδίως δὲ φλεγμονώδους μὲν οὔσης κατὰ τὴν ἀρτηρίαν καὶ τὸν λάρυγγα τῆς διαθέσεως, κατ' ἀρχὰς μὲν τοῖς ἐμπλαστικοῖς χρηστέον βοηθήμασιν, ἄχρις ἂν ἡ φλεγμονὴ μετεωροτέρα γένηται. τοιαῦτα δέ ἐστιν τὰ διὰ γλυκέος κρητικοῦ, ἢ τραγακάνθης, καὶ κόμμεως καὶ ἀμύλου. καὶ τὸ λιπαρῶν φοινίκων τὸ ἀφέψημα, καὶ τῆς γλυκείας ῥίζης μετὰ σειραίου, ἄχρι μελιτώδους συστάσεως. καὶ ἡ τῶν ὑπογλωττίδων καλουμένων χρῆσις. πρὸ δὲ πάντων οἴνου πόσεως ἀπεχέσθωσαν κατὰ τὸν καιρὸν τοῦτον. μετριασάσης τῆς φλεγμονῆς, γλυκέος οἴνου λαμβανέτωσαν. καὶ τοῖς διὰ μέλιτός τε καὶ γάλακτος σὺν ἀμύλῳ ἢ ἄρτῳ σιλιγνίτῃ, καὶ δι' ἀμυγδάλων ῥοφήμασι χρήσθωσαν, καὶ τοῦ βουτύρου λαμβανέτωσαν. ὑγρότητος δὲ καταληφθείσης ἐν τοῖς μορίοις, ἐπὶ τὰ ῥυπτικώτερα ἔρχεσθαι, οἷόν ἐστι κυάμινον ἔτνος, καὶ τὰ διὰ μέλιτος σκευαζόμενα, καὶ κράμβαι, καὶ τὰ καλῶς ἑψημένα πράσα. φάρμακα δὲ τὰ θερμότερα, καὶ τὰ πρὸς βῆχας. διά τε τοῦ ἀπὸ ἰσχάδων σιραίου, καὶ λιβάνου, καὶ ἴρεως, καὶ τερεβινθίνης, στύρακός τε καὶ χαλβάνης, καὶ πεπέρεως, καὶ κινναμώμου, καὶ κασσίας. καὶ τῶν τούτοις παραπλησίων.

Περὶ βηχός.

Καὶ τὰς βῆχας δὲ τῇ αὐτῇ μεθόδῳ θεραπευτέον, οὐ μόνον ἐπιβλέποντες, εἰ καὶ δι' ἑτέρων μορίων γίνονται συμπάθειαι. οἷον γαργαρεῶνος ἐπισταζόντος ἢ κεφαλῆς. καὶ εἰ νοσήμασιν ἑτέροις συμπίπτουσιν. καὶ τούτων ὡς οἷόν τε προνοουμένου κατὰ τὸν εἰρημένον καὶ ῥηθησόμενον τρόπον. ἡ δὲ τῶν συνθέτων βοηθημάτων ἔκθεσις ἑξῆς ὑποτέτακται.

Καταπότια πρὸς κατάρρουν καὶ βῆχα.

Στύρακος, σμύρνης, ὀπίου, χαλβάνης, ἴσα γλυκεῖ ἀναλαβὼν, ἢ καθ' ἑαυτὰ ὁλμοκοπήσας, ποίει ὀροβιαῖα κοκκία. καὶ δίδου εἰς κοίτην γ΄, ἢ τέσσαρα, ἢ πέντε, καὶ γλυκέος ἐπιρροφείτω. ταῦτα πρὸς δριμὺ καὶ λεπτὸν ῥεῦμα. Ἄλλο. Ὑοσκυάμου σπέρματος < ιβ΄. στροβιλίων < ϛ΄. κρόκου < β΄. ἑψήματι ἢ γλυκεῖ ἀναλάμβανε καὶ χρῶ.

Ἔλιγμα.

Μέλιτος ℥ α΄. βουτύρου ℥ S. συνεψήσας δίδου. τό, τε δι' ὑσσώπου καὶ σύκων καὶ στροβίλων καὶ ἴρεως ἀφέψημα ῥοφείτω.

Καταπότια τοῖς χρονιωτέροις.

Στύρακος < ϛ΄. σμύρνης < β΄ S. τερεβινθίνης, χαλβάνης, ὀποπάνακος, ἴρεως ἀνὰ < β΄. πεπέρεως λευκοῦ, νίτρου, ὑοσκυάμου σπέρματος, ὀποῦ μήκωνος ἀνὰ < α΄. χωρὶς ὑγροῦ τινὸς ὁλμοκοπήσας πλάσσε καταπότια. καὶ χρῶ καθὰ προείρηται.

Πρὸς τραχύτητα βρόγχου, καὶ βῆχα, διαίμους τε πτύσεις.

Ἀμύγδαλα πικρὰ λελεπισμένα κε΄, καὶ λινοσπέρμου πεφωγμένου < δ΄. τραγακάνθης < β΄. στροβίλου κόκκοι λ΄. ὠοῦ ἐν στατίῳ ὠπτημένου τὴν λέκυθον. ἡ τραγάκανθα ὕδατι βρέχεται. τὸ δὲ ὅλον, γλυκεῖ ἀναλαμβάνεται. εἰ δὲ καὶ ὁ ἦχος εἴη τῆς φωνῆς τεθραυσμένος, μέλιτος μίσγε ἀντὶ τοῦ γλυκέος. καὶ μάλιστα ἐφ' ὧν ἀναχθῆναί τι δεῖ.

Ἀρτηριακὴ ὑπογλωσσὶς φωνὴν ἀποκεκομμένοις, βραγχῶσιν, ἀναφορικοῖς.

Τραγακάνθης < ϛ΄. κόμμεως < ϛ΄. σμύρνης < α΄. λιβάνου < α΄ S. πεπέρεως λευκοῦ κόκκοι κ΄. κρόκου < α΄. γλυκυρρίζης χυλοῦ < ϛ΄. φοινικοβαλάνων γ΄ τὴν σάρκα. γλυκέος κρητικοῦ τὸ ἱκανόν. καὶ αὐτὸς μόνος τῆς τραγακάνθης ὁ χυλὸς ὑπὸ τὴν γλῶτταν ὑποτιθέμενος. ἀντὶ χυλοῦ γλυκυρρίζης, αὐτῆς ἑψηθείσης ἄχρι συστάσεως τὸ ἀφέψημα, τετραπλοῦν βάλλεται.

Ἀρτηριακὸν ἠχῶν ἀποκεκομμένων. ἁρμόζον καὶ φωνασκικοῖς.

Πράσα ϛ΄. ἕψε εἰς ἀποτείτωσιν. καὶ αὐτὰ μὲν ῥίψον. τῷ δὲ ὕδατι μῖξον χυλοῦ ἅλικος. καὶ μέλι. καὶ ὠῶν προαφεψημένων λεκύθους τρεῖς συνέψησον κινῶν, ἀνήθου κλωνίῳ.

Βηχικόν.

Γλήχωνος ℥ β΄. στροβιλίων κνίκου. σπέρμα λινοσπέρμου, ἀνὰ ℥ α΄. πεπέρεως ἑφθοῦ ℥ δ΄. μέλιτι ἑφθῷ. Ἄλλο. Ὑσσώπου, γλήχωνος, πεπέρεως ἀνὰ ℥ α΄. πετροσελίνου ℥ S. μέλιτος ἡμίνα.

Πεπτικὸν χρονίας βηχός.

Μέλιτος < ιε΄. τερεβινθίνης < β΄. χαλβάνης < ιδ΄. συνεψήσας πλάσσε κυάμινα μεγέθη

καὶ

καὶ ὅσον καρύου ποντικοῦ. καὶ τούτων ἀποθηλαζέτω. Ἄλλο. Ξηρὰν βῆχα ἰᾶται τά τε ἀρτηριακὰ, καὶ ὕδατος ἐφ' ὅτε καταῤῥόφησις ξεστοῦ. διὰ παχύτητα γὰρ φλέγματος μὴ ἀναγόντων, τοῖς ὑγραίνουσιν ποσῶς βοηθοῦνται. ἁρμόζει δὲ αὐτοῖς καὶ τὸ διὰ ὑσσώπου καὶ ἴρεως καὶ στροβίλου ἀφέψημα.

Τροχίσκος καπνιστὸς πρὸς βῆχα συνεχῆ.

Στύρακος, πεπέρεως, μαστίχης, πετροσελίνου. ἀνὰ γο. α΄. σανδαράχης γρ. ϛ΄. κοκκόδαφνα β΄. ἀναλαβὼν μέλιτι κάπνιζε βαλὼν εἰς κάρβωνας, ὥστε τὸν βήσσοντα διὰ χωνίου τὸν καπνὸν ἀναπνεῖν. ποιεῖ δὲ τοῖς ἐψυγμένοις ὁπωσοῦν.

Περὶ ὀρθοπνοίας ἄσθματος καὶ δυσπνοίας. κθ.

Τοὺς ἄνευ τοῦ πυρέττειν ἀναπνέοντας πυκνὸν, οἷον οἱ δραμόντες ὠκέως, ἀπὸ τοῦ συμπτώματος ὀνομάζουσιν ἀσθματικούς. αὐτοὺς δὲ τούτους, ἀπὸ τοῦ τὸ σχῆμα τοῦ θώρακος ἅπαν ὄρθιον φυλάττειν φόβου τοῦ πνιγῆναι, ὀρθοπνοϊκοὺς καλοῦσι. γίνεται δὲ τὸ πάθος παχέων τε καὶ γλίσχρων χυμῶν ἐμπλασθέντων τοῖς βρογχίοις τοῦ πνεύμονος. ἡ δὲ δύσπνοια, κοινόν ἐστι σύμπτωμα, καὶ τούτοις καὶ ἑτέροις πλείοσιν ἐπακολουθοῦσα πάθεσιν. ὁ δὲ περὶ τὴν ἀσθματικῶν θεραπείας σκοπός ἐστιν, ἐκδαπανῆσαι τὸν γλίσχρον καὶ παχὺν χυμὸν, διὰ τῶν λεπτυνόντων τε καὶ ῥυπτόντων φαρμάκων. ὄξος οὖν αὐτοῖς ἁρμόσει σκιλλιτικόν. καὶ τὸ διὰ τούτου σκευαζόμενον ὀξύμελι πινόμενον, αὐτή τε ἡ σκίλλα ὀπτὴ, λεία μετὰ μέλιτος, καὶ τῶν ἀντιδότων ἡ ἱερά. καὶ κάθαρσις συνεχὴς ἀπὸ φαρμάκων ἰσχυροτάτων. καὶ ἀπὸ ῥαφανίδων ἔμετοι. ἀριστολοχία τε στρογγύλη πινομένη. κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα. σφονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα. καλαμίνθης ὁ καρπός. ὕσσωπον, ἶρις, μελάνθιον. ὄνων τῶν ὑπὸ ταῖς ὑδρίαις ξέστην, βαλὼν εἰς ἄγγος κεραμεοῦν, φρύγε ἐπ' ἀνθράκων. λευκανθέντας δὲ τρίβε, καὶ μέλιτι ἑφθῷ ἀναλαβὼν, δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. εἰ δὲ χρεία κατεπείγοι, καὶ φλέβα τέμνε πρὸ τούτων ἁπάντων, καὶ κενοῦ κατὰ δύναμιν. καὶ τὴν κοιλίαν κλυσμοῖς ἐρεθιστέον. ἔξωθεν δὲ τὸν θώρακα καταπλαστέον μὲν διὰ σύκων, καὶ ἰσχνοῦ ἀλεύρου καὶ κριθίνου, ἔχον καὶ ῥητίνην καὶ κηρὸν καὶ μέλι. ἐμπασσέσθω δὲ αὐτῷ, καὶ ἶρις καὶ μάννα. οὐκ ἄχρηστος δὲ καὶ ἡ ὠμὴ λύσις μετὰ ῥητίνης καὶ κηροῦ. καὶ ἴρεως, καὶ μάννης. ἀλείμμασι δὲ χρηστέον θερμοτέροις, ἰρίνῳ, ἀνηθίνῳ, πηγανίνῳ. ἰδιαίτερον τούτῳ. κισσήρεως μ΄ α΄. σφέκλης ἥτις ἐστὶ τρὺξ οἴνου κεκαυμένης μ΄ δ΄. ἀρσενικοῦ μ΄ α΄. σχοίνου ἄνθους μ΄ β΄. ἀλκυονίου μ΄ α΄. ἀφρονίτρου μ΄ β΄. κόψας σήσας ἀναλάμβανε τῷ ἀλείμματι. καὶ ἐν τούτῳ ἀνάτριβε τὰ περὶ τὸν θώρακα. καὶ μαλάγμασι δὲ χρηστέον τοῖς ἕλκειν τοὺς ἰχῶρας δυναμένοις.

Ἀσθματικοῖς πόμα.

Πολίου, ἀβροτόνου, κασσίας, χαμαιπίτυος, ἀμμωνιακοῦ θυμιάματος, ἴσα μέλιτι φυράσας δίδου. Ἄλλως. Ἔδοσάν τινες, ἀφρονίτρου κοχλιάριον, τρισὶ κυάθοις μελικράτου. Ἄλλο. Ἀφρονίτρου < θ΄. πεπέρεως < α΄. σιλφίου < S. κοχλιάριον ὕδατι. Ἄλλο. Κασσίας, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < ϛ΄. πεπέρεως κόκκοι μ΄. γλυκεῖ ἀναλάμβανε. καὶ δίδου κυάμου ἴσον σὺν μελικράτῳ. Ἄλλο. Σινάπεως < α΄. νίτρου ἀφροῦ τριώβολον. ἐλατηρίου δίχαλκον, ὅ ἐστιν ἡμιωβόλιον. πλάσσε τὸ πᾶν εἰς τροχίσκους η΄. δίδου δὲ β΄. ἐφ' ἡμέρας δύο. καθαίρονται γὰρ ἄνω ἀλύπως. ἐπὶ δὲ τῶν πνιγομένων δίδου ἀφρονίτρου < γ΄. μεθ' ὑδρομέλιτος κυάθων τριῶν, καὶ μετὰ καρδαμώμου ἐνίοτε. καὶ παραχρῆμα βοηθεῖ. ποιεῖ δὲ καὶ ἰσχιαδικοῖς.

Περὶ πνευμονίας. λ΄.

Ἡ περιπνευμονία. φλεγμονὴ τοῦ πνεύμονός ἐστιν. τὰ πολλὰ μὲν ἐπὶ κατάῤῥοις ἰσχυροῖς, ἢ συνάγχαις, ἢ ἄσθμασιν, ἢ πλευρίτισιν, ἢ ἑτέροις γινομένη νοσήμασιν. ἔστι δὲ ὅτε καὶ αὕτη κατάρχεται τοῦ πάθους. παρέπεται δὲ τούτοις δύσπνοια, πυρετὸς ὀξύς τε καὶ καυσώδης. βάρος τε καὶ τάσις τοῦ στήθους. ῥωγμὸς, καὶ πολλῆς τῆς ἐπὶ τὸ πρόσωπον πληρώσεως ἀντίληψις, ἀνάῤῥοπον ποιουμένης τὴν ὁρμὴν τῆς ὕλης δίκην πυρός. ἐρυθρὰ γοῦν αὐτοῖς τὰ μῆλα φαίνεται. καὶ τὰ ὄμματα διῴδηκε μετὰ τὸ κάτω νεύειν, τὰ ὑποσκύνια. καὶ οἱ κερατοειδεῖς ὑπολίπαροι φαίνονται. τῶν δὲ σημείων ἐπὶ τὸ καυσωδέστερον ἀποκλινόντων, ἐρυσιπελατώδη τὴν φλεγμονὴν τοῦ πνεύμονος ὑποληπτέον. ὧδε μὲν οὖν τῶν ἐκ μεταπτώσεως ἑτέρων νοσημάτων εἰς ταύτην παραγινομένων, τὴν μὲν φλεβοτομίαν παραιτητέον, καὶ μάλιστα εἰ χρονίσαντες εἶεν, ἢ καὶ φθάσαντες ἐν ἀρχῇ φλεβοτομηθῆναι. κλυστέον δὲ τὴν κοιλίαν ἐν ταῖς ἐνδόσεσι, δυσυποβίβαστον οὖσαν. ἢ σικυαστέον μηδενὸς κωλύοντος κατὰ τοῦ στήθους καὶ τῶν πλευρῶν, ἐν μεγέθεσι καὶ πολλαῖς σικύαις μετ' ἐγχαράξεως. εἰ δὲ τὸ περὶ περιπνευμονίας εὐθὺς ἐξ ἀρχῆς ὑπήρξατο πάθος. ἐπιτρεπόντων μὲν τῶν εἰς ταύτην ἀριθμῶν, φλεβοτομητέον. εἰ δὲ μὴ, σικυαστέον γοῦν καὶ τόπους, πρὸς τὴν δύναμιν ποιουμένους τὴν τοῦ αἵματος κένωσιν. ῥοφήματα δὲ λαμβανέτωσαν

διὰ χυλοῦ πτισάνης. χόνδρου μετὰ μέλιτος. ἢ διὰ πικρῶν ἀμυγδάλων μετὰ σεμιδάλεως ἢ χόνδρου, τῶν ἡδέων τινὸς παραμιγνυμένου πομάτων, ὑδρομήλου, ἢ ἀπομέλιτος, ἢ ὑδροροσάτου. ἀγαθὸν δὲ, καὶ πρόσφατον βούτυρον ὅσον κοχλιάρια γ΄. προποτιστέον δὲ αὐτοὺς σύκων μεθ' ὑσσώπου ἀφεψήματι, ἢ ἴρεως ἑψηθείσης ἐν μελικράτῳ. ἢ ἴρεως λείας, ὅσον β΄. κοχλιαρίων ἐμπασσομένων μελικράτῳ. τοῦτο καὶ κάτω καθαίρει. πρὸς δὲ φυλακὴν τῆς δυνάμεως, συχνότερον αὐτοὺς ποτιστέον ὕδωρ μελικράτῳ κατὰ μόνας, καὶ μετὰ πιτυΐδων. καὶ σικύας ἐπιτιθέναι δεῖ καθ' ὅλου τοῦ θώρακος καὶ τῶν πλευρῶν. καὶ κυπρίνην κηρωτὴν, ἔχουσαν ἴρεως ἐμπεπλασμένης, ἢ κηρωτὴν διὰ πηγανίνου ἐλαίου καὶ ἴρεως ξηρᾶς. ἢ τὸ διὰ κηροῦ καὶ ῥητίνης, μυελοῦ τε καὶ βουτύρου καὶ ὑσσώπου, καὶ ἴρεως ξηρᾶς καὶ ναρδίνου μύρου.

Περὶ αἵματος πτύσεως. λα΄.

Εἰ μὲν κατὰ ῥῆξιν ἡ τοῦ αἵματος γένηται πτύσις, πολὺ κενωθήσεται. καὶ ποτὲ μὲν ἐκ φανερᾶς αἰτίας, οἷον καταπτώσεως, κραυγῆς, καὶ τῶν τοιούτων. ποτὲ δὲ ἐξ ἀφανοῦς, οἷον πλήθους, ἢ ψύξεως ἀμέτρου. τὸ γὰρ ψυχρὸν, φλεβῶν ῥηκτικὸν φησὶν Ἱπποκράτης. εἰ δὲ κατὰ διάβρωσιν, οὐκ ἀθρόως ἀλλὰ κατὰ βραχὺ τοῦ αἵματος ἀναγωγὴ γίνεται, δριμέων τινῶν καὶ μοχθηρῶν βρωμάτων προηγησαμένων, ἢ ἀσιτίας, ἢ καταῤῥοῦ δριμέος. εἰ δέ γε κατὰ ἀναστόμωσιν. τῶν μὲν εἰρημένων οὐδὲν, ὅτι μὴ πλῆθος ἔσθ' ὅτε, προηγεῖται. ὑγροτέρα δὲ καὶ θερμοτέρα δίαιτα, καὶ λουτρῶν ἀμέτρων χρῆσις, καὶ λίαν θερμοῖς χωρίοις οἴκησις, τούτοις αἰτία φανήσεται, καὶ οὔτε ἐπὶ φλεγμοναῖς, οὔτε ἐπὶ πυρετοῖς, οὔτε ἐπὶ πόνοις γενήσονται καθάπερ ἐπὶ τῶν κατὰ διάβρωσιν. τοὐναντίον δὲ εὐφορώτερον ἕξουσιν, ὡς εἰκὸς, κενούμενοι. εἰ δὲ καὶ αἱμοῤῥοΐδες ἢ καθάρσεις γυναικῶν ἐπεσχημέναι εἶεν, καὶ κινδύνων ἔσονται λυτικά. τὰ αὐτὰ δὲ ταῦτα καὶ τοῖς διὰ πλῆθος ἐπὶ ῥήξει κενουμένοις ἀγαθὰ συμβήσεται, πλὴν εἰ μὴ διὰ τὸ ἕλκος ἢ δι' ἄμετρον κένωσιν βλαβεῖεν. ἡ δὲ κατὰ ἀνάβρωσιν τοῦ αἵματος κένωσις, οὐδέποτε πρὸς ἀγαθὸν γίνεται. καὶ εἰ μὲν δι' ἐμέτων ἀναφέροιτο, δῆλον ὡς ἐκ τῶν κατὰ τὸν στόμαχον ἢ τὴν γαστέρα φέρεται χωρίων, ἐφ' ὧν καὶ δι' ἕδρας ὑποβιβαζόμενον ἔσθ' ὅτε κενοῦται. εἰ δὲ μετὰ βηχὸς, ἀπὸ τῶν ἀναπνευστικῶν. ἀλλ' εἰ μὲν ἀφρῶδες εἴη καὶ ὑπόλευκον, ἐκ διαλείμματός τε ἀναφέροιτο χωρὶς ὀδύνης καὶ θλίψεως, ἐκ πνεύμονος δηλοῦται φερόμενον. ἐφ' ὧν τοῦ χρόνου προϊόντος, καὶ πυρετὸς ἕψεται συνεχὴς, καὶ μάλιστα τοῖς κατὰ διάβρωσιν. καί τι τῆς τοῦ πνεύμονος οὐσίας, ἢ βρογχίον ἢ φλὲψ, ἀναδοθήσεται. οἶδα δέ τινα τῶν ἐκ τοῦ πνεύμονος ἀναπτυόντων αἷμα, προϊόντος τοῦ χρόνου, μετὰ μεγίστης τῆς βηχὸς καὶ πλήθους αἵματος, λίθους ἀναπτύσαντα δ΄. ἢ ε΄. τραχεῖς, καθάπερ τριβόλους, μέγεθος δὲ κερ. γ΄. ἢ δ΄. καὶ παραυτὰ μὲν, ἐκουφίσθη. μετ' ὀλίγον δὲ εἰς φθίσιν μετέστι καὶ ἀπέθανεν. εἰ δέποτε καὶ φλεγματώδης ἀναγωγὴ γίνοιτο, μετὰ κουφοτέρας τῆς βηχὸς ἢ καὶ ἀποχρέμψεως, ἀφρῶδές τε καὶ κοῦφον εἴη τὸ φερόμενον. ἀπὸ τῆς τραχείας ἀρτηρίας ἴσθι τὴν ἀναγωγήν. εἰ δὲ μέλαν τε εἴη τὸ αἷμα καὶ θρομβῶδες, ὀδύνην τε διασημαίνει κατὰ τὸν τόπον, ἀπὸ τοῦ θώρακος ἡ ἀναφορὰ δηλοῦται, διὰ τοῦ πνεύμονος ἢ τοῦ βρόγχου γενομένης τῆς μεταλήψεως. ἡ δὲ μετὰ ἀναχρέμψεως, ἐκ τῶν κατὰ τὴν φάρυγγα δι' ὑπερῴας ἀνενεχθήσεται. εἰ δέποτε ἀπὸ τῆς κεφαλῆς ἐπιστάζοι, μετά τινος ἐρεθισμοῦ καὶ βηχὸς ἐκδίδοται, καταῤῥέοντος αὐτοῦ πρὸς τὸν λάρυγγα, καὶ αὖθις ἀναφερομένου. τούτων δὲ δριμὺς ὡς μάλιστα κατάῤῥους, ἢ κεφαλῆς πόνος, ἢ βάρος προηγεῖται. γίνεται δέποτε, δι' ὑπερῴας αἵματος κένωσις, καὶ διὰ βδέλλαν, καταποθεῖσαν τε καὶ προσπεφυκυῖαν τινὶ τῶν τῇδε μορίων. ἀλλὰ περὶ μὲν ταύτης ἐν τῷ περὶ δηλητηρίων εἰρήσεται λόγῳ.

Θεραπεία.

Τοὺς δὲ ἐπὶ καταῤῥῷ πτύσαντας αἷμα, αὐτίκα φλεβοτομεῖν, εἰ μὴ λίαν δριμὺς ὁ κατάῤῥους εἴη. καὶ σύμμετρον ἀφαιρεῖν πρὸς τὴν δύναμιν. διαδεῖν τε ἄκρα, καὶ ἀνατρίβειν σὺν ἐλαίῳ παλαιῷ θερμῷ ἢ σικυωνίῳ, πλὴν τῆς κεφαλῆς. τροφήν τε προσάγειν σιτώδη, χυλὸν ἔχουσάν τινος τῶν αὐστηρῶν, οἷον ῥοιᾶς μήλων, ἀπίων, ἢ αὐτὰ ἐκεῖνα συνεψέσθω. ὑπνοῦν δὲ μέλλουσι, δίδου τὸν δι' ἠλέκτρου τροχίσκον. τῇ τε τρίτῃ τῶν ἡμερῶν δίδου μέλιτος ἑφθοῦ ὀλίγον ἐκλείχειν. εἰ δὲ ταῦτα νικηθείη, χρονιζούσης τῆς νόσου, ξυρήσας τὴν κεφαλὴν ἐπιτίθει τὸ διὰ τῆς κόπρου τῶν ἀγρίων περιστερῶν. καὶ μετὰ τρεῖς ὥρας λαβὼν τὸ φάρμακον, ἐπὶ βαλανεῖον ἄπαγε, μηδαμῶς ἀλείφων τὴν κεφαλήν. εἶτα θρέψας τοῖς ῥοφήμασιν, εἰς κοίτην δίδου τῆς θηριακῆς ἀντιδότου. πάλιν τε τῇ ὑστεραίᾳ διδοὺς, ὁμοίως ἀνάτριβε τὸ πᾶν σῶμα, πλὴν τῆς κεφαλῆς. ταύτῃ δὲ κηρωτὴν ἐπιθετέον τὴν διὰ θαψίας, ἢ ἑτέραν τινά. καὶ τοῖς ῥοφήμασιν αὖθις χρηστέον. ἐπιμένοντος δὲ, σικύαν τῷ ἰνίῳ κολλητέον. εἰ δὲ λίαν δριμὺς ὁ κατάῤῥους εἴη. τὴν μὲν φλεβοτομίαν παραιτητέον, τροφαῖς δὲ καὶ βοηθήμασι τοῖς τε λεχθεῖσιν ἔμπροσθεν ἐν τῷ περὶ

εἰ καταρχὰς χρηστέον λόγῳ. καὶ τῶν ἀρτίως εἰρημένων τοῖς προσφόροις. τῶν δὲ διὰ ψύξιν αἷμα πτυόντων. θερμαντέον ἅμα τοῖς ξηραίνουσι τὸν θώρακα. καὶ τὸ διὰ δύο πεπέρεως δοτέον, ἅμα τῷ διὰ ἠλέκτρου τροχίσκῳ. καὶ τοὺς μὲν τῶν ἀναπνευστικῶν δὲ διὰ ῥῆξιν ἢ ἀναστόμωσιν ἀνάγοντας φλεβοτομητέον, εἰ μὴ πλῆθος αἵματος φέροιτο. πάντας δὲ κατακλιτέον ἐν τόποις εὐαέροις ἐπὶ κλίνης ἀκινήτου κατὰ τὸ ἀνάῤῥοπον σχῆμα, φυλαττομένους τὸ σφοδρῶς ἀναπνεῖν τε καὶ φθέγγεσθαι. ἐπιῤῥιπτέον δὲ τοῖς πεπονθόσι μέρεσι σπόγγους δι' ὀξυκράτου χλιαροῦ. μετὰ δὲ τὴν ἑβδόμην, οἰσυπηροῖς ἐρίοις μετὰ ῥοδίνου ἢ μυρσίνου ἢ σχινίνου, ποτὲ μὲν σὺν ὄξει, ποτὲ δὲ σὺν οἴνῳ αὐστηρῷ. πολλῆς δὲ τῆς φορᾶς οὔσης, γύψιν καὶ μάνναν, σὺν ὄξει ἐπιθήσομεν, ἢ στυπτηρίαν καὶ ἀκακίαν. ἢ σίδια ἢ κηκίδια, μετ' ὄξους. ἢ φοίνικας σὺν ἀλφίτοις καὶ μήλοις κυδωνίοις ἑψηθέντας ἐν οἴνῳ αὐστηρῷ. μετὰ δὲ ταῦτα καὶ τὴν διὰ ἰτεῶν ἐπιθετέον ἔμπλαστρον, καὶ μάλιστα μετριωτέρας οὔσης τῆς φορᾶς. διὰ στόματος δὲ ταῦτα. ἀνδράχνη ἐσθιομένη ποιεῖ. δραστικώτερον δὲ, ὁ χυλὸς αὐτῆς πινόμενος, βαλαύστιον, βάτου ὁ καρπὸς, καὶ τὸ ἄνθος. δρυὸς τὸ ἰνῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου. μάλιστα δὲ ἑψόντες αὐτῆς χρῶνται. φηγοῦ δὲ καὶ πρίνου δραστικώτερα. σάμιος ἀστὴρ πρὸς πᾶσαν αἵματος πτύσιν. λημνία σφραγίς. λίθος αἱματίτης λειότατος ἅμα χυλῷ ῥοιᾶς ἢ πολυγόνου. ποσὸν δὲ τοῦ λίθου, ὅσον γρ. α. σύνθετα δὲ ὅ, τε διὰ ἠλέκτρου τροχίσκος, καὶ ὁ διὰ κοραλλίου, καὶ ὁ διὰ τῆς αἰγυπτίας ἀκάνθης. τό, τε ξηρίον συγκείμενον, ἀπό τε γῆς ἀστέρος καὶ λημνίας σφραγῖδος, κοραλλίου τε καὶ συμφύτου καὶ ἀμύλου, πάντων ἴσων. ἐπὶ δὲ τῶν κατὰ διάβρωσιν, καὶ μάλιστα καταρχὰς προηγησαμένου, καὶ ὀπίου μέρος ϛ. μίγνυμεν. καὶ τὸ λαμβάνον δὲ σαμίου ἀστέρος, ἀγηράτου λίθου. λημνίας σφραγῖδος ἴσα, καλόν ἐστι, ὅσον δύο κοχλιαρίων ποσὸν πινόμενον, ἐν δύο κυάθοις ἀρνογλώσσου χυλοῦ. Ἄλλο. Λημνίας σφραγῖδος < ιϛ. σαμίου ἀστέρος < ιη. ἀμύλου < η. σαρκοκόλλης < δ. κόμμεως < β. ξηρίου κοχλιάρια ια, μετὰ ἀφεψήματος φοινίκων, κυάθων β. καταῤῥοφείτωσαν δὲ, καὶ ὀξύκρατον ψυχρόν. ἢ φοινίκων, ἢ μήλων, ἢ ἀπίων, ἢ ἑλίκων ἀμπέλου, ἢ τοιούτου τινὸς ἀφέψημα. τρεφέσθωσαν δὲ εἰ μὲν ἡ δύναμις ἐπέχοι περὶ β. ἢ γ. ὥραν. εἰ δὲ μὴ, περὶ δ. ἔστω δὲ σιτία ἄρτος πλυτὸς ἐκ ψυχροῦ ἢ ἄλιξ, ἢ χόνδρος μετά τινος τῶν ψυχόντων χυλῶν, οἷον ῥοιᾶς ἢ μύρτων, ἢ ὀμφακομέλιτος. ἢ ὠὰ ῥοφητά. ἢ τὸ διὰ γάλακτος σὺν πεμμάτων, μετά τινος τῶν στυφόντων. λαχάνων δὲ, σέριν, κιχώριον, ἀρνόγλωσσον, ἑφθὰ σὺν ὠμοτριβεῖ ἐλαίῳ καὶ ὄξει. ὀπωρῶν δὲ, μῆλα, ἀπίους, μέσπιλα, ῥοιὰς, κρανοῦ καρπόν. ποτὸν δὲ, ἀπυρέτοις μὲν αὐτοῖς οὖσιν, οἶνος ὑδαρὴς ὀλίγος ἔστω. πυρέττουσι δὲ, τῶν εἰρημένων τι πομάτων, ἢ τὸ κιβυρατικὸν ὑδρόμηλον. καὶ τοὺς ἐμοῦντας δὲ τὸ αἷμα, τοῖς αὐτοῖς ἀκτέον. τότε τρέφειν μόνον συχνῶς φυλαττομένους. δυσίατοι γάρ εἰσιν οὗτοι, καθότι καὶ τὰ προπινόμενα τῶν βοηθημάτων, ἄντικρυς αὐτοῖς ὁμιλεῖ τοῖς αἱμοῤῥαγοῦσι μορίοις. αἵματος δὲ κατὰ τὴν γαστέρα θρομβωθέντος, πιτύαν ποτιστέον, καὶ μάλιστα λαγῴαν. ἢ συκίνην κονίαν μεθ' ὕδατος. ἢ θύμον ἢ θύμβραν, μετ' ὄξους. ἢ καὶ διὰ τοῦ σχιστοῦ γάλακτος αὐτοὺς κενωτέον, ἢ δι' ἀλόης. ἐπὶ δὲ τῶν ἀπὸ τῆς ὑπερῴας διὰ χρέμψεως πτυόντων, τοῖς ἀπὸ τῶν στυφόντων ἀναγαργαρισμοῖς χρηστέον. καὶ τῷ μετώπῳ, καὶ τῇ κεφαλῇ προσοιστέον τὰ τοῖς ἐκ ῥινῶν αἱμοῤῥαγοῦσι προσφερόμενα. αὕτη τῶν αἱμοπτοϊκῶν ἡ θεραπεία, ἣν ἐσπουδασμένως δεῖ ποιεῖσθαι διὰ τὸν ἐκ τῆς ἀμέτρου κενώσεως κίνδυνον. τὸ μὲν γὰρ πλῆθος τοῦ κενουμένου καθάπερ ἐπὶ τῶν σφαττομένων, σύντομον ἐποίσει τὸν θάνατον. ἡ δὲ τοῦ πάθους ἐπιμονὴ, τὴν εἰς φθίσιν ἀπειλεῖ μετάστασιν. ἁπάντων οὖν κατὰ λόγον πραχθέντων, καὶ παυσαμένης τῆς φορᾶς τοῦ αἵματος, ἀνακομιστέον αὐτοὺς, ἰχθύας τε παρέχοντας, καὶ τῶν νέων συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους. καὶ ἀνατρίβεσθαι τὸ σῶμα κελεύοντας, φυλαττομένους λουτρῶν τε συνεχῆ χρῆσιν καὶ οἰνοποσίαν, καὶ ὀξυθυμίαν, καὶ ἀφροδίσια.

Περὶ ἐμπύων καὶ φθίσεως. λβ.

Ἐμπύημα κατὰ τὰ κενὰ τοῦ θώρακος, ἤτοι κατὰ τὸν ὑπεζωκότα συνίσταται. ποτὲ μὲν, δι' αἵματος ἀναγωγὴν μὴ συνουλωθέντος τοῦ ἕλκους, ἐφ' ᾧ καὶ φθίσις εὐθὺς ἕπεται, εἰ ἐκ τοῦ πνεύμονος ἡ ἀναγωγή. ποτὲ δὲ, φλεγμονῆς ὑπαρξάσης, εἶτα ἀποστάσης καὶ ῥαγείσης, ὥσπερ κἀπὶ τῶν πλευριτικῶν, ἔσθ' ὅτε γίνεται. ἢ καὶ διὰ σύῤῥοιαν ἐκ τῆς κεφαλῆς γενομένην. σημεῖα οὖν ἔτι συνισταμένου τοῦ ἐμπυήματος. βάρος ἔσται τοῦ θώρακος, καὶ βὴξ συνεχὴς ξηρὰ σὺν ὀδύνῃ, ἔσθ' ὅτε δὲ καὶ μεθ' ὑγρότητος, ἐφ' ᾗ καὶ δοκοῦσι κουφίζεσθαι. πυρετία τε κατ' ἀρχὰς αὐτοῖς γίνεται βληχρὰ, καὶ ἄτακτα, καὶ δυσκρινῆ. πρὸς δὲ τῇ ῥήξει τοῦ ἀποστήματος ὄντος, σφοδρότερον πυρέττουσι μετά τινος φρίκης. ἔν τε τῇ διαλέκτῳ συνδιώκονται ὀχλούμενοι περὶ τὸν πνεύμονα. ῥαγέντος δὲ τοῦ ἀποστήματος, πύον ἀνάγεται, ποτὲ μὲν καθαρόν, πο-

τε δὲ τρυγῶδες. καὶ ποτὲ μὲν ἄνω ῥήγνυται τὸ ἀπόστημα, ὅτε καὶ κινδυνωδέστερόν ἐστι. ποτὲ δὲ, καὶ κάτω. καὶ τῶν κάτω, τὸ μὲν εἰς κοιλίαν καὶ γαστέρα μεταλαμβάνεται. τὸ δὲ, εἰς κύστιν, διὰ μεταλήψεως διὰ ἀγγείων τινῶν γινομένης. πυρέττουσι δὲ διὰ παντὸς ἑκτικὸν πυρετὸν, ἄχρι ἀνακαθάρσεως. ἥτις εἰ μὴ σπουδασθείη, ταχέως εἰς φθίσιν μεθίσταται τὸ ἐμπύημα, τοῦ πνεύμονος τὴν ἕλκωσιν ὑπομένοντος. ἐφ᾽ ἧς ἤδη συστάσης αἵ τε παρειαὶ πελιδνοῦνται καὶ κατὰ τοῦ μετώπου καὶ τοῦ τραχήλου περιϊδρώσεις γίνονται. αἵ τε σάρκες συντήκονται, καὶ οἱ ὄνυχες γρυποῦνται, καὶ λιπαροὶ καὶ ἔκλευκοι ἢ ἔξωχροι φαίνονται. τοῦ δὲ πάθους ἐπικρατοῦντος, ἥ τε κοιλία ἐκταράσσεται, καὶ τὸ ὑποχόνδριον ἀνασπᾶται. δίψα τε αὐτοὺς ἐπὶ πλέον ἔχει καὶ ἀνορεξία. καὶ τὸ ἀναφερόμενον, δυσῶδες ὑπάρχει σφόδρα.

Θεραπεία.

Δεῖ τοίνυν πρῶτον μὲν τῇ πέψει τοῦ ἐμπυήματος συνεργεῖν. διά τε σπόγγων πυριῶντας. καὶ καταπλάσσοντας δι᾽ ἀλεύρων κριθῆς σὺν ἰσχάσιν ἑφθαῖς, καὶ ῥητίνῃ ὀλίγῃ, καὶ περιστερῶν κόπρῳ, καὶ νίτρῳ, καὶ ἐβίσκῳ. συνεργεῖ δὲ τῇ ῥήξει καὶ ἡ ἐπὶ τὸ ἀπαθὲς πλευρὸν κατάκλισις. καταῤῥοφείτωσαν δὲ ἐκ διαστημάτων μελίκρατον, καὶ χυλὸν πτισάνης μετὰ μέλιτος. οἱ δὲ εὐτονώτεροι πινέτωσαν καὶ ἀπόζεμα ὑσσώπου καὶ θύμου μετὰ μέλιτος. συνεργεῖ δὲ πρὸς τὴν ῥῆξιν καὶ ταριχοφαγία, καὶ τὰ διὰ κολοκυνθίδος ἱερᾶς καταπότια πρὸς κοίτην λαμβανόμενα. ἀρξαμένου δὲ ἐκκρίνεσθαι τοῦ πύου, αὖθις διδόναι τὸ ἀπόζεμα τοῦ ὑσσώπου, καὶ ἴρεως, καὶ γλυκυρρίζης, ἑψηθέντων ἐν μελικράτῳ. ἢ τὴν γλυκύρριζαν λειωθεῖσαν μετὰ σησάμου. καὶ καταπλαστέον γύρει ἐν μελικράτῳ καὶ ἐλαίῳ ἑψηθείσῃ. δυσανακαθάρτου δὲ τῆς ἑλκώσεως οὔσης, τοῖς συνθέτοις χρηστέον. οἷόν ἐστι τό, τε διὰ πρασίου ἁπλοῦν καὶ σύνθετον, καὶ τὸ διὰ ὀρόβων. τό, τε δωδεκάθεον, καὶ τὸ Φιλοξένου προσαγορευόμενον. τοῖς δὲ εἰς φθίσιν μεταπεσοῦσι δίδου κεφαλωτὰ πράσα συντετηκότα τοῖς ἀπὸ χόνδρου ἢ πτισάνης ῥοφήμασιν. ἤδη δὲ καὶ καθ᾽ ἑαυτά, δὶς ἑψημένα δοτέον. τὸ δὲ πινόμενον ὕδωρ ὄμβριον ἔστω, καὶ μελίκρατον ἐξ αὐτοῦ. καταπλασσέσθωσαν δὲ κατ᾽ ἀρχὰς τῶν αὐξήσεων τοῖς διὰ λινοσπέρμου καὶ γύρεως διὰ ἀφεψήματος τήλεως, ἢ μαλάχης, ἐλαίου τε καὶ μέλιτος. καὶ φύλλων ἀλθαίας. χρόνου δὲ παρεληλυθότος. ἐπὶ τὰς κηρωτὰς μεταβατέον, τὰς διὰ βουτύρου καὶ κυπρίνου καὶ δαφνίνου καὶ ἴρεως. καὶ τῇ μνασαίου δὲ χρηστέον ἐμπλάστρῳ. ῥευματιζομένῳ δὲ τῷ θώρακι, τὰ διὰ ἰτεῶν ἐπιθετέον. προποτιστέον τε αὐτούς, τὰ ἔμπροσθεν ἐπὶ τῶν ἐμπύων ἁπλᾶ λελεγμένα. καί τινα τῶν συνθέτων. τῆς δὲ βηχὸς χαλεπῶς ἐπικρατούσης, θύμον καὶ ὕσσωπον μετὰ χυλοῦ γλυκυρρίζης, μέλιτι ἀπέφθῳ ἀναλαβών, καὶ πλάσας, ὑπὸ τῇ γλώττῃ δίδου κρατεῖσθαι. ἁρμόσει δ᾽ ἂν αὐτοῖς καὶ ἡ μιθριδάτου ἐκ διαλειμμάτων ἀντίδοτος, καὶ ἡ διὰ ἐχιδνῶν. ἄριστον δὲ τούτοις βοήθημα, καὶ ἡ ἀρμενία βῶλος πινομένη. καὶ ἡ ἔσδρα ἀντίδοτος, οὐδὲν ἧττον τῶν εἰρημένων.

Περὶ πλευρίτιδος. λγ.

Ἡ κυρίως πλευρῖτις, φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος ἐστίν. ᾗ συνεδρεύει δύσπνοιά τε καὶ βὴξ, καὶ συνεχὴς πυρετός, καὶ πόνος διήκων ἄχρι κλειδὸς καὶ ὑποχονδρίου. διακρινεῖς δὲ τὴν πλευρῖτιν, τῆς ἐν ἥπατι φλεγμονῆς. καὶ γὰρ ἐπ᾽ ἐκείνης, ἅπαντα ταῦτα φαίνεται. τὸ τοῖς μὲν πλευριτικοῖς νυγματώδη τε τὴν ὀδύνην γίνεσθαι καὶ τὴν βῆχα, ποτὲ μὲν ἄπτυστον, ὅτε καὶ ἄπεπτον δηλοῦται τὸ νόσημα. ποτὲ δὲ καὶ πτύελον ἀναφέρουσιν, δηλωτικὸν τοῦ τὴν νόσον ἐργαζομένου χυμοῦ. ἐρυθρὸν μὲν γὰρ καὶ ὕφαιμον, αἵματος πλεονάζοντος, ἀνάγεται. ξανθὸν δὲ καὶ ὕποχρον, τῆς ξανθῆς χολῆς. ὥσπερ αὖ λευκὸν καὶ ὕπαφρον, τοῦ φλέγματος. ἐπὶ δὲ τοῦ μελαγχολικοῦ χυμοῦ, μελάντερον. καὶ τὸν σφυγμὸν σκληρόν τε καὶ ἐμπρίοντα ἴσχουσιν. τοῖς δὲ τὸ ἧπαρ φλεγμαίνουσι. μήτε νυγματώδη τὸν πόνον εἶναι, μήτε τὸν σφυγμὸν ἐπὶ τοσοῦτον σκληρόν, ἀλλὰ καὶ τὴν βῆχα διαπαντὸς ξηράν τε καὶ ἄπτυστον γίνεσθαι. καὶ τὸ πρόσωπον ἀχρούστερον φαίνεσθαι. ὅσαι δὲ πλευρίτιδες διὰ τὴν τῶν ἔξωθεν μυῶν γίνονται φλεγμονήν, αἵτινες οὐδὲ κυρίως εἰσὶ πλευρίτιδες, μετὰ τοῦ μήτε βήττειν, μήτε πτύειν, μήτε σκληρὸν εἶναι τὸν σφυγμόν, ἐπειδάν τις τῇ χειρὶ ψαύσῃ τοῦ πεπονθότος τόπου, ἀλγοῦσι. καὶ εἰ μὴ διαφορηθῇ, πυωθεὶς ὁ ὄγκος ἐπὶ τὰ ἐκτὸς ἐπιτμηθῆναι παραγίνεται. τῆς ἐπὶ τῇ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος φλεγμονῇ πλευρίτιδος, οὐκ ἐπὶ τοσοῦτον φερομένης. ἐκείνη γὰρ εἰ μὴ φθάσῃ ἀνακαθαιρομένη ἢ ἐκτὸς ἢ ἔνδοθεν ἐμπύημα, πολὺ πρότερον εἰς περιπνευμονίαν καθίσταται.

Θεραπεία.

Εἰ μὲν οὖν ἄχρι κλειδὸς ἡ ὀδύνη διατείνῃ, φλεβοτομητέον αὐτούς. εἰ δὲ εἰς ὑποχόνδριον,

κάτω καθαρτέον. οἱ νεώτεροι δὲ πάντας φλεβοτομοῦσι, δεδιότες οἶμαι τὸν ἐκ τῆς καθάρσεως τάραχον. μὴ συγχωρούσης δὲ τῆς δυνάμεως, μηδ᾽ ἕτερον πραχθῆναι, κλυσμοῖς δριμέσι χρηστέον. καὶ εἰ μὲν μέτριον ᾖ τὸ ἄλγημα, μετὰ τὸ κλύσμα δοτέον αὐτοῖς μελίκρατον, καὶ τὸν τῆς πτισάνης ἢ τοῦ χόνδρου χυλόν. παρακμάζοντος δὲ τοῦ πάθους, ἐμβλητέον τοῖς χυλοῖς πράσον, ἢ καλαμίνθην, ἢ γλήχωνος καὶ τὸ τῆς κνίδης σπέρμα σὺν μέλιτι ἐκλειχέτωσαν. τὰ δὲ σφοδρὰ τῶν ἀλγημάτων μετὰ τὴν κένωσιν παρηγορητέον, ἐρίου θερμοῦ ἢ τεθερμωμένου ἐπιθέσει. ἢ καὶ ταῖς διὰ κέγχρων ἢ πιτύρων ἐν μαρσίππῳ πυρίαις. ἢ διὰ θερμοῦ ὕδατος ἢ ἐλαίου ἐν κύστει. ἔριά τε οἰσυπηρὰ ἐπιθεῖναι σὺν ἐλαίῳ καὶ οἴνῳ τεθαλασσωμένῳ. ἤγουν ἁλῶν ἐπιβλητέον. ἢ τὸ διὰ σπερμάτων καταπλαστέον δι᾽ ἀφεψήματος χαμαιμήλου καὶ ἀλθαίας. ἢ ἰσχάδων καὶ ἴρεως καὶ ἀψινθίου, μέλιτός τε ὀλίγου σὺν ἐλαίῳ ναρδίνῳ. περὶ δὲ τὴν τετάρτην ἡμέραν θρέψον τοῖς ῥοφήμασιν, σὺν ὀλίγῳ μέλιτι. μετὰ δὲ τὴν ἑβδόμην, ἔκλειγμα διά τε ἀμυγδάλων, καὶ κνίδης σπέρματος, ἐν μέλιτι συλλειωθέντων δώσομεν. ἢ τὸ διὰ βουτύρου καὶ μέλιτος συνεψημένων ἔκλειγμα. καὶ τῷ ἐκ μέλιτος ἑφθοῦ χρηστέον ὑπογλωττίδι. ἐπιθέμασι δέ, τῷ τε διοσπόλει καὶ τῷ διὰ σαμψύχου, καὶ τῇ πηγανηρᾷ ἐμπλάστρῳ κατὰ τῶν ὀδυνωμένων χρησώμεθα τόπων. καὶ βολβοὶ δὲ σὺν ὀξυγγίᾳ τεθέντες πολλάκις ἤρκεσαν. ἐνετέον τε αὐτοῖς διά τε βουτύρου, καὶ τερεβινθίνης. τῶν δὲ δραστικωτέρων ἔκλειγμα μὲν τὸ διὰ πιτυΐδων καὶ ἀμυγδάλων πικρῶν, καὶ λινοσπέρμου καὶ στροβιλίου καὶ ἀμύλου, ἴσων μετὰ μέλιτος δώσομεν. ἀγρυπνοῦσι δὲ αὐτοῖς, καὶ τὸ διὰ κωδυῶν ἐκλειχθὲν ἁρμόσει. ἀντιδότῳ τε τῇ τε ἀθανασίᾳ, καὶ ταῖς πρὸς τοῦτο συντεθειμέναις χρησώμεθα. μετὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἐπιμένοντος τοῦ πάθους, σικυαστέον τε αὐτούς, καὶ φυλακτέον ἤδη τῆς λεπτοτέρας διαίτης. κἄπειτα παρακμῆς γενομένης, ἐπί τε λουτρὸν ἀκτέον, φυλαττομένους τὸ ψυχρόν. καὶ τῇ ἁδροτέρᾳ διαίτῃ χρηστέον. εἰ δὲ μὴ διαφορηθεῖσα τοῦ ὑπεζωκότος ἡ φλεγμονὴ τὴν εἰς πῦον ἐμφαίνοι μεταβολήν, τοῖς ἔμπροσθεν εἰρημένοις χρηστέον.

Πρὸς τὰς ἄνευ πυρετοῦ τῶν πλευρῶν ὀδύνας.

Πλευρῶν δὲ ὀδύνας ἄνευ πυρετοῦ, βδέλλιον ἰᾶται καὶ κόστος, κράμβης καυλῶν καυθέντων τῇ τέφρᾳ καὶ στέατι μιγνύμενα. διαφορητικὸν γὰρ ἰσχυρῶς ἐστι τὸ φάρμακον.

Περὶ τῶν τῆς καρδίας παθῶν.

λδ.

Αὕτη μὲν ἡ καρδία κατὰ πρωτοπάθειαν πάσχουσα, πόῤῥω τυγχάνει τῆς τῶν ἰατρῶν συμμαχίας. ὀξὺν ἐπιφέρουσα τὸν θάνατον, ἐπί τε φλεγμοναῖς αὐτῆς καὶ ἐρυσιπέλασι, καὶ δυσκρασίαις ἰσχυραῖς ἐν ὀξυτάτοις πυρετοῖς. ἢ αἱμοῤῥαγίᾳ, τρωθεῖσα, κατὰ τὴν ἀριστερὰν μάλιστα κοιλίαν. κατὰ συμπάθειαν δὲ πάσχουσα, ἐπί τε ἐγκεφάλῳ καὶ ἥπατι καὶ στόματι γαστρός, λύπῃ τε καὶ φόβῳ καὶ ἑτέροις πλείοσι, τὴν καλουμένην ἐποίσει συγκοπήν, ἀθρόαν οὖσαν τῆς δυνάμεως κατάπτωσιν, ἐκλύσεσί τε καὶ λειποθυμίαις, καὶ μικροσφυξίαις, ἄκρων τε περιψύξεσι, καὶ περιϊδρώσεσι, δηλουμένην. ἥ τις ἰσχυρὰ μὲν οὖσα, καὶ αὐτὴ τῶν ἀβοηθήτων ἐστίν. ἔτι δὲ πως δὲ συνισταμένης τῆς δυνάμεως, ἔσθ᾽ ὅτε βοηθεῖται. Καὶ παλμοὶ δὲ τῆς καρδίας ἰσχυροὶ γίνονται πολλάκις, ἤδη πλήθει ἢ ζέσει τοῦ ἐν αὐτῇ αἵματος. αὕτη δὲ θερμανθεῖσα μέν, μεγάλην ἐργάζεται καὶ πυκνὴν τὴν ἀναπνοήν. ψυχθεῖσα δέ, μικρὰν καὶ ἀραιάν. τῶν μὲν οὖν καρδιακῶν συγκοπῶν, τὴν ὅλην διόρθωσιν ἐν τοῖς τῶν πυρετῶν συμπτώμασι κατὰ τὸ δεύτερον εἴπομεν βιβλίον. τοσοῦτον μέντοι προσθετέον ἐνταῦθα, ὡς ἐπικρατοῦντος τοῦ συμπτώματος μετὰ τὰς τῶν ἄκρων ἀνατρίψεις τε καὶ ἀλοιφάς, καθαρισμούς τε τοῦ ἐδάφους καὶ τὴν ἄλλην ψυχαγωγίαν, ἐμπλαστέον τε τοῖς ἱδροῦσι τοῦ σώματος μέρεσι, μυρσίνην λείαν, ἢ κιμωλίαν, ἢ ἤλεκτρον, ἢ σίδια μετὰ μάννης, ἢ σαμίαν γῆν μετὰ κόμμεως. τὰ δὲ ἄκρα κατεψυγμένα, μέχρι βουβώνων καὶ μασχαλῶν, καταπλαστέον νάπυϊ, ἢ πυρέθρῳ ἢ ἀδάρκῃ. τροφὴ δέ, ἄρτος ἐξ ὕδατος ἢ ἐξ οἴνου ψυχροῦ κεκρασμένου, πόδες ὕειοι, ἀγκύλαι, ῥύγχη, πτέρναι. πάντα ψυχρά. τὴν δὲ κεφαλὴν καὶ μέτωπον ἐπιχρίειν ὀμφακίῳ, ἢ τῷ στυπτικῷ μετὰ κόμμεως, ἢ ἀφεψήματος ῥόδων. κατάπλασμα δὲ τοῖς ὑποχονδρίοις καὶ στομάχῳ, διὰ φοινίκων, ῥόδων, οἰνάνθης, ἀκακίας, ὑποκυστίδος, στυπτηρίας.

Περὶ παλμοῦ καρδίας.

Οἶδα τινά, φησὶν ὁ Γαληνός, κατ᾽ ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα τῆς καρδίας. κἀπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἤδη τοῦ τετάρτου, ἐφλεβοτομήθη πρὶν ἁλῶναι τῷ συμπτώματι, καὶ οὐχ ἥλω. καὶ οὕτως ἔπραττε

κατὰ τὸ ἑξῆς πλειόνων ἐτῶν, μετὰ τοῦ καὶ τῇ διαίτῃ προσηκόντως κεχρῆσθαι. ἀλλ᾽ ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηράσῃ, καθάπερ καὶ ἄλλοι πάντες. ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες, ὁμοίως ἀπέθανον. τινὲς δὲ αὐτῶν καὶ χωρὶς συγκοπῆς, ἀποπληξίας τρόπῳ αἰφνίδιον τὸν βίον μετήλλαξαν. οἱ πλεῖους δὲ τῶν οὕτω παθόντων τὴν ἡλικίαν ἦγουν ἐλαττόνων μὲν ἢ πεντήκοντα ἐτῶν, πλειόνων δὲ ἢ μ΄.

Περὶ τῶν κατὰ τοὺς μαστούς. λε΄.

Μετὰ τοὺς τοκετοὺς τυρούμενον πολλάκις τὸ γάλα, κατὰ τοὺς μαστοὺς, φλεγμονὰς ἀπεργάζεται. χρηστέον οὖν κατ᾽ ἀρχὰς μὲν τοῖσδε. σπόγγον ἁπαλὸν, ὀξυκράτῳ χλιαρῷ βρέξας καὶ ἐκπιέσας ἐπιτίθει καὶ ἐπιδέσμει, προστετυπωμένως. ἢ φοίνικας μετ᾽ ἄρτου σὺν ὀξυκράτῳ λειοτριβηθέντας. ἢ ᾠῷ ὅλῳ χρηστέον, μετὰ ῥοδίνου καὶ σὺν ὀλίγῃ κηρωτῇ. ἢ στυπτηρίᾳ καὶ φυλλίῳ σὺν κοριαννῷ ἢ ἀνδράχνῃ, κατάπλασσε. ἢ λίθον πυρίτην λεῖον μετὰ κηρωτῆς ἐπιθεὶς ἐπιδέσμει. διατάσεως δὲ γινομένης, ἢ θρομβώσεως. ἄρτον δι᾽ ὑδρελαίου ἢ οἰνομέλιτος κατάπλασσε. ἢ ἄρτον μετὰ περδικιάδος χλωρᾶς ἅμα, κηρωτῇ δὶς τῆς ἡμέρας. ἢ κυαμίνῳ ἀλεύρῳ μετὰ ὑδρομέλιτος ἢ ἑψήματος. εἰ δὲ μὴ φέροιεν τὸ βάρος, καταβροχὴ διὰ γλυκέος ἐλαίου χρηστέον θερμοῦ δι᾽ ἐρέων τρυφέρων. πυριατέον δὲ αὐτοὺς, ἀτμῷ θερμοῦ ὕδατος, ἢ ἀφεψήματι τήλεως, ἢ ἀλθαίας, ἢ σελινοσπέρμου. καταπλαστέον δὲ αὐτοὺς γύρει σὺν λινοσπέρμῳ, ἢ τήλει μεθ᾽ ὑδρομέλιτος, ἢ σησάμῳ μετὰ μέλιτος, ἢ βουτύρῳ λελειοτριβημένῳ. παραιτεῖσθαι δὲ δεῖ τὴν τῶν μαζῶν ἐκμύζησιν διὰ τοῦ ἀποθηλασμοῦ πλέον ἐπισπωμένην ἐπ᾽ αὐτούς. παρακμαζούσης δὲ τῆς φλεγμονῆς, τὰς κηρωτὰς ἐπιβλητέον ταύτας. σεῦτλον ἑψήσας ἐλαίῳ ἄχρι τακερωθῇ, αὐτὸν μὲν ῥίψον, ἐπίβαλε δὲ τῷ ἐλαίῳ κηροῦ τὸ σύμμετρον, καὶ χρῶ. Ἄλλο. Ὠῶν ὠμῶν πυῤῥὰ ι΄. μῖξον κηρωτῇ ἐχούσῃ κηροῦ 𐅻ο. β΄ S. καὶ ῥοδίνου 𐅻ο. δ΄. καὶ σπαθίσας βάλε ἅλμης ὅσον εἰσδέξασθαι δύναται. καὶ αὖθις σπαθίσας, χρῶ. Πρὸς δὲ τὰς τῶν μαστῶν σκληρίας. ποιεῖ καὶ τὸ διὰ μέλιτος, καὶ πάντα τὰ μαλακτικὰ τῶν φαρμάκων. εἰς ἀπόστασιν δὲ τρεπομένου τοῦ ὄγκου, τοῖς ἐν τῷ περὶ παρωτίδων λεχθεῖσι, καὶ τοῖς λεχθησομένοις ἐν τῷ περὶ ἀποστημάτων, χρηστέον.

Ἀρχιγένους πρὸς ἀναβρώσεις μαστῶν μετὰ κακοηθείας.

Οἴνου ἀδριανοῦ καλοῦ ξ. η΄. ῥοὸς βυρσοδεψικοῦ λι. α΄. κυπαρίσσου σφαιρίων, λι. α΄. κηκῖδος ὀμφακίνης μελαίνης 𐅻ο. ϛ΄. κασσίας 𐅻ο. ϛ΄. θλασθέντα, ἔμβρεχε τῷ οἴνῳ ἐπὶ ἡμέρας ι΄. εἶτα ἑψέσθω κινούμενα κυπαρισσίνῃ σπάθῃ, ἕως ἐγγὺς τοῦ ἡμίσεως δαπανηθῇ. καὶ τότε τὰς μὲν βοτάνας ῥίπτε. ὁ δὲ χυλὸς ἑψέσθω ἄχρι μέλιτος πάχους, εἶτα καταγγίζεται ἐν ὑαλίνῳ ἀγγείῳ. κέχρησο, ἐπὶ τῶν νεμομένων ἀκράτῳ. εἰ δὲ παχύτερον εἴη, οἴνῳ ὑγραίνεσθαι ἐπιτετευγμένον φάρμακον. ὡς ἂν ἐπιστηθῆναι πρός τε τὰς ἐν μαστοῖς νομὰς καὶ ὦτα πυοῤῥοοῦντα καὶ οὖλα μυδῶντα καὶ δυσεντερίας. ἔστι δὲ καὶ ὀδυνῶν παρηγορικὸν γαλακτι ἀνεθέν. καὶ τὰς ἄλλας δὲ τῶν μαστῶν ἑλκώσεις, κοινῶς τοῖς ἄλλοις ἕλκεσιν θεραπευτέον.

Διαφυλακτικὰ μαστῶν.

Κύμινον σὺν ὕδατι τρίψας κατάπλαττε τοὺς τιτθοὺς, εἶτα ἔξωθεν ἐπιθεὶς σπόγγον, ἀπὸ ὀξυκράτου, σφίγγε τὸ στῆθος δεσμίδι. μετὰ δὲ τρεῖς ἡμέρας τὸ κύμινον ἄρας, κατάπλαττε τοὺς τιτθοὺς κηρίνου βολβῶν μετὰ μέλιτος. καὶ δήσας πάλιν ἔα τρεῖς ἡμέρας, καὶ τοῦτο ποίει τρὶς τοῦ μηνός. Ἄλλο. Κώνειον λεάνας ἐπιτίθει ἐπὶ ἡμέρας θ΄. καὶ τὸ σπογγάριον ἔξωθεν ὡς εἴρηται. καὶ διαλιπὼν ὀλίγας ἡμέρας, τὸ αὐτὸ ποίει. καὶ τὸ τῆς ναξίας ἀκόνης τὸ ἀπότριμμα διαφυλάττει τῶν παρθένων τοὺς μαστούς.

Πρὸς τὰς τῶν μασχαλῶν δυσωδίας καὶ συνιδρώσεις. λϛ΄.

Στυπτηρίας ὑγρᾶς μ. β΄. σμύρνης μ. α΄. οἴνῳ διαλύσας χρῶ. Ἄλλο. Μολύβδαιναν καύσας, καὶ οἴνῳ εὐώδει κατασβέσας, τρίβε μετ᾽ οἴνου, ὀλίγον σμύρνης ἐπιβάλλων, ἄχρι γλοιοῦ πάχους καὶ χρῶ. Ἄλλο. Λιθαργύρου <. ιϛ. σμύρνης <. β΄. ἀμώμου <. α΄. οἴνῳ ἀναλάμβανε. Ἄλλο. Στυπτηρίας ὑγρᾶς <. η΄. ἀμώμου, σμύρνης, ναρδοστάχυος, ἀνὰ <. δ΄. οἴνῳ ἐκλείου καὶ χρῶ.

Περὶ τῶν κατὰ τὸν στόμαχον, καὶ τὰ ὑποχόνδρια, καὶ τὴν γαστέρα. λζ΄.

Περὶ μὲν τῆς ἐν πυρετοῖς ἀνορεξίας καὶ βουλίμου καὶ τῆς κυνώδους ὀρέξεως, ἀτονίας τε στομάχου καὶ λειποθυμίας, ἔτι δὲ καὶ δίψης καὶ λυγμοῦ, καὶ ναυτίας καὶ συγκο-

τῆς

τῆς, ἐν τοῖς περὶ πυρετῶν κατὰ τὸ πρὸ τούτου δεύτερον βιβλίον αὐτάρκως διώρισται. καὶ πάλιν περὶ τῶν αὐτῶν λέγειν, οὐκ εὔκαιρον. αἱ δὲ φλεγμοναὶ τοῦ τῆς κοιλίας στόματος καὶ τοῦ ἥπατος, δέονται τῆς τῶν στυφόντων παραπλοκῆς. ἐὰν γὰρ διὰ τῆς χαλαστικῆς ἀγωγῆς μόνης θεραπεύῃς, κίνδυνον ἐπάξει περὶ τὴν ζωήν. δεῖ τοίνυν εἴτε ἔλαιον εἴη τὸ ἐπαντλούμενον εἴτε κατάπλασμα, παραπλέκειν τι τῶν στυφόντων, οἷον ἀψίνθιον. ἢ νάρδινον μύρον, ἢ μήλινον, ἢ κυδώνιον ἐναψήσαντας. κηρωτὴ δὲ ἐστιν, ᾗ συνεχῶς χρώμεθα. κηροῦ λευκοῦ Γο. α. θέρους δὲ ∠. ζ. ἀλόης, μαστίχης ἀνὰ ∠. α. ἐλαίου ὀμφακίνου, ἢ μηλίνου ἢ νάρδου, κατὰ τὴν χρείαν τὸ ἀρκοῦν πρὸς τὴν σύστασιν. εἰ δὲ πλείονος δέοιτο στύψεως ὡς μηδὲ τῶν τροφῶν κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίνου ∠. α. ἢ καὶ ἀψινθίου χυλοῦ τὸ ἴσον. καὶ τρίτον ἐπ' αὐτοῖς τῆς ὑποκυστίδος καὶ οἰνάνθης, καὶ ῥοῦ χυλοῦ. προσάξειν δὲ χρὴ τοῦ κηροῦ τὸ πλῆθος ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ. χρονιζούσης δὲ τῆς φλεγμονῆς, καὶ σκληρυνομένης, ἤδη ποικιλότερα φάρμακα προσφέρειν δεῖ. καὶ τῶν ἀρωμάτων ἔχοντά τι, καὶ τῶν μαλακτικῶν, καὶ τῶν διαφορητικῶν. οἷον ἐστὶ καὶ τὸ διὰ μελιλώτου σκευαζόμενον, καὶ τὸ φιλαγριανόν, καὶ τὸ εὐῶδες. τοῦ χλωροῦ ἰάσπιδος ὁρμαθὸς ἐξαρτώμενος τοῦ τραχήλου, ὥστε ψαύειν τοῦ στομάχου, μεγάλως ὠφελεῖ. ἐπὶ δὲ τῶν θερμῶν τοῦ στομάχου δυσκρασιῶν καὶ καυσουμένων μετ' ἐκλύσεως, ἢ λειποψυχίας ἢ τινὸς ἀνορεξίας, ἐξ οἵας δήποτε προφάσεως πλὴν πυρετοῦ, ψυχρὸν ὕδωρ δίδου μετ' ὄμφακος χυλοῦ, ἢ μήλων κυδωνίων ἀφέψημα, ἢ ἕλικος ἀμπέλου, ἢ σικύου σπέρμα λεῖον μετὰ ψυχροῦ. ἐπιτίθει δὲ ἐπὶ στομάχῳ κύστιν πληρώσας ὕδατος ψυχροῦ, ἢ κολοκυνθης ξέσματα. καὶ ἄδιψα δὲ καταπότια δοτέον ὡς ἐν τῷ περὶ δίψης εἴρηται. ψυκτικὸν δὲ καὶ τονωτικὸν πλαδῶντος στομάχου τόδε. ῥόδων χλωρῶν τῶν φύλλων ∠. ϛ. γλυκυῤῥίζης χ. ∠. δ. οἴνῳ γλυκεῖ ἀναλάμβανε, καὶ ποίει ὑπογλώττια. ἐπὶ δὲ τῶν διὰ πάχους τοῦ φλέγματος θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένων, χρήσιμόν τε ἐστὶ τόδε. μαράθρου ῥίζης, φλοιοῦ Γο. β. ὄξους ξ. α. S. ἀλόης Γο. γ. μέλιτος λι. δ. αἱ ῥίζαι σὺν τῷ ὄξει ἑψηθεῖσαι ἐκθλίβονται καὶ ῥίπτονται, τὸ δὲ μέλι ἐπιβληθὲν ἕψεται ἄχρι συστάσεως, καὶ τότε ἀλόη λεία ἐπιπλάσσεται. δίδου κοχλιάρια γ. σὺν ὕδατι. τινὲς δὲ ἄνευ ἀλόης σκευάζουσιν αὐτό. καὶ τὸ διὰ καλαμίνθης ἐπὶ τούτοις ἐπιτήδειον. Ἐπὶ δὲ τῶν ἀποξυνόντων τὴν τροφὴν κοριάννου σπέρματος ∠. α. ὡς ἄλφιτον ἐμπλάσας ὕδατι πότιζε. ἢ μαστίχης κοχλιάριον ἕν, ἢ θείδακος λευκῆς σπέρματος κοχλιάρια δύο. σύνθετον δὲ τόδε. πεπέρεως ∠. α. ἀνήθου σπέρματος ∠. γ. κυμίνου ∠. δ. λειώσας δίδου εἰς κοίτην κοχλιάριον α. ἐν οἴνῳ κεκραμένῳ. Ἐπὶ δὲ τῶν γεννώντων χολὴν μέλαιναν, καὶ φυσωμένων τὸν στόμαχον ἐν ταῖς ἐπιτάσεσιν. ἐπιτίθει σπόγγους ὄξει δριμυτάτῳ βεβρεγμένους. μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, συπηκείαν μετὰ χαλκοῦ λείου μέλιτι ἀναλαβὼν ἐπιτίθει. πινέτω δὲ σέρεως χυλόν. ἢ τῷ ποτῷ ἡδύοσμον ἔμπασσε. Ἐπὶ δὲ τῶν πνευματουμένων καὶ διατεινομένων τὸν στόμαχον. καλαμίνθης ἀποζέματι μίξας μέλιτος καὶ πεπέρεως τὸ σύμμετρον, δίδου. Πρὸς δὲ τὰς ἀνατροπὰς τοῦ στομάχου. ῥοιὰς ὀξείας τῶν πυρήνων χ. μ. γ. ἡδυόσμου χ. μ. α. ἑψήσας ἄχρι συστροφῆς δίδου πρὸ τροφῆς μύστρον α.

Πρὸς σιελισμὸν στομάχου.

Ὄξος σκιλλινόν, ἢ ἁλμάδων ἐλαιῶν ζωμόν, ἢ θαλλίας ἀφέψημα, διακλυζέσθω. ἢ καὶ ὀλίγιστον ἐξ αὐτοῦ καταπινέτω. πάντων δὲ μᾶλλον ποιεῖ ἀλόη δευομένη ὕδατι. πρὸς δὲ τοὺς μὴ κατέχοντας τὴν τροφήν, οὓς ἰδίως οἱ παλαιοὶ στομαχικοὺς ὀνομάζουσιν, μέλιτι μίξας τήλινον ἄλευρον, καὶ μαλάχης σπέρμα λεῖον ξηρόν, κατάπλαττε. κηρωτὴ δὲ, διὰ κηροῦ, καὶ ἰρίνου ἐλαίου ὑποστάθμης, καὶ καστορίου.

Περὶ ἀνορεξίας.

Ἡ ἀνορεξία, σιτίων ἐστὶν ἀποστροφή, ἤτοι δυσκρασίας ὑπαρχούσης κατὰ τὸν στόμαχον, ἢ χυμῶν περιουσίας. διαγνώσεις δὲ τὴν μὲν θερμὴν δυσκρασίαν. ὑπό τε δίψει, καὶ ταῖς κνισώδεσί τε καὶ βορβορώδεσιν ἐρυγαῖς εἰ βιασθέντες τι τραφῆναι τύχοιεν, καὶ ὑπὸ τὰ ψυχρότερα μᾶλλον καὶ δυσκατέργαστα δύνασθαι πέττειν. τὴν δὲ ψυχράν, τοῖς ἐναντίοις, οὔτε γὰρ διψῶσιν, οὔτε τῶν ψυχρῶν ἀνέχονται, καὶ ὀξυρεγμιώδεις ἐνίοτε γίνονται. τῶν δὲ διὰ χυμοὺς ἀνορεκτούντων. οἱ μὲν διὰ τοὺς λεπτούς τε καὶ δακνώδεις τοῦτο πάσχοντες, δάκνονται τὸν στόμαχον, καὶ ναυτιῶσι μᾶλλον καὶ διψῶσιν. οἷς δὲ σηπῶσιν οἱ χυμοί, ἐνίοτε καὶ πυρέττουσιν. οἱ δὲ διὰ παχεῖς καὶ γλίσχρους, ἄδηκτοι μὲν καὶ ἄδιψοι τοὐπίπαν εἰσίν, κοινὸν δὲ σύμπτωμα πᾶσιν ἐστὶν ἡ ναυτία. ἀλλ' εἰ μὲν ἐν τῇ κοιλότητι τῆς γαστρὸς ὦσιν οἱ χυμοί, καὶ τούτων αὐτῶν ἀπεμοῦσιν. εἰ δὲ ἐν τοῖς χιτῶσιν αὐτῆς ἐμπεπλασμένοι ἢ καὶ ἀναποθέντες, ναυτιῶσι μόνον οὐκ ἐμοῦσι, πλὴν σιτίων εἰ προσαράμενοι τύχοιεν. Τοὺς μὲν οὖν διὰ θερμὴν δυσκρασίαν ἀνο-

ρεκτοῦντας, διὰ τῶν ἐμψυχόντων διαιτᾶν. καὶ μάλιστα τῶν δι᾽ ὄξους. ἄρτον τοίνυν ὀξυκράτῳ διδόναι τούτοις, καὶ αὐτὸ πίνειν τὸ ὀξύκρατον. τό, τε ὀξύγαλα, καὶ τὴν παρὰ ῥωμαίοις καλουμένην μέλκαν. ἔστι δὲ ὄψον τι διὰ γάλακτος. ἴντυβά τε καὶ θριδακίνας. καί ποτε καὶ ψυχρὸν ὕδωρ. ἅπαντά τε συμμέτρως κατὰ τὴν τῆς ὑπούσης δυσκρασίας ἐναντίωσιν. ἡ γὰρ ἄμετρος τούτων χρῆσις, οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἀνίατον πολλάκις εἰργάσατο τὸ πάθος. Τοῖς δὲ διὰ ψύξιν, τοῖς ἐναντίοις ἰᾶσθαι προσήκει. οἶνόν τε παλαιὸν διδοῦντα πίνειν καὶ κονδῖτον, καὶ ὑδρόγαρον. ἀνήσου τε καὶ πηγάνου, καὶ πετροσελίνου τὸ ἀφέψημα. καὶ πέπερι δι᾽ ὕδατος θερμοῦ κοινοῦ. ἢ καὶ αὐτὸ τὸ διὰ τριῶν πεπέρεων. ἢ τὸ διὰ καλαμίνθης. δώσεις δὲ καὶ τὴν δι᾽ ἐχιδνῶν θηριακήν, οὐδὲ τοῖς διὰ πλῆθος χυμῶν ἀνορεκτοῦσιν οὔσης ἀνεπιτηδείας. τὰ δὲ σκόρδα τούτοις καὶ ὡς τροφή, καὶ ὡς φάρμακον εἰσὶν ἁρμόδια. Διὰ πλῆθος δὲ χυμῶν τῆς ἀνορεξίας γινομένης. τοὺς μὲν λεπτούς τε καὶ δακνώδεις κενώσεις, ἢ δι᾽ ἐμέτων ἢ διὰ τῆς κάτω γαστρός. ἐμέσωσι μὲν οὖν ῥᾷον εὔκρατον ὕδωρ, ἢ μελίκρατον ὑδαρέστατον προπεπωκότες. Βέλτιον δὲ εἰ πρὸ τούτων ὑγραινούσας δώσεις τροφάς, οἷον πτισάνης χυλόν, ἢ τῶν ᾠῶν τὰς λεκίθους. ὅπως δ᾽ αὐτὰς εὐκόλως ἐμοίη, κατὰ τὸ πρῶτον εἴρηται βιβλίον. εἰ δὲ δυσεμὴς ὁ κάμνων εἴη, βέλτιον ἐπὶ τὴν κάτω γαστέρα τὴν ὕλην προτρέπειν, προϋγραίνοντα τούτους πλείονί τε καὶ εὐκράτῳ τροφῇ. τὸ δὲ καθαρτικόν, φάρμακον, ἔστω ἢ διὰ τὸ τῆς ἀλόης πικρόν, ἢ διὰ τῶν κυδωνίων μήλων, τὸ λαμβάνον καὶ σκαμμωνίας. ἢ τὸ διὰ τοῦ ῥοδομέλιτος. εἰ δὲ οἷόν τε δίχα σκαμμωνίας, ἀλόης πλήθει μᾶλλον αὐτοὺς κενοῦν, βέλτιον ἂν πράξοι, διὰ τὸ τῆς σκαμμωνίας κακοστόμαχον. τοὺς δὲ διὰ παχεῖς καὶ γλίσχρους χυμοὺς ἀνορεκτοῦντας, ἴασις λεπτύνων τούτους καὶ τέμνων, διά τε τοῦ ὀξυμέλιτος καὶ τῶν διὰ τούτου καὶ ἅλμης συντεθειμένων, οἷον καππάρεως, ἐλαιῶν, νάπυος καὶ τῶν παραπλησίων. οὐκ ἀνάρμοστα δὲ τούτοις καὶ τὰ ἐπὶ τῶν διὰ ψυχρὰν δυσκρασίαν ἀνορεκτούντων εἰρημένα, καὶ μάλιστα μετὰ κένωσιν. κενώσεις δὲ αὐτοὺς διὰ τοῦ ἰουλιανοῦ ὀξυμέλιτος. ἔξωθεν δὲ τοῖς θάλπειν τε καὶ ῥωννύειν τὸν στόμαχον δυναμένοις χρηστέον ἀλείμμασί τε καὶ μαλάγμασιν, ὁποῖα εἰσὶ μάλιστα τό, τε διὰ τοῦ ὄμφακος, καὶ μαρκιάτον καλούμενον, καὶ τὰ συνήθη μύρα. ἐπιθέματα δὲ τό, τε βάϊον καὶ τὸ εὐῶδες, καὶ τὰ παραπλήσια. γυμνάσιά τε καὶ τρίψεις μάλιστα παραλαμβανέσθω. πρὸς δὲ τοὺς δυσπεπτοῦντας καὶ ἀνορεκτοῦντας διὰ ψυχρὸν καὶ ὑγρὸν χυμὸν ἢ τοιαύτην δυσκρασίαν, τὰ διὰ τῶν κυδωνίων μήλων ἁρμόσει. λέγω δὲ τὸ μηλοπλακούντιον προσαγορευόμενον. καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν μήλων καὶ τὸ διὰ τῶν σαρκῶν αὐτῶν. καὶ τὸ διὰ κυτείου σκευαζόμενον. μαλάγματα δέ, τό, τε μαρκίατον, καὶ τὸ δι᾽ ὄμφακος χυλοῦ, τό, τε βάϊον καὶ τὸ πολυάρχιον, καὶ τὰ τούτοις ὁμογενῆ. ἕλκους δὲ ὄντος ἐν τῷ στομάχῳ ἢ τῇ κοιλίᾳ, πάντων μὲν τῶν δριμέων ἀπέχεσθαι βρωμάτων τε καὶ πομάτων. καὶ φαρμάκων χρῆσθαι δὲ τοῖς πραΰνουσιν, οἷον ῥοφήμασιν ἐκτὸς ἐλαίου. καὶ τοῖς δι᾽ ἀμύλου τε, καὶ γῆς σαμίας, καὶ λημνίας σφραγῖδος, καὶ γάλακτος ἢ μέλιτος ἐλαχίστου. ὥστε καὶ διακαθαίρειν ἀδήκτως. ἐπίθεμα δὲ διὰ φοινίκων καὶ κυδωνίων ἀλφίτων. κηρωτὴν διὰ μηλίνου ἢ ῥοδίνου σὺν ἀμμωνιακῷ καὶ λιβάνῳ. τό, τε νήλεως ἐπίθεμα. ἔμπλαστροί τε διὰ ἰτεῶν καὶ ἱκεσίος. διαγνώσεις δὲ τὸ ἕλκος ἐκ τοῦ αἷμα, ἢ πύον, ἢ καὶ ἐφελκίδας ἐμεῖσθαι.

Πρὸς τοὺς ἐκλύτους καὶ ἀτόνους στομάχους, καὶ διὰ τοῦτο μὴ πέττοντας, ἢ καὶ τὴν τροφὴν ἐμοῦντας.

Ἀλόης, μαστοχά, μαστίχης, στύρακος. ἀνὰ γο. β. ἀψινθίας γο. δ. οἰνάνθης γο. γ. γλυκίνου γο. ς. μηλίνου γο. γ. οἴνου τὸ ἀρκοῦν. τινὲς καὶ κύφεως καὶ ῥόδων ἀνὰ γο. β. ταῦτα λειούμενα ἀναλαμβάνεται πορφύρᾳ ἢ ἐρίῳ, καὶ ἐπιτίθεται τῷ στομάχῳ. τινὲς δὲ καὶ κηροῦ γο. ς. προσπλέξαντες ἐπίθεμα αὐτὸ ποιοῦσιν.

Πρὸς τὰς ἰλεώδεις τοῦ στομάχου διαθέσεις, τουτέστιν ἰσχυρὰς ὀδύνας καὶ σπασμώδεις

Ὁ τῶν ἀμαζόνων τροχίσκος, ἄριστόν ἐστι φάρμακον. καὶ τούτου δὲ τὴν γραφήν, καὶ τῶν ἄλλων στομαχικῶν συνθέτων τὴν ὕλην ἐν τῷ περὶ συνθέτων φαρμάκων κατὰ τὸν τελευταῖον εὑρήσεις λόγον.

Περὶ πνευματώσεως γαστρός. λη.

Ἡ τῶν πνευμάτων ἐν γαστρὶ γένεσις, χυμῶν ἢ σιτίων εἰς ἀτμοὺς διαλυομένων ὑπὸ θερμότητος συνίσταται χλιαρᾶς. ἡ μὲν γὰρ ψύξις τῷ μὴ πεφυκέναι λεπτύνειν καὶ διαλύειν, οὐ γεννᾷ πνεύματος οὐδέν. ἡ δὲ σφοδρὰ θερμότης, οὐ λεπτύνουσα μόνον ἀλλὰ καὶ διαφοροῦσα, κωλύει τὴν σύστασιν τοῦ πνεύματος. ἡ δὲ ἐλάττων θερμότης. χεῖ μὲν καὶ μεταβάλλει τὴν τροφήν, ἐλλιπέστερον δέ. κἀντεῦθεν ἡ γένεσις τῶν πνευμάτων. λεπτύνειν οὖν αὐτὰ διὰ τῶν θερμαινόντων

τῶν

τὸν φαρμάκων προσῆκε, ἀφεψόντας ἐν ἐλαίῳ, κυμίνου καὶ σελίνου καὶ σπονδυλίου καὶ δαύκου σπέρμα. ψύξεως δὲ προσούσης τῇ διαθέσει, πήγανον καὶ δαφνίδας καὶ μελάνθιον καὶ μάραθρον ἐναφέψειν τῷ ἐλαίῳ. καὶ μιγνύειν ἄσφαλτον καὶ ἔλαιον δάφνινον. ἐὰν δὲ καὶ φλεγμονὴ συνῇ ταῖς ὀδύναις. ἀντὶ τῶν θερμαινόντων χρῆσθαι τοῖς χαλαστικοῖς, τὸ ἄνηθον ἑψῶν, καὶ μιγνὺς στέαρ ὄρνιθος καὶ χηνός. ποιεῖ δὲ πρὸς τοὺς πνευματουμένους, πολίου δεῦ μέδιον καθεψόμενον. ἢ καλαμίνθης ἀφέψημα, μιγνυμένου μέλιτος ὀλίγου, καὶ πεπέρεως < α. ταῦτα μὲν οὖν ὀδύνης σφοδρᾶς ἐμπεσούσης, προσακτέον. ἐπὶ δὲ τῆς μέσης, ἀρκέσουσι καὶ πυρίαι διὰ κέγχρου. σικύα δὲ εὐμεγέθης περιλαμβανέσθω τὸν ὀμφαλὸν, ἀθρόως πολλάκις ἀπαλλαττέσθω τὸ σύμπτωμα. ὠφελεῖ δὲ καὶ τὸ κασόριον αὐτοὺς, πινόμενόν τε διὰ ὀξυκράτου, καὶ ἔξωθεν σὺν ἐλαίῳ σικυωνίῳ τιθέμενον. καὶ εἰ μετὰ στρόφου τυγχάνουσιν αἱ ἐμπνευματώσεις, ἰᾶται. καὶ ὕειος ὁ ἀστράγαλος καυθεὶς καὶ ποθεὶς, στρόφους καὶ ἐμπνευματώσεις ἰᾶται. καὶ ἀριστολοχία στρογγύλη. τὰς δὲ διὰ ἐμφράξεις τῆς κοιλίας ὀδύνας, ἢ διὰ παχύτητα γινομένας πνευματώσεις, ἢ διὰ ψύξιν, οἶνος πινόμενος ἀκρατέστερος μετὰ τροφὴν ὀνίνησιν. ὕπνος δ᾽ ἐπιγινόμενος καὶ τελέως αὐτὰς ἀπαλλάττει.

Περὶ χολέρας. λθ.

Ἡ χολέρα. τῆς γαστρός ἐστιν ἄμετρος ἐκτάραξις, κάτωθέν τε καὶ διὰ ἐμέτων γινομένη διὰ προσοχὴν τῶν σιτίων ἀπεψίαν. ἀπεπτοῦσι δὲ ποτὲ μὲν διὰ πολλὴν μοχθηρίαν τροφῶν. ποτὲ δὲ διὰ μοχθηρῶν χυμῶν περιουσίαν. εἰ μὲν οὖν ἐστι ναυτιώδης καὶ παρατεταμένος ὁ κάμνων, μενόντων ἔτι τῶν σιτίων ἀπέπτων ἐν τῇ γαστρί, πίνειν αὐτοῖς κελεύσωμεν ὕδωρ χλιαρόν. καὶ ἀπεμεῖν καθέσει δακτύλων ἢ πτερῶν, συνεργητέον δέ, καὶ τῇ διὰ γαστρὸς ἐκκρίσει. μετὰ δὲ τὴν τῶν περιττῶν κένωσιν, ἡσυχία τε, καὶ θάλψει τῶν καθ᾽ ὑποχονδρίων χρηστέον. διά τε γλυκέως ἐλαίου σὺν οἴνῳ βραχεῖ, ἢ μαστιχίνου, ἢ καὶ ναρδίνου εἰ χειμὼν εἴη. καὶ ὑπνοῦν ἐπιτρεπτέον. μετὰ δὲ τὴν τελείαν πέψιν, λουτροῖς τε χρηστέον καὶ εὐχύμῳ τροφῇ. τῆς δὲ κενώσεως ἀμέτρου γινομένης, ἀρκεῖ μὲν ἐν ἀρχῇ καὶ τὰ κατὰ τὸ δεύτερον βιβλίον περὶ ἐκταράξεως γαστρὸς εἰρημένα. ἐπιμενούσης δὲ τῆς φορᾶς, τῆς τε κοιλίας συμπιπτούσης, καὶ τοῦ σφυγμοῦ μειουμένου τε καὶ πυκνουμένου, καταπλάσσειν μὲν τῷ διὰ φοινίκων, μετ᾽ οἰνάνθης καὶ ἀκακίας, καὶ ὑποκυστίδος χυλοῦ καὶ σιδίων. διδόναι δὲ καταρροφεῖν ὕδατος μετρίως ψυχροῦ κύαθον. κάλλιον δὲ εἰ ἀφέψημα εἴη, ῥόδων ἢ οἰνάνθης ἢ ῥοῦ ἢ ἑλίκων ἀμπέλου.. ἢ χυλὸν ῥοιᾶς τῆς ὀξυγλυκοῦς δοτέον ἢ ἡδυόσμου βραχὺ ἐμπάσσοντα. δριμυτέρων δὲ ὄντων τῶν ἐκκρινομένων, καύματός τε καὶ δίψους προσγινομένου, σικύου σπέρμα δοτέον σὺν ὕδατος κυάθοις τρισίν. ἴντυβά τε, καὶ θριδακίνας ἐφθὰς ἐν ὀξυκράτῳ τρεφέσθωσαν. ἀκαταστάτου δὲ τῆς φορᾶς οὔσης, οἶνον δοτέον τινὰ τῶν αὐστηρῶν. ἀπυρέτοις μὲν, παλαιὸν ἢ ἀμίναιον ἢ σαβίνιον, ἢ ὀμφακομελίτην. πυρέττουσι δὲ, ῥοΐτην, ἢ μυρτίτην. ἢ τὸ κυδωνιάτην ὑδρόμηλον ποτόν τε καὶ μετὰ ψιχῶν ἢ ἄλικος ἢ χόνδρου. εἰ δὲ ἀποστρέφοιντο τὰ σιτώδη, τί τῶν ὡραίων διαμασσόμενοι, μεσπίλων ἢ ἀπίων ἢ κυδωνίων ἢ ῥοιῶν, τὸ σαρκῶδες καὶ σκληρὸν ἀποπτυέτωσαν. μὴ κατεχόντων δὲ τὴν τροφὴν, σικύαν ὡς μεγίστην κούφην τῷ στομάχῳ κολλητέον. κειμένης τε ταύτης, θρεπτέον αὐτοὺς τῶν εἰρημένων τινί. πρὸς δὲ τὰς σπασμώδεις συνολκάς. ἐλαιοβραχῆ ῥάκη θερμὰ τοῖς μυσὶ περιτιθέναι, κηρωτάς τε ὑγρὰς ἐχούσας τι καὶ κασορίου καὶ σικυωνίου. πρὸ δὲ τούτων, ὕδατι θερμῷ περιαντλητέον τὰ κῶλα. εἰ δὲ καὶ ἄγρυπνοι γίνοιντο. τοῖς πρὸς ἀγρυπνίαν εἰρημένοις χρηστέον. μὴ κωλυούσης δὲ τῆς δυνάμεως, καὶ τῆς διὰ κωδυῶν αὐτοὺς ποτιστέον. παρακμῆς δὲ γινομένης, ἐπὶ λουτρὸν ἀκτέον. καὶ ἀνακομιστέον αὐτοὺς ὄρνιθος νεοττοῖς, περιστερᾶς, ἢ ὑῶν ποσίν, ἢ τοῖς παραπλησίοις. ἡ δὲ διάρροια διαφθορὰ τῶν σιτίων ὑπάρχουσα. τὰ πολλὰ μὲν αὐτομάτως παύεται μὴ τρεφομένων αὐτῶν ἄχρι τελείας ἐκπέψεώς τε καὶ κενώσεως τῶν διαφθαρέντων. ἐπιμενούσης δὲ, τοῖς ἐπὶ χολέρας χρηστέον.

Περὶ λειεντερίας καὶ κοιλιακῆς διαθέσεως. μ.

Διττῆς ὑπαρχούσης τῆς λειεντερίας τῆς μὲν διὰ ἐπιπόλαιον ἕλκωσιν τῶν ἐντέρων, κατά τινας δὲ καὶ διὰ οὐλὴν ἐκ δυσεντερίας τὰ πολλά, ἢ ἐξ ἑτέρων γινομένης ῥευματισμῶν. τῆς δὲ διὰ ἀτονίαν τῆς κατεχούσης τὴν τροφὴν ἐν τῇ γαστρὶ δυνάμεως. τὴν δευτέραν οἶμαι διαφορὰν τῇ κοιλιακῇ λεγομένῃ συμπλέκειν διαθέσει. καὶ γὰρ ἐπὶ ταύτης, ἀτονούσης τῆς γαστρὸς πέττειν τε καὶ ἀναδιδόναι τὰ σιτία, λεῖά τε καὶ ἄπεπτα καὶ κάθυγρα διαχωροῦσι. ῥευματιζομένης ἐπὶ πάντων τῆς γαστρός. ἀλλ᾽ ἐπὶ τῶν λειεντερικῶν, ἥ τε διέξοδος τῶν σιτίων ταχεῖα γίνεται, καὶ τὰ τῆς ἀπεψίας ἐπιτεταμένα μᾶλλόν ἐστιν, ὥστε διαδηλοῦσθαι τὴν ληφθεῖσαν τροφήν. καὶ τούτῳ μάλιστα διακρίνονται τῶν κοιλιακῶν. καταπλαστέον οὖν αὐτοὺς

λινοσπέρμου μετὰ φοινίκων. ἄκρως δὲ ποιεῖ καὶ χῖνος, καὶ βάτος συνεψομένη τῷ ὀξυμέλιτι. ἐμπνευματώσεως δὲ συνούσης, καὶ κυμίνου καὶ ἀνήθου καὶ πηγάνου μικτέον. ἐπαυξομένου δὲ τοῦ ῥευματισμοῦ, συνεμβαλοῦμεν μῆλα κυδώνια, στυπτηρίαν ὑγράν, ἀκακίαν, ὑποκυστίδα, κηκίδα, ἤ τινα ἢ πάντα. κηρωταὶ δέ, διὰ μυρσίνου μετά τινος τῶν στυφόντων οἴνων. ἐπιθέματα δέ. θερμότερα μὲν τό, τε διὰ δαφνίδων καὶ τὸ διὰ σπερμάτων. στυπτικώτερα δέ, τό, τε διὰ οἰνάνθης, καὶ τὸ διὰ γιγάρτων, καὶ τὸ αὐτύλου. καὶ τὸ ἐρυθροῦ δὲ θαυμαστόν. χρονιζούσης δὲ τῆς νόσου, καὶ δρώπακι χρηστέον κατὰ τῆς κοιλίας. καὶ τὴν διὰ νάπυος κηρωτήν. καὶ αὐτῷ τῷ νάπυϊ. ποτήματα δὲ ἁπλᾶ μέν, ἀρνογλώσσου σπέρμα, ἢ λαπάθου σπέρμα. ἢ ῥοιᾶς σίδια. ἢ οὖα ξηρά. ἢ ὄμφακα ξηρόν, ἐξ ἀμινέας σταφυλῆς, ὅσον τριόβολον, ἀπυρέτοις, σὺν οἴνου αὐστηροῦ κυάθοις ϛ. πυρέσσουσι δέ, σὺν ὕδατι ὀμβρίῳ. ἢ ὅσον δὲ στομάχου ἅπτεται, ἀλεκτορίδων κοιλία ξηρὰ ἐμπασσομένη τῷ ποτῷ. καὶ τὰ διουρητικὰ δέ, οἷον σέλινον, ἀδίαντον, καὶ τὰ ὅμοια πινόμενα μετοχετεύσιν ἐργάζεται. σύνθετα δέ, ἥ τε πολυείδου σφραγίς ἐστι, καὶ ὁ διὰ τοῦ ἠλέκτρου τροχίσκος, ὅ τε διὰ τῆς αἰγυπτίας ἀκάνθης καὶ τὸ κλειδίον καλούμενον, καὶ ὁ διὰ σπερμάτων. καὶ τοῦτο δὲ κάλλιστόν ἐστι. λαπάθου ἀγρίου σπέρματος ℥ α. S. ἀρνογλώσσου σπέρματος ℥ α, ὑποκυστίδος χ ∠ ϛ. κόμμεως ἢ ἀκακίας ἀνὰ λάμβανε κυδωνίων ἀπετριτωθέντων τῷ ἀφεψήματι. Ἄλλο. Κυμίνου, πεπέρεως, ῥοὸς συριακῆς, βαλαυστίου ἀνὰ ℥ α. S. σιδίων ℥ α. σιλφίου ℥ S. ἢ ξηροῦ ∠ α. ἔμπασσε τῷ ποτῷ, ἢ φυρῶν ὀξυμέλιτι πρωῒ καὶ ἑσπέρας. Ἄλλο. Μύρτων μελανῶν κοχλιάριον α. S. ἀνήσου, ῥόδων ξηρῶν, οἰνάνθης ἀνὰ κοχλιαρίου τὸ S. φοινικοβαλάνους κ. ποίει τροχίσκους καὶ δίδου ∠ α. μεθ' ὕδατος ἢ μετὰ κράματος. καὶ ἡ διὰ ἐχιδνῶν δὲ θηριακὴ τούτοις ἄριστόν ἐστι βοήθημα. ἡ δὲ τροφή, δριμείας μὲν καὶ χολώδους οὔσης τῆς ἀποκρίσεως, διά τε χόνδρου καὶ ὀρύζης ἄλικός τε καὶ τῶν παραπλησίων γινέσθω. συνεψομένων αὐτοῖς τῶν στυφόντων τινός, ἀπίου, μήλου, κυδωνίου, μεσπίλου, καὶ τῶν ὁμοίων. καὶ τὸ ἄπεφθον δὲ γάλα τούτοις ἁρμόσει. ποτὸν δὲ ἢ οἶνος ὑδαρὴς λεπτός, ἤ τι τῶν ἡδέων ἔσω πομάτων. φλεγματικώτερα δὲ αὐτῶν ἐκκρινόντων, ἐπὶ τἀναντία τὴν τροφὴν μεταγάγομεν, σπέρματά τε τινὰ τῶν εὐστομάχων παραμιγνύντες, ἄνισον, ἢ κύμινον, ἢ σελίνου σπέρμα. καὶ ἡ φακὴ δὲ δὶς ἑψηθεῖσα, πολλάκις αὐτοὺς ὤνησεν ἐσθιομένη σὺν ὄξει βραχεῖ, ἢ ὀξυμέλιτι. αἵ τε κράμβαι, δίσεφθοι καὶ αὗται. κάλλιον δὲ τὴν δευτέραν ἕψησιν αὐτῶν ἐν ὀξυκράτῳ γίνεσθαι. οἶνον δέ τινα τῶν παλαιοτέρων καὶ θερμοτέρων πινέτωσαν.

Περὶ τεινεσμοῦ. μα.

Ὁ τεινεσμός. ἔστι μὲν ὅτε τῆς δυσεντερίας προηγεῖται. πολλάκις δὲ καὶ αὐτὸς μόνος, πρὸς ὀλίγον γενόμενος ἀποπαύεται. ἔστι δὲ τὸ πάθος, προθυμία πρὸς ἔκκρισιν ἀπαραίτητος οὐδὲν ἐξάγουσα πλὴν ὀλίγων αἱμωπῶν, ἢ καὶ μυξωδῶν, ἃ σχεδὸν τῆς ὅλης αἴτια καθέστηκε νόσου, οἰδηματώδης τε φλεγμονὴ κατὰ τὸ ἀπευθυσμένον γενομένη, ἔμφασιν αὐτοῖς ἐγκειμένης παρέχεται κόπρου καὶ ἐπιζήτησιν ἀποκρίσεως. ὁ δὲ Γαληνὸς ἱστορεῖ καὶ λίθον τινὰ διὰ τῆς ἕδρας ἐκκριθῆναι κατὰ τὰς τεινεσμώδεις συστάσεις. πολλάκις δὲ καὶ διὰ ἔμφραξιν κόπρου κατὰ τὸ λεπτὸν ἔντερον στάσαν, τεινεσμὸς ἠκολούθησεν. ἐπὶ μὲν τοῖς στύφουσι καὶ παρεμπλαστικοῖς, πλέον αὐξανόμενος. ἐπὶ κλύσμασι δὲ δριμυτέροις, οἷον μελικράτῳ σὺν ἁλσίν, ἢ ἐπί τινι τῶν διὰ στόματος μαλακτικῶν, οἷον δαμασκηνῶν ἢ ἰσχάδων, λινοζώστεος, ὀῤῥοῦ γάλακτος, ἐκκριθείσης κόπρου, παραχρῆμα παυσάμενος. χωρὶς οὖν τοιαύτης αἰτίας γενομένου τεινεσμοῦ. ἁρμόζει τὴν μὲν φλεγμονὴν ταῖς ὠμηλύσεσι θερμαῖς, καὶ ταῖς δι' οἴνου τε καὶ ἐλαίου μυρσίνου ἢ ῥοδίνου ἢ ὀμφακίνου ἐμβροχαῖς κατ' ὀσφύος τε καὶ ἥτρου ἐπιτιθεμέναις παραμυθεῖσθαι. τὰ δὲ ἐμπεπλασμένα τῷ ἀπευθυσμένῳ μυξώδη, καὶ διὰ μελικράτου ἐνέσεως ἀποσμήχειν. καὶ ἅλμη δὲ πολλάκις ἐνεθεῖσα τὸ δέον ἐξήνυσε. ἀρκοῦσι δὲ ἁλῶν ∠ ϛ. ἐν κοτύλῃ θερμοῦ ὕδατος. παραμυθεῖσθαι δὲ τοὺς πόνους, καὶ τὰς ἐντάσεις ἐν καθίσμασι διὰ τήλεως ἢ μαλάχης ἢ λινοσπέρμου. οἱ δὲ πολλάκις ἐπέτυχον καὶ τοῦτο ἐγκάθισμα. Βάτου, καὶ μυρσίνης, καὶ κυτίνου, καὶ δάφνης καὶ κυπαρίσσου χλωρῶν, ἴσων ἕψει ἐν ὕδατι. ἔστι δὲ Μαρκέλλιον. ἐν βάθει δὲ τῆς φλεγμονῆς καὶ τῶν ἐρεθισμῶν ὑπαρχόντων, ἐνετέον σιτώδεις χυλοὺς μετά τινος τῶν στυπτικῶν, ἢ ἑψημένους. καὶ ἔλαιον δὲ γλυκὺ ἐνεθὲν καὶ καταχυθέν, ὥραις πλείωσι τὴν προθυμίαν ἔλυσεν. συχνῆς δὲ τῆς ἐξαναστάσεως οὔσης καὶ ἀγαθίδα διὰ στυμμάτων θερμῶν τῇ ἕδρᾳ προστιθέσθωσαν. ἢ πίτυρα θερμὰ ἐν ἀποδέσμῳ, ἢ σπόγγον, ἤ τι τῶν τοιούτων.

Περὶ δυσεντερίας. μβ.

Ἡ δυσεντερία ἕλκωσίς ἐστι τῶν ἐντέρων. ποτὲ μὲν ἐκ μεταπτώσεως τεινεσμοῦ ἢ τῶν εἰρημένων τῆς γαστρὸς ἐκταράξεων τινὸς γινομένη. ποτὲ δὲ τοῦ πάθους αὐτῇ καταρχομένη. ἐφ' ἧς

ἀποκείσθαι

ἐκκρίσεις γίνονται. πρῶτον χολώδεις, ποικίλαι, εἶτα πρὸς λόγον αἱματώδεις. καὶ αὖθις τέλει ἰχωροειδεῖς, ὁποῖαι ἀπὸ τῶν νεκρῶν εἰώθασιν ῥεῖν σωμάτων. ἡ δὲ ἀπὸ χολῆς μελαίνης ἀρχομένη δυσεντερία θανάσιμός ἐστι τὴν μετ' ἑλκώσεως δηλοῦσα καρκίνον. εἰ μὲν οὖν ἀναμεμιγμένα τῇ κόπρῳ τὰ τῆς ἑλκώσεως ἐκκρίνοιτο σημεῖα, μετὰ πόνων τε καὶ στρόφων, ἐν τοῖς λεπτοῖς ἐντέροις γίνωσκε τὴν ἕλκωσιν, τῶν διὰ στόματος μάλιστα βοηθημάτων χρῄζουσαν. εἰ δὲ ἀμιγὴς ἡ κόπρος διεξέρχοιτο, τῶν παχέων ἐστὶν ἐντέρων, τοῖς ἐνέμασι μᾶλλον ὠφελουμένη. ὅταν δὲ πολλοῦ κατὰ μόνας ἔκκρισις αἵματος γένηται, τὸ πάθος, αἱματηρὰν δυσεντερίαν λέγουσιν. ἐκκρίνεται μὲν ποτὲ καὶ αἷμα μελάντερον τοῦ κατὰ φύσιν καὶ σιρπνόν, μὴ πέττοντος καλῶς τοῦ ἥπατος τὴν ἀναδιδομένην τροφήν. καὶ διὰ ἀτονίαν δὲ τῆς καθεκτικῆς ἢ τῆς ἀλλοιωτικῆς αὐτοῦ δυνάμεως πολλάκις ἐκκρίνεται διὰ γαστρὸς ὅμοια κρεῶν νεοσφαγῶν ἀποπλύματι. ἡπατικὴν δὲ ταύτην καλοῦσιν δυσεντερίαν, περὶ ἧς ἐν τῷ περὶ ἥπατος λεχθήσεται λόγῳ. Κοινῶς μὲν οὖν τοῖς ἐπὶ κοιλιακῶν τε καὶ τῶν ἄλλων παρὰ φύσιν ἐκκρίσεων εἰρημένοις χρηστέον. ἰδίως δέ, λημνία σφραγίς, καὶ τὴν ἤδη νεμομένην ἰᾶται δυσεντερίαν πινομένη τε καὶ ἐνιεμένη. προαποκλυσθέντος τοῦ ἐντέρου μελικράτῳ πρότερον, κἄπειτα ἅλμῃ. καὶ ἀνδράχνης χυλός, ἐπιτήδειος δυσεντερικοῖς πινόμενος. καὶ αὐτὴ ἡ ἀνδράχνη ἑφθὴ ἐν ὀξυκράτῳ ἐσθιομένη. ἁρμόττει δὲ καὶ ἀρνόγλωσσον. καὶ βάτου καρπὸς καὶ τὰ φύλλα. καὶ ἀλθαίας τῆς ῥίζης τὸ ἀφέψημα. ἵππουρις δι' ὕδατος, ἢ οἴνου, πινομένη. καὶ ὁ χυλὸς αὐτῆς. μορέας ἄωρος ὁ καρπὸς ξηρανθείς. καὶ τούτου μᾶλλον, τὰ βάτινα μόρα ὁμοίως ξηρανθέντα. ξηραίνει δὲ τὰ κατὰ τὴν κοιλίαν ῥεύματα, καὶ ὠὰ δι' ὄξους ἑψηθέντα καὶ βρωθέντα. βέλτιον δὲ εἰ μίξας αὐτοῖς τινὰ τῶν πρὸς δυσεντερίαν [illegible], καὶ δὸς φαγεῖν. χρησιμώτατον δέ ἐστιν πρὸς τούτοις ὀμφάκιον, ῥοῦς ἐρυθρός, καὶ ὁ χυλὸς αὐτοῦ, σίδια, κηκίς, γίγαρτα, μέσπιλα, μύρτα, κράνια, κοχλιῶν ὅλων ὀπτηθέντων ἡ τέφρα. σύνθεσιν δὲ τοῦτο. τῆς τῶν κοχλιῶν τέφρας μέρη δ΄. κηκίδος μέρη β΄. πεπέρεως μέρος α΄. χνοώδη ποιήσας τοῖς ὄψοις ἐπίπασσε, ἢ ἐν ὕδατι ἢ οἴνῳ λευκῷ ὑδαρεῖ δίδου πίνειν. γενναίως ὠφελεῖ δυσεντερικούς, ὅσοις οὐδέπω σηπεδονῶδες ἕλκος γέγονεν. καὶ ἡ τῶν ὀστοφαγησάντων δὲ κυνῶν κόπρος ξηρά, σὺν γάλακτι τετυρωμένῳ διὰ τῆς τῶν καχλήκων καθέσεως, πινομένη, μεγάλως ὀνίνησιν. σύνθετα δὲ ὅ, τε διὰ τῆς αἰγυπτίας ἀκάνθης τροχίσκος. ἔστι καὶ ὁ Φιλίππου. καὶ ὁ διὰ τοῦ ἐλαφείου κέρατος. ὅ, τε διὰ σπερμάτων. καὶ ὁ τρίγωνος. καὶ τὰ διὰ τοῦ μάκερος καταπότια θαυμαστά. κάλλιστος δὲ καὶ οὗτος. ὀπίου, κρόκου, λυκίου ἰνδικοῦ, ἀκακίας, ῥοός, λιβάνου, κηκίδος, ὑποκυστίδος, σιδίων, σμύρνης, ἀλόης, ἴσα. ὕδατι δίδου τριώβολον. Ἄλλο. Ῥοὸς ∠ η΄. κηκίδος, σιδίων ἀνὰ ∠ δ΄. δίδου κοχλιάριον α΄. οἴνῳ. Ἄλλο. Ῥοὸς ∠ η΄. κηκίδος, ἀκακίας, κόμμεως ἀνὰ ∠ β΄. ὀπίου ∠ α΄. δίδου ∠ α΄. ἐν οἴνῳ κεκρασμένῳ. ἔκλειγμα δὲ αὐτοῖς ἁρμόσει τοῦτο. μύρτων μελάνων ξε. α΄. ῥοῦ συριακοῦ ξε. α΄. φοινίκων θηβαϊκῶν λι. β΄. μήλων κυδωνίων τῶν σαρκωδῶν λι. α΄. ῥοιᾶς ὀξείας σὺν τοῖς κελύφεσι ι΄. οἴνου στρυφνοῦ ξε. ιβ΄. ἕψε ἕως τὸ τρίτον λειφθῇ. καὶ διηθήσας ἔμβαλε μέλιτος λι. ς΄. καὶ ἑψήσας ἕως πάχους δίδου ἐκλείχειν. δῆλον δέ, ὅτι καὶ καταπλάσματα διὰ τῶν στυπτικῶν ἔσονται ὧν τὴν ὕλην ἔχεις. ἐνέματα δὲ τοῖς δυσεντερικοῖς ἁρμόσει διὰ τοὺς ἐνοχλοῦντας τεινεσμούς, χυλὸς ὀρύζης ἢ χόνδρου ἢ σίτου τινός, μετὰ στέατος αἰγείου, ἢ τραγείου. καὶ τὰ ἐν τῷ περὶ τεινεσμοῦ λεχθέντα. εἰ δὲ αἷμα ἀποστάζει. ἐνετέον χυλὸν πολυγόνου, ἢ ἀρνογλώσσου μετὰ ἀκακίας, ἢ ὑποκυστίδος, ἢ τοιούτου τινός. εἰ δ' ἐπείγοι, καὶ ἰσχαιμόν τι ἐνιέναι, οἷον τέφραν οἰσυπηρῶν ἐρίων, ἢ σπόγγου καινοῦ βραχέντος πίσσῃ ὑγρᾷ ἢ αἵματι βοείῳ, ἢ στυπτηρίᾳ ὑγρᾷ καυθέντος, ἢ ὀνίδος χυλῷ. καὶ ὁ τοῦ ἀνδρώνος δὲ τροχίσκος, ἀγαθὸν φάρμακόν ἐστιν. ὅ, τε τοῦ μυσᾶ, καὶ οἱ παραπλήσιοι. καὶ ὑποθετὰ δὲ κολλύρια, τῶν πάνυ πρακτικωτάτων εἰσίν. ἐφ' ὧν μάλιστα καὶ πόνοι περὶ τὴν ἔκκρισιν γίνονται. νομῆς δὲ συστάσης περὶ τὰ ἔντερα, ἣν διαγινώσκομεν τῇ τε δυσωδίᾳ καὶ σήψει τῶν ἐκκρινομένων, καὶ τῷ μὴ κατ' ἀρχὰς εὐθύς, ἀλλὰ μετὰ χρόνον αὐτὴν γίνεσθαι, τοῖς ἐσχαρωτικοῖς τῶν ἐνεμάτων χρησώμεθα. οἷοί εἰσιν οἵ τε φαυστιανοὶ προσαγορευόμενοι τροχίσκοι, καὶ ὁ διὰ χάρτου, καὶ ὁ Βιθυνός, ὅ, τε θρόνιος καὶ ὁ διὰ τῶν φελλῶν, διὰ φακῆς ἀφεψήματος, ἢ τινὸς τῶν στυφόντων, ἐνιέμενοι. καὶ τοῦτο δὲ τῶν πάνυ μοι πεπειραμένων ἐστὶ τὸ ἔνεμα. ὀμφακίδος κεκαυμένης, ἔστι δὲ τὸ κοῖλον, ἐξ οὗ ἐκπέφυκεν ἡ τῆς δρυὸς βάλανος, ὥσπερ οἱ βυρσεῖς χρῶνται. ἀρσενικοῦ, συμφύτου, ῥοῦ συριακοῦ, τὸ ἴσον. τούτων κοπέντων ὅσον κοχλιάρια β΄. ἀναλαβὼν χυλῷ ὀρύζης, καὶ χυλῷ ἀγχούσης τῆς τὸ ἀκανθῶδες καὶ πλατὺ καὶ μέλαν ἐχούσης φύλλον ἣν χοιροσπέλεθον καλοῦσι. καὶ τῶν ὠῶν τοῦ λευκοῦ ἐξ ἴσης ὅσον γο. β΄. ἢ τρεῖς παράπεμπε. ἐπιθέματα δὲ τῶν αὖθις τῶν κοιλιακῶν εἰρημένα. καὶ τὰ κατὰ τῆς γαστρὸς δὲ καταχρίσματα τῆς στυφούσης τε καὶ ξηραντικῆς ὕλης ὑπάρχοντα σὺν τινὶ τῶν ἐχεκόλ-

λων, κόμμεως, λιβάνου, πυρεθροκόλλης, γύρεως. ἐπὶ τοῖς παραπλησίοις καταπλάσμασι χώραν ἐχέτω. τροφὴ δὲ τούτοις ὠόγαλα τὴν ἀρχὴν ἔστω, κἄπειτα, τὰ διὰ τῶν σιτωδῶν ῥοφήματα, καθ' ἑαυτά τε καὶ σὺν γάλακτι ἑψόμενα. καὶ τὸ γάλα δὲ μετρίως ἑψόμενον ἄριστόν ἐστι. λαχάνων δὲ οὐκ ἀναγκαία μὲν ἡ χρῆσις, ὅμως δοτέον ἀπογεύεσθαι, σέρεως ἑφθῆς, καὶ ἰντύβου, καὶ ἀρνογλώσσου, καὶ τῆς δισέφθου κράμβης, καὶ τῶν ὀπωρῶν τὰς στυφούσας ἀποπτυομένων τῶν σαρκῶν αὐτῶν, ἢ ἄλλως τραχύνειν γαστέρα δυναμένων. πολλῆς δὲ τῆς ἐπὶ τὸ θερμὸν δυσκρασίας οὔσης, καὶ ἴντυβον δοτέον ὠμὸν, καὶ ὕδατος ἀπορροφήτωσαν ψυχροῦ. τὸ ἄλλο δὲ ποτὸν ὕδωρ ὄμβριον ἔστω. κεκμηκότος δὲ τοῦ στομάχου, καὶ οἶνος. εἰς ὕστερον δὲ καὶ τῶν πτηνῶν τὰ ξηρότερα καὶ εὔπεπτα λαμβανέτωσαν, καὶ λουτροῖς δὲ χρήσθωσαν γλυκέσιν. εἰ δὲ ῥευματίζοιντο πρὸς αὐτὸ, σπόγγον μέγαν, ἢ ψίχας ἄρτου σιλιγνίτου βρέξας οἴνῳ ἀσκαλωνίτῃ, ἢ τινι τῶν στυφόντων θερμὸν ἐπιθετέον καθ' ὅλου τοῦ ὑπογαστρίου, καὶ ἐπιδήσας, οὕτω λούεσθαι κέλευε.

Περὶ κολικῆς διαθέσεως. μγ΄.

Τὸ κῶλον μέρος ὂν τοῦ παχέος ἐντέρου, τὴν μὲν ἔκφυσιν ἀπὸ τῆς δεξιᾶς ἔχει λαγόνος, ἐπὶ τὴν ἀριστερὰν δὲ φέρεται δίκην ζώματος, ὀδύναι δὲ τούτῳ χαλεπώταται γίνονται διὰ πλείονας αἰτίας. ἢ γὰρ διὰ παχύν τε καὶ φλεγματικὸν χυμὸν ἐναποληφθέντα μεταξὺ τῶν χιτώνων αὐτοῦ, ἢ διὰ πνεῦμα παχὺ καὶ φυσῶδες οὐκ ἔχον διέξοδον, ἢ διὰ φλεγμονὴν τοῦ ἐντέρου, ἢ διὰ δριμεῖς καὶ δακνώδεις χυμούς. τοῖς μὲν οὖν διὰ παχὺν καὶ φλεγματικὸν ὀδυνωμένοις χυμὸν, δι' ὅλου μὲν τοῦ ὑπογαστρίου κατὰ τὸ βάθος ἡ ὀδύνη γίνεται. μάλιστα δὲ κατὰ τὴν θέσιν τοῦ κώλου τρυπανώδους γινομένης τῆς συναισθήσεως. στρόφοι δὲ τούτοις ἐνοχλοῦσιν, καὶ ἐρυγαὶ, καὶ ναυτίαι, καὶ ἔμετοι παντοίων, μάλιστα τοῦ φλέγματος. ἥ τε γαστὴρ αὐτοῖς ἐπέχεται χαλεπῶς, ὡς μήτε φῦσαν διεξιέναι. ἐκκριθὲν δέ ποτε τὸ κόπριον, βολβίτῳ παραπλήσιον ὁρᾶται, κοῦφόν τε καὶ φύσης μεστόν. προηγεῖται δὲ τούτων ὡς μάλιστα ψυχρῶν τε καὶ παχυχύμων ἐδεσμάτων συνεχὴς προσφορὰ, πλησμονή τε καὶ ἀπεψία καὶ ἀργία, καὶ τὰ τούτοις σύμφωνα. τοῖς δὲ διὰ πνεῦμα φυσῶδες ὀδυνωμένοις, τάσεως μᾶλλον συναίσθησις γίνεται. τοῖς δὲ διὰ φλεγμονὴν, ζέσεως ἐντοπίου γίνεται συναίσθησις, καὶ πυρετὸς οὐκ ἀγεννής. ἐπίσχεσίς τε σὺν τῇ κόπρῳ καὶ τῶν οὔρων, καὶ σφυγμὸς ἐνοχλεῖ κατὰ τὴν γαστέρα, δίψα τε καὶ καῦμα καὶ τούτοις ἐνοχλεῖ, καὶ ναυτίαι καὶ χολῆς μᾶλλον ἔμετοι, μηδὲν ἐπικουφίζοντες. καὶ ἁπλῶς ἡ χαλεπωτάτη τῶν κολικῶν ἐστὶν αὕτη διαθέσεων, τὴν εἰς τὸν εἰλεὸν ἀπειλοῦσα μετάστασιν. τοῖς δὲ διὰ δριμεῖς καὶ δακνώδεις χυλοὺς ὀδυνωμένοις, ὥσπερ καὶ τοῖς ἐπὶ φλεγμονῇ, καῦμά τε καὶ δίψα καὶ ἀγρυπνία γίνεται. πυρέττουσι δὲ ὅλως, ἢ ἐκείνων ἧττον, καὶ οὐροῦσι δριμύ. καὶ χολώδη τε διαχωροῦσι, καὶ πολλάκις ἐπὶ τῇ τῆς γαστρὸς διαχωρήσει, πλέον ὀδυνῶνται, καὶ τῇ τῶν θερμοτέρων ἐδεσμάτων τε καὶ πομάτων προσφορᾷ παροξύνονται μᾶλλον. τὰς μὲν οὖν διὰ ψυχρούς τε καὶ γλίσχρους καὶ παχεῖς χυμοὺς, ὀδύνας ἰᾶσθαι προσήκειν, οὐ θερμαίνοντας σφοδρῶς. ὑπὸ γὰρ τῶν θερμαινόντων ἱκανῶς χέονται, καὶ πνευματοῦνται μᾶλλον οἱ τοιοῦτοι χυμοί. προσήκει τοίνυν αὐτοὺς τέμνειν τε καὶ πέττειν, διὰ τῶν ἀφύσων, καὶ λεπτυνόντων καὶ ξηρῶν φαρμάκων, χωρὶς τοῦ θερμαίνειν σφοδρῶς, κατ' ἀρχὰς τοῦ νοσήματος. προεκκοπρώσαντας οὖν τὴν γαστέρα τοῖς ἁρμοδίοις κλύσμασι, ἐνετέον ἐλαίῳ ἐν ᾧ ἐναφέψηται κύμινον ἢ πήγανον μετὰ στέατος χηνὸς, ἢ ὄρνιθος, ἢ διὰ ῥιζῶν σικύου ἀγρίου ἀφεψήματος, καὶ σμύρνης <.α΄. καὶ μέλιτος καὶ ἐλαίου. ἢ διὰ σμύρνης καὶ μέλιτος καὶ τοῦ σικυωνίου ἐλαίου. καὶ τῷ ἐλαίῳ δὲ τῷ κοινῷ πολλάκις ἐνεθέντι συνεκκριθὲν ὑαλῶδες φλέγμα, παραχρῆμα τὴν ὀδύνην ἔπαυσεν. εἰ δὲ διὰ τὸ σφοδρὸν τῆς ὀδύνης καὶ τὸ ἔνεμα κατέχοιεν, βαλανιστέον αὐτοὺς διὰ μέλιτος, κυμίνου, νίτρου, πηγάνου σπέρματος ξηροῦ, κράμβης καυλῷ καλῶς ἐξεσμένῳ, καὶ ἅλμῃ ἐμβραχέντι, ἢ τέφρᾳ κράμβης μέλιτι φυραθείσῃ, ἢ κολοκυνθίδι λείᾳ σὺν μέλιτι καὶ νίτρῳ καὶ κυμίνῳ. τὰ δὲ βαλάνια δακτύλων ἔστω ς΄. ὅπως ὑπερπεράσῃ τὸν σφιγκτῆρα, διαχρίειν τε τὴν ἕδραν, κυκλαμίνου χυλῷ σὺν μέλιτι καὶ νίτρῳ, ἢ κενταυρείῳ σὺν μέλιτι καὶ νίτρῳ. ἔνεμα δὲ τῆς ὀδύνης ἐπιμενούσης πρὸς τοῖς εἰρημένοις ἔστω. ῥητίνης τερεβινθίνης Γο.α΄. ἢ ὀποπάνακος <.α΄. ἢ χαλβάνης <.δ΄. ἀσφάλτου τὸ ἴσον μετὰ νίτρου <.α΄. καὶ ὕδατος Γο.α΄. καὶ ἐλαίου πηγανίνου Γο.ε΄. ἢ πλέον. ἐμβροχὰς δὲ κατὰ τῶν ἀλγούντων ἐπιβλητέον, διὰ κυμίνου, ἢ ἀνηθίνου, ἢ σικυωνίου ἐλαίου. καταπλαστέον δὲ τῷ τρισπέρμῳ μετὰ κυμίνου, δαφνίδων, σελίνου σπέρματος. ἐπιθέματα δὲ, τό, τε διὰ σπερμάτων ἔστω, καὶ τὸ διὰ δαφνίδων, τό, τε διὰ μελιλώτων καὶ τὸ πολυάρχιον. ἐγκαθιστέον δὲ αὐτοὺς ἐν ἀφεψήματι τήλεως, ἀλθαίας, χαμαιμήλων, ἀρτεμισίας, ἀνήθων, δάφνης, καὶ τῶν παραπλησίων. καὶ εἰς ἔλαιον δὲ θερμὸν, ἢ ὑδρέλαιον αὐτοὺς ἐμβιβαστέον. πόματα δὲ, ἀψίνθιον καὶ κύμινον ἴσον, ἢ πάνακα μεθ' ὕδατος.

ἢ

ἢ κασορείου, καὶ ἀνήθου, καὶ πεπέρεως < α΄. μετ᾽ ὀξυμέλιτος. μὴ ἐνδιδούσης δὲ τῆς ὀδύνης, ποτίζειν αὐτοὺς τῇ διὰ τριῶν πεπέρεων. ἢ τῇ θηριακῇ. καὶ συναπτισμῷ δὲ καὶ δρώπακι χρηστέον ἐν ταῖς ἀνέσεσι, καὶ αὐτοφυέσι λουτροῖς. τῶν δὲ διὰ ὕδατος ποτίμου λουτρῶν ἀπεχέσθωσαν. πλὴν εἰ μὴ διὰ τὴν περίστασιν τῆς ὀδύνης ἀναγκάζοιντο. ἡνίκα δὴ προχρίοντας αὐτοὺς τινὶ τῶν εἰρημένων φαρμάκων, λούειν καὶ πυριᾶσθαι κελεύειν ἐν τοῖς διαπύροις τοίχοις, ἐμπασσομένους τινὰ τῶν νιτρωδῶν σμηγμάτων. ἰσχυρᾶς δὲ τῆς ὀδύνης οὔσης. καὶ τοῖς μετρίως παραμυθουμένοις, χρηστέον. οἷός ἐστιν ὅ,τε διὰ τοῦ κασορείου τροχίσκος ἐνιέμενός τε καὶ πινόμενος, καὶ τὰ τούτοις ὁμογενῆ φάρμακα. τὰ γὰρ ἰσχυρὰ τῶν ναρκωτικῶν φυλακτέον. πρὸς ὀλίγον μὲν παραμυθούμενα, χρονιωτέραν δὲ τὴν διάθεσιν ἐργαζόμενα, τῷ,τε παχύνειν τὴν ὕλην, καὶ τῷ πυκνοῦν τῶν ἐντέρων τοὺς πόρους. ἤδη δὲ λεπτυνθέντος τοῦ φλέγματος. καθαίρωμεν αὐτοὺς διὰ τῆς ἱερᾶς πικρᾶς μόνης, ἢ τῶν καταποτίων τούτων ἀλόης, εὐφορβίου, κνιδίου κόκκου καθαροῦ, σκαμμωνίας τὸ ἴσον. ἡ δόσις γρ. β΄. δίαιτα δὲ θερμοτέρα τε καὶ ξηροτέρα τούτοις ἁρμόσει. κατ᾽ ἀρχὰς μὲν ἀσιτοῦσιν. ἔπειτα δὲ καὶ δριμυφαγοῦσιν. πράσα γοῦν αὐτοῖς δοτέον ἑφθὰ μετὰ κονδίτου καὶ σέλινα, καὶ τὸν ἕλειον ἀσπάραγον, ὠμὰ σκόροδα, καὶ μάλιστα τοῖς μὴ πρὸς ταῦτα δυσχεραίνουσιν. καὶ αὐτοῦ δὲ τοῦ κονδίτου πινέτωσαν. καὶ ἄρτου σὺν αὐτῷ λαμβανέτωσαν. εἰς ὕστερον δὲ καὶ τὰς λοιπὰς εὐχύμους τε καὶ εὐπέπτους αὐτοῖς δοτέον τροφάς. φυλαττομένους πλησμονήν τε καὶ ἀπεψίαν. Εἰ δὲ πνεῦμα φυσῶδες εἴη τὸ τὴν ὀδύνην ἐργαζόμενον, μετὰ τὰ ἄφυσα τῶν ἐδεσμάτων τε καὶ πομάτων, καὶ σικύαι ὡς μέγισται διάπυροι κολληθῆσαι κοῦφαι καθ᾽ ὅλου ὑπογαστρίου, πολλάκις ἤρκεσαν πρὸς θεραπείαν. Φλεγμονῆς δὲ κατὰ τὸ ἔντερον οὔσης, φλεβοτομήσωμεν ἀπ᾽ ἀγκῶνος. εἰ δὲ τὰ τῆς δυσουρίας ἐπικρατεῖ, καὶ τὴν ἐν τοῖς σφυροῖς τέμωμεν. καὶ τοῖς εἰρημένοις χρησώμεθα βοηθήμασι, πλὴν τῶν δριμέων καὶ τῶν καθαιρόντων ἰσχυρῶς. τοῖς δὲ πραΰνουσιν μᾶλλον ἐνέμασί τε καὶ καταπλάσμασι καὶ ἐπιβρέγμασι, καὶ τῇ εἰς ἔλαιον ἐμβάσει, χρησώμεθα. σικύας τε, καὶ τούτοις προσβάλλωμεν. κηρωτήν τε κατὰ τοῦ ὑπογαστρίου θήσωμεν, ἐχούσαν κηροῦ γο. ε΄. χαμαιμηλίνου γο. ϛ΄. ῥοδίνου γο. ϛ΄. φαβατίνου ἀλεύρου γο. S. κρόκου ὠῶν ε΄. χ΄΄ λινοσπέρμου λείου. λεπτῶς τε καὶ πυρετικῶς αὐτοὺς διαιτῶμεν, ἄχρι λύσεως φλεγμονῆς. εἰ δὲ διὰ δριμεῖς καὶ δακνώδεις ὀδυνῶνται χυμούς. ἐνετέον αὐτοὺς ἐλαίῳ, ἐν ᾧ ἀφήψηται τῆλις ἢ ἀλθαία σὺν ἁπαλῷ στέατι νεαρῷ χηνὸς ἢ ὄρνιθος. ἢ καὶ χυλῷ πτισάνης σὺν ῥοδίνῳ. ἢ καὶ χυλῷ λινοσπέρμου. ποτιστέον τε αὐτοὺς τὴν διὰ τῆς ἀλόης πικρὰν ἀντίδοτον. λουτροῖς τε χρηστέον διὰ γλυκέων ὑδάτων. καὶ τροφαῖς ῥοφηματώδεσιν, ἐκ χόνδρου ἢ πτισάνης, χρηστέον. ἰχθύων τε τοῖς πετραίοις. καὶ τὸ σύμπαν ἁπλῶς τῆς διαίτης ὑγρότερον ἔσω καὶ ψυχρότερον. ἀπέχεσθαι δὲ τῶν δριμέων ἁπάντων ἐδεσμάτων τε καὶ φαρμάκων. καὶ τῆς διὰ ἐμβροχῶν τε καὶ καταπλασμάτων πυρείας. οἴνου τε πόσεως, καὶ μάλιστα παλαιοῦ. ἐπικρατούσης δὲ τῆς ὀδύνης, καὶ τοῖς τὴν αἴσθησιν ναρκοῦσι, χρηστέον. βλάπτει γὰρ ἥκιστα τῶν ἄλλων τὰς τοιαύτας διαθέσεις, παχύνοντα καὶ μετρίως ἐμψύχοντα τοὺς λεπτοὺς καὶ δακνώδεις χυμούς. Οἶμαι δὲ καὶ τὴν νῦν ἐπικρατήσασαν, κολικὴν διάθεσιν, ὑπὸ τοιούτοις γενέσθαι χυμοῖς. ἀρξαμένου μὲν τοῦ πάθους, ἀπὸ τῶν κατὰ τὴν ἰταλίαν χωρίων, καὶ ἐν ἄλλοις δὲ πολλοῖς τῆς τῶν ῥωμαίων πολιτείας φοιτήσαντος τόποις. κατὰ λοιμικήν τινα μετάδοσιν. ἐφ᾽ ᾧ πολλοῖς μὲν εἰς ἐπιληψίαν. ἑτέροις δὲ εἰς παράλυσιν τῶν κώλων, σωζομένης τῆς αἰσθήσεως. τισὶ δὲ καὶ εἰς ἀμφότερα γέγονεν ἀπόσκηψις. καὶ τῶν μὲν εἰς ἐπιληψίαν μεταπεσόντων, οἱ πλείους ἀπέθανον. τῶν δὲ εἰς παράλυσιν, οἱ πλείους ἐσώθησαν. ὥσπερ ἐν κρίσει μεταστάσης τῆς αἰτίας. τοὺς οὖν οὕτως νοσοῦντας, ἰατρός τις κατὰ τὴν ἰταλίαν ἐθεράπευσεν, ἄπιστόν τινα ψυκτικὴν ἐπιτηδεύσας καὶ τολμηροτέραν τὴν δίαιταν. θριδακίνας τε γὰρ αὐτοῖς παρεῖχεν ἀνέφθους, ψυχρίζων αὐτάς. ἴντυβά τε ὁμοίως ὑπὲρ κόρον ἐσθίειν. σταφυλάς τε καὶ μῆλα. καὶ τῶν ἰχθύων τοὺς σκληροσάρκους. τά τε ὀστρακόδερμα πάντα. καὶ πόδας βοῶν. βολβούς τε καὶ τὰ παραπλήσια. οὐ μόνον τῇ δυνάμει ἀλλὰ καὶ τῇ θίξει ψυχρά. οἴνου δὲ σπανίως μέν. ὅτε δὲ παρεῖχεν, ὕδατι ψυχρῷ τοῦτον ἐκίρνα. καὶ τὸ ψυχρὸν δὲ ὕδωρ, ἢ καὶ ὀξύκρατον ψυχρὸν ἐδίδου, πάσης ἑτέρας θερμῆς τε καὶ μέσης ἀπέχων τροφῆς. καὶ πλείους οὕτω κατὰ τὸ παράδοξον ἐξιάσατο. καὶ τῶν εἰς ἐπιληψίαν ἢ παράλυσιν ἤδη τινὰς ἀρξαμένους μεταπτώσεως.

Περὶ εἰλεοῦ. μδ΄.

Ὀξύτατον ὑπάρχον πάθος καὶ ἐπώδυνον ὁ ἰλεός, ἔχει τι σύμπτωμα τοῦ κινδύνου βαρύτερον. οἱ γὰρ κρατηθέντες, οἰκτίστῳ θανάτῳ τελευτῶσι, πρὸς τῷ τέλει κόπρον διὰ στόματος ἀνάγοντες. συνίσταται δὲ τὸ πάθος ἐπὶ ἀπεψίαις τε καὶ ἐμφράξεσιν. ἐπειδὰν τὰ φθαρέντα μένῃ. ἐπί τε δηλητηρίοις φαρμάκοις, καὶ ἐπὶ τοῖς τῶν ἐντέρων εἰς ὄσχεον κατολισθήσεσι.

καὶ ἐπὶ φλεγμονῇ τῶν ἐντέρων, ὡς τὰ πολλὰ κωλικῆς ὑπαρξαμένης διαθέσεως. τὰ μὲν οὖν παιδία, ταῖς ἐμβροχαῖς τε καὶ τοῖς καταπλάσμασιν, ἐνέμασί τε καὶ βαλανισμοῖς καὶ πυρίαις, ὡς ἐν τῷ περὶ κωλικῶν εἴρηται, θεραπευτέον. τὰ δὲ μειράκια καὶ τοὺς ἀκμάζοντας, φλεβοτομητέον ἀνυπερθέτως, ἐπαφαιροῦντας. εἰ δὲ μὴ, σικυαστέον, καθ' ὅλου μὲν τοῦ ὑπογαστρίου πολλαῖς τε καὶ κούφαις σικύαις, κατὰ δὲ τῶν ἀλγούντων καὶ μετὰ κατασχασμοῦ. ἀνατριπτέον τε καὶ διασφιγκτέον αὐτῶν τὰ κῶλα, καὶ τότε τοῖς δραστικωτέροις κλύσμασί τε καὶ ἐνέμασι, καὶ ταῖς εἰς ἔλαιον θερμὸν ἐμβάσεσιν, ἀντιδότοις τε καὶ καθάρσεσιν. καὶ πᾶσιν ἁπλῶς τοῖς πρὸς κωλικοὺς, πλὴν τῶν διὰ δριμεῖς τε καὶ δακνώδεις χυμοὺς, ὀδυνηθέντων τὸ κῶλον. θαυμαστῶς δὲ ποιεῖ πρὸς αὐτοὺς κἂν ἐμοίγε, ἄνηθον ἑψηθὲν καὶ ποθέν. μετὰ δὲ τὸ πιεῖν, ἄρτον εἰς θερμὸν ὕδωρ ἐμβαλὼν εὐθὺς δὸς φαγεῖν θερμοὺς τοὺς ψωμούς. πρὸς δὲ τοὺς μὴ κατέχοντας τὴν τροφὴν, ῥοῦν καὶ κύμινον τρίψας ἐν ταυτῷ, δὸς πιεῖν ἐν ὀξυμέλιτι, κυάθοις ϛ. τοὺς δὲ ἐπὶ δηλητηρίῳ περιπεσόντας ἐν εἰλεῷ, ἐμεῖν ἀναγκαστέον ὕδατος θερμοῦ πόσεως. ἔχεις δὲ πάντων τῶν δηλητήριον εἰληφότων τὴν σημείωσιν, ἐν τῷ ε βιβλίῳ. εἶτα ποτιστέον ἔλαιον θερμὸν, ἢ ζωμοὺς λιπαρούς, ἵνα πάλιν ἐμέσωσιν. μετὰ δέ τινας ἡμέρας τῇ θηριακῇ ποτιστέον. ἐπιμενούσης δὲ τῆς ἐμφράξεως, σχιστῷ γάλακτι μετ' ὀλίγης σκαμμωνίας ἢ ἀλόης ἤ τινος τῶν καθαρτικῶν, κενοῦν τὴν κοιλίαν. εἰ δὲ διὰ τὴν εἰς ὄσχεον τοῦ ἐντέρου κατολίσθησιν τὸ πάθος γένοιτο, σχηματίσαι τοὺς αὐτοὺς εὐθέως ἀνωρρόπεις, ἀναθλίψωμεν εἰς βουβῶνα τὸ κατολισθῆσαν ἔντερον, ἐπιδέσμῳ τε τοῦτο κατάσχωμεν.

Περὶ τῶν κατὰ τοὺς νεφροὺς καὶ τὴν κύστιν παθῶν. καὶ πρῶτον περὶ λιθιάσεως. με.

Τὴν τάξιν τῆς διδασκαλίας ἡμᾶς ἀναγκάζει παρεξιέναι τῶν νοσημάτων ἡ συγγένεια. κοινὸν γάρ ἐστι κωλικῶν τε καὶ τῶν λίθων ἐχόντων ἐν τοῖς νεφροῖς, τό, τε κατ' ἀρχὰς ἐπέχεσθαι τὴν γαστέρα καὶ σφοδρῶς ὀδυνᾶσθαι, καὶ ἀνορεκτεῖν, καὶ ἀπεπτεῖν, καὶ στροφοῦσθαι. ἴδιον δὲ τὸ, τοῖς μὲν κωλικοῖς ἐπιτεταμένα ταῦτα πάντα μᾶλλον γίνεσθαι. τοῖς δὲ νεφριτικοῖς, ἧττον. καὶ τοῖς μὲν κωλικοῖς, κατὰ τὴν δεξιὰν λαγόνα μᾶλλον εἶναι τὴν ὀδύνην, καὶ ἀνιέναι μέχρι στομάχου, καὶ ἥπατος καὶ σπληνός. καὶ τὴν κόπρον ἐπέχεσθαι παντελῶς, ὡς μήτε φύσας διεξιέναι. ὅτε δὲ πρὸς ἀνάγκην ἐκκρίνωσιν, φυσώδη αὐτὴν εἶναι, βολβίτῳ παραπλησίως. καίποτε καὶ ὑαλῶδες ἐκκρίνεσθαι φλέγμα. καὶ τὸ οὖρον πλεῖον καὶ φλεγματῶδες ἐκδίδοσθαι. τοῖς δὲ νεφριτικοῖς, τὴν μὲν ὀδύνην κατ' αὐτῶν τῶν νεφρῶν ἐστηρίχθαι βαρεῖαν δίκην σκόλοπος ἐμπεπαρμένου, τόν τε κατευθὺ δίδυμον ὀδυνᾶσθαι, καὶ νάρκη γίνεται μηροῦ τοῦ κατ' ἴξιν. ἐκκρίνει τε καὶ αὐτομάτως μὲν ἐπὶ τὸ σπάνιον, πάντως δὲ ἐπὶ κλύσμασι, τὴν κοιλίαν, φύσας τε καὶ κόπρον χολωδέστερον. τὰ δὲ οὖρα ὀλίγα καὶ ψαμμώδη μᾶλλον ἐκδίδοσθαι, καὶ στύφεσθαι τὸν οὐρητικὸν πόρον. ταῦτα τῶν ἐν τοῖς νεφροῖς λίθων τεκμήρια, τελείοις μᾶλλον ἀνδράσι γινόμενα.

Ἡ δὲ κατὰ κύστιν τῶν λίθων πῆξις, παιδίοις μᾶλλον γίνεσθαι φιλεῖ. σημεῖα δὲ καὶ τούτων, ἄπεπτόν τε καὶ ὑπόλευκον οὖρον μετὰ ψαμμώδους ὑποστάσεως. κνῶνται συνεχῶς, καὶ ψηλαφῶσι τὸ αἰδοῖον καὶ ἐντείνουσι, καὶ συνεχῶς εἰς οὖρον ἐπείγονται, καὶ στραγγουροῦσιν. ὑλικὸν μὲν οὖν αἴτιον τῆς τῶν λίθων γενέσεως ἐστὶν, παχὺς καὶ γεώδης χυμός. ποιητικὸν δὲ, πυρώδης θερμασία τῶν νεφρῶν ἢ τῆς κύστεως. ἀλλ' ἐπὶ μὲν τῶν νεφρῶν, τοῖς θρύπτουσι τοὺς λίθους καὶ τέμνουσι χρῆσθαι φαρμάκοις, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς, τοιαῦται δέ εἰσιν αἵτε τῶν βασιλικῶν ἀσπαράγων ῥίζαι καὶ τοῦ βάτου. καὶ ὕαλός τε κεκαυμένος καὶ ἀγρώστεως ῥίζα, καὶ ἀδίαντον, καὶ βδέλλιον, δάφνης τε τῆς ῥίζης ὁ φλοιός, καὶ ἀλθαίας τὸ σπέρμα, καὶ τῶν ὀρεβίνθων οἱ μέλανες κριοί, οἵτε τῶν σπόγγων λίθοι, καὶ τὸ σκιλλητικὸν ὄξος, καὶ φοῦ. καὶ μῆον, καὶ ἄσαρον, καὶ καρπήσια, καὶ σαρξιφαγές. τὸ δὲ σίον καὶ ἐσθιόμενον καὶ πινόμενον, σκολύμου τε ῥίζα, καὶ ἐρύσιμον, καὶ πειανίτις. λουτροῖς τε συνεχῶς χρήσθωσαν. καὶ μετὰ τὸ λουτρὸν εὐθὺς τινὰ τῶν εἰρημένων πινέτωσαν. ἐμβροχαῖς τε καὶ καταπλάσμασι καὶ πυρίαις, καὶ ἐγκαθίσμασι, τοῖς χαλαστικοῖς τε καὶ παρηγοροῦσι χρηστέον, ἐκ τῶν κωλικῶν αὐτὰ μεταφέροντες. σύνθετα δὲ πόματα. πηγάνου ἀγρίου, καὶ μαλάχης ἀγρίας καὶ σελίνου τὰς ῥίζας ἑψήσας μετ' οἴνου, καὶ τὸ ὑγρὸν ἐκθλίψας, ὕδατι κεράσας δίδου κοχλιάριον β. κατάπλασον δὲ τοῦτο. βαλσάμου καρποῦ, λίθου τοῦ ἐν τοῖς σπόγγοις, γλήχωνος ξηρᾶς, μαλάχης ἀγρίας τοῦ σπέρματος ἴσα κόψας, δίδου κοχλιάριον, μετ' οἴνου κεκραμένου κοχλιαρίων β. καὶ τὸ ξηρανθὲν δὲ τράγειον αἷμα, καὶ οἱ τέττιγες ξηροὶ χωρὶς τῶν πτερῶν καὶ τῶν ποδῶν, καὶ οἱ Ἰυκόλιθοι, δι' οἰνομέλιτος ἐν τῇ τοῦ λουτροῦ θέρμῃ δεξαμένῃ διδόσθωσαν. καὶ τὰ δι' αὐτῶν σκευαζόμενα σύνθετα φάρμακα. ἥτε νεφριτικὴ φοῦσκα, καὶ τὰ πρὸς τοῦτο συντιθέμενα κονδῖτα. καὶ ὁ τρωγλοδύτης δὲ τῶν ἄγαν ἐπαινουμένων

ὑπάρ-

ὑπάρχει βοηθημάτων. ἔστι δὲ στρουθίων ἁπάντων τῶν ὀρνέων τὸ σμικρότατον, πλὴν τοῦ λεγομένου βασιλίσκου, μικρὸν γὰρ ἐκείνου μόνου μεῖζόν ἐστι, καὶ προσεοικὸς αὐτῷ χρόαν μεταξὺ τέφρου καὶ χλωροῦ, λεπτόραμφον, ἐν τοίχοις μάλιστα καὶ φραγμοῖς διαιτώμενον. ὁ ταριχευθὲν ὅλον, ὠμόν τε συνεχῶς ἐσθιόμενον, τούς τε γεγονότας λίθους ἐξουρηθῆναι ποιεῖ καὶ τοῦ λοιποῦ γεννᾶσθαι κωλύει. καὶ καυθέντος δὲ τούτου ὅλου σὺν τοῖς πτεροῖς ζῶντος, ἡ τέφρα πᾶσα καθ' ἑαυτήν τε, καὶ μετὰ πεπέρεως καὶ φύλλου συμμέτρου διὰ εὐκράτου μέλιτος πινομένη, τὸ αὐτὸ πέφυκεν δρᾶν. πρὸς δὲ τὴν ὀξύτητα τῶν ὀδυνῶν καὶ τὴν ἀγρυπνίαν, ἥ τε σώτειρα, καὶ ἡ Φίλωνος, ἀγαθὰ φάρμακα. καὶ φλεβοτομία δὲ παραληφθεῖσα, τὴν ὀδύνην πολλάκις ἐξεκούφισε, ταχεῖαν τοῦ λίθου ποιουμένη τὴν ἔκκρισιν. προφυλακτικὰ δὲ τῆς τῶν λίθων γενέσεως ἔστω, πρῶτον μὲν, εὔχυμός τε καὶ σύμμετρος τροφὴ, καὶ γυμνάσια, ὀσπρίων τε παντοίων καὶ τῶν σιτωδῶν τῆς συνεχοῦς χρήσεως, τυροῦ τε καὶ γάλακτος, καὶ τῶν διὰ αὐτοῦ σκευαζομένων ὄψων, οἴνου τε μέλανος καὶ κρεῶν πλῆθος, καὶ πάντων ἁπλῶς τῶν παχυχύμων ἀποχή. καὶ τῶν ἄγαν θερμῶν καὶ δριμέων, ὑδρογάρων φημὶ καὶ κονδίτων, καὶ τῶν παραπλησίων. καὶ γὰρ ταῦτα οὐ μόνον τοὺς μήπω γενομένους λίθους κωλύει συστῆναι, ἀλλὰ καὶ τοὺς ἤδη γεγονότας θρύπτειν ἢ ἐκκρίνειν πέφυκε. πινέτωσαν δὲ τὸ ὀξύμελι μετά τινος τῶν ἁπλουστέρων διουρητικῶν, ἀδιάντου, σελίνου, ἀγρώστεως ἀφεψήματος. καὶ μετὰ βαλανεῖον νήστεις πρὸ τοῦ οἴνου εὔκρατον ὕδωρ πινέτωσαν. καὶ διὰ μέσου τοῦ ἀρίστου ψυχρὸν ὑπερροφείτωσαν, εἰ μή τι κωλύει. πλῆθος τε κακοχυμίας συναισθανόμενοι, διὰ φλεβοτομίας ἢ καθάρσεως κενούσθωσαν. πάντων δὲ κάλλιστον εἰς προφυλακὴν λίθων, τὸ μετὰ βαλανεῖον, πρὶν οἴνου ἢ τροφῆς ἑτέρας λαβεῖν, ὕδωρ εὔκρατον πίνειν. καὶ τοὺς ἐν κύστει δὲ λίθους ἐπὶ τῶν παιδίων, τοῖς ἰσχυροτέροις κατεργάσῃ βοηθήμασιν, ἐκ τῶν εἰρημένων ἐκλέγων αὐτά. ὑπεραυξηθέντος δὲ τοῦ λίθου, ἢ καὶ κατὰ τὸν τράχηλον ἐμφραχθέντος τῆς κύστεως, τῷ διὰ σεισμῶν καθετηρισμῷ, ἢ καὶ τῇ λιθοτομίᾳ, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται, χρηστέον.

Περὶ φλεγμονῆς.

Εἰ δὲ φλεγμονὴ τῶν νεφρῶν, ἢ τῆς κύστεως εἴη, τῇ τε κατὰ τὸν τόπον μετὰ βάρους πυρώσει καὶ ἀλγηδόνι, καὶ διὰ πυρέττειν καὶ παραπαίειν, καὶ ἐμεῖν χολώδη ἄκρατα, καὶ μὴ δύνασθαι οὐρεῖν, καὶ μάλιστα τῆς κύστεως φλεγμαινούσης, διαγινωσκομένη. φλεβοτομητέον αὐτίκα, καὶ τοῖς παραμυθουμένοις αἰονήμασί τε καὶ καταπλάσμασι χρηστέον, διὰ πηγάνου καὶ ἀνήθου καὶ τήλεως καὶ ἀλθαίας ῥίζης, κλύσμασί τε μαλακοῖς καὶ ἐνέμασι, διὰ ἐλαίου καὶ μήκωνος καὶ στέατος χηνός. ἐπὶ δὲ τῆς κύστεως, καὶ ὀπίου ὀβολὸν S̄. μετὰ σμύρνης καὶ κρόκου καὶ ἐλαίου, παραπεμπτέον τῇ ἕδρᾳ, καὶ τὸ μελίκρατον, αὐτοὺς προποτιστέον, ἀπέχοντας τῶν πάνυ διουρητικῶν, καὶ πολλοῦ πόματος. πλὴν εἰ μὴ δριμὺ καὶ χολῶδες ἐν αὐτοῖς ὑγρὸν πλεονάζοι. τότε γὰρ καὶ ποτῷ πλείονι χρηστέον, καὶ ἀθρόον ἔκ τινος τῶν ἀδήκτων διουρητικῶν. πινέτωσαν δὲ, λινόσπερμον μ̔ β̄. ἀμύλου μ̔ ᾱ. κοχλιάριον ἐν ὕδατι. τότε σικύου καὶ τοῦ πέπονος τὸ σπέρμα λαμβανέτωσαν. πυρώδους δὲ συναισθήσεως οὔσης περὶ τοὺς νεφροὺς, ἐπιβλητέον αὐτοῖς ῥάκη ἐξ οἰνοροδίνου ἢ ὑδροροδίνου ἢ μηλίνου. ἢ κηρωτὴν διὰ κηροῦ καὶ ῥοδίνου καὶ χαμαιμηλίνου ἢ μηλίνου, καὶ κρόκων ᾠῶν συγκειμένην, σὺν ὄξει βραχεῖ ἢ χυλῷ πολυγόνου. εἰς ὕστερον δὲ καὶ τῇ διὰ χυλῶν μετὰ χαμαιμηλίνου χρηστέον. ἀπέχεσθαι δὲ καὶ τῶν ἄγαν θερμῶν διὰ τὴν εἰς πῦον μεταβολήν. καὶ τῶν ἄγαν ψυχόντων, σκιρροῦνται γὰρ ὑπὸ τούτων ῥᾳδίως οἱ νεφροί. λουτρῶν δὲ, τῆς φλεγμονῆς ἐνισταμένης, ἀπέχειν αὐτούς. καὶ διαίτῃ, τῇ πυρεκτικῇ τε καὶ ἀφλεγμάντῳ προσαγορευομένῃ χρηστέον.

Περὶ ἀποστήματος καὶ ἑλκώσεως τῶν οὐρητικῶν μορίων.

Ἀλγήματα περὶ λαγόνας, ἀνώμαλοί τε φρῖκαι, καὶ πυρετοὶ ἄτακτοι, σημαίνουσιν ἀπόστασιν ἐν νεφροῖς. τὴν δὲ κατὰ κύστιν, πρὸς τοῖς εἰρημένοις ἡ κατὰ τὸν τόπον ὀδύνη δηλοῖ. τὸν δὲ πεπονθότα νεφρὸν εὑρήσεις ἐκ τοῦ, τὸν ἄνθρωπον ἐπὶ τὸ ὑγιὲς ἀνακεκλιμένον πλευρὸν κατὰ τὸ ἀντικείμενον ἀλγεῖν, ὥσπερ ἀπηρτημένου τοῦ νεφροῦ. ἐφ' ὧν τοῖς ἐγκαθίσμασι διὰ ὑδρελαίου χρηστέον, καὶ καταπλάσμασι διὰ γύρεως καὶ ἐλαίου καὶ ῥητίνης, ἢ ὀροβίνου ἀλεύρου μετὰ μέλιτος, ἢ καρδαμώμου, ἢ περιστερᾶς κόπρου, μετὰ ἰσχάδων. πύον δὲ διὰ οὔρων ἀθρόως ἐκκριθὲν, δηλοῖ τὴν ῥῆξιν τοῦ ἀποστήματος, καὶ ἕλκος ἐν τῷ μορίῳ. ἐπειδὴ δὲ, καὶ χωρὶς ἀποστήματος ἑλκοῦται τὰ οὐρητικὰ, διὰ ῥῆξιν ἀγγείου, ἢ διάβρωσιν ἐκ δριμείας ὕλης, ἢ λίθου παραξέσαντος. διοριστέον τὴν ἐν νεφροῖς ἕλκωσιν τῆς κατὰ τὴν κύστιν, ἢ τοὺς οὐρητῆρας ὧδε. νεφρῶν μὲν ἑλκωθέντων, κατὰ τὰς ψόας ὀδυνῶνται μετὰ βάρους, καὶ ἀκωλύτως οὐροῦσι, καὶ τὸ πύον ἀναμεμιγμένον τοῖς οὔροις εὑρίσκεται, σαρκωδῶν μορίων ἐν αὐτοῖς ἐμφερομένων. τῆς δὲ κύστεως ἑλ-

κωθείσης, ἥτινα καὶ ὑπογάστριον σφοδρῶς ὀδυνῶνται, καὶ δυσουροῦσιν, καὶ τὸ πῦον μετὰ τὴν οὔρησιν ὑφιζάνει κάτω, καὶ λεπίδες ἐν αὐτῷ δυσώδεις ἢ πεταλώδεις ἐμφέρονται. αἱ δὲ πιτυρώδεις ὑποστάσεις ψωρίασιν δηλοῦσι τῆς κύστεως. τῶν δὲ οὐρητήρων ἑλκωθέντων, καὶ ἡ μίξις τοῦ πύου μεταξύ πως ἔχει, καὶ τριχοειδῆ μᾶλλον ἐμφέρεται τοῖς οὔροις, καὶ ὁ πόνος κατὰ τὸ μεταξὺ χωρίον νεφροῦ καὶ κύστεως γίνεται. ἣν δὲ πῦον ἢ αἷμα ἐκκρίνηται καὶ χωρὶς τῆς τῶν οὔρων ἐκδόσεως, οὐδενὸς τῶν εἰρημένων ἀλλὰ τοῦ αἰδοίου δηλοῦται ἡ ἕλκωσις. προποτιστέον τοίνυν τοὺς ἑλκωθέντας τὰ οὐρητικὰ, μελικράτῳ, ἢ τῷ τῆς τήλεως ἀφεψήματι σὺν μέλιτι, ἢ σικύου σπέρματι σὺν γλυκεῖ. τοῖς δὲ πύον οὐροῦσιν, τὴν ἀρμενίαν βῶλον δοτέον, ἢ ναρθήκων καυθέντων, τὴν τέφραν ὅσον τρισὶ δακτύλοις ἆραι μετὰ γλυκέος. καὶ ἡ γαλακτοποσία δὲ μεγάλως τούτους ὀνίνησιν. σύνθετα δὲ ταῦτα. λινοσπέρμου, σικύου σπέρματος, τραγακάνθης ἀνὰ <. β̄. τροχίσκους ἀνάπλασσε. Ἄλλο. Στροβίλους κ̄. σικύου ἡμέρου τοῦ σπέρματος κόκκους μ̄. ἀμύλου <. ᾱ. ἀναλάμβανε εἰς κοτύλας β̄. ἀφεψήματος νάρδου καὶ σελίνου σπέρματος. ὁ δὲ ἀρχιγένης ἐν τῇ πρὸς ἀττικὸν ἐπιστολῇ τῆς δυσουρίας ἐπειγούσης φησὶ λαμβάνεσθαι, μήκωνος λευκῆς πεφωσμένης σπέρματος λείου <. ᾱ. ἐμπασσομένου ἐν ἀφεψήματι σχοίνου, ἢ καλάμου, ἢ γλυκυρρίζης. τὰς δὲ ἑλκώδεις ὀδύνας παραιρεῖται τόδε. σικύου σπέρμα κεκαθαρμένου ἀριθμῷ λ̄. στροβίλια ιβ̄. ἀμύγδαλα πικρὰ λελευκασμένα λε̄. κρόκου ὅσον χρῶσαι, νήστει προσφερέσθω καθ' ἡμέραν μετὰ γάλακτος ἢ προτρόπου. πραΰτερον δ' ἂν γίνοιτο εἰ ἀντὶ τῶν στροβίλων μαλάχης σπέρματος ἴσον λάβοι. ὑγιάζειν δὲ δύνασθαί φησι τὰς ἐν κύστει ἑλκώσεις καὶ τὸ κῦφι. καὶ αἱ κυφοειδεῖς ἀντίδοτοι. ἐγὼ δὲ ἐπὶ τῶν παλαιοτέρων τούτῳ χρώμενος, οὐκέτι ἐδεήθην ποικιλωτέρου. χαμαίδρυος, χαμαιπίτυος ἀνὰ <. κδ̄. ἀσάρου, πεπέρεως λευκοῦ ἀνὰ <. ζ̄. κινναμώμου <. ᾱ. ὡς ἐνὶ λειοτάτου, δίδωμι κοχλιάριον β̄. διὰ κρητικοῦ γλυκέος. εἰ δὲ πυρέσσοι, ὕδατι κυ. γ̄. δήξεως δ' ἑλκώδους ὑπαρχούσης, καὶ ἀμύλου β̄. κο. καὶ σικύου σπέρματος ιε̄. προσβάλλων τοῦ δέοντος ἐφικνοῦμαι. ταῦτα μὲν ἐκ τῶν ἀρχιγένους. καὶ τὰ διὰ φυσαλλίδων δὲ φάρμακα, ἥτε διὰ τοῦ σπέρματος τῆς ἀγρίας μαλάχης ἀντίδοτος, καὶ ἡ διὰ τραγημάτων, εὐχρηστεῖ. ἐπιθετέον δὲ καὶ κατὰ τὸν περίναιον καὶ ἦτρον, κηρωτὰς μὲν διά τε ὑσσώπου πλυτοῦ καὶ βουτύρου, ἢ στέατος χηνῶν καὶ στύρακος. εἰς δὲ τὴν κύστιν ἐγχέοντας διὰ κλυστηριδίου μελίκρατον ὑδαρέστατον, ἢ γάλα μετὰ ἐλαχίστου μέλιτος ἢ μετὰ σικύου σπέρματος, ἢ τὸ λευκὸν τοῦ ᾠοῦ μετὰ πομφόλυγος ἢ τῶν εἰρημένων φαρμάκων τινός. νεμομένου δὲ τοῦ ἕλκους, ἐνετέον τὸν διὰ χάρτου τροχίσκον, ἢ τὸν βυθίνιον. καὶ καταπλάττειν διὰ φοινίκων καὶ σταφίδων μετὰ κηκίδος, ἀκακίας, ὑποκυστίδος, στυπτηρίας.

Περὶ αἱμορραγίας νεφρῶν.

Ἀτονοῦντες οἱ νεφροὶ πολλάκις οὐ δύνανται τὰ οὖρα ἴσχειν. ἀλλ' εὐρύτεροι ὄντες χαλῶσί τι τοῦ αἵματος ἐκ τῆς φλεβὸς, καὶ ἄλλας δὲ παχύτητας ἐῶσιν. αἱμορραγοῦσι νεφροὶ πολλάκις καὶ κατὰ περίοδον καθάπερ αἱμορροΐδες. κενωθέντες δὲ ὑποκουφίζονται. ἐφ' ὧν οὐδὲν δεῖ παρενοχλεῖν ταχέως. αὖθις στελλομένου τοῦ αἵματος. εἰ δὲ ἐπιμένει, φλεβοτομητέον ἀπ' ἀγκῶνος. καὶ τοῖς πρὸς αἱμοπτοϊκούς τε καὶ τὰς ἄλλας αἱμορραγίας φαρμάκοις, ἐπί τε νεφρῶν, καὶ τῆς αἱμορραγούσης χρηστέον κύστεως. μάλιστα δὲ συμφύτου ῥίζαν, καὶ τραγάκανθαν οἴνῳ βεβρεγμένην δοτέον αὐτοῖς, πολυγόνου τε καὶ ἀρνογλώσσου χυλὸν σὺν ὀξυκράτῳ, ἢ ἀμύγδαλα πικρὰ μετὰ γλυκέος. ἢ τοῦτο. χιστῆς <. ᾱ. τραγακάνθης <. β̄. κόμμεως ὀβολοὶ ε̄, σὺν γλυκεῖ. καταπλάττειν τε ὠμῇ λύσει διὰ ὀξυκράτου καὶ ῥοδίνου. ἢ τῷ διὰ τῶν φοινίκων καὶ σιλιγνίτου, μετὰ ἀκακίας ἢ ὑποκυστίδος, ἑψομένων ἐν οἴνῳ στύφοντι ἢ ὀξυκράτῳ. ἐπὶ δὲ τῆς κύστεως αἱμορραγούσης, καὶ σικύαις κατὰ κτενῶν καὶ ἰσχίων χρησώμεθα. διοριστέον δὲ τὸ αἱμορραγοῦν μόριον, τῇ τε κατὰ τὸν τόπον ὀδύνῃ, καὶ τῷ ἀναμίγνυσθαι τοῖς οὔροις τὸ αἷμα ἢ μή. καθάπερ ἐπὶ τοῦ πύου λέλεκται. θρομβωθέντος δὲ τοῦ αἵματος ἐν τῇ κύστει. γνώσει μὲν τοῦτο, τῷ τε ἀθρόως ἐπισχεθῆναι τὸ οὖρον, μετὰ τὴν τοῦ αἵματος οὔρησιν. καὶ τοῖς, αἱμάλωπας τινὰς ὡς εἰκὸς διεξιέναι, ἢ διαίμους ὑγρασίας. δίδου δὲ τὸ ζέμα τῆς ἀρτεμισίας πίνειν. καὶ τοῦ ἑλιχρύσου ἢ κονύζης ἢ ῥαφανίου σπέρμα, ἢ ὀπὸν σιλφίου ἢ κυρηναϊκὸν, ἢ σελίνου χυλὸν, ἐν ὄξει κεκραμένον ἕκαστον. ἢ λαγωοῦ πιτύαν ἢ νεβροῦ ἢ ἐρίφου, ἐν ὀξυμέλιτι. ἢ στακτὴν σὺν ἐλαίῳ. καὶ σπόγγους ἔξωθεν ἐξ ἅλμης ἢ στακτῆς δοτέον θερμῆς. εἰ δὲ μὴ λύοιτο, τέμνειν τὸν περίναιον ὥσπερ ἐπὶ τῶν λιθιώντων. καὶ κομισαμένους τοὺς θρόμβους, προσηκόντως θεραπεύειν.

Περὶ σκληρίας νεφρῶν.

Ὅσαι δὲ σκληρότητες κατὰ τοὺς νεφροὺς γίνονται. ὀδύνας μὲν οὐκέτι παρέχουσι. δοκεῖ δὲ ὥσπερ αὐτοῖς ἐκ τῶν κενεώνων κρέμασθαι. καὶ ναρκώδεις μὲν εἰσὶν ἰσχίων. ἀκρατεῖς δὲ σκελῶν. οὐροῦσι δὲ ὀλίγα. τὴν δὲ ὅλην ἕξιν τοῖς ὑδατουμένοις μάλιστα ἐοίκασι. τούτοις ἁπαλύνειν κηρω-

ταῖς

τοῖς καὶ μαλάγμασι, τρίψεσι καὶ πυριάμασι. καὶ οὐρητικὰ προσφέρειν, καὶ τὴν γαστέρα ὑποκλύζειν.

Περὶ διαβήτου.

Ὁ διαβήτης, ταχεῖα τῶν πινομένων ἐστὶ διέξοδος, θερμαινομένων τούτων, οἷά περ ἐπῴθη. διὸ καὶ διψῶσιν ἀμέτρως. ὅθεν καὶ διψακὸς ἐκλήθη τὸ πάθος, συνιστάμενον ἀσθενούσης μὲν τῆς καθεκτικῆς τῶν νεφρῶν δυνάμεως, ἐῤῥωμένης δὲ μᾶλλον τῆς ἑλκτικῆς, καὶ ὅλον ἐξικμαζούσης τὸ σῶμα διὰ θερμασίαν ἄμετρον. πρὸς ταύτην οὖν ἐνιστάμενοι, τὰς τροφὰς πλείονάς τε καὶ δυσμεταβλήτους καὶ μὴ καθύγρους δώσομεν, οἷον ἄλικα μετὰ ῥοσάτου ἢ ῥοδομήλου, ἢ ὑδρομήλου, ἢ οἴνου τῶν μὴ παλαιῶν, ἢ ἄλλως θερμῶν τινός. λαχάνων δὲ, ἴντυβα, σέριν, θριδακίνας. ἐπὶ ἰχθύων τοὺς πετραίους. καὶ τῶν συῶν τοὺς πόδας τε, καὶ τὰς μήτρας. ἀπίους τε καὶ μῆλα, καὶ ῥοιάς. καὶ πίνειν ψυχρόν. ποτιστέον δὲ αὐτοὺς, πολυγόνου χυλὸν καὶ ἑλένιον, ἐν οἴνῳ μέλανι. καὶ φοινίκων ἀπόβρεγμα, καὶ μύρτων. καταπλαστέον δὲ ὑποχόνδριον καὶ νεφροὺς, ἀλφίτοις ἐν ὀξυροδίνῳ, καὶ φύλλα ἀμπέλου καὶ κοτυληδόνος, καὶ ἐλξίνης, καὶ ἀνδράχνης. ἱδρῶτάς τε ποιεῖν αὖθις, καὶ ἐμέτους ἀπὸ ψυχροῦ πόσεως. καὶ τῶν διουρητικῶν παντοίων ἀπέχεσθαι. κατ᾽ ἀρχὰς δὲ καὶ φλεβοτομεῖν, οὐδὲν ἄτοπον.

Περὶ στραγγουρίας καὶ δυσουρίας.

Μήτε φλεγμονῆς, μήτε λίθου, μήτε ἄλλου τινὸς τῶν εἰρημένων παρόντος, εἰ μὲν δριμύτης εἴη κατὰ τὸ οὖρον, καὶ ἡ ὅλη ἕξις ἢ καὶ τὰ λοιπὰ σημεῖα χολὴν ἐμφαίνει. διὰ ταύτην ἡ δυσουρία, ἢ στραγγουρία συνίσταται. καὶ δεῖ τοῖς ἀλλοιοῦσι ταύτην καὶ κατακιρνῶσιν κεχρῆσθαι, πτισάνης τε χυλῷ, καὶ ἰχθύσιν καὶ βαλανείοις καὶ τῇ συμφώνῳ διαίτῃ. τῶν δριμέων ἀπεχομένους, καὶ οἴνου, καὶ γυμνασίων, καὶ θυμοῦ, καὶ βραδυσιτίας. εἰ δὲ τῶν τε οὔρων ἡ λεπτότης τε καὶ λευκότης, καὶ τὰ λοιπὰ σημεῖα, ψυχρὰν ἄγει δυσκρασίαν. οἶνός τε θερμὸς ἁρμόσει καὶ κονδῖτα, καὶ τὰ διουρητικὰ τῶν φαρμάκων τε καὶ βρωμάτων, ἐγκαθίσματά τε θερμότερα. πρὸς δὲ τοῖς λευκοῖς, καὶ παχυτέρων φαινομένων τῶν οὔρων. φλεγματικὸν ὑποληπτέον χυμὸν ἐμφράξαντα τὸν τράχηλον τῆς κύστεως, καὶ δεῖ ὀξυμέλιτι χρῆσθαι, καὶ τοῖς διὰ ὑσσώπου καὶ γλήχωνος, ἢ ὀριγάνου, ἢ θύμου, ἢ σιλφίου, ἐναφεψηθεῖσι μελικράτῳ. καὶ ἐμβροχαῖς θερμοτέραις. εἴτε δὲ χυμὸς παχὺς, εἴτε λίθος, εἴτε θρόμβος, ἤ τι τῶν τοιούτων ἐμφράξαν ἐμποδίζοι τῇ τῶν οὔρων διόδῳ, καθετηρίζειν αὐτούς. εἰ μὴ φλεγμονὴ περὶ μορίου παρείη. τὰς δὲ ἐν πυρετοῖς δυσουρίας ἰᾶσθαι, ἐμβροχῇ διὰ πηγανίνου, ἢ ἀνηθίνου, ἢ παλαιοῦ ἐλαίου. ἐπεχομένης δὲ τῆς κοιλίας, ἐνιέσθωσαν τήλεως ἢ μαλάχης ἀφεψήματι. ἐγκαθιζέσθωσάν τε καὶ οὕτω οἱ προλεχθέντες εἰς ὑδρέλαιον, ἢ εἰς τι τῶν εἰρημένων εἰδῶν ἀφέψημα σὺν τῷ ἐλαίῳ. κηρωτὴ δὲ αὖθις ἁρμόσειεν αὐτῇ. ἀγρίας μαλάχης ῥίζαι, ἐν σικυωνίῳ σὺν ὀλίγῳ ὕδατι ἑψόντες ἕως οὗ φρυγῶσιν, καὶ αὗται μὲν ῥίπτονται, τῷ δὲ ἐλαίῳ μίγνυται χυλὸς πηγάνου τὸ τέταρτον μέρος, καὶ κηροῦ καὶ κασορείου τὸ αὔταρκες.

Περὶ παραλυθείσης κύστεως.

Ἡ ποτὲ μὲν δυσουρία, ποτὲ δὲ τῶν οὔρων ἀκούσιος οὔρησις ἕπεται, ἐν τῷ περὶ παραλύσεως ἔμπροσθεν εἰρημένῳ.

Περὶ ἐνουρούντων.

Χάλασις τοῦ κατὰ τὸν τράχηλον τῆς κύστεως μυὸς, τοῦτο τὸ πάθος ἐργάζεται. διὸ τοῖς παισὶν ὡς μάλιστα συμβαίνειν εἴωθεν. κοινῶς μὲν οὖν τοῖς νοσοῦσιν ὡς μάλιστα χρηστέον, οἷον οἰνελαίῳ θερμῷ, καὶ τοῖς παραπλησίοις. φυλαττομένους καὶ τὰ ἰσχυρῶς ψύχοντα. περιβάλλοντας δὲ μᾶλλον αὐτοὺς ὡς οἷόν τε. καὶ γὰρ ἡ ψύξις οἷον παραλύσεως ἔμφασιν ἐργάζεται. φυσικῶς δὲ ταῦτα δρᾷ. ἀλέκτορος λάρυγγα καύσας δὸς πιεῖν νήστει, ἐν ὕδατι χλιαρῷ. ἢ λευκανθέμου ἄνθη ὁμοίως. ἢ λαγωοῦ ὄρχιν ἀποξύων εἰς οἶνον ἐνώδη πιεῖν δός. ἢ καλαμίνθην καὶ σμύρναν δὸς πιεῖν πρὸ τοῦ δείπνου. ἢ πηγάνου ἀγρίου σπέρμα φρύξας δὸς πιεῖν, ἐπὶ τρεῖς ἡμέρας. καταχριέσθω δὲ καὶ τὸ αἰδοῖον αὐτοῦ, κιμωλίαν μετὰ χυλοῦ περδικιάδος.

Περὶ τῶν τοῦ ἥπατος παθῶν. μϛ.

Ποικίλα τοῦ ἥπατος ὑφιστάμενα πάθη. καὶ γὰρ ἀτονίαις καὶ φλεγμοναῖς, ἐρυσιπέλασί τε, καὶ σκίῤῥοις, καὶ ἀποστήμασι, καὶ ἕλκεσι, καὶ ἐμφράξεσιν ἁλίσκεται. περὶ πρώτης ἀτονίας αὐτοῦ λεκτέον, καθ᾽ ἣν ἰδίως ἡπατικοὺς καλεῖν τοὺς πεπονθότας εἰώθασιν. Εἰ μὲν οὖν χυλοποιηθέντα μὲν κενοῖ τὰ διαχωρήματα, ὑγρότερα δὲ, τῆς εἰς ἧπαρ ἀναδόσεως ἐνδεέστερον ἢ μηδ᾽ ὅλως γιγνομένης. ἀπαθοῦς μὲν οὔσης τῆς γαστρὸς, τὴν ἑλκτικὴν ὑποληπτέον τοῦ ἥπατος ἀσθενεῖν δύναμιν. εἰ δὲ ὅμοια πλύματι κρεῶν νεοσφαγῶν, τὴν ἀλλοιωτικήν τε καὶ αἱματοποιητικὴν

προσαγορευομένην. Ἀλλ᾽ εἰ μὲν διὰ θερμὴν ἀσθενῆ δυσκρασίαν, τοῦ χρόνου προϊόντος, τρυγωδέστερον φαίνεται, καὶ δυσώδες πάνυ, χολὴ κατακορὴς τῇ χρόᾳ παχεῖα. ἤδη δὲ καὶ τῆς οὐσίας αὐτῆς συντηκομένης τοῦ ἥπατος, ὅλον τε συντήκεται τὸ σῶμα, καὶ πυρέσσουσι καὶ ἀνορεκτοῦσι, καὶ χολὴν ἐμοῦσι. Ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης, οὔτε συνεχεῖς ἐκκρίσεις, οὔτε πολλαὶ γίνονται, χρονίζει γὰρ τὸ πάθος. καὶ διὰ ἡμερῶν τινῶν καταῤῥήσσει γαστὴρ ἀθροώτερον, ἧττον δὲ δυσώδη, καθάπερ ἰλὺν αἵματος παχέως ἐγγὺς τῇ μελαίνῃ. καὶ πλείονα δὲ καὶ ποικίλα χρώματα τὴν ψυχρὰν δηλοῖ δυσκρασίαν. ὅ, τε πυρετὸς αὐτοῖς ἀμυδρὸς φαίνεται, καὶ τὸ πρόσωπον ἀσύμπτωτον, καὶ μᾶλλον ὀρέγονται τῶν σιτίων. τούτων δὲ τῶν δυσκρασιῶν ὁποία ἂν εἴη, τῆς μὲν ξηρᾶς αὐτῇ συμπλεκομένης, ξηρότερα φαίνεται τὰ διαχωρήματα καὶ ὀλιγώτερα, καὶ διψῶσι μᾶλλον. τῆς δὲ ὑγρᾶς, ὑγρότερά τε καὶ πλείονα, καὶ ἧττον εἰσὶ διψώδεις. Φλεγμαίνοντος δὲ τοῦ ἥπατος, κοινῶς μὲν ἅπασι πόνος γίνεται περὶ τὸ δεξιὸν ὑποχόνδριον, διήκων ἄνω μὲν ἄχρι κλειδὸς, κάτω δὲ ἄχρι νόθων πλευρῶν. καὶ πυρετὸς ὀξὺς, καὶ βηχία ξηρὰ, καὶ δίψα καὶ ἀνορεξία, καὶ δύσπνοια. ἥ τε γλῶσσα πρῶτον μὲν ἐρυθρὰ φαίνεται, ὕστερον δὲ μέλαινα, ἐμοῦσί τε χολήν. καὶ ἡ γαστὴρ ἐπέχεται. παραπλησίων δέ πως ὄντων σημείων καὶ τοῖς πλευριτικοῖς, ἐν τῷ περὶ πλευρίτιδος τὴν διαφορὰν αὐτῶν εἰρήκαμεν. ἐρυσιπέλατος δὲ συστάντος ἐν τῷ ἥπατι, τά τε τῆς φλογώσεως ἐπιτείνεται, καὶ καυσοῦνται, καὶ μαρασμὸς ἐπιγίνεται. ἰδίως δὲ, τῶν μὲν σιμῶν φλεγμαινόντων τοῦ ἥπατος, αἵ τε ναυτίαι, καὶ οἱ ἔμετοι, καὶ αἱ ἀνορεξίαι, καὶ αἱ φλογώδεις ἐπιτείνονται, καὶ λειποθυμίαι, καὶ καταψύχονται πολλάκις, ὥστε τὰς ὑδρικὰς παρεγχύσεις ἐντεῦθεν ἄρχεσθαι. τῶν δὲ κυρτῶν αὐτοῦ φλεγμαινόντων, τὰ λοιπὰ τῶν εἰρημένων, καὶ ὄγκος σαφὴς κατὰ περιγραφὴν, τῇ τε ὄψει καὶ τῇ ἁφῇ κατάδηλος. ταῦτα μὲν ἰσχυρᾶς τε καὶ μεγάλης τῆς φλεγμονῆς ὑπαρχούσης. εἰ δὲ ἀμυδρά τις εἴη, κελεύσωμεν τῷ κάμνοντι μέγα ἀναπνεῦσαι, καὶ ἐὰν περὶ τὸ δεξιὸν ὑποχόνδριον ὀδυνᾶσθαι φαίη, μετρίαν τοῦ ἥπατος ὑποληπτέον εἶναι φλεγμονήν. εἰ δὲ κατὰ τὴν θέσιν τῶν ἐπικειμένων μυῶν, ἐπιμήκης ὁ τῆς φλεγμονῆς ὄγκος φαίνοιτο, μηδενὸς τῶν εἰρημένων παρόντος, αὐτοὺς ἐκείνους φλεγμαίνειν γινώσκομεν. Βάρος δὲ μετὰ διατάσεως καὶ ὀδύνης συναίσθησις κατὰ τὸ δεξιὸν ὑποχόνδριον. χωρὶς ὄγκου καὶ πυρετοῦ, ἔμφραξιν δηλοῖ τῶν φλεβῶν, καθ᾽ ἃ μέρη συνάπτουσι αἱ τῶν ἐπὶ πύλαις τε καὶ σιμῶν τοῦ ἥπατος ταῖς ἐν τοῖς κυρτοῖς. εἰς ἀπόστασιν μὲν οὖν τῆς φλεγμονῆς τρεπομένης, ἥ τε ὀδύνη καὶ ἡ διάτασις αὐτοῖς αὔξεται, καὶ ἄλογα ῥίγη προσγίνεται, καὶ ὧδε τὸ εὐώνυμον πλευρὸν οὐ δύνανται κατακλίνεσθαι μᾶλλον ὀδυνώμενοι τὸ ἧπαρ. συῤῥαγέντος δὲ τοῦ ἀποστήματος, ἢ διὰ οὔρων, ἢ διὰ γαστρὸς ἔκκρισις ἀθρόα πύων γίνεται. εἰ δὲ εἰς σκιῤῥώδη διάθεσιν ὁ ὄγκος μεταπέσοι, αἱ μὲν ὀδύναι μειοῦνται, ὁ δὲ ὄγκος ἐναργής ἐστιν μετὰ τῆς σκληρίας, τὰ δὲ πέριξ ἰσχνοῦνται σώματα. τοῦ δὲ χρόνου προϊόντος, δύσκολος ἡ διάγνωσις, φθάνει γὰρ ὕδερος ἐπιγίνεσθαι, καὶ τὸ ὅλον ὑποχόνδριον ὑπὸ τῆς ὑγρότητος καλύπτεται. Πρὸς μὲν οὖν τὴν θερμὴν τοῦ ἥπατος δυσκρασίαν χρηστέον τοῖς ἐμψύχουσιν καὶ τονοῦσι μετρίως τὸ σπλάγχνον, οἷά περ ἐστὶν ἥ τε σέρις καὶ τὸ κιχόριον, ποτὲ μὲν ὠμὸν ἐσθιόμενον, ποτὲ δὲ ἡψημένον σὺν κοριάννῳ. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ πινόμενον καὶ ὁ χυλός. οὐ μόνον, ἀλλὰ καὶ αὐτὸ ξηρὸν ἐπιπαττόμενον μελικράτῳ, πρός γε τὰς θερμὰς, καὶ ψυχρὰς δυσκρασίας τοῦ ἥπατος ὠφελεῖ. καὶ τὸ ἴντυβον δὲ καὶ τὸ τρώξιμον καὶ ὁ σόγχος τῶν παραπλησίων εἰσί. ποιεῖ δὲ καὶ κιτρίου χυλοῦ κύαθος εἰς μελίκρατον. καὶ πτόρεως χυλὸς ὁμοίως. εἰ δὲ καὶ σὺν ἐμφράξει μετρία γένηται ἡ δυσκρασία, διὰ οἴνου τῶν λεπτῶν τινὸς, καὶ διὰ οὐρητικῶν αὐτὰ διδόναι. καὶ καταπότιον δὲ λαμβανόμενον κιχορίου < . δ´. χαμαιπίτυος ῥίζης < . δ´. ἐν μέλιτι ἑφθῷ δίδου καρύου ποντικοῦ μέγεθος, καὶ ὕδωρ ἐπιῤῥοφείτω θερμόν. καὶ τὰ διὰ ὀπίου δὲ καὶ σπέρματος ὑοσκυάμου προσποιστέον αὐτοῖς. καὶ αὐτὴν τὴν τοῦ Φίλωνος ἀντίδοτον. ἐφ᾽ ὧν δὲ τὰ τοῖς θερμοῖς ἐπιτείνεται, καὶ ῥόδινον ὡς ὅτι κάλλιστον αὐτοῖς, ἢ μήλινον διδόναι πίνειν. ῥοφὴν δὲ χυλοῦ πτισάνης, ἢ χόνδρου, σὺν ὑδροροσάτῳ λαμβανέτωσαν. καὶ ἄρτον ὁμοίως ἐξ ὕδατος, μετά τινος τῶν τοιούτων, ἡδέων πομάτων, καὶ ἁπλῶς εἰπεῖν τὰς ἐμψυχούσας μετρίως, χωρὶς τοῦ ἐμφράττειν ῥοφὰς λαμβανέτωσαν. οἴνου τὸ παράπαν ἀπεχόμενοι, πλὴν εἰ μὴ δι᾽ ἑτέραν αἰτίαν, οἷον ἀτονίαν στομάχου, τούτου χρήζοιεν. καὶ τότε τῶν λεπτῶν, καὶ ὀλιγοφόρων τινὰ ὑδαρῆ διδόναι. καὶ τὸ ἐν ἥπατι δὲ ἐρυσίπελας παραπλησίως θεραπευτέον. Ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης, διὰ τῶν ἐναντίων ἰᾶσθαι. ἄρτον τε οὖν αὐτοῖς σὺν οἴνῳ δοτέον, καὶ τὴν δίσεφθον ἢ τρίσεφθον κράμβην. καστάνων τε γευέσθωσαν, καὶ σταφίδων καὶ ὄρνιθος περὶ τὸ ἀρκοῦν, καὶ οἴνου πινέτωσαν. προσποιστέον δὲ αὐτοῖς τὸ ἡπατόριον, ἢ τὸ ἄσαρον, ἢ τὸ διὰ πεπέρεως. κἀκ τῶν ἔμπροσθεν πρὸς κοιλιακούς τε καὶ δυσεντερικοὺς ἀναγεγραμμένων, ἐπιλεκτέον τὰ πρόσφορα. αἱ δὲ κυφοειδεῖς καλούμεναι,

λαμβάνεται, πρὸς μὲν τὰς θερμὰς δυσκρασίας, οὐδὲ ὅλως ἁρμόζουσιν, πλὴν εἰ μὴ ὀλίγη τις ἡ θερμὴ σὺν ὑγρότητι πλείονι γένηται. πρὸς δὲ τὰς ψυχρὰς ἄριστα βοηθήματα, καὶ μᾶλλον εἰ σὺν ὑγρότητι, ἢ ἔμφραξις γένοιτο τοῦ ἥπατος. Ὑπὸ δὲ παχέων καὶ γλίσχρων χυμῶν τῆς ἐμφράξεως γενομένης. τήν τε μυάκανθαν, καὶ μάλιστα τὸν ταύτης διδόναι καρπόν. καὶ δάφνης τῆς ῥίζης τὸν φλοιόν. τό, τε εὐπατόριον δι' ὀξυμέλιτος, ἢ ἀφεψήματος θέρμων πικρῶν, μετὰ πηγάνου καὶ πεπέρεως. καὶ τὸ ἄλευρον δὲ τῶν θέρμων πινόμενον. καὶ καππάρεως ῥίζης μ β. κόστου μ α. μετὰ οἴνου. καὶ τὸ διὰ βαλάνου πρὸς τὰς ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν ἐμφράξεις. ἥ τε ἶρις, καὶ ὁ τῶν πιστακίων καρπὸς καὶ τὸ λέπος. πράσιόν τε καὶ ἀμύγδαλα πικρά. καὶ ὁ δι' αὐτῶν τροχίσκος. δρακοντίου καὶ ἄρου ἡ ῥίζα. καὶ τὸ ἀγαρικόν. καὶ τὸ σκιλλητικὸν ὄξος τε καὶ ὀξύμελι. ἧπαρ δὲ λύκου ξηρὸν λειωθέν, καὶ διδόμενον, ὅσον κοχλιαρίου ποσόν, ἁπάσαις ταῖς τοῦ ἥπατος ἁρμόζει διαθέσεσι μετὰ γλυκέως οἴνου. καὶ ἡ θεοδώρητος δὲ ἀντίδοτος, τῶν ἀρίστων ἐστὶ φαρμάκων, ἐπί τε τῶν τοῦ ἥπατος ἐμφράξεων, καὶ τῶν σκίρρων, καὶ χρονίων φλεγμονῶν. ἐπί τε κολικῶν, καὶ ἰκτερικῶν. ὁμοίως δὲ καὶ ἡ δι' ὀξυμέλιτος πικρά. τροφὰς δὲ τούτοις, θερμοτέρας τε καὶ ἐκφρακτικὰς δοτέον, οἷον πράσα δι' ὀξυμέλιτος, καὶ τὸν ἔλαφον ἀσπάραγον, καὶ κάππαριν ὁμοίως. καὶ τὰ λοιπὰ δὲ ὄψα διά τινος τῶν θερμαινόντων τε καὶ ἐκφρακτικῶν ἀρτυμάτων ἑψόμενα. καὶ οἶνον λεπτὸν καὶ παλαιόν, φυλαττομένους τὰ παχύχυμα, καὶ βαλανεῖα συνεχῆ, καὶ μάλιστα μετὰ τροφήν. χρονίζοντος δὲ τοῦ πάθους. καὶ φλεβοτομίαν καὶ κάθαρσιν παραληπτέον, μηδενὸς κωλύοντος. Φλεγμαίνοντος δὲ τοῦ ἥπατος, φλεβοτομητέον ἀνυπερθέτως ἀπ' ἀγκῶνος τοῦ δεξιοῦ. καὶ συχνὸν ἀφαιρετέον τῆς δυνάμεως ἐξαρκούσης. καὶ ἔξωθέν τε καταπλαστέον τὸ σπλάγχνον ἀλεύρῳ κριθίνῳ, καὶ τήλεως. καὶ λινοσπέρμῳ μετὰ φοινίκων, ἢ μήλων κυδωνίων, καὶ μελιλώτου ἄνθους, καὶ ἀψινθίας καὶ χαμαιμήλου. καὶ καθόλου τοῖς μαλακτικοῖς ἐπιμικτέον, καὶ τὰ στύφοντα. ἐπιθέματα δέ. τό, τε νείλεως ἔσω καὶ τὸ εὐῶδες. τό, τε φιλαγριανόν, καὶ τὸ ἀλλοφανοῦς. τό, τε διὰ μελιλώτων, καὶ τὸ κοπτόν. πρὸς δὲ τὰς μεγίστας φλεγμονάς, πάνυ διὰ πολλῆς πείρας ἐστὶ τόδε. ἀψινθίου κόμης, νάρδου κελτικῆς, ἀσάρου, κρόκου, ἀνὰ γο. α. ἴρεως, σμύρνης, στύρακος, βδελλίου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. β. μυελοῦ μοσχείου γο. δ. κηρωτῆς σχινίνης λι. δ. ὀξύμελί τε δοτέον αὐτοῖς. ἁπλᾶ τε βοηθήματα, οἷον ἄσαρον, νάρδον κελτικήν, ἢ ἰνδικήν, σχοῖνον, πετροσέλινον. καὶ δεῖ ἐρεθίζειν τὴν γαστέρα διὰ τῆς ἀκαλύφης ἢ λινοζώστεως, ἐσθιομένων ἑφθῶν. κατὰ δὲ τὰς παρακμάς, καὶ ἐπιθύμου καὶ πολυποδίου διδόναι ἐν μελικράτῳ. καὶ διὰ κλυστῆρος δὲ κενοῦν τὴν κοιλίαν, ἐν ἀρχῇ μὲν διὰ μελικράτου σὺν ἁλσὶν ἢ νίτρῳ. παρακμῆς δὲ γενομένης, μίγνυε ὕσσωπον ἢ ὀρίγανον, ἢ κνῆκον, ἢ κενταύρειον, καὶ κολοκυνθίδα. καὶ καθόλου τὰ μὲν σιμὰ τοῦ ἥπατος, διὰ τῆς κοιλίας. τὰ δὲ κυρτά, δι' οὔρων ἐκκαθαίρεται. τροφὴν δὲ τούτοις χυλὸν πτισάνης δοτέον, ἐν ᾧ σέλινον καθέψηται. τῆς δὲ φλεγμονῆς ἐρυσιπελατώδους γενομένης, τὴν θεραπείαν ἔμπροσθεν εἰρήκαμεν. ἀποστάσεως δὲ γινομένης, συνεργητέον τῇ συρρήξει καταπλάττοντας μὲν τῷ τριασπέρμῳ μετὰ ῥητίνης, μάννης, πίσσης, ἀλθαίας ῥιζῶν, περιστερᾶς κόπρου, σπυράθων αἰγῶν. προποτίζοντα δὲ ἀφέψημα πολίου, καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς. ἀσφριτωθέν. ἀφέψημα θλάσπεως, ἢ κιχωρείου, καὶ χαμαίδρυος ῥίζης πινέτω. συρρήξεως δὲ γινομένης, μελίκρατόν τε καὶ τὰ ἐπὶ τῶν ἑλκωθέντων νεφρῶν εἰρημένα. ἔξωθεν δὲ τὴν μνασαίου καὶ τὰ λοιπὰ μαλακτικά. καὶ ἱκέσιον ἐπιθετέον ἢ τὴν διὰ ἰτεῶν. Σκιρρωθέντος δὲ τοῦ ἥπατος, ὀλίγη μὲν ἡ τῆς ἰάσεως ἐλπὶς εἰς ὕδερον μεταπιπτούσης τῆς διαθέσεως. ὅμως δὲ τοῖς μαλακτικοῖς ἐπιμικτέον. ἀμμωνιακόν, βδέλλιον, μυελούς τε καὶ στέατα, καὶ τὰ τούτοις ὁμοδύναμα. ποτίζειν δὲ τὰ ἐκφράττοντα καὶ διαρρύπτοντα τὸ σπλάγχνον, οἷά περ εἰσὶ τά τε διουρητικά. καὶ λίθων θρυπτικά. καὶ μετὰ τῶν ἀρτίως πρὸς τὴν τοῦ ἥπατος ἔμφραξιν εἰρημένων. καὶ τῆς τροφῆς δηλονότι καταλλήλως ἁρμοσθείσης.

Περὶ καχεξίας. μζ.

Τὴν ἀρχὴν τῶν ὑδρωπικῶν παθῶν καχεξίαν καλεῖν εἰθίσμεθα. θεραπεύειν δὲ αὐτὴν χρή, φλεβοτομοῦντας, εἰ μή τι κωλύοι, μεμετρισμένως, ἄχρι τρίτης καὶ τετάρτης ἡμέρας ποιοῦντας τὴν ἀφαίρεσιν. κενωτέον δὲ μάλιστα τοὺς δι' ἐπίσχεσιν αἱμορροΐδων ἢ καταμηνίου καθάρσεως εἰς τὸ πάθος ἐμπεσόντας. ὥσπερ οὖν τοὺς διὰ πλῆθος κενώσεως, ἀφεκτέον τῆς φλεβοτομίας. πάντως δὲ καθαρτέον τῇ διὰ κολοκυνθίδος ἱερᾷ. ἡ δὲ δίαιτα ἔστω λεπτὴ καὶ ξηραίνουσα. καὶ χρῆσις αὐτοφυῶν ὑδάτων παραλαμβανέσθω, στυπτηριωδῶν, καὶ νιτρωδῶν μᾶλλον. εἶτα θειωδῶν. τὸ δὲ ἄλλο λουτρόν, ἐκ μακροτέρων διαστημάτων παραλαμβανέτωσαν. καὶ γυμναζέσθωσαν παντοδαπῶς. μάλιστα δὲ διὰ τῶν καλουμένων ἰατραλειπτῶν. εἰς ὕστερον δὲ καὶ ἐλλεβοριζέσθωσαν, θαυμαστῶς δὲ ὀνίνησιν αὐτούς, καὶ προποτισμὸς ἀψινθίου, καὶ

κοτταβισμοί, καὶ δρώπακες. εἰ δὲ τὸ πάθος εἰς ὕδρωπα μεταπέσοι, τῇ τῶν ὑδρωπιώντων ὑπαγέσθω θεραπείᾳ, κατὰ τὸν ἐκτεθησόμενον τρόπον.

Περὶ ὑδέρων. μη´.

Τοῦ ἥπατος σφοδρῶς καταψυχθέντος, ὅτε μὲν κατὰ πρωτοπάθειαν, ἤτοι φλεγμήναντος ἢ σκιῤῥωθέντος, ἢ ἄλλως πως αὐτοῦ παθόντος, ὅτε δὲ κατὰ συμπάθειαν ἑτέρων μορίων. ἀποτυχία τῆς ἐξαιματώσεως γίνεται, καὶ καλεῖται τὸ πάθος ὕδερος. ἐφ' οὗ ποτὲ μὲν πλῆθος πνεύματος μετ' ἐλαχίστης ὑγρότητος ἀθροίζεται μεταξὺ περιτοναίου καὶ ἐντέρων, ὥστε πληττόμενον τὸ ὑπογάστριον ἠχεῖν δίκην τυμπάνου, διὸ καὶ τυμπανίας ὕδερος ἀπὸ τούτου προσηγόρευται. συνιστάμενος, ἀπό τε τῶν περὶ στόμαχον, καὶ τὴν κοιλίαν καὶ τὸ κῶλον ἐμπνευματώσεων, καὶ πυρετῶν χρονίων. ἔσθ' ὅτε δὲ καὶ ἀπὸ σκληρίας περιτοναίου, ἢ μήτρας ἐπὶ γυναικῶν, ἢ σκίῤῥου. ποτὲ δὲ τὸ ἀνάπαλιν πλῆθος ὑγροῦ σὺν ἐλαχίστῳ πνεύματι ἐν τοῖς αὐτοῖς ἀθροίζεται χωρίοις, ὥσπερ ἐν ἀσκῷ τινὶ φυλαττόμενον. ὅθεν τὸ πάθος ἀσκίτης ὕδερος ὀνομάζεται, συνιστάμενος καὶ αὐτὸς ἐκ τῶν εἰρημένων αἰτίων. τὸ δὲ πλεῖστον ἀπὸ σκληρίας καὶ σκίῤῥου περὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ, καὶ τῶν περὶ τὰ ἔντερα χρονίων ῥευμάτων, ἐφ' ὧν συμβαίνει τὴν μὲν γαστέρα ἐξογκοῦσθαι, τὸ δὲ λοιπὸν ἐκτήκεσθαι σῶμα, μὴ τρεφόμενον. ἔστι δὲ ὅτε τὸ καθ' ὅλον τοῦ σώματος τὸν ὄγκον ψυχρότερόν τε καὶ φλεγματικώτερον αἷμα περιέχεται, ποτὲ μὲν ἀπὸ τοῦ ἥπατος τούτου φερομένου, ποτὲ δὲ καὶ πάσης τῆς σαρκὸς τοῦ σώματος οἷον ἐξυδατουμένης τικτόμενον, ὥστε λευκὸν καὶ φλεγματῶδες τὸ σῶμα φαίνεσθαι νεκρῷ παραπλήσιον. καὶ καλεῖται λευκοφλεγματίας, ὑποσαρκίδιος ὕδερος, ἢ ἀνασάρκα, συνιστάμενος ἀπό τε πυρετῶν μακρῶν καὶ στομάχου καχεξίας, καὶ ἐπισχεθεισῶν χρονίων αἱμοῤῥοΐδων, καὶ γυναικείου ῥοῦ, καὶ δυσπνοίας, καὶ ἀλόγων ἀγρυπνιῶν, καὶ τῶν τούτοις ἐμφερῶν αἰτίων. Θεραπευόντων οὖν αὐτοὺς, κοινῶς μὲν ἀπὸ κενώσεως ἀρχόμεθα. ἀλλ' ἐπὶ μὲν ἀσκίτου, καὶ τυμπανίου, διὰ τῆς τῶν ὑδραγωγῶν φαρμάκων δόσεως. ἐπὶ δὲ τοῦ ἀνασάρκα, διὰ φλεβοτομίας. μάλιστα δι' ἐπίσχεσιν αἱμοῤῥοΐδων, ἢ καθάρσεως ἐμμήνου, συστάντος τοῦ πάθους, πλὴν εἰ μὴ φθάσειεν ἐν καχεξίᾳ γενόμενοι φλεβοτομηθῆναι. κἀνταῦθα οὖν, ὡς ἐπὶ τῶν καχεκτικῶν, δεῖ κατὰ μέρος ταμιεύεσθαι τὴν κένωσιν. εἶτα βόλβιτον βοὸς ἀγελαίας ξηρὸν, ἀκριβῶς λειώσας, ἕψε ἐν ὀξυκράτῳ ἢ ὀξυμέλιτι, καὶ θείου τὸ τέταρτον μέρος παρεμπάσας, ὅλῳ τῷ τῆς γαστρὸς ἐπίβαλλε κύτει. ἢ σπυράθους αἰγὸς ἐν οὔρῳ παιδὸς, γλοιοῦ πάχος καταπλάσσε. διὰ γαστρὸς ἄκρως αὐτοὺς καθαίρει. καὶ τοῖς διὰ ζύμης δὲ καὶ ἰσχάδων, καὶ τιτάνου, καὶ νίτρου, καὶ ἴρεως, καρδαμώμου τε καὶ θείου ἀπύρου καὶ ἀμμωνιακοῦ, δαφνίδων τε καὶ τῆς ἀγρίας σταφίδος καὶ τῆς τῶν ἀγρίων περιστερῶν κόπρου, ἢ πάντων ἢ τινῶν. ἐκ τούτων δὲ ὀξυμέλιτος χρηστέον καταπλάσμασι. μεθ' ἃ τὸ διὰ τῆς αἰγείας κόπρου σπογγίον προσαγορευόμενον ἐπίθεμα, θαυμασίως κενοῖ τὴν ὑγρότητα, διά τε τῶν ἀδήλων πόρων καὶ διὰ γαστρός. ἐν ὑστέρῳ δὲ τὰς ξηραινούσας ἐπιθετέον ἐμπλάστρους τὴν διὰ ἰτεῶν, τὴν ἱκέσιον, ἢ τὴν τοῦ κουρέως, ἢ τὴν διὰ δαφνίδων, ἢ τὸ πολυάρχιον, ἢ τὸ διὰ σπερμάτων ἐπίθεμα. καὶ τόδε δὲ θαυμαστόν ἐστι, διαρπάζει γὰρ ἐκ τοῦ βάθους τὸ ὑγρόν. λίθου πυρίτου < .ιβ. θείου ἀπύρου < .ιβ. ἀμμωνιακοῦ θυμιάματος < .ιβ. κυμίνου < .ις. νίτρου < .ιβ. ἀνάλαβε κηρῷ βραχεῖ καὶ τερεβινθίνῃ, καὶ εἰς δέρμα ἐπιπλάσας, ἀπόθου διὰ ὅλης τῆς γαστρός. προποτίζειν δὲ αὐτοὺς καθεψόντα τὴν ῥίζαν τῆς ἀκταίας ἐν οἴνῳ, ἢ σικύον ἄγριον ἐν οἴνῳ ἀποβρέξας αὐστηρῷ ἡμέρας. γ´. δίδου κύαθον α´. προστιθεὶς καθ' ἑκάστην ἡμέραν, ἄχρι κυάθων γ´. πολυμίγματον δὲ τόδε. βαλσάμου, νάρδου, κασσίας, κυμίνου, γλυκυῤῥίζης, ὑπερικοῦ, σχοίνου, ἀσάρου, δαύκου, ἀμώμου, σμύρνης, πετροσελίνου, καλάμου ἀρωματικοῦ, πεπέρεως, σεσέλεως, σπονδυλίου ἴσα. ποιεῖ δὲ καὶ ἕκαστον καθ' ἑαυτό. καὶ πάντα δὲ τὰ διουρητικὰ ὁμοίως. δίχα δὲ βάρους τὴν οὔρησιν κινεῖ, σκίλλα ὀπτὴ, μετὰ μέλιτος λεανθεῖσα, καὶ ὡς ἔκλειγμα διδομένη. ἐνεψηθεῖσα δ' ἂν καὶ τοῖς πινομένοις ὕδασι. καὶ τόδε δὲ ἄγαν καλόν. τοῦ ἐντὸς τῆς σκίλλης λι. β´. εἰς οἴνου αὐστηροῦ ξ. γ´. ἑψήσας ἕως ἀποτριτώσεως, δίδου ἐκ τοῦ οἴνου καθ' ἡμέραν, ἀρξάμενος ἀπὸ μύστρου ἕως κο. α´. διουρητικὸν δὲ καὶ τόδε κάλλιστον. στυπτηρίας ὑγρᾶς ἡλίκον κύαμον, ὕδατι διαλύσας διηθήσας τε δι' ὀθόνης πότιζε ἐπὶ τρεῖς ἡμέρας, ἢ παρὰ μίαν. ἁρμόζει δὲ καὶ τούτοις, ἡ διὰ τοῦ ὀξυμέλιτος πικρὰ, ἥ τε θεοδώρητος. καὶ ὁ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίσκος. ὑδραγωγὰ δὲ πλείονά εἰσι. τὰ πεπειραμένα δὲ ταῦτα. κνίδιοι κόκκοι μ´. ἢ πεντήκοντα. ἢ λαθυρίδες κ´. ἢ λ´. ἢ εὐφορβίου κερ. ε´. ἢ ς´. ἢ λεπίδος χαλκοῦ < .β´. ἢ γ´. μετὰ ψιχῶν ἀναληφθεῖσαι, καὶ καταπότια γενόμενα. ἢ τῆς ἀκτῆς ῥίζης τοῦ φλοιοῦ ὁ χυλὸς ποθεὶς μετὰ κονδίτου. ἢ χαμελαίας φύλλων καὶ χαλκοῦ κεκαυμένου, ἀνὰ τὸ ἴσον, δίδου ἐν ὕδατι, κατάρχας μὲν < .α´. διαστήσας δὲ καὶ β´. καὶ πλείω. καὶ ταῦτα δὲ θαυ

μαστὰ

μαστὰ καταπότια. ἀλόης, εὐφορβίου, κόκκου κνιδίου ἀνὰ γο α΄. ῥοῦ γο. ς΄. ἀναλάμβανε χυλῷ κράμβης καὶ πλάσσε καταπότια, δίδου κερ. ζ΄. ἢ θ΄. καὶ ἡ διὰ τῶν καρυοφύλλου δὲ ἀντίδοτος ὕδωρ ἄγει θαυμαστῶς. καὶ οἶνον δὲ πειρατέον αὐτοῖς ὑδραγωγὸν διδόναι. ἔστι δὲ κάλλιστος οὗτος. σκίλλης γο. γ΄. σελινοσπέρματος, καππάρεως, ῥίζης φλοιοῦ, πεπέρεως ἀνὰ < δ΄. κόκκου κνιδίου λελεπισμένου < α΄. φύλλου < α΄. μαλαβάθρου σφαιρία β΄. οἴνου καλλίστου κοτύλαι ιβ΄. μέλιτος ὠμοῦ λι. ς΄. κόψας, σήσας, ἔμβρεχε τῷ οἴνῳ. τὴν δὲ σκίλλαν συλλέαινε. ἡ δόσις κυ. γ΄. μετὰ δὲ τὴν τοῦ ὑγροῦ κένωσιν, καὶ θηριακῇ χρηστέον. καὶ τῶν βολβίτου δὲ καυθέντος ὅσον κοχλιάριον δι' οἴνου πινόμενον καθ' ἡμέραν, μεγάλως ὀνίνησιν. καὶ κλύσμασι δὲ χρηστέον δριμυτέροις, πλὴν εἰ μὴ τὰ τῆς γαστρὸς αὐτομάτως ὑπεξυγραίνοιτο. τηνικαῦτα γὰρ μᾶλλον ἐπιξηραίνειν αὐτὴν προσήκει. ἐπὶ δὲ γυναικῶν ὑδρωπιώντων καὶ πεσσῷ χρηστέον τῷ διὰ ἀνήσου, καρδαμώμου, κυμίνου, νίτρου, ἀριστολοχίας, τήλεως, γλήχωνος, σύκων τῶν ἔνδον, ἴσα συσίνῳ ἀναληφθέντα προστιθέσθω. μετὰ δὲ ταῦτα καὶ τοῖς αὐτοφυέσι χρηστέον ὕδασιν ἐπιμόνως, καὶ τῷ ψαμμισμῷ, τῶν δὲ ἄλλων λουτρῶν αὐτοὺς ἀφεκτέον. εἰ δέ ποτε καὶ λούοιντο, χρήσθωσαν ἐν τῷ λουτρῷ τοῖς διὰ νίτρου τε καὶ ἁλῶν, καὶ νάπυος, λιτάνου τε καὶ τῶν παραπλησίων ἐμπάσμασιν. ταῦτα μέν γε καὶ χωρὶς λουτροῦ χρήσιμα, ξηρά τε σὺν ἐλαίῳ τῇ γαστρὶ προστριβόμενα. Ἐπὶ δὲ τῶν ἀνασάρκων, καὶ τοῖς λοιποῖς μέρεσι γυμναζέσθωσάν τε, καθ' ὅσον οἷόν τε, καὶ ξηροτριβείσθωσαν ἐν ἡλίῳ. καὶ ἡ λοιπὴ δὲ δίαιτα ξηραντικωτέρα παραλαμβανέσθω. ταρίχους οὖν ἐσθιέτωσαν, καὶ νάπυ, καὶ σκόρδα, καὶ τῶν ὀρνέων τὰ ἄγρια καὶ ξηρά. καὶ λαχάνων, ἀσπάραγον, γιγγίδια, πράσα, σινήπια, καυκαλίδας, καὶ τὰ λοιπὰ τῶν ἀγρίων. καὶ τῶν ἁλῶν τῶν θηριακῶν, ἢ τῶν ἰαμβλίχου τοῖς ὄψοις ἐπιμιγνύτωσαν, οἴνῳ τε χρήσθωσαν παλαιῷ λεπτῷ διουρητικῷ. εἰ δὲ παρείη, τεθαλασσωμένῳ. ἀπεχόμενοι πλέονος μὲν πόματος παντὸς, ὕδατος δὲ τὸ παράπαν.

Σὺν πυρετῷ δὲ συνισταμένου τοῦ ὕδρωπος, τῶν μὲν θερμοτέρων καὶ δριμυτέρων ἐδεσμάτων τε καὶ βοηθημάτων ἀφεκτέον, ἐπιμίκτως δὲ τούτοις χρηστέον πρὸς τὸ κατεπεῖγον ἐνισταμένους.

Ἐπὶ δὲ τοῦ τυμπανίου, τά τε καθαρτικὰ, καὶ τὰ τοῦ ὅλου σώματος συντηκτικὰ, περιαιρετέον. καὶ τῶν διουρητικῶν, τὰ δραστήρια. τοῖς δὲ λεπτύνειν τε καὶ διαφορεῖν τὰ πνεύματα δυναμένοις, ἔσωθέν τε καὶ ἔξωθεν χρηστέον. ἢ σικύας κούφας συνεχῶς κατὰ πάσης γαστρός. τοὺς δὲ τὸν ἀσκίτην ἔχοντας, εἰ μὴ τοῖς εἰρημένοις ὑπείξοιεν βοηθήμασιν, ἐπὶ τὴν παρακέντησιν ἀκτέον, οὐδενὶ τῶν ἄλλων ὑδέρων ἁρμόζουσαν.

Περὶ σπληνός. μθ΄.

Τοῦ σπληνὸς ἕλκειν πεφυκότος ἀπὸ τοῦ ἥπατος τὸν μελαγχολικὸν χυμὸν, ὅστις οἷον ἰλύς ἐστι τοῦ αἵματος. εἰ μὲν ἡ ἑλκτικὴ τούτου δύναμις ἀσθενήσοι, ἢ πόρος ἐμφραχθείη δι' οὗ τοῦτο πρότερον εἷλκε, μέλας ἴκτερος συνίσταται, τοῦ αἵματος ἀκαθάρτου παρ' ὅλον φερομένου τὸ σῶμα. ἀλλ' εἰ μὲν βάρος καὶ διάτασις εἴη κατὰ τὸν σπλῆνα, ἢ καὶ ὀδύνη, ἔμφραξις δηλοῦται. εἰ δὲ μηδὲν τούτων, ἀσθένεια τῆς ἑλκτικῆς. ἔμετος δὲ τῆς μελαίνης γινόμενος χολῆς ἄνευ πυρετοῦ καὶ τῆς ἄλλης κακοηθείας, τὴν καθεκτικὴν τοῦ σπληνὸς δηλοῖ δύναμιν ἀσθενεῖν. ἡ δὲ τῆς ἀποκριτικῆς αὐτοῦ ἀσθένεια, τὴν ἀνορεξίαν οἴσει, μηκέτι φερομένου τοῦ μελαγχολικοῦ περιττώματος παρὰ τὸ στόμα τῆς γαστρὸς, καὶ τὴν ὄρεξιν ἐπεγείροντος. ἐμφραττομένου δὲ κατ' αὐτὸν τὸν σπλῆνα τοῦ μελαγχολικοῦ χυμοῦ, πρῶτον μὲν φλεγμονὴ τούτου γίνεται. τῇ τε ζέσει καὶ τῇ ὀδύνῃ, καὶ τῇ τάσει δηλουμένη. ὕστερον δὲ καὶ εἰς σκίρρον μεταπίπτει. τοῦ μὲν ζέοντος καὶ ὀδυνηροῦ παυσαμένου, μένοντος δὲ τοῦ ὄγκου καὶ τῆς σκληρίας. τούτοις οὖν καὶ τὸ στόμα δυσῶδες γίνεται, καὶ τὰ οὖλα διαβιβρώσκεται, καὶ τὰ ἐν τοῖς σκέλεσιν ἕλκη ἀκατούλωτα μένει. ἐφ' οἷς συμπαθήσαντος τοῦ ἥπατος, ὡς ἔφαμεν, ὕδερος γίνεται. τὰς μὲν οὖν δυσκρασίας αὐτοῦ, παραπλησίως ταῖς τοῦ ἥπατος, θεραπεύσωμεν. φλεγμονῆς δὲ παρούσης, φλεβοτομητέον αὐτοὺς ἀπ' ἀγκῶνος ἀριστεροῦ, ἢ κατὰ τὴν ἄκραν χεῖρα, διὰ τὸ ἐκ μακροτέρου διαστήματος γίνεσθαι τὴν ἀντίσπασιν. ἢ καὶ διά τινα φυσικὴν συγγένειαν. εἶτα καταπλαστέον διὰ τῶν λεπτυνόντων, ἄνευ τοῦ σαφῶς θερμαίνειν, παραπλέκοντάς τινα καὶ νῦν τῶν στυφόντων. τοιοῦτον δέ ἐστιν αὐτοφυῶς, τὸ καλούμενον ἁλὸς ἄνθος. ἔστι δὲ καὶ τοῦτο θαυμαστὸν τὸ κατάπλασμα. τήλεως γο. δ΄. κριθίνου, καρδάμου ἀνὰ γο. α΄. σύκων λιπαρῶν λι. α΄. περιστερεῶνος πόας ξηρᾶς γο. α΄. τὰ σῦκα δεῖ ἀποβρέχειν ὄξει δριμυτάτῳ καὶ ἕψειν μετὰ τῶν ἄλλων ἤδη προκεκομμένων, κἄπειτα αὖθις ἕψειν. ἤγουν κόπρον αἰγείαν μετὰ ὠμῆς λύσεως ἑψήσας ἐν ὀξυκράτῳ, κατάπλασσε. ἐχέτω δὲ εἰ βούλει, καὶ τὸ ἁλὸς ἄνθος. προπυριῶντα δὲ τῷ κυπρίνῳ μετ' ὀλίγου ὄξους, κεχρῆσθαι τοῖς μαλάγμασι. πρῶτον μὲν τοῖς ἁπλουστέροις, ὁποῖόν ἐστι τοῦτο. κηροῦ λι. α΄. ς΄. ταυρείου λι. α΄. νίτρου γο. γ΄. τερεβινθίνης, ἄγνου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ ἀνὰ γο. ε΄. ἑψήσας

τὰ τηκτὰ, ἔμπαλιν τὰ ξηρά. καὶ τὸ νείλεως δὲ, κάλλιστον. τῆς δὲ φλεγμονῆς ἐπὶ τὸ σκιρρῶδες μεταπιπτούσης, τοῖς ἰσχυροτέροις χρηστέον, ὥστε καὶ τὴν ἐπιφάνειαν ἀμύσσεσθαι, οἷόν ἐστι τό, τε διὰ τῶν πυρέθρων τῶν αἰγείων, ἢ τὸ κίτρινον. ἔτι τούτοις δὲ τό, τε μαχαιρίων, καὶ τὸ τοῦ κηρέως, καὶ τὸ διὰ δαφνίδων, καὶ τὸ διὰ ἰτεῶν. τόδε δὲ καὶ αὐτὸς πειράσας ἐπέτυχον. ἀρσενικοῦ γο. β. σανδαράχης γο. β. κηρίων τερεβινθίνης λι. α. πίσσης ξηρᾶς λι. α. χαλβάνης γο. α. ὀποπάνακος γο. α. καππάρεως ῥίζης φλοιοῦ, μυροβαλάνου ἀνὰ γο. δ. ἀμμωνιακοῦ θυμιάματος γρ. ϛ. ναρδίνου ἢ κυπρίνου γο. ε. καὶ τὸ ἀμμωνιακὸν δὲ σὺν ὄξει ἐπιχριόμενον κατὰ σπληνός, πολλάκις ὤνησεν. καὶ πινόμενον δὲ ὅσον γρ. γ. ἢ δ. σὺν γρ. α. καστορίου, ἐν τῇ ἐμβάσει τοῦ λουτροῦ, προμασησαμένων αὐτῶν ἰσχάδα καὶ ἀποπτυσάντων. ἢ ἀμμωνιακοῦ μ. α. καστορίου μ. α. δίδου < . α. ταῦτα καὶ τοὺς σκιρρωθέντας ὀνίνησιν. ὥσπερ καὶ ὁ τῆς καππάρεως φλοιὸς ὄξει λειωθεὶς, καὶ καταπλασθείς. ὃς δὴ καὶ πινόμενος, δι' ὄξους ἢ ὀξυμέλιτος, κενοῖ παχεῖς καὶ γλίσχρους χυλοὺς, ἔσθ' ὅτε δὲ καὶ αἷμα. καὶ ὁ τῆς ἰτέας φλοιὸς ὁμοίως καταχρίεται. καὶ ἡ τέφρα τῶν χαλκείων καταπλασσομένη σὺν ὠμῇ λύσει δι' ὀξυμέλιτος. καὶ ὁ τοῦ κενταυρείου χυλὸς ἔξωθεν ἐπιτιθέμενος, καὶ πινόμενος. καὶ θέρμων πικρῶν τὸ ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως, πινόμενον. καὶ τὸ ἄλευρον αὐτῶν καταπλαττόμενον. καὶ ὕδωρ ἐν ᾧ πολλάκις ἐναπεσβέσθη σίδηρος, πυρέττουσι καθ' ἑαυτὸ διδόμενον κυ. γ. ἀπυρέτοις δὲ, μετ' οἴνου καὶ μετ' ὄξους κυ. α. ἢ λαπάθου ἀγρίου ῥίζης μετὰ σκίλλης τριώβολον. ἢ χαμαίδρυος, ἢ ἑρπύλλου, ὀξύβαφον πάντα. ἢ ὀξυμέλιτος, ἀναγαλλίδος τῆς τὸ κυανὸν ἄνθος ἐχούσης χυλοῦ, διώβολον, πότιζε μετ' ὀξυκράτου. ἢ ὄξος σκιλλητικόν. ἢ ὀξύμελι. σύνθετα δὲ ταῦτα. πάνακος ῥίζης, ἀμμωνιακοῦ θυμιάματος, καππάρεως ῥίζης φλοιοῦ, στρουθίου, σκίλλης ὀπτῆς τοῦ ἐντός. ἴσα δίδου < . α. ποιεῖ καὶ ἀσθματικοῖς καὶ ὑδρωπικοῖς. Ἄλλο. μυρίκης καρποῦ < . δ. πεπέρεως < . δ. ναρδοστάχυος < . β. ἀμμωνιακοῦ θυμιάματος < . β. λέου ὄξει σκιλλητικῷ καὶ δίδου < . α. ὀξυμέλιτι.

Πρὸς ἐσκιρρωμένον σπλῆνα.

Κυκλαμίνου < . η. βρυωνίας < . γ. δικτάμνου < . β. σκίλλης ὀπτῆς < . η. στρουθίου < . ϛ. καππάρεως ῥίζης < . ϛ. δίδου τροχίσκον τριωβολιαῖον ὀξυμέλιτι. καὶ ὁ δι' ἐρείκης δὲ τροχίσκος, ἐπιτήδειός ἐστι. τροφαὶ δὲ τούτοις λεπτυντικαὶ καὶ δριμεῖαι ξηραί. καὶ ποτὸν ὀλίγιστον. γυμνάσιά τε καὶ τρίψεις, καὶ σιναπισμοὶ παραλαμβανέσθωσαν. ἔσθ' ὅτε δὲ καὶ σικύαι μετ' ἐγχαράξεως.

Περὶ ἰκτέρου. ν.

Ὁ μὲν ἴκτερος ἀνάχυσίς ἐστι χολῆς ἐν ὅλῳ τῷ σώματι γινομένη, ποτὲ μὲν μελαίνης, περὶ ἧς ἐν τοῖς σπληνικοῖς εἴπομεν, ποτὲ δὲ τῆς ξανθῆς. διαφοραὶ δὲ τούτων πλείονές εἰσιν. ὧν αἰτίαι τε καὶ διαγνώσεις αὗται. εἰ μὲν γὰρ ἐπὶ πυρετικῇ νόσῳ ἀθρόως γεγονὼς ὁ ἴκτερος ἀποπαύσοι τὸν πυρετὸν, κριτικός ἐστιν, ἐκ τοῦ βάθους ἔξω μεταστάσης τῆς ὕλης συνεστηκώς, οὐ φαρμακείας δεόμενος, ἀλλ' ἐπὶ λουτροῖς καὶ μετρίᾳ τρίψει ταχέως ἀποκαθιστάμενος. εἰ δὲ σὺν πυρετῷ γίνοιτο καὶ χολώδεσι διαχωρήμασι. βάρους μὲν ὄντος κατὰ τὸ δεξιὸν ὑποχόνδριον, φλεγμονὴ ζέουσα δηλοῦται τοῦ ἥπατος, δι' ἣν ἐκχολούμενον τὸ αἷμα καθ' ὅλον τὸ σῶμα φέρεται. χωρὶς δὲ βάρους ζέσεως οὔσης ἐν αὐτῷ, διὰ δυσκρασίαν μόνην θερμὴν τοῦ ἥπατος τὸ πάθος συνίσταται. εἰ δὲ χωρὶς πυρετοῦ γίνοιτο, λευκῶν ὑπαρχόντων τῶν διαχωρημάτων, τῆς χοληδόχου κύστεως δηλοῦται τὸ πάθος, ἤτοι τῶν πόρων αὐτῆς. βάρους μὲν ὄντος κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἐμπεφραγμένων. ἄνευ δὲ τούτου, κατὰ δύναμιν ἀσθενούντων, ἤτοι τὴν ἑλκτικὴν τοῦ ἐξ ἥπατος ἕλκοντος, ἤτοι τὴν ἀποκριτικὴν τοῦ ἐξωθοῦντος εἰς ἔντερα. μὴ καθαιρόμενον γὰρ τὸ αἷμα χολῶδες, εἰς ὅλον ἀναδίδοται τὸ σῶμα. καθάπερ ἐπὶ τοῦ μέλανος λεγομένου ἰκτέρου. εὐθὺς δὲ τούτοις καὶ τὰ οὖρα χολωδέστατα κατακόρως ἐκδίδοται. γίνεται δὲ ἴκτερος, καὶ διὰ δυσκρασίαν θερμὴν τῶν στερεῶν σωμάτων, εἰς χολὴν μεταβαλλόντων τὸ λόγῳ τροφῆς αὐτοῖς φερόμενον. ὥσπερ εἰς φλεγματικὴν ὑγρότητα, ἐπὶ τῶν ἀνασάρκα συνισταμένων ὑδέρων, ἡ μεταβολὴ γίνεται. διαγνωστέον δὲ τὸν τοιοῦτον ἴκτερον ἐκ τοῦ μὴ ἀθρόως, ἀλλὰ κατὰ μέρος γίνεσθαι, μηδενὸς τῶν εἰρημένων προόντος. καὶ διὰ πόσιν δὲ δηλητηρίου φαρμάκου, καὶ διὰ ἰὸν ἔξωθεν ἔκ τινος ἰοβόλου προσπίπτοντα, συνίσταται τὸ ἰκτερικὸν πάθος.

Τῆς μὲν οὖν θερμῆς δυσκρασίας τοῦ ἥπατος, καὶ τῆς φλεγμονῆς αὐτοῦ. καὶ τῆς τῶν δυνάμεων ἀσθενείας τὴν θεραπείαν, ἔμπροσθεν ἐν τῷ περὶ αὐτοῦ λόγῳ διήλθομεν, ἣν καὶ ἀπαραλλάκτως ἐνταῦθα μετενεγκτέον, ἵνα μὴ ταυτολογῶμεν. Ἐμπεφραγμένων δὲ τῶν πόρων τῆς χοληδόχου κύστεως ἀμφοτέρων, ἢ καὶ θατέρου μόνου, φλεβοτομητέον αὐτοὺς ἀπ' ἀγκῶνος δεξιοῦ. τινὲς δὲ καὶ τούτων, καὶ τῶν διὰ φλεγμονὴν τοῦ ἥπατος ἰκτερικῶν, τὴν ἐγγὺς τοῦ μικροῦ δακτύλου τῆς δεξιᾶς χειρὸς τέμνουσι φλέβα. καταπλάσμασι δὲ, τοῖς ἀφλεγμάντοις χρηστέον,

στέον, καὶ διὰ τῶν ἱδρώτων αὐτοὺς καθαρτέον. ἐπιτήδειοι δὲ, καὶ οἱ κλυστῆρες. προποτιστέον δὲ τοὺς ἰκτερικοὺς, σελίνου, ἢ ἀδιάντου, ἢ λαπάθου, ἢ ἑρπύλλου ἀποτριτωθέντων ἀφέψημα. ἢ ἀψίνθιον ἔμπασσε τῷ ποτῷ. ἄκρως δὲ ποιεῖ ῥαφανίου χυλοῦ κυ. β. μετ᾽ οἴνου κυ. α. ποτιζόμενοι. καὶ χυλοῦ κιχωρείου κυ. β. ἢ γ. κατ᾽ ἰδίαν καὶ μετ᾽ οἴνου. Τοὺς δὲ ἐπὶ φλεγμονῇ τοῦ ἥπατος ἰκτερικοὺς, πότιζε οἰνομέλιτι. ἢ ἀφεψήματι ἀριστολοχίας λεπτῆς, ἢ ὑπερικοῦ, ἢ ἀδιάντου, ἢ στρουθίου, ἢ ἐρυθροδάνου ὁμοίως. ἢ κέρατος ἐλαφείου ῥινήματος < α. μετὰ οἴνου. ἢ σταφυλίνου ἐν οἴνῳ ἑψηθέντος εἰς ἀποτρίτωσιν, τὸ ἀφέψημα. ἢ θείου ἀπύρου < α. ἐν ᾠοῖς ῥοφήτωσαν. ταῦτα καὶ τοὺς ἐπὶ ἐμφράξει μεγάλως ὠφελεῖ. τοῦ δὲ σπέρματος τῆς ἀτραφάξυος γρ. η. μετὰ χρυσαττικοῦ ἢ ἄλλου γλυκέως ἐν τῇ ἐμβάσει πινόμενα, κένωσιν ἱκανὴν ἐργάζεται. καλῶς δ᾽ ἂν ἡ πικρὰ δοθείη, ἥτε ξηρὰ καὶ ἡ διὰ ὀξυμέλιτος καὶ ἡ θεοδώρητος. καὶ ὁ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίσκος, δίδου καὶ κινναμώμου ὅσον τοῖς τρισὶ δακτύλοις ἆραι ἐν οἰνομέλιτος κυ. α. ἢ ὕδατι κεκραμένῳ. ἢ σμύρνης κυάμου μέγεθος, μετὰ πεπέρεως κόκκων ε. ἴσον τε κινναμώμου. Τοὺς δὲ διὰ θερμὴν δυσκρασίαν τῶν στερεῶν ἰκτεριῶντας, ἁπαλαῖς τρίψεσιν, καὶ γυμνασίαις συμμέτροις, καὶ ἀλοιφῇ, καὶ λουτροῖς ἀκτέον. καὶ τῇ ὑγραινούσῃ τε, καὶ μετρίως ἐμψυχούσῃ τροφῇ, χυλοῦ πτισάνης, καὶ ἰντύβων, καὶ σέρεως, καὶ τῶν κιχωρείων, ἰχθύων τε, καὶ οἴνου λεπτοῦ ὑδαροῦς. περὶ δὲ τῶν ἐπὶ δηλητηρίου πόσεσιν ἢ ἐπιδήξεσιν ἰοβόλων εἰς τὸ πάθος ἐλθόντων, κατὰ τὸ πέμπτον εἰρήσεται βιβλίον. ἐναπειλημμένης δὲ χολῆς περὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον, ἐλατηρίου ὀροβιαῖον μέγεθος μετὰ γάλακτος γυναικείου ἔνσταζε τῇ ῥινὶ ἐν βαλανείῳ. καὶ εὐθέως καθείη εἰς τὴν ἔμβασιν, κελεύων μὴ καταδύειν τὴν κεφαλήν. καὶ μετὰ τὸ λουτρὸν ἀναληπτικῶς διαιτήσας, αὖθις ἔγχει τὸ ἔρρινον ἐν ἡλίῳ. ποιεῖ δὲ καὶ κυκλαμίνου χυλὸς, καὶ πρασίου, καὶ μελανθίου. καὶ ὄξος δὲ δριμύτατον ἀνελκέτω ταῖς ῥισὶν ἱστάμενος ἐν τῇ ἐμβάσει, καὶ κρατείτω καὶ τοὺς μυκτῆρας ἕως ὀλίγου, καὶ θαυμαστῶς κενωθήσεται.

Περὶ προπτώσεως ὀμφαλοῦ, να.

Τὴν μὲν αἰτίαν καὶ τὴν χειρουργικὴν θεραπείαν τῶν ὀμφαλῶν ἐξοχῆς, ἐν τοῖς χειρουργουμένοις ἐροῦμεν. ἐπειδὴ δέ τινες καὶ διὰ φαρμακείας εἰς τὸ κατὰ φύσιν ἐπανῆλθον, ταύτην ἐνταῦθα λεκτέον. στυπτηρίας σχιστῆς < ε. τρυγὸς οἴνου < η. ῥοδίνου < ι. κηκίδων ὀμφακίνων < β. οἴνου δις, καὶ μέλιτος ποιήσας πάχος, ἐπίβρεχε ἔξωθεν ἐπιρρίπτων σπογγάριον ὀξυκράτῳ δεδευμένον, καὶ ταινιδίῳ κατάλαμβανε. Ἄλλο. Ἐρεγμοῦ λεπύρων καὶ κηκίδων καὶ βαλαυστίου τὸ ἴσον, ἕψε ἐν ὕδατι. ὅταν δὲ διαλυθῇ, τρίψας ἐπιμελῶς, ἐπιτίθει σὺν τῷ σπόγγῳ, καθάπερ προείρηται. Ἄλλο. μολίβδου ῥινήματος < ις. κωνίου, μάννης, ψιμυθίου, ὑποκιστίδος χυλοῦ, ἀνὰ < α. οἴνῳ διαλύσας χρῶ, καθὰ προείρηται.

Πρὸς τὸ ἀνήβους καὶ ἀγενείους ἐπὶ πολὺ μένειν. καὶ πρὸς τὰς τῶν μορίων καὶ διδύμων φυλακάς. ἐν τούτῳ δὲ καὶ ψίλωθρα. νβ.

Κιμωλίας γῆς καὶ ψιμυθίου τὸ ἴσον ἀναλάμβανε ὑοσκυάμου χυλῷ, ὥστε σχεῖν γλοιοῦ πάχος. εἶτα ἐπιβάλλων ἐλαίου σχινίνου ὅσον ἐξαρκεῖ, ἀνακόπτε, καὶ χρῶ. Ἄλλο. Κωνίου χυλὸν, καὶ στρύχνου, καὶ ὑοσκυάμου, καὶ θέρμου τῶν ἁπαλωτάτων φύλλων, καὶ ψυλλίου τὸ ἴσον τρίψας, χρῶ. πρότερον ἀποσμήξας καὶ λούσας. δεῖ δὲ πρὶν ἡμέρας ὑδροποτεῖν.

Ψίλωθρον ἀφανιστικὸν τριχῶν.

Ὀνίσκων κατοικιδίων τῶν σφαιρουμένων < β. σανδαράχης < δ. ἀσβέστου < η. ὄξους παλαιοῦ κυ. α. κονίας σικυώνης κυ. α. ἕψε ἐν χύτρᾳ καὶ χρῶ ἐν βαλανείῳ. Ἄλλο. Ἀσβέστου κονίας μ. β. ἀρσενικοῦ μ. β. κιμωλίας μ. α. ἑψήσας ἐν ὕδατι χρῶ ὡς εἴρηται. Ἄλλο. Ἁπλοῦν καὶ ἄοσμον. κονίας ἀσβέστου ξ. α. σανδαράχης Γο. α. ἕψε ὡς εἴρηται, καὶ χρῶ. τὰ δὲ ἄτριχα, ἐν τοῖς ὀφθαλμικοῖς εἴρηται.

Περὶ βουβωνοκήλης καὶ ἐντεροκήλης καὶ ὑδροκήλης. νγ.

Αἱ μὲν κατὰ ῥῆξιν τοῦ περιτοναίου γινόμεναι καταλισθήσεις τῶν ἐντέρων, χαλεπαὶ λίαν εἰσίν. αἱ δὲ δι᾽ ἀραίωσιν, εὐιατότεραι, τοῖς παιδίοις μᾶλλον ὡς ὑγροτέροις συμβαίνουσαι. καὶ πολλὰ πάνυ χωρὶς χειρουργίας, διά τε τῶν ἐπιτιθεμένων φαρμάκων καὶ τῆς προσηκούσης ἐπιδέσεως, ἐθεραπεύθησαν. χρηστέον δὲ ταῖς ὑπογεγραμμέναις δυνάμεσι, τοῦτο μόνον ἡμῶν προειπόντων, ὡς μόνῳ τῷ τόπῳ τὰ πάθη διαφέρουσιν. ἕως μὲν γὰρ ἄνω κατὰ τὸν βουβῶνα τοῦ ἐντέρου μένοντος, βουβωνοκήλη. κάτω δὲ πρὸς ὄσχεον ἤδη κατενεχθέντος, ἐντεροκήλη προσαγορεύεται. σιδίων ῥίνων < ι. κηκίδος ὀμφακ. < ε. ἑψήσας ἐν οἴνῳ αὐστηρῷ κυ. γ. λεάνας τε, ἐπιτίθει προανατρίψας τὸ ἔντερον. καὶ προκαταντλήσας ὕδατι ψυχρῷ ἐπίλυε δι᾽ ἡμερῶν γ. μένοντος ἐπὶ κλίνης τοῦ θεραπευομένου, ἐπὶ λ. ἡμέρας, καὶ πίνοντος κυπαρίσσου ἀφε-

ψημα μετὰ οἴνου, ἢ σφαιρίων κυπαρίσσου τριώβολον ἐν κεράματι. τὸ δὲ φάρμακον ἐπὶ παίδων ποιεῖ. Ἄλλο. Ἀνακόλλημα. συμφύτου ῥίζης, πρασίου χυλὸν, ἀμυγδάλων πικρῶν, κόμμεως ἴσα. Ἄλλο. Τερεβινθίνης Γο. α΄. ς΄. κηροῦ, λιβάνου, σμύρνης, ἰχθυοκόλλης, κοχλίων σὺν τοῖς ὀστράκοις ἀνὰ Γο. α΄. τὴν ἰχθυόκολλαν ὄξει πρόβρεχε ἡμέραις τρισίν. Ἄλλο. Κυπαρίσσου σφαιρίων Γο. α΄. κηκίδων Γο. α΄. σιδίων Γο. ς΄. ταυροκόλλης Γο. γ΄. μάννης, λιβάνου Γο. ς΄. συμφύτου Γο. ς΄. κοχλίων σὺν τοῖς ὀστράκοις Γο. α΄. τὰ σφαιρία καὶ τὰ σίδια οἴνῳ στύφοντι ἑψήσας ἐπὶ πολὺ καὶ λειώσας μίξον τὰ λοιπὰ καὶ ἀναλαβὼν χρῶ. Ἄλλο. Ἀλόης, σιδίων, λιβάνου, ὑποκυστίδος χ΄΄. κόλλης τεκτονικῆς, πίσσης, ἀσφάλτου ἀνὰ Γο. α΄. ς΄. οἴνου γλυκέος τὸ ἀρκοῦν. ἕτερον ποικιλώτερον. ποιεῖ καὶ τελείοις τοῖς μὴ χρονίσασιν. χρυσοκόλλης, ταυροκόλλης, σαρκοκόλλης, ἰχθυοκόλλης, λίθου γαγάτου, λίθου αἱματίτου, ῥοῦ συριακοῦ βυρσοδεψικοῦ, ἀκακίας, ἀνὰ Γο. α΄. ς΄. λίθου πυρίτου, ἀπύρου, μάγνητος τοῦ κυανίζοντος, στυπτηρίας σχιστῆς, μάννης, λιβάνου ἀνὰ Γο. α΄. πίσσης βρυτίας Γο. ε΄. κοχλιῶν μετὰ τῶν ὀστράκων Γο. α΄. ἑλκύσματος Γο. δ΄. κηκίδων Γο. α΄, λεπίδος στομώματος Γο. α΄. χαλκοῦ Γο. α΄. ἀσφάλτου Γο. ς΄. μυρσινάτου τὸ ἀρκοῦν. οἴνῳ στύφοντι τὰ ξηρὰ ἀναλαβὼν, ἀμολύντῳ χρῶ. εἰ δὲ μὴ καρτερῶσι κεῖσθαι, τῷ τριγώνῳ τούτους ἐπιδέσμῳ, παχυτέρῳ, καὶ δυναμένῳ πιλοῦν τὸ ἔντερον, ἀσφαλῶς ἐπιδεσμεῖν. ἀπεχέσθωσαν δὲ φυσωδῶν τροφῶν, καὶ οἴνου πλείονος, καὶ συνεχῶν βαλανείων, καὶ συντόνου κινήσεως. οἷον, δρόμου, πηδήσεως, βοῆς, καὶ τῶν παραπλησίων.

Πρὸς ὑδροκήλας, ὥστε κενῶσαι τὸ ὑγρόν.

Πεπέρεως κόκκοι ρ΄. δαφνοκόκκων π΄. νίτρου < . η΄. κηροῦ < . μ΄. ἐλαίου Κο. ς΄. ἀναλαβὼν χρῶ. Ἄλλο. Καλλιστον. λίθου ἀσίου ἄνθους < . ς΄. σταφίδος ἐκγιγαρτισθείσης < . β΄. κυμίνου αἰθιοπικοῦ < . η΄. νίτρου ἐρυθροῦ < . η΄. λειώσας ἐπίθες πυρίαν ὀψὲ καὶ πρωΐ. τινὲς δὲ καὶ θείου < . η΄. Ἄλλο. Ἄσβεστον γλοιῷ ἀναλαβὼν ἐπιτίθει σὺν κηρωτῇ, καὶ βραχὺ νίτρου μίξον τῇ ἀσβέστῳ. Ἄλλο. Ῥίζας κράμβης, καύσας ἀνάλαμβανε τὴν σποδιὰν στέατι χοιρείῳ παλαιῷ τετηκότι. ἐπίλυε δὲ διὰ τρίτης. πρὸς δὲ τὸ μὴ πάνυ συλλογὴν ὑγροῦ γίνεσθαι, χρῶ μαλάγματι τούτῳ. κηροῦ λι. β΄. ς΄. πίσσης Γο. δ΄. ἀμμωνιακοῦ θυμιάματος Γο. δ΄, στυπτηρίας ὑγρᾶς Γο. α΄. ς΄. ποιεῖ δὲ καὶ ἡ διὰ αἰγείρων, καὶ αἱ λοιπαὶ ἐπισπαστικαί.

Περὶ φλεγμονῆς διδύμου καὶ ὄσχεου, καὶ πρὸς ἕτερα αὐτῶν πάθη. νδ΄.

Τοῦ μὲν ὄσχεου τὴν φλεγμονὴν διαγνωστέον, ἐκ τοῦ κατὰ τὴν πρώτην διὰ χειρὸς ψαῦσιν αὐτοὺς ὀδυνᾶσθαι. κἂν τὴν πυράκτωσιν ἢ τὴν σκληρίαν ἐπιτεταμένα φαίνεσθαι. τοῦ δὲ διδύμου φλεγμαίνοντος, οὐ δὲ πρὸς τὴν ἐλαφρὰν ψαῦσιν ὀδυνῶνται, ἀλλ' ἐπερειδομένων τῶν δακτύλων. καὶ τὸ ἔρευθος, ἥτε σκληρότης αὐτοῦ, κατὰ τὴν ἐπιφάνειαν ἧσσον φαίνεται. τῇ δὲ ἐπερείσει, σκληρία κατὰ τὸ βάθος ὑπαντᾷ. καὶ πυρετὸς ἔσθ' ὅτε γίνεται. ἰδίως μὲν οὖν ταῖς τῶν διδύμων φλεγμοναῖς ἁρμόζει φλεβοτομία κατὰ τὸ σφυρόν. κοινῶς δὲ πάσαις, τάτε καταπλάσματα καὶ κηρωταί. καταπλαστέον τοίνυν αὐτοὺς κυαμίνῳ ἀλεύρῳ ἡψημένῳ ἐν κράματι μετὰ σταφίδων λιπαρῶν ἐκγιγαρτισθεισῶν. καὶ κυμίνου ἢ ἀσφοδέλου ῥίζαν ἑψήσας καὶ λειάνας, μίσγε παιπάλῃ ἀλφίτου ἴσῃ, καὶ κατάπλασσε. ἢ λινόσπερμον ἐν κράματι. ἢ τῆλιν ἐν μελικράτῳ. ἢ κρίνου ῥίζαν ἐν μελικράτῳ, ἢ τρυγὶ προσφάτῳ οἴνου μετὰ παιπάλης ἀλφίτου. ἢ ἠριγέροντα, κοριαννὸν χλωρὸν, μετὰ σταφίδων ἐξηρημένων τὰ γίγαρτα. εἰ δὲ πολλὴ πύρωσις εἴη. φύλλοις ὑοσκυάμου σὺν ἀλεύρῳ πυρίνῳ, ἢ ἐξ ἐρεβίνθων κατάπλασσε. ἢ καλάμου φύλλοις. ἢ κολοκύνθῃ ὠμῇ. χρονίου δὲ τῆς διαθέσεως οὔσης μετὰ σκληρίας, σικύου ἀγρίου ῥίζαν ἑψήσας ἐν μελικράτῳ καὶ λειοτριβήσας μετὰ αἰρίνου ἀλεύρου κατάπλαττε. καὶ τοῦτο δὲ καλὸν βοήθημα. σταφίδων ἐκγιγαρτισθεισῶν Γο. ε΄. ἐρεβίνθων ἐκζεσθέντων Γο. α΄. ς΄. κυμίνου Γο. α΄. θείου Γο. θ΄. νίτρου Γο. α΄. ῥητίνης Γο. γ΄. ς΄. λείου πάντα σὺν μέλιτι, καὶ καταπλάσματι χρῶ. κηρωταὶ δὲ αὗται. ἐλαίου Κο. α΄. κολοφωνίας Γο. ς΄. μολυβδαίνης, κυμίνου, σταφίδων, κυαμίνου ἀλεύρου ἀνὰ Γο. δ΄. κηροῦ Γο. β΄. ἕψε τὴν μολύβδαιναν σὺν τῷ ἐλαίῳ, ἕως ποσῆς συστάσεως. εἶτα ἐπίβαλλε κηρὸν καὶ ῥητίνην. καὶ ἐπάρας ἀπὸ τοῦ πυρὸς, ἡμιψυγὲς ἐπίχει ταῖς σταφίσι λείαις. καὶ τοῖς ἀλεύροις. Ἄλλο. Ἐλαίου ἀνηθίνου καὶ ῥοδίνου, κηροῦ πιτύνης. ἀνὰ Γο. ε΄. κυμίνου Γο. β΄. ς΄. ὀνίδα κόπρον Γο. α΄. ς΄. λέου σὺν τῇ ὀνίδι τὸ κύμινον, καὶ ψυγεῖσαν τὴν κηρωτὴν, μίσγε ἐπὶ συλλέου. εἶτα θεὶς ἐν ῥάκει χρῶ, ἄνωθεν ἐπιθεὶς ἔριον ἐλαίου ὀμφακίνου. ἢ βουτύρῳ καὶ ῥητίνῃ ἴσοις χρῶ. ἐὰν δὲ ἀπὸ ἱδρώτων ἕλκη ἐν ὄσχεῳ γένηται. κηκίδα λείαν ἢ στυπτηρίαν ἐπίπασσε λίπει καὶ τραγείᾳ χολῇ, καὶ προχρίε. πρὸς δὲ τοὺς ἀφθῶντας διδύμους. γῆν κιμωλίαν μεθ' ὕδατος προκαταχρίσας, ἔασον ξηρανθῆναι καὶ κατάνιψαι ὕδατι θερμῷ. μυρσίνην ξηρὰν, καὶ σμυρνίου μικρὸν τρίψας, κατάπλασσε. τὰς δὲ ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων. τέφρα κληματίνη νίτρῳ καὶ ὕδατι φυραθεῖσα, ἰᾶται καταπλασσομένη. κνησμοῦ δὲ περὶ ὄσχεον ὄντος, νίτρον, σταφίδα ἀγρίαν, στυπτηρίαν

εἰας

ρίαν ὑγρὰν ὄξει λειοτριβήσας καὶ ῥοδίνῳ, καταχεῖ ἐν βαλανείῳ. μετὰ δὲ τὸ λούσασθαι, καταχεῖ ὡσαύτως τὸ λευκὸν μετὰ μέλιτος.

Περὶ γονοῤῥοίας καὶ ὀνειρογμοῦ. νε.

Ἡ γονόῤῥοια σπέρματός ἐστιν ἀκούσιος ἀπόκρισις, συνεχῶς γινομένη χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως, διὰ τὴν τῆς καθεκτικῆς δυνάμεως ἀσθένειαν γινομένη. ἐφ᾽ ἧς ἁρμόζει ἐφ᾽ ἡσυχίας τηρεῖν, σκέποντας τήν τε ὀσφὺν καὶ τὰ ἐφήβαια, πλήμασι δι᾽ οἴνου καὶ μηλίνου ἢ οἰνανθίνου. ἑξῆς δὲ καταπλάσσειν τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ἀκακίας τε καὶ ὑποκυστίδος, καὶ ῥοὸς, καὶ τῶν ὁμοίων. ἐγκαθίζειν τε σχίνου καὶ βάτου καὶ τῶν παραπλησίων ἐν οἴνῳ ἀφεψήμασιν, ἢ καὶ ὕδασι. καὶ τροφαῖς χρῆσθαι ἀναξηραντικαῖς. μετὰ δὲ τοὺς πρώτους χρόνους, ἄγειν ἐπὶ γυμναστικὴν ἀγωγὴν, δι᾽ ἧς τό, τε ὅλον σῶμα, καὶ τὰ πεπονθότα μέρη εἰς ῥῶσιν προαχθήσεται. πρὸς δὲ τὸν τοῦ σπέρματος πλεονασμὸν, ἐν τοῖς ὑγιεινοῖς αὐτάρκως εἴρηται, κατὰ τὸ πρῶτον βιβλίον. ἔνθα καὶ πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν γέγραπται. καὶ πρὸς ὀνειρογμούς. προσωφελοίη δ᾽ ἂν αὐτοὺς καὶ στρωμνὴ ψυχροτέρα, καὶ κατάκλισις σώματος ἐπὶ δεξιὰ ἢ ἐπ᾽ ἀριστερὰ, καὶ ὅσα φάρμακα ψυχρὰ, ὑποχριόμενα τῇ ὀσφύϊ. ὁποῖά ἐστι τό, τε κοριαννὸν καὶ κώνειον, καὶ τὸ ψιμμύθιον, καὶ ἀνδράχνη. ταῦτα δὲ μετ᾽ ὄξους.

Περὶ σατυριάσεως. νϛ.

Ἡ σατυρίασις ἐστὶ παλμὸς τοῦ αἰδοίου. φλεγμονώδει τινὶ διαθέσει τῶν σπερματικῶν ἀγγείων ἑπόμενος μετ᾽ ἐντάσεως. καὶ εἰ μὴ παύσαιτο ὁ παλμὸς, κατασκήπτειν εἴωθεν εἰς πάρεσιν τῶν σπερματικῶν ἀγγείων, ἢ σπασμόν. καὶ ἀπόλλυνται ὀξέως οἱ σπασθέντες. τελευτῶντες δὲ φυσῶνται γαστέρα, καὶ ἱδροῦσι ψυχρόν. ἔστι δὲ τὸ νόσημα, σπάνιον μὲν καὶ γυναιξὶν συμβαῖνον. φλεβοτομεῖν οὖν αὐτίκα, καὶ δίαιταν λεπτήν τε καὶ ἄοινον ἐπιτρέπειν. καὶ καθ᾽ ἡμέραν μὲν, ἰσχυρῶς μηδέποτε, ἡσυχῇ δέ. ἄριστον μὲν οὖν ἐστι τεῦτλον, καὶ μαλάχη, καὶ τῆς λινοζώστεως ὀλίγον, καὶ τῶν κοχλιαρίων ὁ ζωμὸς. οὐ κάκιον δὲ καὶ ἁπλῶς κλύζειν. τὰς δὲ οὐρητικὰς δυνάμεις φυλακτέον. ἐπιφέρειν δὲ καὶ τῇ ὀσφύϊ τῶν ψυχόντων, οἷον στρύχνου χυλὸν, ἢ ἀνδράχνης, ἢ ὑοσκυάμου, ἢ κωνίου. ἀναγκαῖον δὲ καὶ τὸν καυλὸν καὶ τὸν περίναιον τῶν πραϋνόντων ψυκτηρίων καταχρίειν τινὶ, οἷον λιθαργύρῳ, κιμωλίᾳ, ψιμμυθίῳ, ὄξει διειμένοις ἢ ὕδατι, ἢ οἴνῳ γλυκεῖ, ἢ σιραίῳ. ὕπτιον δὲ ἀναπαύεσθαι, βλαβερόν. πίνειν δὲ τὴν τῆς νυμφαίας ῥίζαν, καὶ ἴριν καὶ ἀδίαντον. τὸ δὲ πηγάνου συμφέροι ἂν ἐπὶ τῶν γονοῤῥοικῶν, καὶ τῶν σατυριώντων. τροφὴν δὲ διδόναι σιτώδη, ὀλίγην, καὶ δίψει πιέζειν. ἐπιμένοντος δὲ τοῦ πάθους, σικυαστέον μετὰ κατασχασμοῦ. εἰ δὲ πλῆθος παρακέοιτο, καὶ βδέλλαις κενοῦν, καὶ τὰς κοιλίας ὠμῇ λύσει καταπλάσσειν.

Περὶ πριαπισμοῦ. νζ.

Ὁ πριαπισμός ἐστιν αὔξησις αἰδοίου μόνιμος, εἰς μῆκός τε καὶ κύκλον ὀγκουμένου, χωρὶς τῆς ὁρμῆς τῆς πρὸς ἀφροδίσια. φυσώδους δὲ ἐστι δηλονότι πνεύματος, τὸ ἐξογκοῦν τὸ μόριον, τικτομένου ἐξ ὑγρῶν καὶ γλίσχρων καὶ παχέων ὑπὸ θερμότητος μετρίας. πρόδηλον ὡς οὐ δεῖ τὰ μόρια θερμαίνειν, ἀλλὰ ψύχειν ἐπιεικῶς τῇ ῥοδίνῃ κηρωτῇ μεθ᾽ ὕδατος ἀνακοπτομένῃ, καὶ διὰ τῆς χαμαιμήλου, τῷ τε αἰδοίῳ καὶ ταῖς ψόαις ἐπιτιθέντα. τὴν δίαιταν, καὶ φάρμακα προσάγειν τῆς λεπτυνούσης δυνάμεως, ἄνευ τοῦ θερμαίνειν φανερῶς. προσάγειν δὲ καὶ τὰ φυσικῶς ἐνεργοῦντα τὰ διὰ τῆς πείρας εὑρημένα. τήν τε οὖν νυμφαίαν πίνειν, καὶ τούτοις διδόναι, καὶ τὸ τοῦ ἄγνου σπέρμα, καὶ πηγάνου χλωροῦ τοῖς ὄψοις μιγνύντα. τοῦτο δὲ κατ᾽ ἀρχὰς μὴ διδόναι. θερμαίνει γὰρ ἱκανῶς. ἀλλ᾽ ὕστερον μετὰ τὴν χρῆσιν τῶν ἄλλων λεπτυνόντων. κενώσει δὲ χρώμενον, δι᾽ ἐμέτων τοῦτο ποιεῖν. αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς, ῥευματίζουσι πολλάκις γειτνιῶντα τὰ μόρια. καὶ γυμνασίαν δὲ καὶ τρῖψιν παραληπτέον, πρὸς τὴν τῶν πνευμάτων διαφόρησιν. οὐδ᾽ ἐνὶ τῶν εἰρημένων ἁρμόζει συνουσία, πλὴν ἐφ᾽ ὧν διὰ τὴν ταύτης ἀρχὴν πλεονάζειν τὸ σπέρμα στοχαζόμεθα.

Περὶ ἀπράκτων μορίων. νη.

Οἱ τοῦτο τὸ πάθος ἔχοντες, οὐχ ὁρμῶσι πρὸς ἀφροδίσια, καὶ ἄθυμοι διὰ τοῦτο γίνονται. αἰτία δὲ τούτων, ἡ τῶν μορίων παράλυσις, ἢ σπέρματος ἔνδεια. τῶν τε οὖν γεννητικῶν τοῦ σπέρματος, ἐν τοῖς ὑγιεινοῖς κατὰ τὸ πρῶτον βιβλίον εἰρημένων, καὶ τῶν παρορμώντων εἰς συνουσίας πρὸς τὴν ἁπλῆν δύναμιν, νυνὶ τὰ ἰσχυρότερα προσθετέον. κοινῶς μὲν οὖν, τοῖς πρὸς παράλυσιν ἀκόποις κἀνταῦθα χρηστέον. ἰδίως δὲ, καύσας ἀσκαλαβώτην λειοτρίβησον, εἶτα ἐπιβαλὼν ἔλαιον χρῖσον τοῦ δεξιοῦ ποδὸς τὸν μέγα δάκτυλον, καὶ συγγίνου. εἰ δὲ βούλει παύσασθαι, ἀπόπλυνον τὸν δάκτυλον. καὶ τὸ διὰ τῶν ἀσκαλαβωτῶν δὲ πολυμίγματον φάρμακον, τῶν δραστηρίων ἐστί. προσποτίζειν δὲ τοῖς ἐντατικοῖς, οἷόν ἐστι πρῶτον τοῦτο. πεπέρεως, κωναρείων, πετροσελίνου, ἐλαφείου αἰδοίου ῥινήματος, τερεβινθίνης, ἴσα μέλιτι ἀναλάμβανε. Ἄλλο, Ἐρεβίνθων ὠμῶν, κωναρείων, ἀνὰ γο. β῾. εὐζώμου, πεπέρεως ἀνὰ γο. α῾. μέλιτι δίδου δίδραχμον σὺν οἴνῳ. καὶ ἡ σατυ-

ριακὴ λεγομένη πολυσύνθετος ἁρμόσει, καὶ τὰ τούτοις παραπλήσια. σκοπεῖν δὲ καὶ τὰς ἄλλας τοῦ πάθους αἰτίας, καὶ κατάλληλον αὐταῖς ἐπιφέρειν τὴν διόρθωσιν.

Αἰδοιϊκὰ καὶ ἑδρικά. νθ.

Τὰ ἐν αἰδοίοις ἕλκη, καὶ τὰ κατὰ τὴν ἕδραν, χωρὶς φλεγμονῆς ὄντα, ξηραινόντων πάνυ δεῖται φαρμάκων, οἷα ἐστὶ τό, τε διὰ τοῦ κεκαυμένου χάρτου, καὶ ἄνηθον κεκαυμένον ξηρόν, καὶ κολοκύντη κεκαυμένη. τοῖς δὲ ἀνίκμοις καὶ προσφάτοις τῶν ἑλκῶν, καὶ ἡ ἀλόη φάρμακον ἀγαθόν ἐστιν, ἐπιπλαττομένη ξηρὰ χνοώδης. πάντων δὲ ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον, ὁ πομφόλυξ ἐστίν. εἰ δὲ ὑγρότερα τύχοι τὰ ἕλκη, πίτυος φλοιὸς καθ' ἑαυτὸν καὶ λίθος αἱματίτης. εἰ δὲ καὶ βάθος αὐτοῖς τι συνείη τοῖς εἰρημένοις, μάννης μικτέον. νομῆς δὲ οὔσης, καταπλαστέον φακῇ μετὰ σιδίων. καὶ τῷ κοράκῳ δι' ὀξυμέλιτος προσαγορευομένῳ χρηστέον, τῷ τε Βιθυνῷ, καὶ τῷ διὰ χάρτου. ῥαγάδας δὲ τὰς ἐν αἰδοίοις καὶ ἕδρᾳ ὠφελεῖ, ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ τριβεῖσα, ὥστε γενέσθαι γλοιώδη, μιγνυμένου καὶ ᾠοῦ λεκύθου, καὶ ὀπίου. ἤγουν κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἡ τέφρα, τριβεῖσα σὺν ῥοδίνῳ ἐν τῇ μολυβδαίνῃ θυΐᾳ, προσφερέσθω. καὶ ὁ δι' οἰνελαίου δὲ τροχίσκος, καὶ τὸ λιθοφρύγιον, πάνυ καλά εἰσι πρός τε ῥαγάδας, καὶ τὰ περὶ τὴν στεφάνην ῥυπαρὰ ἕλκη. καὶ μάλιστα ὅταν ἀποσύρειν μὴ δύνωνται.

Ἕτερον ἁπλοῦν καὶ τὰς δριμύτητας ἀμβλῦνον.

Καδμίας κεκαυμένης καὶ πεπλυμένης ℥.β̄. ῥόδων ἀπωνυχισμένων τῶν φύλλων ℥.ς̄. ξηρὸν ἐπίπασσε, προαπονίπτων ἀπίῳ. πρὸς δὲ τὰ κονδυλώματα. χαλκίτεως, ὑσσώπου, κηρωτῆς μυελοῦ ἐλαφείου, βάτου φύλλων ἴσα μετὰ κηρωτῆς. καὶ ὁ δι' οἰνελαίου, ὁμοίως. εἰ δὲ κατὰ τὸν καυλὸν ἔνδον ἐκ τοῦ αἰδοίου τρήσεως ἀφανὲς ἕλκος γένηται, γινώσκεται ἐκ τοῦ πύον ἢ αἷμα κενοῦσθαι χωρὶς οὐρήσεως. θεραπεύεται δὲ πρῶτον μὲν ὑδαρεῖ μελικράτῳ κλυζόμενον, ἔπειτα δὲ γάλακτι. κἄπειτα μίξαντας τῷ γάλακτι τὸ τοῦ ἀστέρος κολλύριον, ἢ τὸν λευκὸν τροχίσκον, ἢ τὸν διὰ λωταείων ἐν μολυβδαίνῃ θυΐᾳ παραπέμπειν, ἤγουν καὶ πτερὸν βάψαντας διὰ χειρῶν. εἶτα λεπτὸν στρεπτὸν χρίσαντας ἐνθεῖναι. κάλλιστον δέ ἐστι καὶ τὸ λαμβάνον κηκίδος καὶ πομφόλυγος, ἀμύλου τε καὶ ἀλόης ἴσα, λειωθέντα ῥοδίνῳ καὶ χυλῷ ἀρνογλώσσου.

Πρὸς δὲ τοὺς τοῦ αἰδοίου πόνους.

Βουτύρου καὶ ῥητίνης ἴσοις τακεῖσι καλῶς, ἐπίπλαττε. ἢ λινοσπέρμου χυλῷ λείου, σμύρνης, καὶ ῥητίνης φρυκτῆς τὸ ἴσον, καὶ ἐπιτίθει.

Πρὸς δὲ τὸ οἰδοῦν αἰδοῖον.

Ἀμπέλου φύλλων ἁπαλῶν <.ᾱ. ψιμυθίου <.ε̄. τρίψας κατάπλασσε. χρῶ δὲ καταντλήσει θαλάττης ψυχρᾷ, καὶ ἀναπαύσει καὶ ἀναδήσει τοῦ καυλοῦ. θύμους δὲ τοὺς ἐν αἰδοίοις ἀποθεραπεύει, καὶ οὐκ ἐᾷ πάλιν αὔξεσθαι. τέφρα κλημάτων σὺν ὄξει καταπλασθεῖσα. ἰτέας τε τοῦ φλοιοῦ κεκαυμένου ἡ τέφρα. καθόλου δὲ ὅ, τε θύμος καὶ ἡ μυρμηκία καὶ ἀκροχορδών. διὰ μὲν τῶν σφοδρῶς ἑλκούντων φαρμάκων ἀποσπασθήσεται. διὰ δὲ τῶν σηπόντων νεκρὰ γίνεται. ἰδίως δὲ ἐλατήριον μεθ' ἄλλων ἐπιτιθέν, ὄλυνθοι μετ' ὄξους, καὶ νίτρου καὶ ἀλεύρου. ὀπὸς συκῆς χεόμενος. σμαρίδος κεφαλὴ ταριχηρὰ καυθεῖσα, ἰὸς μετὰ θείου ἀπύρου καυθείς, τιθυμάλλου ὀπὸς χεόμενος, ὠκίμου φύλλα μετὰ χαλκάνθου, ἢ ἡλιοτροπίου τοῦ μεγάλου καρπὸς σὺν οἴνῳ καταπλασθείς.

Πρὸς φλεγμονὴν δακτυλίου.

Ψιμυθίου ℥.δ̄. πομφόλυγος ℥.ᾱ. ἢ καδμίας ἁπαλῆς, λιβάνου ℥.ᾱ. σέρεως. χ. κο. ᾱ. ἄνιει, καταβραχὺ τὸν χυλὸν ἐπιβάλλων ἕως οὗ ἀναλωθῇ. εἶτα ποιήσας κηρωτὴν ἐκ ℥.β̄. κηροῦ, καὶ ῥοδίνου λι.ᾱ. ἀναξύσας, μίγνυε μαλάσσων εὐτόνως. ἐνίει δὲ διὰ πυουλκοῦ καὶ ἐπάνω ἐπίδει. ποιεῖ δὲ καὶ πρὸς ῥαγάδας φλεγμαινούσας, καὶ τὰς μετὰ πυρώσεως, ἢ δηγμοῦ, ἐν ἕδρᾳ ἑλκώσεις.

Πρὸς ἐρυσιπέλατα περὶ ἕδραν.

Τῆς διὰ χυλῶν λι.ᾱ. ῥοδίνου τὸ αὔταρκες. ἄρτου καθαροῦ λι.ᾱ. κρόκου ℥.ᾱ. ὀπίου ℥.ᾱ. ὁ κρόκος καὶ τὸ ὄπιον βρέχεται γλυκεῖ. ὁ ἄρτος ὕδατι. εἶτα λειωθεῖσιν αὐτοῖς ἐπιβάλλεται ἡ διὰ χυλῶν καὶ τὸ ῥόδινον, καὶ μαλάσσεται. ποιεῖ δὲ καὶ πρὸς θερμοτάτας ποδάγρας. Ἄλλο. Ποιοῦν καὶ πρὸς φλεγμονὴν δακτυλίου. Ψιμύθιον οἴνῳ καὶ ῥοδίνῳ, ἐν μολιβδίνῳ ἰγδίῳ, καὶ μολιβδίνῳ δοίδυκι λειώσας, κατάχεε. ἢ ψιμυθίου καὶ ᾠοῦ τὸ λευκὸν καὶ ῥόδινον, ἐν τῷ αὐτῷ ἰγδίῳ λειώσας ἕως γλοιώδης γένηται, κατάχεε.

Ἑδρικὸν πρὸς περιωδυνίας.

Ὑοσκυάμου φύλλων τῶν ἁπαλῶν, ἀνδράχνης φύλλων τῶν ἁπαλῶν, ψιχῶν βραχεισῶν εἰς οἶνον, ᾠῶν ὀπτῶν τῶν πυρῶν τὸ ἴσον, ῥοδίνου τὸ ἀρκοῦν. μετὰ τὸ πυριάσαι τὸν τόπον, ῥόδων καὶ μελιλώτων ἀποζέματι, ἐπίθες τὸ κατάπλασμα.

Ἑδρικὸν κάλλιστον πρὸς τὰς τοῦ δακτυλίου φλεγμονὰς καὶ πρὸς ἐξοχάδας.

Ψιμυθίου, λιθαργύρου, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου ἀνὰ γρ. ς΄. τερεβινθίνης γο. α΄. κηροῦ γο. ϛ΄. τὰ ξηρὰ λείωσον χυλῷ στρύχνου, ὑοσκυάμου, ἢ ἀνδράχνης, καὶ τὰ τηκτὰ μίξας ἀναλάμβανε, καὶ μαλάξας ῥοδίνῳ, χρῶ. καὶ ἡ Εὐτύχη δὲ τὸ φάρμακον, καὶ τὸ διὰ μολυβδαίνης, πρὸς τὰς τοῦ δακτυλίου φλεγμονάς. ὅ, τε διὰ τῶν λωταρίων, καὶ ὁ δι' ἁλικακάβου, καὶ ὁ διὰ ῥόδων τροχίσκος, τῶν εὐδοκίμων εἰσὶν ἑδρικῶν τε καὶ αἰδοιϊκῶν.

Πρὸς ἐξοχάδας δακτυλίου.

Φλεγμαινουσῶν μὲν τῶν ἐξοχάδων. τοῖς τε λεχθεῖσι κοινῶς χρηστέον καὶ ἰδίως, τῷδε δὲ τῷ τροχίσκῳ. Ψιμυθίου γο. γ΄. πομφόλυγος γο. α΄. λιθαργύρου γο. β΄. μαστίχης γρ. ς΄. ὑοσκυάμου χυλῷ ἀναλάμβανε. ἀφλεγμάντων δὲ οὐσῶν, κυπαρίσσου σφαιρίων καυθέντων τὴν τέφραν ἐπίπαττε, οἴνῳ προαπονίψας. ἢ κολοκύνθης ξηρᾶς τοῦ φλοιοῦ καυθέντος. ἢ φοινίκων ὀστῶν τὴν τέφραν ὁμοίως. ἢ λεπύρων ᾠῶν, καὶ μαράθρων, τὴν τέφραν. ἢ χυλοῦ ῥοᾶς τῶν φύλλων ἴσῳ οἴνῳ λευκῷ μίξας πρόσκλυζε, ἐπὶ ἡμέρας ζ΄. πρὸς δὲ τὰς τυλώδεις ἐξοχάς. τίτανον καὶ ἀρρενικὸν μετὰ ὄξους δριμέως λειώσας, καλὸν εἰ καὶ ἐν ἡλίῳ καταχρίεις.

Περὶ αἱμορροΐδων.

Τῶν αἱμορροΐδων πλεῖον τοῦ δέοντος κενουμένων. ἐξυδατοῦσθαι τὴν ἕξιν συμβαίνει, καὶ πονηρῶς ἀκρίτους γίνεσθαι. κίνδυνος δὲ, καὶ λαύρου τῆς αἱμορραγίας γινομένης. ὥσπερ αὖ, καὶ τοῦ αἵματος εἰς τὸ παντελὲς ἐπισχεθέντος. ὅθεν ἐργώδης ἡ θεραπεία. διὸ πλειόνων οὐσῶν τῶν αἱμορροΐδων. μίαν ὑπολιπεῖν χρὴ καθάρσεως ἕνεκα. τινὲς δέ εἰσιν ἀνωτέρω μὴ φαινόμεναι, καὶ διὰ τοῦτο δυσίατοι. αἱ δὲ τυφλαὶ ἀποκρίνουσι μὲν οὐδὲν, ἐπώδυνοι δὲ μᾶλλόν εἰσιν. πρὸς μὲν οὖν ταύτας, κυκλαμίνου χυλὸν κατάχεε, καὶ ἀναστομοῦνται. πρὸς δὲ τὰς ἀμέτρως κενουμένας. ἐν ὕδατι ξε. η΄. ἕψεται ἀκάνθης αἰγυπτίας ἀκτῆς φύλλων, ἀρτεμισίας ἀνὰ γο. ε΄. ἕως λειφθῇ τὸ ἥμισυ, καὶ σιδηρίτιδος γο. δ΄. εἶτα αἱ μὲν βοτάναι ῥίπτονται, τῷ δὲ ὕδατι μίγνυται ξηρὸν τοῦτο. μελαντηρίας στρογγύλης < η΄. λιθαργύρου < δ΄. κηκίδος γο. γ΄. μίσυος < β΄. στέρεως < β΄. λύσας τὸ ξηρὸν ἐν τῷ ἀφεψήματι καταιόνησον ἑπτάκις τῆς ἡμέρας. τῇ δὲ ἐπιούσῃ ὡσαύτως ἑτέραν σκευασίαν ἰσοσταθμὸν καταιόνησον. καὶ τῇ τρίτῃ ὁμοίως. εἰ δ' ἐπιμένει τι λείψανον, τῇ τετάρτῃ κατακεντήσας ῥαφίδι. εἰ αἰσθάνοιτο, ἢ αἱμάσσοι, τὸ μὲν ἀφέψημα ὁμοίως ποίει. τοῦ δὲ ξηροῦ τὸ ϛ΄. μίσυ γε. καταιονήσας δὲ, πρόσπαττε τῶν ξηρῶν, ἵνα ἀκριβῶς καυθῶσι. διὰ δὲ τὴν φλεγμονὴν ἄρτῳ κατάπλασσε. Ἄλλο. Ἄρτον καθαρὸν ἐμβρέξας εἰς γάρον πρωτεῖον, καὶ καύσας ἐν χύτρᾳ καινῇ, καὶ λειώσας, κατάπλασσε οἴνῳ προαποπλύνων. ποιεῖ καὶ πρὸς ἐξοχάδια. Ἄλλο. Στέρεως < β΄. χαλκίτεως < α΄. μίσυος < α΄. χαλκάνθου < γ΄. σχιστῆς < θ΄. χαλκοῦ κεκαυμένου < α΄. μελαντηρίας < α΄. χρῶ ξηρῷ. τροφαὶ δὲ ταῖς μὲν ὑπερκενουμέναις ὀλίγαιμοί τε καὶ ἄπεπτοι ἁρμόζουσιν, καὶ ξηραντικαὶ καὶ στύφουσαι, οἷός ἐστιν ὅ, τε πλυτὸς χόνδρος δι' ὀξυκράτου, καὶ ὄρυζα καὶ ἄλιξ. καὶ τῶν λαχάνων, ἴντυβά τε, καὶ κιχόρεια, καὶ ἀνδράχνη. καὶ τῶν οἴνων, οἱ στύφοντες. ἐπὶ δὲ τῶν ἀποτυφλωθεισῶν αἱμορροΐδων, ἁρμόσουσιν αἱ ταύτης ἐναντίαι. μάλιστα δὲ τευθίδων, καὶ σηπιῶν, καὶ πολυπόδων, νάρκης τε καὶ τῶν σελαχίων ἐδωδὴ, καλῶς ἂν ἁρμόσοι. ταρακτικὰ γάρ ἐστι ταῦτα τοῦ αἵματος. καὶ τὰ τῶν καταμηνίων δὲ ἀγωγὰ τούτοις ἁρμόσει.

Πρὸς προπίπτοντας ἀρχούς.

Ἐρείκης καρποῦ, κηκίδων, ψιμυθίου, ἀκακίας, ὑποκιστίδος χυλοῦ, πίτυος φλοιοῦ, λιβάνου, σμύρνης ἀμιναίας. ἴσα ξηροῖς κατάπλασσε προαπονίψας, οἴνῳ αὐστηρῷ. Ἄλλο. Σκωρίας μολίβδου, ῥοῦ, συριακοῦ, ἀνὰ γο. η΄. ῥόδων ἀνθοῦς < δ΄. σμύρνης ἀμιναίας < β΄. χρῶ ὡς τῷ πρώτῳ. Ἄλλο. Πίτυος φλοιοῦ, μάννης, λιθαργύρου, ἀνὰ < η΄. κυπαρίσσου σφαιρίων ξηρῶν, μολυβδαίνης ἀνὰ < β΄. χρῶ ὡς εἴρηται. καὶ τὸ οὖρον αὐτοῦ τοῦ νοσοῦντος ἔτι θερμὸν προσαντλούμενον βοηθεῖ.

Περὶ τῶν κατὰ τὴν μήτραν παθῶν. καὶ πρῶτον περὶ ἐμμηνίων καθάρσεως. ξ΄.

Ταῖς πλείσταις ἡ κάθαρσις γίνεται περὶ τεσσαρεσκαιδέκατον ἔτος. ὀλίγαις δὲ θᾶσσον, κατὰ τὸ τρισκαιδέκατον, ἢ δωδέκατον. οὐκ ὀλίγαις δὲ βράδιον τῶν δεκατεσσάρων ἐτῶν. χρόνος δὲ ἑκάστῃ καθάρσει τεταγμένος οὐκ ἔστιν. πολλαῖς δὲ ἐπὶ δύο ἢ τρεῖς, ταῖς πλείσταις δὲ ἐπὶ πέντε ἡμέρας ἐκκρίνεται. ἄλλαις δὲ καὶ ἄχρι ἑπτά. σπάνιαι δὲ καὶ ἄχρι δωδεκάτης ἐκαθάρθησαν. παύονται δὲ τῆς καθάρσεως αἱ μὲν περὶ τὸ πεντηκοστὸν ἔτος. σπάνιαι δὲ μέχρι τοῦ ἑξήκοντα. ἔνιαι δὲ ἀπὸ πέντε καὶ τριάκοντα, καὶ μάλιστα ταῖς καταπιμέλοις, λήγειν ἤρξατο καταμήνια. στραγγευομένης οὖν τῆς καθάρσεως, λύειν περὶ τὴν προθεσμίαν καὶ προποτίζειν, ἢ σισάμου, ἢ κεφαλωτοῦ πράσου, μετὰ πεπέρεως καὶ πηγάνου εἰς τὸ αὐτὸ ἑψημένοις. ἡ δὲ πόσις διὰ γλυκέως γινέσθω κρητικοῦ. κοτύλην δὲ πινέτω, περιπάτοις κινείτω τὰ ἐμμήνια. ἐσθιέτω δὲ τευθίδας, σηπίας, πολύποδας. καὶ ὅσα τοῦ αὐτοῦ γένους ἐστί. τοῦ γὰρ αἵματος ἰδίως εἰσὶ ταρακτικά.

Περὶ ἐποχῆς ἐμμηνίων. ξα.

Ἐπέχεται ἡ ἐμμήνιος κάθαρσις, ποτὲ μὲν ὅλου τοῦ σώματος ἀρρώστως διακειμένου, ποτὲ δὲ τῆς ὑστέρας αὐτῆς ἴδιον πάθος ἀναδεδεγμένης, διὰ ψύξιν ἐντόπιον, ἢ πληγὴν, ἢ δυσκρασίαν ἐκ γενετῆς, ἢ ἐπίκτητον κάκωσιν. ὡς τὸ πολὺ δὲ ἐκ τῶν ἀμβλώσεων, καὶ διά τι μόριον τῶν κυριωτέρων πρωτοπαθῆσαν. οἷον ἧπαρ, ἢ κοιλίαν, ἢ θώρακα, ἢ τι τῶν τοιούτων ἐν χρονίῳ γεγονὸς πάθει. ἐπισχεθεῖσα δὲ, πολλῶν καὶ χρονίων παθῶν εἴωθεν αἰτία γίνεσθαι. ὅταν μὲν οὖν διά τινα τῶν ἐπιδιδίων πρωτοπάθειαν ἀποκόπτηται ἢ στραγγεύηται ἡ κάθαρσις, προηγιαίτατον ἡ τοῦ πρωτοπαθήσαντος ἐστὶν θεραπεία, καὶ μετ' αὐτὴν ἡ τῆς ὑστέρας ὑπόμνησις. τὰ δὲ τούτων σημεῖα ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν. ὅταν δὲ μηδὲν ἐκείνων παρῇ, πρόδηλόν ἐστιν αὐτὴν πρωτοπαθεῖν τὴν ὑστέραν. μὴ κωλυούσης οὖν ἡλικίας, ἢ ἕξεως, ἢ ἑτέρου τινὸς, φλεβοτομίᾳ χρηστέον, μὴ πρὸ τῆς τῶν ἐμμηνίων προθεσμίας. προελθούσης δ' ἐπιμετρείσθωσαν ἡμέραι δέκα. ἀφαιρείσθω δὲ μήτε πλέον β΄. ς΄. λιτρῶν, μήτε ἔλαττον μιᾶς, εἴτε φλεβοτομήσαιμεν, εἴτε μὴ, τῇ διὰ κολοκυνθίδος ἱερᾷ καθαίρειν, διδόντας δύο δραχμῶν πλῆθος ἐν ς΄. κυάθοις μελικράτου. πυρετοῦ δὲ παρόντος, τῇ μὲν ἱερᾷ χρῆσθαι οὐκ ἐγχωρεῖ. εὔκαιρον δέ ἐστι φλεβοτομεῖν ἐν ταῖς πρώταις τοῦ πυρετοῦ ἡμέραις. μετὰ δὲ τὴν κάθαρσιν ἀναληπτέον ἐπ' ὀλίγας ἡμέρας. ἐν δὲ ταῖς ἑξῆς γυμναζέσθω περιπάτοις, τρίψεσι τῶν κάτω, καὶ λουέσθω. τροφαὶ δὲ ἁρμόζουσιν εὐδιοίκητοι καὶ ὑγραὶ, λάχανα τὰ γλυκέα ἅπαντα, ἰχθύων οἱ πετραῖοι, πτηνῶν τὰ ἁπαλώτερα, γαλακτοποσίαι, μελιτώματα, οἶνος λεπτὸς λευκὸς, μὴ πάνυ παλαιὸς, ἄθετα κρέα, καὶ ὄσπρεια, πλὴν πτισάνης. πλησίον δὲ τῆς προθεσμίας γινομένης, διδόναι τῶν θαλασσίων τὰ σελάχια, καὶ τὰ μαλάκια, ὡς εἴρηται, καὶ τὰ ὀστρακόδερμα, καὶ τὰ κεφαλωτὰ πράσα, σὺν τῷ πηγάνῳ καὶ ὑπεψηθέντα. καὶ τὸ ἀφέψημα αὐτῶν πινέτωσαν τότε, καὶ δεσμοῖς τὰ κάτω διασφίγγειν μέρη ἐπὶ τρεῖς ἢ δ΄. ἡμέρας. ἐνστάσης δὲ τῆς προθεσμίας περιαιρείσθω μὲν ἡ σφίγξις, προποτιζέσθωσαν δὲ σμύρνης ὀβολὸν, ἢ κυάμου μέγεθος, ἢ κασσίας διὰ γλυκέος, ἢ μελικράτου, ἢ ἀφέψημα ἀρτεμισίας, ἢ ἐλελισφάκου μετὰ λουτρὸν διὰ γλυκέος καὶ ἀψινθίου. ἀψινθίτης δὲ παρ' ὅλην τὴν θεραπείαν προποτιζέσθω. προελθούσης δὲ τῆς προθεσμίας, καὶ μηδενὸς, ἢ μὴ ἀξιολόγως ἐκκριθέντος, ἀπὸ σφυροῦ φλεβοτομητέον, καὶ ἐπαφαιρείσθω. μετὰ δὲ τὴν ἑβδόμην ἢ ὀγδόην ἡμέραν, τῇ διὰ τῆς ἱερᾶς χρήσθω καθάρσει. καὶ μετὰ δ΄. ἡμέραν δρωπακιζέσθω κατά τε ἦτρου καὶ ὀσφύος, καὶ μηρῶν. ὑδροποτίσασα δὲ τρεῖς ἡμέρας καταπλασσέσθω νάπυϊ σὺν πρὸς ἴσον ἄρτου βεβρεγμένου, ἄχρι ὥρας ἰσημερινῆς, ἔπειτα λουέσθω. τῇ δὲ ἑξῆς μὲν ἰσχάδες ἀντὶ τοῦ ἄρτου μιγνύσθωσαν εἰς ἀφέψημα τήλεως, καὶ μαλάχης, καὶ γλήχωνος, καὶ πηγάνου, καὶ ἀρτεμισίας. εἰς δὲ τὸν κόλπον ἐγχυματιζέσθω, σούσινον, ἢ ἀμαράκινον. καὶ πεσσὸς προστιθέσθω ὁ ἐννεαφάρμακος, ἢ ὁ λιβάνιος. πεσσὸς δέ ἐστιν ἔριον διεξασμένον, καὶ ἤτοι σφαιρωθὲν, δακτύλου σχῆμα εἰληφὸς ἐν ᾧ ἐγκατέχεται τὰ φάρμακα. αὕτη μὲν οὖν ἡ θεραπεία πλείσταις ἤρκεσεν πρὸς κάθαρσιν. εἰ δὲ ἰσχυροτέρων δέηται φαρμάκων, εἰσὶ τάδε. ἶρις ἰλλυρικὴ πινομένη μετ' οἴνου, καὶ κύπερις, καὶ ἄρου ῥίζα, καὶ κασσία, καὶ σχοίνου ἄνθος, καὶ νάρδος, ἐλενίου τε ῥίζης ἀφέψημα, καὶ σμύρνη κυάμου ἑλληνικοῦ μέγεθος, σὺν γλυκεῖ πινόμενα ἐν ἡμίσει κυάθου μελικράτου, καὶ δικτάμνου ἀφεψήματος κυ. β΄. καὶ ἀμμωνιακὸν, καὶ σαγαπηνόν. ταῖς δὲ δυσπαθεστέραις τὸν στόμαχον, καὶ ὀποπάνακος βραχὺ σφαιρωθὲν, καὶ ἐν ἀπέφθῳ μέλιτι βραχὲν, καὶ τὰ συνήθη δὲ ἡμῖν σπέρματα κινεῖν πέφυκεν, ἔλαττον δέ. οἷον μάραθρον, κύμινον, σέλινον, δαῦκος κρητικὸς, σέσελι, ἄμι, σίνων, ἐρέβινθοι, καὶ κεγχρίδες, καὶ πάντα τὰ διουρητικὰ, προσθετὰ δὲ, σμύρνα, ἀψινθίου ἢ θέρμων ἀφεψήματι λεανθεῖσα, ἢ πηγάνου χυλῷ λεανθεῖσα, βδέλλιόν τε ὡσαύτως, στύραξ τε καὶ τῆς ἀγρίας ἐλαίας τὸ κόμμι, ἢ πηγάνου χυλοῦ ὁμοίως. ἢ μακρὰ ἀριστολοχία διαγλυφομένη εἰς σχῆμα κολλυρίου. παραπλησίως δὲ καὶ ἡ τῆς μεγάλης κενταυρείου ῥίζα, ἢ ἐλλεβόρου, ἢ ὀπὸς σκαμμωνίας, καὶ κολοκυνθίδος ἐντεριώνη καθ' ἑαυτὴν, καὶ ἀρτεμισία καταπλασσομένη μετὰ πηγάνου, καὶ χαλβάνη ὑποθυμιωμένη. τὰ δὲ αὐτὰ καὶ τὰ ἔμβρυα πέφυκεν ἐκβάλλειν.

Περὶ ὑπερκαθάρσεως καὶ αἱμορραγούσης ὑστέρας. ξβ.

Ὑπερκαθάρσεις δὲ γυναιξὶν γίνονται, ποτὲ μὲν, τῶν καταμηνίων ἐπιτεινόντων καὶ ἀθροωτέρον φερομένων. ποτὲ δὲ ἐπὶ τελείαις ἀποτέξεσιν, αἵ τινες ὡς τὸ πολὺ καὶ αὐτομάτως παύονται. συνεχῶς δὲ καὶ ἐπὶ ἀμβλώσεσιν, ἰσχυρῶς αἱμορραγοῦσιν, ὥστε πολλάκις ἐπιγίνεσθαι κίνδυνον. πρῶτον μὲν οὖν διασφίγγειν τὰ κῶλα ἀπό τε μασχαλῶν καὶ βουβώνων. διδόναι δὲ πιεῖν ὀξύκρατον μὴ ψυχρὸν, καὶ προσαντλεῖν ὀξυκράτῳ. ἐπιτιθέναι τε τοῖς τόποις πολλὰ ἔρια ἐξ οἴνου καὶ ἐλαίου, ἢ ῥοδίνου, ἢ μηλίνου, ἢ μυρσίνου ἀποτεθλιμμένα. ῥοφὴν δὲ δοτέον, χόνδρον πλυτὸν ἐξ ὀξυκράτου, ἢ ὄρυζαν, ἢ ἄλικα. οἴνου δὲ ἀπέχοντα, ὑδρόμηλον αὐστηρὸν, ἢ ὀμφακόμελι, ἢ

τι τῶν

ἀντὶ τῶν ποτίστων αὐταῖς δοτέον. προποτίζειν δὲ βαλαύστιον ἐν ὀξυκράτῳ, ἢ ὑποκυστίδα, ἢ ἀκακίας χυλόν, ἢ λύκιον, ἢ σάμιον ἀστέρα, ἢ ὄμφακα ξηρόν, ἢ ῥοῦν, ἢ φακοῦ ἐξ ἰταλικοῦ κεράμου καυθέντος τὴν σποδόν, ἢ σήσαμον ἐσθίειν ἐν ὀξυκράτῳ βραχέντα. ἕως οὖν τρυφερὸν γένηται. προσθετὰ δὲ διὰ τοῦ γυναικείου, στέλλει τὰς αἱμοῤῥαγίας, ὑποκυστίδος χυλός, ἢ ἀκακίας σὺν μάννῃ, λειωθέντες σὺν ὄξει. θαυμαστῶς δὲ ἀρήγει σπόγγος οἴνῳ ἢ ὑγρᾷ πίσσῃ δευθείς, καὶ προστεθείς. ἢ κηρωμένης αὐτοῦ, ἢ σποδιὰ μετὰ ὄξους, ἢ ὀξυκράτου προστιθεμένη. ὁμοίως δὲ καὶ τοῦ φελλοῦ τοῦ ἀπὸ τοῦ ἰταλικοῦ κεραμίου καυθέντος, σποδία. ἔξωθεν δὲ ἐπιτιθέμενα, ὠφελεῖ τὰ στύφοντα ἐπιθέματα, καὶ τὰ διὰ φοινίκων καὶ κυδωνίων καταπλάσματα, προσειληφότα σίδια, ἢ πρινοβαλάνους, ἢ βάτου τοὺς ἀκρέμονας, ἢ σχίνου φύλλα, βαλαύστιον, ἀκακίαν, ὑποκυστίδα, κηκίδα, βραθύ, στυπτηρίαν, μάλιστα δὲ τοῦτο. ταυρόκολλα βρέχεται ὀξυκράτῳ ἕως οὗ διαλυθῇ, ἔπειτα εἰς ῥάκος ἰσχυρὸν ἐμπλάσσεται, καὶ κολλᾶται τῇ ὀσφύϊ. ἐνεργῶς δὲ πρὸς τοῦτο ποιοῦσι, καὶ αἱ κολλητικαὶ τῶν ἐμπλάστρων. οἷον ἁρμονία, ἱκέσιος, ἀθηνᾶ, μηλίνη ἰνδική, καὶ αἱ παραπλήσιοι. πεσσοῖς δὲ χρῆσθαι πρὸς αἱμοῤῥαγίαν. κηκίδος, τὸ ἐντὸς λεῖον καὶ λιβανωτὸν διεὶς ὕδατι προσίθει. ἢ κυτίνους, ἢ ῥοᾶς γλυκείας ὁμοίως, ἢ πολύγονον λεῖον. σύνθετος δέ, στυπτηρίας σχιστῆς, κηκίδων τοῦ ἐντὸς ἀκακίας χ´ μάννης ἀνὰ < .δ´. ᾠῶν ὀπτῶν λέκυθοι δ´. τὰ ξηρὰ λειαίνεται χ´. ἀρνογλώσσου, καὶ μίγνυται. ἐν δὲ τῇ χρήσει ἀναλαμβάνεται εἰς πεσσὸν ἐρεοῦν, καὶ ἀποβάπτεται εἰς ῥόδινον, καὶ προστίθεται. καὶ σικύαι δὲ κοῦφαι μεγάλαι, πολλάκις ὑπὸ τοὺς τιτθοὺς προστεθεῖσαι, ἱκανῶς ἀντισπῶσιν. ἐγκάθισμα δὲ ταῖς αἱμοῤῥαγούσαις. ὀξυσχοίνου, κεφαλῶν μυρσίνης, ῥόδων, ῥάμνου φύλλων, βάτου ἀκρεμόνων, ἴσα ἑψήσας ἐν ὕδατι ἐγκάθιζε. Ἄλλο. Ῥοιᾶς γλυκείας ῥίζης φλοιοῦ, μυρσίνης, κυπαρίσσου φλοιοῦ, ἀνὰ μ´.γ´. κηκίδος μ´.α´. ὕδατι τὸ ἀρκοῦν. ἐγχυμάτιζε δὲ διὰ μητρεγχύτου, χυλὸν ἀρνογλώσσου, ἢ σέρεως, ἢ πολυγόνου, ἢ στρύχνου, ἢ περδικίου, ἢ ψυλλίου, ἢ ὑποκυστίδος, ἢ ἀκακίας. καὶ ἐντιθέσθω ταῦτα διὰ ἐρίου, ἢ δακτύλου, ἢ μήλης, ἢ πτεροῦ εἰς μῆκος ἐσχηματισμένου, ἄχρι τοῦ στομίου. καὶ ὁ ἀνδρώνος δὲ τροχίσκος, ἐγχυματιζόμενος διὰ μητρεγχύτου, μετά τινος τῶν εἰρημένων χυλῶν, ἢ οἴνου στύφοντος, ἐνεργές ἐστι φάρμακον.

Περὶ γυναικείου ῥοῦ. ξγ´.

Ῥευματισμός ἐστιν ὑστέρας, ὁ ῥοῦς ὅλου τοῦ σώματος ἐκκαθαιρομένου. τούτου δὲ ἔστιν ἰδέαν εἶναι τὸ κενούμενον, οἷον καὶ τὸ πλεονάζον. τὸ μὲν ἐρυθρόν, οἷον ἰχὼρ αἵματος. ἕτερον δὲ λευκόν, ἀπὸ φλέγματος. ὠχρὸν δὲ ἄλλο, τὸ πικρόχολον. Ἄλλο δὲ ὑδατῶδες εἶναι ποτὲ δὲ αἷμα καθαρόν, ὡς ἐν φλεβοτομίᾳ, φέρει. προσέχειν ἀκριβῶς μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ. σημειωτέον δὲ τὸν ῥοῦν, ἐκ τοῦ συνεχῶς ἐπικαθυγραίνεσθαι τοὺς τόπους, διαφόροις τισὶ χροαῖς ὑγροῖς. τὰς δὲ κάμνουσας ἀχροεῖν, ἄτροφον, ἀνόρεκτον. κἂν τοῖς περιπάτοις δυσπνοεῖν, καὶ διῳδηκότας ἔχειν τοὺς ὀφθαλμούς. καί ποτε μὲν μετὰ πόνου, ποτὲ δὲ χωρὶς πόνου γίνεσθαι. καὶ ἢ μεθ᾽ ἑλκώσεως, ἢ χωρὶς ἑλκώσεως, ἤτοι φλεγμαινούσης, ἢ ῥυπαρᾶς ἢ καθαρᾶς. ὅλῳ μὲν οὖν τῷ σώματι βοηθεῖν τοῖς ξηραίνουσιν, ὑγροῦ τοῦ πάθους ὄντος, χωρὶς τοῦ θερμαίνειν ἐπιφανῶς. τρίψεσί τε τοῦ σώματος ὅλου καὶ χείρεσι διὰ μέλιτος ἱκανῶς ἑψηθέντος, καὶ διουρητικὰ φάρμακα διδόναι. οἷον ἐστὶν ὕδωρ ἐναφεψηθέντος αὐτῷ ἀσάρου καὶ σελίνου. κενοῦν δὲ καὶ διὰ γαστρὸς ὅλον τὸ σῶμα. πρὸς δέ γε τούτοις, ἀνδράχνη ἐσθιομένη, καὶ ὁ χυλὸς αὐτῆς πινόμενος ὠφελεῖ. βαλαύστιον, βάτου ὁ καρπὸς καὶ τὸ ἄνθος, δρυὸς τὰ ὑπὸ τὸν φλοιόν, τοῦ πρέμνου τὸ ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τοῦ βαλάνου. ἵππουρις μάλιστα τὸν ἐρυθρὸν ῥοῦν πινομένη δι᾽ ὕδατος ἢ οἴνου, ἢ ὑποκυστίς. σχίνου ὁ καρπὸς φρυγεὶς μετ᾽ οἴνου πινόμενος. σάμιος ἀστήρ, λημνία σφραγίς, πυτία λαγωοῦ, ἢ ἐρίφου, ἢ ἀρνός, ἢ μόσχου, ἢ ἐλάφου. γίγαρτα, λεῖα, μύρτα, ὄμφαξ ξηρός, πίτυος φλοιός. καὶ τὰ ἐπὶ τῆς αἱμοῤῥαγούσης ὑστέρας εἰρημένα, τὰ μὴ λίαν δραστήρια. ὅταν δὲ μετὰ πόνου φέρηται, διὰ μητρεγχύτου, ἢ κλυστῆρος, χυλὸν ἁλίκου ἢ πτισάνης, ἢ τράγου, ἢ ὀρύζης ἐνετέον αὐτῇ, μετά τινος τῶν ἀνωδύνων φαρμάκων, καὶ ἐν μὲν τοῖς παροξυσμοῖς, παρηγορητέον, ἐν δὲ τοῖς διαλείμμασι, περιοδίζειν ἐνίοτε, μετασυγκρίνειν ἐώραις διαφόροις, περιπάτοις, ἀναφωνήσεσιν, ἀλείμμασιν, σικύαις, δρώπαξι τισὶ τῶν ὑπερκειμένων, κλιώσεσι, τρίψεσι, ψιλώθροις, σμήγμασι, σιναπισμοῖς, ἐμέτοις ἀπὸ ῥαφανίδων, τῇ ἀναληπτικῇ ἐπιμελείᾳ, λουτροῖς, οἴνῳ, ποικίλῃ τροφῇ.

Περὶ φλεγμονῆς ὑστέρας καὶ παρεγκλίσεως. ξδ´.

Ἡ φλεγμονὴ τῆς ὑστέρας ἐκ πλειόνων αἰτίων γίνεται. καὶ γὰρ ἐκ πληγῆς, καὶ τῆς τῶν ἐμμηνίων ἐποχῆς, ἀπό τε ψύξεως καὶ πνευματώσεως. οὐχ ἥκιστα δὲ καὶ ἐξ ἀμβλώσεως, καὶ ἐκ τοκετῶν διὰ κακὴν κύησιν. παρέπεται δὲ τῇ φλεγμονῇ τῆς μήτρας, πυρετὸς ὀξύς, ὀδύνη τε τῆς κεφαλῆς, καὶ τένοντος, καὶ βάσεων ὀφθαλμῶν, καρπῶν τε καὶ δακτύλων, καὶ τραχήλου κατασπασμός.

σπασμός. παρέγκλισις ἐπὶ τἀναντία. στομάχου συμπάθεια. μύσις τοῦ ὑστέρας στομίου. σφυγμοὶ μικροί, πυκνοί. καὶ εἰ μὲν ἀμυδρὰ εἴη ἡ φλεγμονή, οὐκ ἰσχυρῶς αὐτὴν ὀδυνῶνται τῆς ὑστέρας. εἰ δὲ ἰσχυρά, καὶ αὐτὴ πάσχει σφυγματωδῶς ὀδυνᾶται. ὅλη μὲν φλεγμαινούσης, δι' ὅλης αὐτῆς. εἰ δὲ μέρος φλεγμαίνοι, κατὰ τοῦτο μᾶλλον ἡ ὀδύνη διασημαίνει. τῶν μὲν γὰρ ὄπισθεν αὐτῆς μόνον φλεγμαινόντων, τὸ ἄλγημα κατὰ τὴν ὀσφὺν γίνεται. τὸ σκύβαλον ἐπέχεται, θλιβομένου τοῦ ἀπευθυσμένου. τῶν δὲ ἔμπροσθεν, ἥ τε ὀδύνη κατὰ τὸ ἦτρον, καὶ στραγγουρία ἢ δυσουρία γίνεται, τῆς κύστεως θλιβομένης. τῶν δὲ πλευρῶν φλεγμαινόντων, οἵ τε βουβῶνες τείνονται, καὶ τὰ σκέλη βαρύνονται. τοῦ δὲ πυθμένος φλεγμαίνοντος, κατὰ τὸν ὀμφαλὸν ὁ πόνος μάλιστα γίνεται σὺν ὄγκῳ. περὶ δὲ τὸ στόμιον οὔσης τῆς φλεγμονῆς, κατὰ τὸ ὑπογάστριον ὀδυνῶνται, καὶ τῷ δακτύλῳ καθιεμένῳ σκληρὸν καὶ ἀπηνὲς ὑποπίπτει τὸ στόμιον. ἐν οὖν τῇ θεραπείᾳ, πρῶτον μὲν ἐμβροχῇ διὰ οἰνελαίου ἢ οἰνοροδίνου χρηστέον κατά τε ἦτρου καὶ τοῦ ὀσφύος, διὰ πιλημάτων ἐξ ἐρίου καθαροῦ χωρὶς ὑπολέσεως. καὶ ἀσιτίᾳ μέχρι διατρίτου. μεθ' ἣν φλεβοτομητέον ἀπ' ἀγκῶνος, εἰ μηδὲν κωλύοι. θρεπτέον δὲ χόνδρῳ ἐκ μελικράτου, ἢ ἄρτῳ, ἢ ᾠῷ ῥοφητῷ παρὰ μίαν. μετὰ δὲ τὴν πέμπτην καταπλαστέον γύρει, λινοσπέρμῳ, τήλει, διὰ μελικράτου ἐν ᾧ κωδίαι ἀφεψηθεῖσαι ἐῤῥίφησαν, καὶ ἐλαίου. εἰ δὲ ἀγανακτοίη πρὸς τὰς θερμασίας ἡ φλεγμονὴ ἐρυσιπελατώδης οὖσα, μελίλωτον ἑψήσας ἐν γλυκεῖ, καὶ τρίψας, ἐπίβαλλε λεκύθους ᾠῶν ὀπτῶν, σὺν ῥοδίνῳ ἢ μηλίνῳ ἢ κροκίνῳ, καὶ κατάπλασσε. ἢ φοίνικας οἴνῳ κεκραμένῳ ζέσας λείου μετὰ παιπάλης ἀλφίτων, καί τινος τῶν εἰρημένων μύρων, καὶ κατάπλασσε. παρακμῆς δὲ γινομένης, κηρωτὴν ναρδίνην ἢ κυπρίνην ἐπιῤῥιπτέον. παρ' ὅλην δὲ τὴν θεραπείαν καὶ τοῖς ἐγκαθίσμασιν χρηστέον, διὰ ἀφεψήματος τήλεως ἢ λινοσπέρμου, μαλάχης, ἀρτεμισίας, ἐλαίου. ἐπὶ δὲ τῶν μὴ ἀνεχομένων τῆς θέρμης, δι' ὕδατος θερμοῦ ῥοδίνου ἐπιχεομένου. πεσσοὺς δὲ καὶ ἐγχυματισμοὺς παραληπτέον, διὰ ὑσσώπου μὲν καὶ βουτύρου, καὶ μυελοῦ ἐλαφείου, καὶ χηνὸς στέατος, καὶ σουσίνου μύρου, καὶ κηροῦ τυῤῥηνικοῦ. ἐφ' ὧν ἀνέχονται θερμασίας. καὶ ὁ χρυσοῦς δὲ προσαγορευόμενος πεσσὸς ἁρμόσει ταύταις, καὶ ἡ ἐννεαφάρμακος. ἐφ' ὧν δὲ μὴ ἀνέχονται, διὰ ᾠοῦ, καὶ ῥοδίνου, καὶ χηνὸς στέατος ἢ ὄρνιθος. πρὸς δὲ τὰς πυρωδεστέρας φλεγμονὰς τῆς διὰ χυλῶν ἐμπλάστρου ἐν διπλώματι μετὰ ῥοδίνου τήξεως μίγνυε χυλὸν ἀρνογλώσσου, ἢ σέρεως, ἢ κιχωρείου, ἢ ἰντύβου. ἢ τούτῳ χρῶ. στέατος χηνείου ἢ ὑείου προσφάτου < δ'. κηρωτῆς ῥοδίνης ἢ σουσίνης ℥ β'. ᾠῶν ὀπτῶν λεκύθων ℥ α'. κρόκου < α'. σμύρνης τριώβολον. ὀπίου ὀβολοὺς β'. ἢ ἀντὶ ὀπίου κωδυῶν ἀφέψημα. πολλῆς δὲ τῆς ὀδύνης οὔσης, ὀπίου μήκωνος ὅσον φακοῦ μέγεθος μετὰ γάλακτος γυναικείου, καὶ χυλοῦ τήλεως, δίδου προσίθεσθαι. πρὸς δὲ τὰς μετὰ σκληρίας φλεγμονάς, τὴν τετραφάρμακον ῥοδίνῳ λύσας, προσίθει ἢ ἔγχει. καὶ τὰς παρεγκλίσεις δέ, κατὰ μὲν τοὺς παροξυσμοὺς ἐμφερῶς ταῖς φλεγμοναῖς θεραπευτέον. ἐν δὲ ταῖς ἀνέσεσι καὶ παρακμαῖς, μαλακτικωτέροις. καὶ χρονισάντων δέ, τοῖς μετασυγκριτικοῖς, ἔξωθεν δὲ σκληρίας οὔσης, μαλάγμασι χρηστέον, τῷ διὰ μελιλώτων, τῷ μνασαίου, τῇ ἱκεσίου, τῇ μελίνῃ σαραπίωνος, ἢ τῇ πυρίνῃ. δίαιτα δέ, κατ' ἀρχὰς μὲν λεπτή. παρακμῆς δὲ γινομένης ὀλίγης, ἐπὶ λουτρὸν ἀκτέον. ποικιλωτέρᾳ τε καὶ ἁδροτέρᾳ χρηστέον τροφῇ.

Περὶ ἀποστήματος ὑστέρας. ξε'.

Τῆς φλεγμονῆς εἰς ἀπόστασιν μεταβαλλομένης, τὰ μὲν λεχθέντα σημεῖα ἐπιταθήσεται. προσέτι δὲ ἄτακτοι μετὰ φρίκης αὐταῖς ἐπισημασίαι γίνονται. κατὰ μὲν τοὺς πρώτους χρόνους ἐπιτεταμέναι σὺν ταῖς ὀδύναις. τελέως δὲ διαπυησάσης, ἐπὶ ποσὸν ἀνίενται. περὶ δὲ τὸν τῆς ῥήξεως καιρὸν οἵ τε πόνοι δριμύτεροι πολλάκις ἔδοξαν ἐμπεσεῖν νυγματωδῶς, καὶ τὰ πυρέτια σφοδρότερον ἐνοχλεῖ, καὶ ποτὲ μὲν οὖρον ἐπέχεται, ποτὲ δὲ κόπρος, παρὰ τὸ πεπονθὸς τῆς ὑστέρας μέρος γινομένου τοῦ παραποδισμοῦ. ποτὲ δὲ ὄγκος παρὰ τὸ ἐφήβαιον, καὶ οἷον κλυδασμοῦ συναίσθησις, ὁπότε τὸ ἀπόστημα μεῖζον ᾖ. τὸ δὲ ἐν τοῖς προχείροις τόποις καὶ διὰ διοπτρισμοῦ ἢ δακτύλων ἁφῆς καταλαμβάνεται, πρὸς τῷ καὶ τὰς ὀδύνας ἰσχυροτέρας ἔχειν διὰ τὸ νευρῶδες τοῦ στομίου. ὥσπερ οὖν τὸ ἐν τῷ πυθμένι, καὶ περὶ τὸν κόλπον, ἀμυδρότερόν ἐστιν. καὶ τοῖς μὲν δακτύλοις, ὄγκος οὐχ ὑποπίπτει. τὸ δὲ στόμιον ἰσχνότερον δείκνυται. τῇ μὲν οὖν τάχιον ἐκπυήσει συνεργητέον διά τε καταπλασμάτων τῶν διὰ τήλεως, καὶ λινοσπέρμου, καὶ κριθίνου ἢ σιτίνου ἀλεύρου, παραπλεκομένων αὐτοῖς σύκων ἑφθῶν. ποτὲ δὲ καὶ περιστερᾶς κόπρου. καὶ ἐγκαθίσμασι δὲ τοῖς ἐπὶ φλεγμονῇ συνεχέστερον χρηστέον. καὶ πεσσοῖς διὰ τερεβινθίνης, τῆς σμύρνης, καὶ ὑσσώπου, καὶ βουτύρου. συῤῥαγέντος δὲ τοῦ ἀποστήματος, εἰ μὲν ἐπὶ κύστιν ἐνεχθῇ τὸ πύον, γαλακτοποσίαις χρηστέον, καὶ σικύου σπέρματι ποτιστέον. εἰ δὲ εἰς ἀπευθυσμένον συῤῥα-

γῇ,

γῆ, φακοῦ καὶ σιδίων ἀφεψήματι κλυστέον. εἰ δὲ κατὰ τὸν κόλπον ῥαγείη, καθαροῦ μὲν ὄντος τοῦ πύου ῥόδινον ἐγχυματίζειν ἢ λελευκασμένον ἔλαιον, ἢ τὴν τετραφάρμακον βασιλικήν, ἢ βούτυρον πρόσφατον. ἰχῶρος δὲ φερομένου λεπτοῦ, δυσώδους, ὡς ἀπὸ νομῆς, στυπτικώτερον ἔσω τὸ ζέμα διὰ μύρτων, φοινίκων, φακῆς. καὶ μετὰ τὴν ἔκκρισιν τῶν ὑγρῶν, εἰ φλεγμαίνοιεν, ἐπιμενετέον τοῖς τε καταπλάσμασι καὶ τοῖς ἐγκαθίσμασι. περὶ δὲ τὸ στόμιον τῆς ὑστέρας γενομένου τοῦ ἀποστήματος, καὶ μὴ συῤῥηγνυμένου. μετὰ τὸ λεπτοποιηθῆναι τὰ ἐπικείμενα τῷ πύῳ σώματα, ἐπὶ τῇ διὰ χειρουργίας ἐκκρίσει τοῦ πύου τραπέσθαι. ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται.

Περὶ ἑλκώσεως ὑστέρας. κεφ. ϛ.

Ἑλκοῦται πολλάκις ἡ ὑστέρα, διὰ δυστοκίαν, ἢ ἐμβρυουλκίαν, ἢ φθοράν, ἢ ὑπὸ φαρμάκων δριμέων, ἢ ὑπὸ ῥεύματος, ἢ ἐξ ἀποστημάτων συῤῥαγέντων. εἰ μὲν οὖν πρόχειρος εἴη ἡ ἕλκωσις, διὰ διοπτρισμοῦ καταλαμβάνεται. εἰ δὲ διὰ βάθους, ἐκ τῶν ἐκκρινομένων. ὑγρὸν γὰρ ἀποκρίνεται διάφορον. φλεγμαίνοντος μὲν τοῦ ἕλκους, ὀλίγον, αἱματῶδες, ἢ ῥυπῶδες, σὺν περιωδυνίᾳ. ῥυπαροῦ δὲ ὄντος, πλεῖον, καὶ ἰχωρῶδες σὺν ἐλάσσονι πόνῳ. νεμομένου δέ, δυσῶδες, μέλαν, σὺν ἀλγήμασιν ἰσχυροτέροις, καὶ τοῖς ἄλλοις τῆς φλεγμονῆς σημείοις. ὁ δὲ ἐρεθισμός, πρὸς τὰ χαλαστικὰ τῶν φαρμάκων. πρὸς δὲ τἀναντία, κουφισμός. καθαροῦ δὲ ὄντος, ὑγρὸν ὀλίγον, ὁμαλόν, ἄοσμον, παχύ, λευκὸν ὑπ' ἀναισθησίας. φλεγμαίνοντος μὲν τοῦ ἕλκους, τοῖς πρὸς φλεγμονὴν εἰρημένοις χρηστέον. ῥυπαροῦ δὲ ὄντος, πτισάνης χυλὸν μετὰ μέλιτος ἐγκλυστέον, ἢ τὴν τετραφάρμακον μετὰ σουσίνου ἢ μελικράτου, ἑψημένης ἐν αὐτῷ τήλεως ἢ μαλάχης ἢ πιτύρων ἢ φακοῦ λελεπισμένου. πρὸς δὲ τὸ μᾶλλον ἀνακαθᾶραι, ἐπὶ πρασίου ἢ ὀρόβου. ἢ μέλιτι παραπλέξαντα τοῦ ὀρόβου τὸ ἄλευρον, ἢ ἴριν, ἢ στυπτηρίαν στρογγύλην, ἢ τι τῶν ἐμφερῶν παραπέμπειν. τούτοις δὲ αὖθις, καὶ ἔξωθεν καταπλάττειν, μελικράτῳ πεφυραμένοις. ἰδιαίτερόν τε ὠφελεῖ τόδε τὸ φάρμακον. κρόκος κάλλιστος λεαίνεται μετὰ γυναικείου γάλακτος. εἶτα ἀναληφθεὶς κηρωτῇ ῥοδίνῃ, μετὰ χηνείου στέατος, ἐγχεῖται κροκύδι. τοῦτο δὲ σπουδαιότερον, καὶ πρὸς περιωδυνίας ἁρμόζον τοῦτο. κωδύαι μήκωνος ἐν γλυκεῖ κεκραμένῳ μίγνυνται ἐπὶ ἡμέρας γ', εἶτα ἑψοῦνται ἕως τακερωθῶσιν, εἶτα τρίβονται ἅμα ῥοδοφύλλων < ε'. κρόκου < γ'. παραμιγνυμένου τοῦ τῶν κωδυῶν ἀφεψήματος. εἶτα καταχεῖν αὐτῶν, τήξαντα σὺν ῥοδίνῳ κηροῦ < β'. καὶ προσιθέναι ἐν πεσσῷ, χρίσαντα ῥοδίνῳ. ποιεῖ δὲ καὶ τὸ δι' ᾠῶν καὶ κρόκου, καὶ ῥοδίνου, καὶ χηνὸς στέατος, καὶ ἐλαφείου μυελοῦ σκευαζόμενον. καὶ ἡ αἰγυπτία δὲ ἡ δίχα τοῦ ἰοῦ θαυμασίως ἁρμόζει πρὸς τὰς ἑλκώσεις. νομῆς δὲ οὔσης, σὺν φλεγμονῇ μέν, καταπλαστέον ἄρτῳ χλιαρῷ πεφυραμένῳ δι' ὑδρομέλιτος, καὶ ἐλαίου, καὶ ἀλθαίας, καὶ τήλεως, καὶ φοινίκων λιπαρῶν. ἐνετέον δὲ χυλὸν ἀρνογλώσσου, στρύχνου, πολυγόνου, σέρεως. πρῶτον μὲν καθ' αὐτά, ὕστερον δὲ μετ' οἴνου αὐστηροῦ ἢ ὄξους. ἄνευ δὲ φλεγμονῆς τῆς νομῆς κατεπειγούσης, ἐνετέον τὰ στυφνότερα, καθάπερ ἀφέψημα σιδίων, ῥόδων, θαλίας, κυπαρίσσου, μήλων κυδωνίων, βάτου, μύρτων, σχίνου, ῥάμνου, ῥοῦ σκυτοδεψικοῦ, δι' οἴνου στύφοντος. ὕστερον δὲ καὶ στυπτηρίας, ἀκακίας, λυκίου, ὑποκυστίδος. ἐκ δὲ τῶν αὐτῶν ἀφεψημάτων ἔσω καὶ ἐγκάθισμα. μὴ προκόπτοντος δέ, ἐνιέναι τὸ διὰ χάρτου μετ' ὀξυκράτου τὸ πρῶτον, εἶτα ὄξους. ἢ τὴν ἀνθηράν, ἢ χαλκῖτιν, ἢ χάλκανθον, διὰ τῶν αὐτῶν ὑγρῶν. καὶ τὰ τοῖς δυσεντερικοῖς ἁρμόζοντα. διδόναι δὲ τροφὴν εὔχυμον, ὀλίγην. καθαροῦ δὲ γενομένου τοῦ ἕλκους, λούειν τε ποικιλώτερον, καὶ τρέφειν, καὶ οἶνον παρέχειν, ὅπως ἡ σάρκωσις ταχέως γίνοιτο. ἐν πεσσοῦ δὲ μέρει προσθετέον τὴν διὰ μόρων, ἀνειμένην διὰ καδμίας, ἢ λαδάνου, ἢ μολυβδαίνης. ἔξωθεν δὲ καὶ ἀπουλωτικὴν ἔμπλαστρον ἐπιθετέον ἐπιγαστρίῳ καὶ ἰξύοις. ὥσπερ γὰρ τῶν καταπλασμάτων, οὕτω καὶ τῶν ἐμπλάστρων ἡ δύναμις διὰ τῶν ἀδήλων διενεχθήσεται πόρων.

Περὶ καρκίνου. κεφ. ζ.

Τῶν ἐν τῇ μήτρᾳ καρκίνων, οἱ μὲν μεθ' ἑλκώσεως, οἱ δὲ χωρὶς ἕλκους συνίστανται. ἐπὶ μὲν οὖν τῶν ἀνελκώτων, ὄγκος εὑρίσκεται περὶ τὸ στόμιον τῆς ὑστέρας σκληρός, ἀνώμαλος, ὀχθώδης, χρόα τρυγώδης, ἐνερευθής. ποτὲ δὲ καὶ ὑπόπελιος. καὶ πονοῦσιν ἰσχυρῶς κατά τε βουβῶνας καὶ ἐπιγάστριον, καὶ ἦτρον, καὶ ὀσφύν. ἀγανακτοῦσί τε πρὸς τὰς χειραψίας, καὶ τὴν ποικιλωτέραν φαρμακείαν. ἡλκωμένου δὲ ὄντος τοῦ καρκίνου, πρὸς ταῖς ὀδύναις καὶ σκληρείαις καὶ ὄγκῳ, διαβεβρωμένα, καὶ ἀνώμαλά τε ἕλκη θεωρεῖται. κατὰ μὲν τὸ πλεῖστον, ῥυπαρά, ὀχθώδη, λευκανθίζοντα, εἰδεχθεῖς ἐπιπάγους ἔχοντα. τὰ δὲ δοκοῦντα καθαρά, τρυγώδη, πελία, ἐνερευθῆ, καὶ δίαιμα φαίνεται. ἐκκρίνεται δὲ συνεχῶς ἀπ' αὐτῶν ἰχὼρ λεπτός, ὑδατώδης, μέλας. ἢ πυῤῥός, δυσώδης. ἐνίοτε δὲ καὶ αἷμα φέρεται, τά τε ἄλλα σημεῖα ἐπὶ φλεγμαινούσης ὑστέρας εἰρημένα. τὸ μὲν οὖν πάθος ἀνίατον, ὥσπερ καὶ Ἱπποκράτης ἀπεφήνατο. παρηγορεῖν δὲ ὅμως

αὐτὰς

αὐτὰς ἐγκαθίσμασι μὲν, τοῖς διὰ τήλεως καὶ μαλάχης, καταπλάσμασί τε τοῖς ὁμοίοις. λίαν δὲ παρηγοροῦσιν ἐν τοῖς παροξυσμοῖς, μαλάχη ἢ ἀλθαία ἐν μελικράτῳ τακεροθεῖσα καὶ συλλειωμένη μετὰ ὀλίγου ῥοδίνου, καὶ καταπλασσομένη. καὶ τὸ διὰ τῶν ἰσχάδων καὶ μελιλώτων, καὶ πηγάνου, καὶ λιβάνου, καὶ βουνιάδος βοτάνης κοπτομένης ἐπιμελῶς σὺν ἐλαίῳ, κατάπλασμα. καὶ τὸ διὰ φοινίκων ἑψημένων ἐν γλυκεῖ, προσλαβὸν λεκύθους ὠῶν, καὶ ἄλφιτα. ἢ μήκωνος μετὰ κοριάννου, ἢ πολυγόνου, ἢ σέρεως. ταῦτα μὲν ἐν ταῖς περιωδυνίαις. μετὰ δὲ ταῦτα, κηρωτὴ ἐπιρριπτέσθω διὰ ῥοδίνου ἢ μυρσίνου, ἢ οἰνανθίνου, ἢ μηλίνου, μετὰ φοινίκων ἐν γλυκεῖ ἑφθῶν. ἰδίως δὲ συμπεφώνηται, τὸ διὰ τῆς ὑποστάθμης τῆς ἐν τοῖς χαλκίοις, ἣ ἵνα ἐπιπληθεῖσα λειοτριβεῖται, καὶ ἀναλαμβάνεται κηρωτῇ ῥοδίνῃ μέχρι συστάσεως ἐμπλαστρώδους. ταῦτα μὲν ἔξωθεν. ἔσωθεν δὲ παρηγορεῖ τοὺς τόπους, καὶ ἔλαιον. ἐπειδὰν δὲ εἱλκωμένοι τύχοιεν, καὶ γάλα γυναικεῖον ἐγχυματιζόμενον. ὅ, τε χυλὸς τοῦ ἀρνογλώσσου χλιαρός. εἰ δὲ αἱμάσσοιτο, χυλὸς πολυγόνου σὺν βραχεῖ λιβανωτοῦ παρηγορεῖ. καὶ πεσσοὶ διὰ κρόκου, καὶ γυναικείου γάλακτος, καὶ ὀποῦ μήκωνος, καὶ ὑσσώπου. πάντων δὲ ἄμεινον ἐνεργεῖ, καὶ πρὸς τὰς ἑδρικὰς διαθέσεις τόδε. λιθαργύρου ἰταλικῆς πεπλυμμένης γο. ϛ. λιβάνου ἄρρενος, ὑσσώπου, στέατος χοιρείου νεαροῦ, βουτύρου προσφάτου, κηροῦ τυρρηνικοῦ, ἀνὰ γο. β. ῥοδίνου γο. δ. τὴν λιθάργυρον λειώσας σέρεως χυλῷ, τοῖς τηκτοῖς ἔμβαλλε. τροφὰς δὲ εὐδιοικήτους δοτέον εὐχύμους, οἶνον ὀλίγιστον ὑδαρῆ, φυλαττομένους δριμυφαγίας, καὶ τροφῆς πλῆθος. ἑτοίμως γὰρ αὐτοῖς τὰ σιτία διαφθείρεται.

Περὶ σκίρρου καὶ σκληρώματος. ξη.

Σκιρροῦται ἡ μήτρα, ποτὲ μὲν αἰφνιδίως, μηδενὸς προφανέντος. τὰ πολλὰ δὲ φλεγμονῆς προηγησαμένης, καὶ μήτε λυθείσης, μήτε εἰς ἀπόστημα μεταβληθείσης. ἐν εἴδει δὲ τοῦ σκίρρου καὶ τὸ λεγόμενον σκλήρωμα ἐστί, περὶ τὸν τράχηλον τῆς μήτρας ὡς μάλιστα συνιστάμενον. ὄγκον μὲν ὁμοίως ἔχον, ἧσσον δὲ ἀντίτυπον, μετὰ ἀλγήματος συμμέτρου. παρέπεται δὲ καὶ τούτοις παρεγκλίσεις ἐπὶ τὰ ἀντικείμενα, ὄγκος πρὸς λόγον τῆς θέσεως, ἰσχυρῶς ἀντίτυπος, μετὰ βάρους καὶ δυσκινησίας οὐ σκελῶν μόνον, ἀλλὰ καὶ τοῦ ὅλου σώματος, ὄκνος τε πρὸς τὰς πράξεις. ἕπεται μὴ καλῶς ἀχθείσαις, καχεξία ὑδερώδης. ἐν ἀρχῇ τοίνυν φλεβοτομητέον, ἢ κάθαρσιν παραληπτέον, διὰ τῆς ἀρχιγένους ἱερᾶς. εἶτα καταπλάσματα διὰ ἰσχάδων, ὑσσώπου, νίτρου, ἀψινθίου. καὶ σικύας μετὰ κατασχασμῶν. μαλάγματα δὲ τὸ πολυάρχιον, τὸ διὰ σπερμάτων, τὸ διὰ δαφνίδων. ἐγκαθίσματα διὰ ἀφεψήματος ἰσχάδων, ἀρτεμισίας, γλήχωνος, ἀλθαίας. πεσσοὺς διὰ τερεβινθίνης, χαλβάνης, σμύρνης, ἴρεως, ὑσσώπου, δρώπακος. ὑδάτων αὐτοφυῶν χρῆσις νιτρωδῶν, ἀσφαλτωδῶν. ἰσχύος δὲ ὑπούσης, καὶ ἐλλεβορισμός.

Πεσσὸς μαλακτικός.

Κηροῦ ποντικοῦ, ναρδίνου μύρου ἀνὰ γο. γ. ἰρίνου, γλευκίνου, κυπρίνου ἀνὰ γο. β. στέατος ἀρκτείου καὶ χηνείου, βουτύρου, οἰσύπου, μυελοῦ ἐλαφείου, τερεβινθίνης ἀνὰ γο. α. Ἄλλο. Πολίου < β. σμύρνης < δ. μετὰ οἴνου μενδησίου λειώσας, ἰρίνῳ δεύσας, προστίθεσθαι δίδου. Ἄλλο. Κηροῦ τυρρηνικοῦ, στέατος μοσχίου, τερεβινθίνης, μυελοῦ ἐλαφείου, μέλιτος ἀττικοῦ, ἐλαίου παλαιοῦ, ἴσα. μετασυγκριτικόν, καὶ πρὸς ἐμπνευματώσεις. σταφίδος λευκῆς χωρὶς τῶν γιγάρτων γο. γ. πηγάνου χλωροῦ φύλλων γο. β. ὕδατος θαλασσίου γο. α. S. κυμίνου < δ. μέλιτος τὸ ἀρκοῦν. ἐπιχρίσας δὲ πεσσὸν ἔμβαπτε κυπρίνῳ ἐλαίῳ καὶ προστίθει. καὶ ὁ χρυσοῦς δὲ πεσσός, ὅ, τε λιβάνιος, καὶ ὁ ἐννεαφάρμακος ἁρμόζουσι τῇ διαθέσει. ἰδιαίτερος δὲ ὁ τιτανός.

Περὶ μύλης. ξθ.

Καὶ ἡ μύλη σκιρρώδης ἐστὶν ὄγκος. ποτὲ μὲν κατὰ τὸ στόμιον τῆς μήτρας. ποτὲ δὲ καὶ καθ᾽ ὅλην αὐτήν, προφαινόμενος ἀφῇ λιθώδης, μετὰ κατασπασμοῦ τῶν ὑποκειμένων, καὶ ἰσχνώσεως, ἀχροίας τε καὶ ἀνορεξίας, ἐποχῆς ἐμμηνίων, καὶ μαστῶν ὄγκος, ὡς ὑπόνοιαν συλλήψεως, ἐπί τινων κατ᾽ ἀρχὰς γίνεσθαι. ὕστερον δὲ χρόνου διακρίνονται. τινὲς δὲ καὶ ὑδέρου παρέχουσιν ὑπόνοιαν. καὶ τούτῳ διακριτέον, τῇ τε τοῦ ὄγκου σκληρίᾳ, καὶ τῷ μὴ γίνεσθαι ἦχον ἐν τῇ τῶν δακτύλων ἐπικρούσει, καθάπερ ἐπὶ τῶν ὑδέρων. ἐπιτεῖνον δὲ κατὰ τὸ ἀληθές, εἰς ὕδερον μετέστη. ἐνίοτε δὲ καὶ ἀνίατον ὡς τὰ πολλὰ τὸ πάθος γίνεται. τισὶ δὲ καὶ αἷμα φέρεται. κοινῶς μὲν οὖν, κατάκλισις αὐταῖς ἐν οἰκήματι μικροτέρῳ, καὶ σκοτεινῷ συμφέρει, καὶ μετρίως ἀναψύχοντι, κατὰ κλίνης ἀκινήτου, μετεωρότερα τὰ πρὸς τοὺς πόδας ἐχούσαις, ἐν ἠρεμίᾳ. προκλητικὴ γὰρ πάσης ῥύσεως ἐστὶν ἡ κίνησις. καὶ τοὺς μὲν ὄγκους τε καὶ τὰς σκληρίας, τοῖς ἐπὶ σκίρρων τε καὶ σκληρωμάτων μήτρας εἰρημένοις ἰασόμεθα. τὰς δὲ ὑδερικὰς περιεγχύσεις, διὰ τῶν ἐν τῷ περὶ ὑδέρων λεχθέντων. τὰς δὲ αἱμορραγίας, ὥσπερ ἐπὶ τοῦ ῥοῦ. τινὲς δὲ τὴν μύλην σάρκα φασὶν ἀδιάπλαστον πρὸς αὐτοῖς τοῖς χιτῶσι τῆς μήτρας συνισταμένην, καὶ ἐρριζωμένην

ὥσπερ

ὥσπερ τὰ ἔμβρυα. καὶ τοῦτο δὲ τὸ εἶδος τῇ χαλαστικῇ ἀκτέον ἀγωγῇ, ὥστε τάχιον ἐκκριθῆναι.

Περὶ ἐμπνευματώσεως. ο.

Ἐμπνευματοῦται ἡ μήτρα ἐκ ψύξεως, ἢ φθορᾶς, ἢ δυστοκίας, τοῦ στομίου μύσαντος, ἢ θρόμβου παρασφηνωθέντος ἐν αὐτῷ. ποτὲ μὲν ἐν τῇ κοιλότητι τοῦ κύτους, ἀποληφθέντων τῶν πνευμάτων. ποτὲ δὲ ἐν τοῖς ἀραιώμασι τοῦ τῆς μήτρας σώματος. αἷς ἕπεται ὄγκος τοῦ ἤτρου καὶ τοῦ ὑπογαστρίου, μετὰ σκληρίας, καὶ πόνου νυγματώδους, διανύοντος μέχρι διαφράγματος καὶ στομάχου καὶ βουβώνων. πρὸς τε τὴν ἐκ τῶν δακτύλων ἐπίκρουσιν ἦχος τυμπανώδης γίνεται. θεραπεύειν οὖν. πρῶτον μὲν φλεβοτομίᾳ, μηδενὸς κωλύοντος. εἶτα κατὰ μὲν τοὺς παροξυσμοὺς, ἀσιτίαις, καὶ ἐμβροχαῖς δι᾽ ἐλαίου πηγανίνου. ἐγκαθίσμασί τε δι᾽ ἀφεψήματος πηγάνου, γλήχωνος, ἀρτεμισίας, κασσίας, καὶ τοῖς ὁμοίοις. καταπλάσμασί τε καὶ διὰ σπέρματος σελίνου, κυμίνου, μαράθρου, ἀνήσου, ἄμεως, ἰρίνου ἀλεύρου. σικύαις τε κούφαις, καὶ μετὰ κατασχασμοῦ. χρονιζούσης δὲ τῆς διαθέσεως. καθάρσει χρηστέον διὰ τῆς πικρᾶς, καὶ τῆς ἱερᾶς. δρώπαξί τε καὶ σιναπισμοῖς. καὶ τῇ τῶν αὐτοφυῶν ὑδάτων χρήσει. ἡ δὲ μαῖα προαλειψαμένη τὸν δάκτυλον καθεῖσα, τὸν ἐγκείμενον θρόμβον εἰ τύχοι κομιζέσθω πράως, αὐτὸν ἐν διαλύουσα. αὖθις τε καταπλαστέον διὰ σύκου καὶ νίτρου, καὶ ἀψινθίου. ἐπιθέματα δὲ μαλακτικὰ τὸ πολυάρχιον ἔσω, καὶ τὸ διὰ σπερμάτων, καὶ τὸ διὰ δαφνίδων. πεσσοί τε διὰ πηγάνου, μέλιτος, νίτρου. μάλιστα δὲ οὗτος ἁρμόσει, σύκων λιπαρῶν, κεκομμένων < α. κυμίνου < β. ἀφρονίτρου < α. διὰ δὲ τὴν δριμύτητα εἰς γάλα προκαταβαπτέσθω. καὶ οἱ μαλακτικοὶ δὲ τῶν πεσσῶν ἐπιτήδειοι.

Περὶ ὑστερικῆς πνιγός. οα.

Ἡ ὑστερικὴ πνὶξ, ἀναδρομὴ τῆς ὑστέρας ὅθεν εἰς συμπάθειαν ἀγούσης τὰ κυριώτατα τῶν μορίων, ὡς καρωτίδας, καρδίαν, μήνιγγας. παρέπεται δὲ ταῖς πασχούσαις. ἐγγίζοντος μὲν παροξυσμοῦ, νωθρότης διανοίας, ὄκνος, ἀτονία σκελῶν. ὠχρότης προσώπου, βλέμμα περιλίπαρον. ἐνστάσης δὲ τῆς πνιγὸς. καταφορὰ, καὶ παράνοια, κατάληψις τῶν αἰσθητηρίων, μετ᾽ ἀφωνίας, σκελῶν συνολκή. εἶτα ἄρχονται βρύθειν αἱ γνάθοι, καὶ τὸ πρόσωπον ὑποπίμπλαται. μελλούσης δὲ ἀνίεσθαι προτρέχει τις ἐκ τῶν γυναικείων τόπων ὑγρασία πρὸς τὴν ἀφὴν, καὶ βορβορυγμὸς, καὶ προοδεύει τι τῶν ἐντέρων. αὐτή τε χαλᾶται κατ᾽ ὀλίγον ἡ ὑστέρα, καὶ οὕτως ἀπολαμβάνουσι τό, τε νοεῖν καὶ τὸ αἰσθάνεσθαι. κινεῖται δὲ τὸ νόσημα κατὰ περιόδους, καθάπερ ἡ ἐπιληψία. πληρουμένης δηλονότι τῆς ὑστέρας. ἢ τῆς σπερματικῆς, ἢ ἑτέρας ὕλης, σηπείσης ἐν αὐτῇ. καὶ πολλαὶ μὲν αὖθις ἐπανήνεγκαν. τινὲς δὲ κατὰ τοὺς παροξυσμοὺς ἐξαίφνης ἀπώλοντο. τῶν μὲν σφυγμῶν πυκνουμένων τε καὶ ὑποσπαιρόντων ἀτάκτως, εἶτα καὶ ἀσφυξίας ἐπομένης, βραχείας δὲ νοτίδος δροσιζούσης τὴν ἐπιφάνειαν. τῆς δὲ ἀναπνοῆς, τὸ μὲν πρῶτον ἀμαυρουμένης, ἔπειτα δὲ τέλειον ἀποκοπτομένης. πλεονάζει δὲ τὸ πάθος. χειμῶνος καὶ φθινοπώρου νέαις, εὐκαταφόροις πρὸς λαγνείαν. στείραις, καὶ μάλιστα εἰ διὰ φαρμακείαν εἶεν ἄτοκοι. καὶ ταῖς ἄλλαις κατεψυγμέναις. ἐν τοῖς παροξυσμοῖς οὖν διαδεσμεῖν χρὴ τὰ ἄκρα. καὶ τρίβειν ὅλα τὰ σκέλη, καὶ τὸ ὅλον σῶμα, ὥσπερ τοὺς λειποθυμήσαντας ἀνακτᾶσθαι. δυσώδη τε προσφέρειν ὀσφραντὰ τῇ ῥινὶ, οἷον ἐλλύχνιον ἐσβεσμένον, καστόριον, πίσσαν ὑγρὰν, κεδρίαν, ἔρια καὶ ῥάκη κεκαυμένα. τινὲς δὲ καὶ ἀμίδα προσήνεγκαν, ἐξ οὔρου παλαιοῦ, ἢ διαχωρήματος. καὶ σικύας κολλᾶν προσήκει βουβῶσι καὶ ὑπογαστρίῳ, μετὰ πολλῆς φλογὸς, καὶ κούφας καὶ μετὰ κατασχασμοῦ. μηκυνομένου δὲ τοῦ παροξυσμοῦ. καὶ τὰ τῶν πνευμάτων ἀγωγὰ χρήσιμα, οἷα τὰ κωλικὰ, δακτυλίῳ προστιθέμενα, οἷον κύμινον, νίτρον σὺν μέλιτι. καὶ τὸ σκύβαλον διὰ κλυσμοῦ ὑπεξάγειν, ὑπὲρ τοῦ μὴ θλίβειν τῇ παραθέσει. εἰς αὐτὴν δὲ τὴν μήτραν τὰ εὐωδέστατα τῶν μύρων ἐγχεόμενα, κατασπᾷν αὐτὴν πέφυκεν, ὡς ἀμαράκινον, μαλαβάθρινον. καὶ σίνηπι δὲ, τὸ μὲν τῇ ῥινὶ προσφερέσθω, τὸ δὲ τοῖς ποσὶ καταπλαττέσθω. ἐμβοάτω δέ τις αὐταῖς τραχυτέρᾳ φωνῇ, καὶ μετακαλείτω. καὶ πταρμικὰ προσαγέσθω διὰ καστορίου, στρουθίου, πεπέρεως. ἀνεθείσας δὲ τοῦ παροξυσμοῦ, ἐμεῖν ἀναγκάζειν, ἐπ᾽ ἀσιτίας τε ἢ ὀλιγοσιτίας φυλάττειν. μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν καθαρτέον τῇ διὰ κολοκυνθίδος ἱερᾷ. μετὰ δὲ τρίτην ἡμέραν, σικυάσωμεν ὀσφὺν, λαγόνας. εἶτα τῇ τοῦ καστορίου πόσει χρησώμεθα, ποτὲ μὲν δι᾽ ἀρτεμισίας ἀφεψήματος, ποτὲ δὲ διὰ μελικράτου. ἐπί τινων γὰρ τοῦτο καὶ μόνον εἰς τελείαν ἀποθεραπείαν ἤρκεσε. ἐγκαθίσματα δὲ καὶ πεσσοὶ μαλακτικοὶ παραλαμβανέσθωσαν. ταῦτα μὲν οὖν πρὸς τοὺς παροξυσμούς. πρὸς δὲ τὴν ὅλου τοῦ σώματος ἀνασκευὴν, ἀπὸ φλεβοτομίας ἀρχόμενον ἐπὶ τὴν διὰ τῆς ἱερᾶς ἰέναι κάθαρσιν. εἶτα τὴν διὰ τῆς ἀλόης διδόναι πικρὰν ὅσον < α. μετὰ κυάθων γ. μελικράτου κατὰ συνέχειαν. ἢ ἐκ διαλειμμάτων < β μετὰ μελικράτου κυάθων ς. δρωπακισμοῖς τε καὶ σικύαις, καὶ σιναπισμοῖς χρηστέον. καὶ τοῖς δι᾽ εὐφορβίου ἀκόποις. εἶτα γυμνασίοις, καὶ τρίψει, καὶ ἀναφωνήσεσιν. ὕστερον δὲ καὶ τῶν αὐτοφυῶν ὑδάτων χρήσει.

Περὶ προπτώσεως ὑστέρας. οβʹ.

Ἡ ὑστέρα προπίπτει, σπανίως μὲν, διὰ πλείονας δὲ αἰτίας. ἢ γὰρ ἀφ' ὕψους κατενεχθείσης, καὶ ἐπ' ἰσχία ἐδραθείσης, ῥηγνυμένων τῶν ὑμένων οἳ κατέχουσι τὸ σπλάγχνον. ἢ διὰ ἐξολκὴν δευτέρου προσεληλυμένου τὴν ὑστέραν, προσπεφυκότος αὐτῇ, καθάπερ ἐν δυστοκίαις. ἢ δι' ἄτεχνον ἐμβρυουλκίαν. ἢ διὰ πληγήν. ἢ διὰ ψυχικὰ πάθη, οἷον ἀποβολῆς τέκνων ἀπαγγελθείσης, ἢ πολεμίων ἐφόδου. ἢ δι' ἐπικίνδυνον πλοῦν. ἢ τινὰ τοιαύτην αἰτίαν. τοῦ ὅλου συγκρίματι λυθέντι συνολισθησάσης τῆς ὑστέρας. ἢ διὰ παράλυσιν, καὶ ἀτονίαν τῶν μορίων, ὡς ἐπὶ τῶν παρακμαζουσῶν μάλιστα γίνεται. προπίπτει δὲ κατὰ τὸ στόμιον αὐτῆς. τινὲς δὲ καὶ πᾶσαν ἱστοροῦσι προπίπτειν, ὅπερ ἀπίθανον. πῶς γὰρ ἀναχθεῖσα ἐδραθείη. δεῖ τοίνυν τό, τε σκύβαλον διὰ κλυστῆρος πρῶτον κενώσαντας, καὶ τὸ οὖρον ἀποκρίναντας, διὰ τὸ πανταχόθεν ἄθλιπτον εἶναι τὴν ὑστέραν, σχηματίζειν ὑπτίαν τὴν κάμνουσαν, ὑψηλότερα ἐχούσαν τὰ ἰσχία, καὶ κεκαμμένας τε τὰς ἰγνύας μετὰ τοῦ διεστάναι τὰ σκέλη. ἔπειτα λαβεῖν σύστρεμμα ἐρίου, σχήματι καὶ πάχει ἀναλογοῦν τοῦ κόλπου τοῦ γυναικείου, περιβαλεῖν τε λεπτῷ ἰσχνῷ ὀθονίῳ, καὶ καταβάπτειν εἰς χυλὸν ἀκακίας, ἢ ὑποκυστίδος οἴνῳ διειμένης, προστιθέναι τε τῇ ὑστέρᾳ, καὶ δίχα βίας ἀναβιβάζειν ἅπαν τὸ προπεπτωκὸς, ἄχρις οὗ ὅλος ὁ ὄγκος ἐν τῷ κόλπῳ γένηται, καὶ σκεπάζειν ἔξωθεν σπόγγῳ τὸ ἦτρον ἀποτεθλιμμένῳ ἐν ὀξυκράτῳ, κατακλίνειν τε τὴν ἄνθρωπον ἐκτεταμένα καὶ συνηρμοσμένα ἔχουσαν ἀλλήλοις τὰ σκέλη, ὥστε τὸ ἕτερον ἐν θατέρῳ ἐπίκεισθαι. μετὰ δὲ τοῦτο σικύας προσληπτέον μετὰ φλογὸς πλείονος, πρὸς ὀμφαλόν τε καὶ καθ' ἑκατέραν λαγόνα. ὀσφραντά τε προσενεγκτέον δυσώδη. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν, ἐγκειμένου τοῦ ἐρίου τῷ κόλπῳ, ἐγκαθιζέτω ἡ γυνὴ εἰς οἶνον μέλανα αὐστηρὸν, προσφάτως κεχλιασμένον. ἤτοι εἰς ἀφέψημα μυρσίνης, καὶ σχίνου, σιδίων. μετὰ δὲ ταῦτα, τὸ μὲν ἐγκείμενον ἔριον αἰρέσθω. ἕτερον δὲ ἐντιθέσθω τῷ αὐτῷ νενοτισμένον φαρμάκῳ. καταπλάσματα, ἔξωθεν ὑπερριπτέσθω κατὰ τοῦ ὑπογαστρίου διὰ φοινίκων, ἀλφίτων, ἢ φακῆς καὶ σιδίων μετ' ὀξυμέλιτος. καὶ διὰ τρίτης πάλιν ταῦτα γινέσθω, μέχρι παντελοῦς ἀποθεραπείας. εἰ δὲ μένοντι τῷ χρόνῳ διασαπείη τὸ προπεπτωκὸς, ἀφαιρετέον αὐτὸ μηδένα κίνδυνον ὑφορωμένους. καὶ γὰρ ὅλην ἀφαιρεθῆναι μήτραν ἱστοροῦσι διασαπεῖσαν, καὶ ζῆσαι τὴν γυναῖκα.

Περὶ φίμου ἐν ὑστέρᾳ.

Γίνεται φίμος περὶ τὸ στόμα τῆς ὑστέρας, ἢ δι' ἕλκωσιν προηγουμένην, ἢ διὰ φλεγμονὴν σκιρρωθεῖσαν. θεραπεύειν δὲ χρὴ ἐγκαθίσμασί τε μαλάσσουσι, τοῖς διὰ ὑδρελαίου, καὶ τήλεως ἀφεψήματος. καταπλάσσοντάς τε ὡσαύτως. καὶ πεσσοὺς μαλακτικοὺς προσάγοντας. εἰ δ' ἐγχρονίζοι τὰ τῆς διαθέσεως, χρηστέον ὑπατμισμοῖς καὶ θυμιάμασι τοῖς διὰ τῶν ἀρωμάτων. λύει δὲ τὸν φίμον, καὶ ὁ διὰ ὑσσώπου καὶ νίτρου καὶ ῥητίνης καὶ τερεβινθίνης πεσσός, οὐδὲν ἕτερον ἢ στέγνωσιν ὄντα τοῦ στομίου τῆς ὑστέρας.

Μὴ κυϊσκομέναις θεραπεία. οδʹ.

Κοινῶς μὲν οὖν ἀμφοτέροις ἁρμόζει τῷ τε ἀνδρὶ, καὶ τῇ γυναικί. τὸ ἐν εὐκρασίᾳ πολλῇ τὸ πᾶν φυλάττεσθαι σῶμα, διά τε τῆς τῶν πόνων καὶ σιτίων καὶ λουτρῶν, καὶ τῶν λοιπῶν ἁπάντων συμμετρίας. τό γε μὴν μέγιστον, μὴ περιορᾶν πιαινομένην τὴν ἕξιν. οὔτε γὰρ οἱ πίονες ἐπιτήδειοι πρὸς παιδοποιΐαν, διά τε τὸ μὴ ἐφαρμόζειν τοῖς αἰδοίοις, καὶ ὅτι ὀλίγον ἀφιᾶσιν οὗτοι σπέρμα. οὔτε μὴν οἱ ἄγαν λελεπτυσμένοι. ὠφελοίη δ' ἂν αὐτοὺς ἅπαντα τὰ θερμαίνοντα, καὶ ἡσυχῇ πνευματοῦντα. οἶνον τε οὖν θερμὸν συμμέτρως λαμβάνειν, καὶ λαχάνων, εὔζωμόν τε καὶ ὅρμινον, καὶ ἐρύσιμον, καὶ τὰ παραπλήσια. πήγανον δὲ, καὶ καλαμίνθην παντὸς μᾶλλον φυλακτέον. εἰ δὲ διὰ κακοχυμίαν τινὰ μὴ γένοιτο σύλληψις, ταύτην ἐκκαθαίρειν, ἢ κατασκευάζειν χρηστῇ διαίτῃ. ἰδίως δὲ, ταῖς γυναιξὶν ἁρμόσει τῶν κατὰ τὴν ὑστέραν ὡς μάλιστα προνοεῖσθαι, καὶ τὴν ἔμμηνον ἀπαραποδίστως γίνεσθαι κένωσιν. πλησίον οὔσης τινῶν τῆς καθάρσεως. τῆς τε τῶν σιτίων καὶ πομάτων ὡς μάλιστα συμμετρίας φροντίζειν. καί τι τῶν ἐρεθιστικῶν εἰς κάθαρσιν λαμβάνουσαν, οἷά ἐστι τά τε εὐώδη λάχανα καὶ τὰ δριμέα, οἷον σκάνδικα, κρῆθμον, μάραθρον, σέλινον, σμύρνιον. τὰς δὲ τῆς ὑστέρας ἐπανορθοῦσθαι δυσκρασίας. Τὰς μὲν οὖν ψυχροτέρας τῶν ὑστερῶν τεκμηριοῖ τῶν καταμηνίων ἡ ἐπίσχεσις, καὶ δίαιτα ψυχροτέρα καὶ παχύχυμος, καί τι ναρκῶδες γινόμενον περί τε ἦτρον καὶ ὀσφὺν καὶ σκέλη. αἱ δὲ ἂν εἰς τέλος ἐψυγμέναι ὦσιν, οὐδὲ ἀφροδισίων ἐφίενται. δεῖ τοίνυν τά τε ἄλλα ἐκπονοῦσαν, καὶ πυρίαις πάσαις, καὶ ταῖς διὰ τῶν θυμιαμάτων πυριωμένην, ἀνακαλεῖσθαι τὸ θερμόν. καὶ οὐδὲν ἀπότροπαιον, καστόριον πίνειν, καὶ τῶν εὐωδῶν σπερμάτων τό, τε κύμινον, καὶ ἄνηθον, καὶ γλήχωνος κόμην, καὶ ἀρκευθίδων καρπὸν, ἑκάστου πεπέρεως, μίσγουσαν.

αἱ

αἱ δὲ αὐτῶν τῶν ὑστερῶν πυρίαι. τούτων μὲν ἀτμοὶ ἔστωσαν καθεζομέναις ἐπὶ δίφρου. τούτων δὲ θερμὸν ὕδωρ προσκλυζόμενον, ἐν ᾧ ἕψηται ἐλελίσφακος, καὶ ἀρτεμισία, καὶ πήγανον, καὶ κύπερον, καὶ γλήχων, καὶ ἄκορον, καὶ τὰ εὐώδη σπέρματα. καταπλάττειν δὲ, καὶ τὸ ἦτρον τούτων ἑκάστῳ. ἀγαθὸν δὲ καὶ τὸ πολυάρχου ἐπίθεμα. αἵ γε μὴν τρίψεις τοῦ ἤτρου, καὶ τῶν ἰσχίων, οὐδενὸς ἧσσον συμφέρουσι. καὶ προσθέτοις χρῆσθαι, διά τε σμύρνης καὶ πηγάνου, καὶ χαλβάνης, καὶ καστορίου, προπυριαθείσας μελικράτῳ, ἢ θαλάσσῃ. ἀγαθὸς δὲ πρὸς ταῦτα καὶ ὁ πιεσὸς ὁ λεγόμενος γονή. Τὰς δὲ θερμοτέρας τῶν ὑστερῶν. τεκμαίρεσθαι μὲν ἐπί τε ὅλῳ σώματι θερμοτέρῳ ὄντι, καὶ τοῖς καταμηνίοις ὀλίγοις καὶ σὺν πόνῳ, καὶ ἐφ᾽ ἑλκοῦν τὰ αἰδοῖα τῆς γυναικός. ἐπανορθοῦσθαι δὲ διὰ τῶν μετρίως ὑγραινόντων τε καὶ ψυχόντων. οἷά εἰσι λάχανα μὲν, θριδακίναι, καὶ μαλάχαι, καὶ βλῆτον, καὶ κολοκύντη, καὶ σίκυα, καὶ πέπων, ἀτράφαξύς τε καὶ ἀνδράχνη. καὶ τὰ ἄλλα δὲ σιτία παραπλήσια. τῇ δὲ κύστει καὶ τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ προσάγειν, ψυκτήρια καταπλάσσοντά τε καὶ τοῖς χυλοῖς ὑποχρίοντα. Εἰ δὲ καὶ δι᾽ ὑγρότητα, τῶν ὑστερῶν μὴ κυΐσκοιντο. σημεῖον μὲν τό, τε καθυγραίνεσθαι περὶ τὰς συνουσίας, λεπτότερόν τε καὶ πολὺ φέρεσθαι τὸ καταμήνιον. δίαιτα δὲ, ταύταις ἁρμόζει ξηροτέρα. πόνοι τε, καὶ ῥίψεις τῶν ἄνω, καὶ ἔμετοι. ξηρότης τε, καὶ μετριότης σιτίου. εὖ δὲ ἂν ἔχοι, καὶ τὴν ὑστέραν στρυφνοῖς φαρμάκοις συγκρατύνειν, οἷά ἐστιν, οἴνου τε ἀφέψημα, καὶ μύρτων, καὶ ῥόδων, καὶ ῥοῦ. ἔτι τε ῥοᾶς ἄνθους, καὶ βάτου τῶν ἁπαλῶν, καὶ κηκίδος. Ξηροτέραν δὲ τὴν ὑστέραν οὖσαν διὰ τῶν ἐναντίων ἰᾶσθαι. λουτρῶν φημὶ καὶ ἀλοιφῆς, καὶ τροφῆς ὑγραινούσης τε καὶ λαχανώδους, οἴνου τε συμμέτρου, καὶ μὴ σφόδρα παλαιοῦ. Ἐὰν δὲ ὑπὸ χυμῶν παχυτέρων κωλύοιντο κυΐσκειν. εἰ μὲν τις εἴη τῶν δακνόντων, καθαίρειν δεῖ τὴν γυναῖκα καλῶς ὡς ἑκάστῳ χυμῷ, οἰκεῖόν ἐστι. μάλιστα δὲ τῇ διὰ τῆς ἀλόης πικρᾷ. κἄπειτα ἐπ᾽ ὀρῷ τοῦ γάλακτος κατακλύσαι, δίαιτάν τε χρηστοτέραν ἐξευρεῖν. τοὺς δὲ φλεγματώδεις χυμοὺς, πόνοις τε καὶ ἱδρωτηρίοις, καὶ ἐμέτοις κενοῦν. ἤγουν κάτωθεν. δεῖ δὲ καὶ φαρμάκῳ. ἐπίθυμον, εὐφόρβιον, πέπερι, δαύκου σπέρμα, πετροσελίνου σπέρμα, πάντα τρίψας ὅσον < . β̄ . δοῦναι πιεῖν. τοῦτο καὶ τὰ κατὰ γαστέρα καλῶς ἄγει, καὶ τὴν ὑστέραν θερμαίνει, ὥσπερ πολλάκις ἤδη καὶ καταμήνια ἔρρηξε ταῖς οὐ καθαιρομέναις. ὅταν δὲ τὸ ἐπανόρθωμα δῆλον γένηται, τοῖς καταμηνίοις χρηστῶς ἰοῦσι, τηνικαῦτα δεῖ μίσγεσθαι ληγούσης τῆς καθάρσεως. Ἐπειδὴ δὲ καὶ πνεύματα ἐν τῇ ὑστέρᾳ ἐνόντα κωλύοι κυΐσκεσθαι. τὴν μὲν σημείωσιν αὐτῶν ἐκ τῶν περὶ ἐκπνευματώσεως ὑστέρας ληπτέον. θεραπεύειν δὲ, πρῶτον μὲν ἐνδεέστερον αὐτὴν διαιτῶντα, προσφέροντα δὲ κύμινόν τε καὶ ἄνηθον, καὶ σελίνου σπέρμα καὶ πηγάνου, καὶ ἀνίσου. καὶ τῶν ἀρωμάτων τὰ πολλὰ διδοῦντα, τὰ μὲν πίνειν, τὰ δὲ προστίθεσθαι. Τὰς δὲ μεμυκυίας ὑστέρας, ἀναστομοῦν χρὴ προσκλύζοντα τοῖς εὐώδεσι, καὶ πυριῶντα τοῖς τε διὰ μαλάχης καὶ λινοσπέρμου, καὶ τήλεως, καὶ ἐλαίου, ἔστι δὲ ὅτε καὶ μέλιτος. ἰσχυροτέροις τε, τῇ τε ἀρτεμισίᾳ καὶ κονύζῃ, καὶ καλαμίνθῃ, καὶ γλήχωνι, καὶ ἀνθεμίδι. πρὸς δὲ τούτοις χρῆσθαι, τερεβινθίνῃ, καὶ νίτρῳ, καὶ σικύῳ ἀγρίῳ, τῷ ἐλατηρίῳ, καὶ κασσίᾳ, καὶ ὀποπίσσῃ. Αἷς δὲ κέχηνε τὸ στόμα. δίαιτα μὲν καὶ πυρίαι, καὶ φάρμακα ξηρότερα καὶ στύφοντα. κύτινοι ῥοῶν, καὶ σχῖνος, καὶ ῥίζαι βάτου, καὶ μύρτα καὶ τὰ ἐπὶ τῶν ὑγροτέρας ἁρμόζοντα. Τὰς δὲ διαστροφὰς πυρίαις ἐξευθύνειν, καὶ τοῖς μαλακτικοῖς καθέτοις. μίξις δὲ ἡ ἐξόπισθεν, δοκεῖ πρὸς κύησιν συμφέρειν.

Περὶ ῥαγάδων καὶ κονδυλωμάτων καὶ αἱμορροΐδων. οε.

Περὶ τὸ τῆς ὑστέρας στόμιον γίνονται ῥαγάδες ἐκ βιαίων τόκων. καὶ τὸ μὲν πρῶτον διαλανθάνουσιν, ἔτι προσφάτων ὄντων τῶν ἀπὸ τῆς τέξεως πόνων. ὕστερον δὲ κατ᾽ ὀλίγον ἐν αἰσθήσει γίνονται, ποτὲ μὲν πρὸς τὰς χειραψίας, ποτὲ δὲ κἂν ταῖς συνουσίαις. ὅτε καὶ αἱμάσσονται διὰ τὴν παράτριψιν. ἐλέγχονται δὲ τοῦ κόλπου διασταλέντος. καὶ ἐν ὑπορρήξεις κύκλῳ τοῦ στομίου θεωροῦνται. ἐφ᾽ ὧν δεῖ τήν τε χειρουργίαν καὶ τὰ δηκτικὰ τῶν φαρμάκων παραιτούμενον, τοῖς ἁπλουστέροις ἐγκαθίσμασί τε καὶ πεσσοῖς χρῆσθαι. ἁρμόζει δὲ ἡ τετραφάρμακος αὐτὴ μόνη. εἰ δὲ τυλώδης εἴη, ἐπὶ διὰ χάρτου χρηστέον μετὰ ῥοδίνου. εἰ δὲ μὴ φέρειεν αὐτοῦ τὴν εὐτονίαν. ἴριν ἰλλυρικὴν τερεβινθίνῃ ἀναλαβὼν ἐντίθει. ἀπουλωθέντων δὲ τῶν ἑλκῶν. ἁρμόσει ἂν τὸ διὰ καδμίας, ἤ τι τῶν ἐδρικῶν, ὥσπερ τὸ διὰ λιθαργύρου. ἐπειδὴ δὲ συμβαίνει τὰς ῥαγάδας χρονιζούσας ἀποκονδυλοῦσθαι, τοῖς παραπλησίοις ἐκτυλωτέον τε καὶ εἰς οὐλὴν ἀκτέον τὰ κονδυλώματα. Αἱμορροΐδες δὲ γίνονται περὶ τὸ στόμιον τῆς μήτρας, ἢ τράχηλον. αἳ καταληφθήσονται διοπτρισμένων τῶν μερῶν, ἐκ τοῦ ὑπεροχὴν φαίνεσθαι, κατὰ μὲν τοὺς παροξυσμοὺς ἐναλγῆ, διαιμόν τε καὶ ἐνερευθῆ. ἐν δὲ διαλείμμασι, ῥυσσὴν, καὶ ἀναλγῆ, καὶ ὑποπέλιον, καὶ στραγγώδη. ἐφ᾽ ὧν οὖν δεῖ, εἰ μὲν δυνατὸν, ἐν διαλείμμασιν ἐκτομῇ χρῆσθαι μυδίῳ διακρατήσαντα.

τα. εἰ δὲ μή, διὰ φαρμάκων γοῦν αὐτὰς ἀποσύφειν, ποτὲ μὲν προσαπτομένου ξηροῖς σιδίοις μετὰ κηκῖδος ἢ τινὶ τοιούτῳ, ποτὲ δὲ τοῖς ἐπὶ τῆς αἱμορραγούσης ὑστέρας ἐκτεθεῖσι χρωμένου, ἃ καὶ ταῖς διαρροίαις καὶ αἱμορροΐσιν ἁρμόσει, διαγινωσκομέναις μάλιστα τῷ συνεχῶς αἱμάσσειν τὴν ὑστέραν, ἐκ διαλειμμάτων, καὶ οὐκ ἐν τῷ τῆς ἐμμήνου καθάρσεως μόνον χρόνῳ.

Περὶ δυστοκίας. οϛ.

Ἡ δυστοκία γίνεται ἢ παρὰ τὴν τίκτουσαν, ἢ παρὰ τὸ τικτόμενον, ἢ παρὰ τὸ χόριον, ἢ παρὰ τὰ ἔξωθεν. παρὰ μὲν τὴν τίκτουσαν, ἢ παχεῖαν καὶ καταπίμελον, ἢ μικρὰν ὅλην τὴν μήτραν, ἢ ὀδυνῶν ἄπειρον, ἢ δειλήν, ἢ φλεγμονὴν ἔχουσαν κατὰ τὴν ὑστέραν ἢ ἐν ἄλλῳ μορίῳ, ἢ ὅπως οὖν ἄλλως νοσοῦσαν, ἢ φυσικῶς ἀσθενοῦσαν καὶ μὴ δυναμένην ἐξωθεῖν, ἢ πρὸ ὥρας τίκτουσαν. παρὰ δὲ τὸ κυόμενον, ἢ ὑπερμέγεθες ὄν, ἢ μικρὸν καὶ ὀλιγοβαρές, ἢ ὑδροκέφαλον, ἢ τεράστιον, οἷον δικέφαλον. ἢ τεθνηκός. ἢ ζῶν μέν, ἀσθενὲς δὲ καὶ μὴ δυνάμενον προϊέναι πρὸς τοὐκτός. ἢ διὰ τὸ πλείονα τυγχάνειν ἔμβρυα. πέντε γὰρ ἱστόρησεν Ἡρόφιλος. ἢ διὰ τὸ παρὰ φύσιν ἔχειν τὸ σχῆμα. κατὰ φύσιν μὲν γάρ ἐστιν τοῖς τικτομένοις σχῆμα, πρῶτον μέν, τὸ ἐπὶ κεφαλὴν παρατεταμένων τῶν χειρῶν τοῖς μηροῖς, καὶ ἀπαρέγκλιτον ἔχον κατ' εὐθὺ τοῦ στομίου τὴν κεφαλήν. δεύτερον δὲ τοῦτο, τὸ ἐπὶ πόδας ἀπαρέγκλιτον. τὰ δὲ παρὰ ταῦτα πάντα σχήματα, παρὰ φύσιν εἰσίν. παρὰ δὲ τὸ χόριον, ἢ μὴ ἀποσπώμενον διὰ παχυσμόν, ἢ καὶ πρὸ τοῦ δέοντος ἀποσπώμενον διὰ λεπτότητα. παρακενουμένου γὰρ τοῦ ὑγροῦ, δυσόλισθον τὸ ἔμβρυον ὑπὸ τῆς ξηρότητος γίνεται. παρὰ δὲ τὰ ἔξωθεν, ἤτοι ψύξεως πυκνωσάσης, ἢ θέρμης ἀμέτρου διαφορησάσης τὴν δύναμιν. ἢ καί τινος ἐκ τύχης προσπεσόντος. Εἰ μὲν οὖν διὰ στέγνωσιν ᾖ, οἷον ἀποσφήνωσιν τοῦ ἐμβρύου δυστοκία γίνοιτο, τῇ χαλάσει πρότερον συνεργεῖν. ἐγχυματίζοντα συχνῶς ἐλαίῳ γλυκεῖ καὶ θερμῷ, καὶ σὺν ἀφεψήματι τήλεως ἢ μαλάχης, ἢ λινοσπέρμου, ἢ καὶ ᾠοῖς, διὰ τὸ παρηγορικόν. εἶτα καὶ καταπλάσσειν ἐφήβαιον μετ' ἐπιγαστρίου καὶ ὀσφύος, τῇ διὰ λινοσπέρμου, ἢ διὰ μελικράτου, ἢ ὑδρελαίου. ἐγκαθίσμασί τε τοῖς ὁμοίοις. καὶ τοὺς ἀπὸ βαλανείων δὲ παραλαμβάνειν χαλασμούς, εἰ μὴ πυρετὸς ἢ τις ἑτέρα κωλύοι πρόφασις. καὶ κινεῖν διὰ φορείου τὴν τίκτουσαν, ἐν ἀέρι θερμῷ συμμέτρως. ἔνιοι δὲ καὶ κατασεισμοὺς εὐτόνους παρέλαβον, καὶ πταρμικὰ προσήγαγον. καὶ τὴν μὲν δειλιῶσαν, παρορμᾶν. τὴν δὲ ἄπειρον ὠδίνων, διδακτέον εὐτόνως μάλιστα τὸ πνεῦμα κατέχειν, καὶ πρὸς τὴν λαγόνα συνωθεῖν. τὴν δὲ λειποθυμοῦσαν, τοῖς ἀπλήκτοις ὀσφραντοῖς ἀναληπτέον. κουφισθεῖσαν δὲ μετρίως, θρεπτέον ὀλίγῃ τῇ τροφῇ. Τὴν δὲ καταπίμελον ἐν τῇ κλίνῃ πρηνῆ σχηματιστέον, προσυποκλίνασαν τοῖς μηροῖς τὰ γόνατα, διὰ τὸ τὴν ὑστέραν πρὸς ἐπιγάστριον φερομένην, κατ' εὐθὺ τοῦ στομίου γίνεσθαι. διὰ δὲ τῶν δακτύλων κηρωταῖς ἢ λιπάσμασι πιαίνειν τὸ στόμιον, καὶ ἠρέμα διαστέλλειν. καὶ εἴ τι πάθος εἴη περὶ τὰ μόρια, καὶ τούτου προνοεῖσθαι. καὶ σκύβαλον κατεχόμενον ἐκβάλλειν διὰ μαλακοῦ κλύσματος. καὶ χόριον ἀνεστομωμένον διαιρεῖν, ἢ τοῖς δακτύλοις, ἢ πολυκόπῳ σπαθίῳ κεκρυμμένῳ ἐν αὐτοῖς, προηγουμένης τῆς ἀριστερᾶς χειρός. καί τι τῶν λιπαρῶν ὑγρῶν διὰ κλυστηριδίου εἰς τὸ κύτος ἐνιέναι τῆς ὑστέρας. παρὰ φύσιν δὲ διασχηματισθέντος τοῦ ἐμβρύου, τὸν κατὰ φύσιν ἀποδιδόναι σχηματισμόν, ποτὲ μὲν ὠθοῦντα, ποτὲ δὲ παράγοντα, ποτὲ δὲ κάμπτοντα, ποτὲ δὲ ἀπευθύνοντα. καὶ εἰ μὲν χεῖρα προβέβληκεν ἢ πόδα, μὴ ἐπισπᾶσθαι κώλου λαβόμενον, μᾶλλον γὰρ ἐπισφηνοῦται, ἢ ἔξαρθρον γίνεται, ἢ καὶ ἀπορρήγνυται. ἀλλὰ τοὺς δακτύλους ἐρείσαντα κατὰ τοῦ ὤμου ἢ κατὰ τοῦ ἰσχίου τοῦ ἐμβρύου, πάλιν τὸ προβεβλημένον εἰσάγειν εἰς τὸν προσήκοντα τόπον. εἰ δὲ μετὰ σφηνώσεως, ὅλου τοῦ ἐμβρύου γένηται παρασχηματισμός, ἀναβιβάζειν αὐτὸ πρότερον ἀπὸ τοῦ στομίου τῆς ὑστέρας μετέωρον, κἄπειτα λαβόμενον, αὖθις ἀπευθύνειν ἐπὶ τὸ στόμιον. εἰ δὲ πλείονα τοῦ ἑνὸς ἐμβρύου καταφέροιτο, πάλιν ἄνωθεν αὐτὰ καὶ κάτωθεν κομίζεσθαι. πάντα δὲ ποιεῖν ἠρέμα καὶ ἀπαραθλάστως, ἐλαιοχυτοῦντα τοὺς τόπους. καιρὸς δὲ τῆς εἰς τὸν δίφρον καθέδρας, ὅτε τὸ στόμιον τῆς μήτρας ἀνεῳγὸς ὑποπέσῃ τῷ δακτύλῳ, καὶ προκύψῃ τὸ πρόρρηγμα. εἰ δὲ διὰ τὸ τεθνηκέναι τὸ ἔμβρυον, ἢ δι' ἄλλην αἰτίαν μὴ προέρχοιτο, ἐπὶ τὴν ἐμβρυουλκίαν ἰέναι.

Περὶ ἰσχιάδος. οζ.

Τοῦ γένους οὖσα τῆς ἀρθρίτιδος ἡ ἰσχιάς, μόνῳ τῷ κατὰ τὸ ἰσχίον ἐνεσκῆφθαι τὴν αἰτίαν αὐτῆς διήνοχεν. αἴτιος δὲ ταύτης, παχὺς καὶ φλεγματικός ἐστι χυμός, ἐνεσφηνωμένος τῇ κατ' ἰσχίον διαρθρώσει. ὁ δὲ πόνος αὐτοῖς ἀπὸ τῶν κατὰ τὸ σφαίρωμα, καὶ τὸν βουβῶνα τόπων ἄχρι γόνατος, ἐπὶ τῶν πλείστων δὲ καὶ ἄχρι ποδὸς ἄκρου διικνεῖται. καταρχὰς μὲν οὖν ἐντυχόντες τῷ κάμνοντι, μετὰ τὴν τῶν σκυβάλων διὰ κλυστῆρος κένωσιν, φλεβοτομίαν ἀπ' ἀγκῶνος παραλάβωμεν, μετὰ ἐπαφαιρέσεως. εἰ δὲ μετὰ χρόνον, ἀπὸ τοῦ κατὰ τὸ πεπονθὸς σκέλος

σφυροῦ

σφυροῦ τὴν ἀφαίρεσιν ποιησώμεθα. καὶ κατὰ μὲν τοὺς παροξυσμοὺς ἐμβροχῇ, τῇ δὲ χρηστέον. κυπρίνου κο. η΄. ὄξους κο. δ΄. νίτρου κο. β΄. κάχρυος κο. α΄. δι' οἰσυπηρῶν ἐρίων θερμῇ. μεθ' ἣν καταπλαστέον αὐτοὺς ἀλεύρῳ θέρμων πικρῶν, μετ' ὀξυμέλιτος. ἢ ἀλεύρῳ αἰρίνῳ μετὰ ῥητίνης, καὶ σικύου ἀγρίου ῥίζης, καὶ νίτρου, καὶ καλαμίνθης, καὶ κάχρυος, καὶ δαφνίδων. ἔστι ἡ καλαμίνθη δὲ μόνη χρησίμως καταπλασσομένη διὰ ὀξυμέλιτος, ἢ μελικράτου. ἐμπλάστρῳ δὲ παρηγορικῇ χριστέον τῇδε. κηροῦ < ρ΄. τερεβινθίνης < η΄. ἰοῦ < ς΄. σμύρνης, χαλβάνης, ἴρεως ἀνὰ < ς΄. κεδρίας < ε΄. προποτιστέον δὲ αὐτοὺς ὀποῦ κυρηναϊκοῦ μέγεθος ὀρόβου. ἢ καστορίου < α΄. σὺν ὀποπάνακος τριωβόλῳ. ὁ δὲ τῆς ῥίζης τῆς καππάρεως φλοιὸς πινόμενός τε καὶ τοῖς καταπλάσμασιν ἐπιμιγνύμενος ὠφελεῖ. πολλῆς δὲ τῆς ἀλγηδόνος οὔσης, καὶ τὰ ἀνώδυνα τῶν φαρμάκων ἔχει χώραν, οἷον ἥ τε Φίλωνος καὶ ἡ διὰ τῶν δύο πεπέρεων. ἐνέματι δὲ χρηστέον τῷδε. μέλιτος κο. α΄ S. ἐλαίου κο. α΄ S. ὕδατος κο. β΄. νίτρου ὁλκὰς η΄. τερεβινθίνης ὁλκὰς δ΄. ταῦτα θερμὰ ἐνιέντα, δεῖ τὸν δακτύλιον ἐπιπιέζειν, ὑπὲρ τοῦ πλείονι χρόνῳ κατασχεθῆναι μυξώδη. κενοῖ ἐνίοτε καὶ αἷμα, ὅτε καὶ πλεῖον ὠφελεῖ. εἰ δὲ ἐπιμένοι ἡ διάθεσις, ὅπερ ἐστὶ σπάνιον, καὶ αὖθις συχνότερον αὐτῷ χρηστέον, ἀντὶ τοῦ ὕδατος ἀφέψημα κενταυρίου μίσγοντα. αἷμα δὲ κενοῖ καὶ θλάσπεως σπέρμα ἐνιέμενον, καὶ ὁ χυλὸς τοῦ ἐλατηρίου, καὶ τὸ δι' αὐτοῦ ἢ τὸ διὰ τῶν ῥιζῶν αὐτοῦ συντεθειμένον σικυώνιον ἔλαιον. καὶ τῶν ταριχηρῶν ἰχθύων ἡ ἅλμη. καὶ τῶν ἐλαιῶν τῶν κολυμβάδων, καλῶς ἂν ἐντεθείη. σικύας τε κατὰ τοῦ ἰσχίου, μετὰ πολλῆς φλογὸς χρηστέον, ἐγχαράξει χρωμένους. ἐνίοτε δὲ καὶ βδέλλας. ἐπιμένοντος δὲ τοῦ πάθους ἐπὶ κάθαρσιν ἰτέον, ἤτοι διὰ τῆς ἱερᾶς, ἢ τῆς κολοκυνθίδος διδόντα τῆς ἐντεριώνης, καλῶς λειωθείσης, δραχμῆς πλῆθος, ἐν μελικράτου κο. β΄. ἢ μικρῷ πλέον ἢ ἔλαττον, πρὸς τὴν δύναμιν καὶ τὴν εὐκοιλιότητα τοῦ νοσοῦντος. ἐν δὲ τῷ μελικράτῳ πήγανον ἐνεψήσθω. καλῶς δὲ τούτους ἐκκαθαίρει καὶ ὁ διὰ κολοκυνθίδος πολτός. ἐπί τινων δὲ καὶ οἱ ἀπὸ ῥαφανίδων ἔμετοι κατ' ἀρχὰς ὠφέλησαν. ἐν δὲ τοῖς διαλείμμασι δρωπακιστέον αὐτούς. τοῖς τε διὰ εὐφορβίου χρηστέον ἀκόποις, καὶ μάλιστα τῷ ποικίλῳ καλουμένῳ. λουτρὰ δὲ τὰ αὐτοφυῆ τούτοις ἁρμόδια, εἰ δὲ μὴ παρείησαν, ἐν τοῖς γοῦν ἄλλοις λουόμενοι, τοῖς τε λελεγμένοις ἀκόποις χρηστέον, καὶ τοῖς συνθέτοις νίτροις, τῷ τε ἀσκληπίῳ, καὶ τῷ διὰ εὐφορβίου καὶ ἀδάρκης, καὶ μέλανος ἐλλεβόρου. καστορίου τε καὶ πυρέθρου, καὶ πεπέρεως, καὶ ἀσταφίδος ἀγρίας ἴσων. μετὰ τὸ λουτρὸν ἐμπασσέσθωσαν πίσσης ξηρᾶς γο. γ΄. θείου ἀπύρου γο. β΄. θερμὸν ἔτι τὸν χρῶτα. καὶ σκεπέτωσαν αὐτὸν χάρτῃ. εἰ δὲ μὴ δὲ ταῦτα ὀνήσει, ἤγουν ἐγκαταλείμματος τῆς νόσου μένοντος, καλὸν μὲν καὶ τὸ νᾶπυ καταπλαττόμενον σὺν ἰσχάσιν, ἢ καὶ καθ' αὐτό. τέλεον δὲ τούτους ἀποκαθίστησι τῆς ἰβηρίδος βοτάνης ἡ χρῆσις, ἣν δή τινες λεπίδιον, οἱ δὲ ἀγριοκάρδαμον προσαγορεύουσιν. ἡ δὲ παρ' ἡμῖν φυομένη θαμνώδης, παραπλήσια δάφνης τὰ φύλλα, καὶ μείζονα πολλῷ ἔχουσα. πολλὴν δὲ δέδωκε πεῖραν, οὐ μόνον ἐπὶ ἰσχιαδικῶν, ἀλλὰ καὶ ἐπὶ ἄλλων χρονίων νοσημάτων. θέρους δὲ πρακτικωτέρα μᾶλλον ἐστίν. εἰ δὲ καὶ μὴ τύχοι τότε φύλλα φύουσα. δεῖ οὖν τὸν φλοιὸν τῆς ῥίζης αὐτῆς κόψαι μετὰ στέατος ὑείου, ὡς ἐμπλαστρώδη γενέσθαι. εἶτα ἐπιπλάσαντα ῥάκει πυκνῷ, κατὰ τῶν μάλιστα ὀδυνωμένων ἐπιθεῖναι τόπων, ἤγουν κατά τε τοῦ σφαιρώματος ὅλου καὶ τοῦ μηροῦ, καὶ ἐάσαντα ἕως οὗ μελανθῇ, ἢ πάντως γε πελιδνὴ γένηται ἡ ἐπιδερμίς. εἶτα λαβεῖν αὐτό, καὶ λουσαμένῳ ἐπιθεῖναι ταύτην τὴν κηρωτήν. ὀποπάνακος γο. δ΄. διαλύονται ὄξους κο. β΄. καὶ ἀναλαμβάνονται κηρωτῇ κυπρίνῃ. εἰ δὲ παραιτοῖντο τὴν τοιούτων καυστικῶν τὴν χρῆσιν, ταῖς ἀνασκευαστικαῖς χρηστέον ἐμπλάστροις, ὧν ἐστι καὶ αὕτη. κηροῦ πιτυΐνης ἀνὰ < ιβ΄. τερεβινθίνης, περιστερῶν ἀγρίων κόπρου, σφέκλης προσφάτου ἀνὰ < ς΄. χαλβάνης < α΄ S. καὶ ἡ λευκὴ δὲ προσαγορευομένη τῶν ἀνασκευαστικῶν ἐστι. χρήσιμοι δὲ καὶ αἱ διὰ στακτῆς καὶ νίτρου σκευαζόμεναι. καὶ τοῖς ἐπ' ἐνιαυτὸν δὲ πινομένοις τινὲς ἐχρήσαντο πόμασιν. ἐξ ὧν ἐστι τό τε διὰ τεσσάρων. χαμαίδρυος λι. α΄. γεντιανῆς γο. θ΄. ἀριστολοχίας στρογγύλης γο. θ΄. πηγάνου σπέρματος ξηροῦ ξε. α΄. ταῦτα κόψαντα δεῖ καὶ σήσαντα, διδόναι καθ' ἑκάστην ἡμέραν κοχλιαρίου πλῆθος νήστει τε καὶ ἀπέπτῳ, μεθ' ὕδατος ψυχροῦ κο. β΄. ἐπ' ἐνιαυτόν. ἕως ἂν ἡ νόσος παύσηται. καὶ τὸ διὰ ζ΄. δὲ συντεθειμένον. καὶ ἡ Πρόκλου δὲ λεγομένη, τῆς αὐτῆς εἰσιν ἐπαγγελίας. γυμνάσια δὲ διά τε περιπάτων ἐπιτελείσθω, καὶ συνεχῶς διὰ καμψέων καὶ ἀσφαλάσεων, καὶ δρόμων. καὶ τροφὴ δὲ λεπτύνουσα μετρίως καὶ εὔπεπτος. εἰ δὲ πρὸς μηδὲν τῶν εἰρημένων ὑπακούει ἡ ἰσχιάς, ὅτε μὲν εἰς διαπύησιν τρέπεται, ὅτε δέ, χαλασθέντων τῶν συνδετικῶν νεύρων, τὸ κῶλον ἐξαρθρεῖ. δεῖ τοίνυν χρονιζούσης τῆς διαθέσεως, καίειν τὸ ἄρθρον κατὰ τρεῖς ἢ τέσσαρας τόπους, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται. καὶ ἐπὶ πλείονας ἡμέρας τὰ ἕλκη φυλάττειν ἀνεπούλωτα.

Περὶ ποδάγρας καὶ ἀρθρίτιδος. οη'.

Οὐ μόνη τῶν μορίων ἀσθένεια, τὸ ποδαγρικόν τε καὶ ἀρθριτικὸν ἐργάζεται πάθος. ἐπεὶ ἀεὶ ἔδει τοὺς παροξυσμοὺς ἀδιαλείπτους εἶναι, παρ' ὅσον καὶ ἡ ἀσθένεια διαπαντὸς ἐνυπάρχει τοῖς ἀσθενοῦσιν ἄρθροις. οὔτε δὲ χυμὸς μόνος. οὐ γὰρ δὴ τοῖς ἄρθροις ἐνέσκηπται μόνοις τὸ πάθος. ἀλλ' ἄμφω χυμός τε παρὰ φύσιν, καὶ τῶν μορίων ἡ ἀσθένεια, τὴν νόσον ἐργάζεται. ὅταν γὰρ τῶν μορίων ἡ θρεπτικὴ δύναμις ἀτονήσῃ διὰ πλησμονὴν σιτίων, ἐξ ἧς ἀπεψίαι συμβαίνουσι, κατασκήπτων ὁ πλεονάζων χυμὸς εἰς ἥντινα οὖν τῶν διαρθρώσεων ἤδη προασθενήσασαν, καὶ διατείνων τὰ συνδετικὰ τῶν νεύρων, τὴν ὀδύνην ἐργάζεται. οὔτε γὰρ τῶν προαιρετικῶν νεύρων ἐστὶν πρωτοπαθούντων ἡ φλεγμονή. ἐπεὶ ἀεὶ ἔδει κἂν τοῖς μεταξὺ τῶν διαρθρώσεων τόποις αὐτὴν γίνεσθαι, οἷον κνήμαις μέσαις ἢ μηροῖς ἢ πήχεσιν ἢ βραχίοσιν. συμπάσχει γε μὴν καὶ τὰ προαιρετικά. ἕως μὲν οὖν ταῖς τῶν ποδῶν διαρθρώσεσιν καὶ μόνον ὁ χυμὸς ἐνοχλεῖ, ποδάγρα τὸ πάθος προσαγορεύεται. διαβιβασθείσης δὲ τῆς αἰτίας ἐν ἅπασι τοῖς τοῦ σώματος ἄρθροις, ἀρθρῖτιν αὐτὸ καλεῖν εἰώθασιν, ἐφ' οὗ καὶ σπόνδυλοι, καὶ σπάθαι, καὶ σιαγόνες, καὶ πᾶν ὅτι οὖν ἄρθρον, τῇ νόσῳ βάλλεται. εἰσὶ δὲ καὶ ὦτα, καὶ ὀδόντες, καὶ φάρυγξ. καίποτε καὶ ἧπαρ, καὶ σπλὴν, τῶν ἀρθριτικῶν μετέχων ἀλγημάτων. ἐφ' ὧν εἰ μὴ διὰ τάχους ἐν τοῖς ἄρθροις, ἡ μετάπτωσις ἐγίνετο, κίνδυνος ἐν ὀλίγῳ κατελάμβανε τοὺς κάμνοντας. ὁ δὲ πλεονάζων χυμός. ὅτε μὲν χολώδης, ὅτε δὲ αἱματικός, ἄλλοτε δὲ μελαγχολικός, ὡς τὸ πολὺ δὲ φλεγματικός τε καὶ ὠμός ἐστιν, ἔκ τε σιτίων πλεονεξίας καὶ ἀπεψιῶν, καὶ ἀργίας συνιστάμενος. χρονίζων δὲ κατὰ τὰ ἄρθρα, παχύνεταί τε καὶ γλισχρότερος γίνεται, ὥστε καὶ τοὺς λεγομένους ἀπεργάζεσθαι πώρους. ἔσθ' ὅτε δὲ καὶ μικτός, ἐκ πλειόνων γάρ ἐστιν, διὸ καὶ τὸ δυσδιάγνωστόν τε καὶ δυσθεράπευτον ἢ καὶ σχεδὸν ἀθεράπευτον ἡ νόσος κέκτηται. κατάρχει δὲ τοῦ πάθους ὡς τὸ πολὺ κόπος ἄμετρος, καὶ περίπατοι σύντονοι, καὶ ἱππασία συχνή, καὶ ἀφροδισίων ἄκαιρος χρῆσις, ψυχροποσία τε ἀήθης, καὶ ψυχρῶν ἢ πολλῶν, ἢ κακῶν βρωμάτων ἐδωδὴ, καὶ οἶνος πολύς. καὶ ἐπὶ προσπταίσμασι δέ τισιν, ἢ κρούσμασιν, ἢ στρέμμασιν, ἢ τοιούτοις τισὶ τὴν πρώτην κατάρξαν τοῦ πάθους εὑρήκασι. προηγουμένης μὲν ἐν τῷ σώματι καὶ τέως ἠρεμούσης τῆς ὕλης, τῆς δὲ προκαταρκτικῆς αἰτίας κινησάσης αὐτήν. λῦπαι δὲ καὶ φροντίδες καὶ ἀγρυπνίαι καὶ τὰ λοιπὰ πάθη τῆς ψυχῆς, οὐχ ὅπως μόνον ἐκίνησαν, ἀλλὰ καὶ αὐτὴν τὴν κακοχυμίαν ἐγέννησαν, εἴτε πρώτως εἴτε κατὰ συμβεβηκός. ποικίλα μὲν οὖν ἐστιν ὡς ἔφην τὰ τοῦ πάθους αἴτια. εὐφώρατοι δὲ ὅμως κατὰ τὸ ἐγχωροῦν, αἱ τῶν λυπούντων χυμῶν διαφοραὶ γίνονται, ταῖς τε χροιαῖς καὶ τοῖς συμπτώμασι σημαινόμεναι. Τὸ μὲν γὰρ χολῶδες ῥεῦμα, πρὸς τῷ τοῦ χρώματος ὑπόχρουν τε καὶ ὑπέρυθρον, καὶ θερμασίας συναίσθησιν, καὶ τὴν ὀδύνην ὀξυτέραν ἐργάζεται, καὶ ταχέως ἐκδίδοται κατὰ τὸ δέρμα χωρὶς ὄγκου μεγάλου, παροξύνεταί τε τῶν θερμαινόντων ἐπιτιθεμένων, ὥσπερ ἔμπαλιν ὑπὸ τῶν ψυχόντων ἀνίεται. τοῦτο μὲν γε καὶ τοῖς ἄλλοις ἅπασιν ὡς ἐπὶ τὸ πολύ, μάλιστα δὲ τοῖς ἐπὶ χολώδει συμβαίνει. καὶ πυρετὸς αὐτοῖς ἐπιγίνεται πολλάκις ἐν ταῖς τῶν παροξυσμῶν ἀκμαῖς. ὁπότε καὶ διψώδεις εἰσίν. Οὕτω δὲ καὶ μελανώτερον μὲν, ἐπὶ τῶν μελαγχολικωτέρων εὑρήσεις τὸ χρῶμα. λευκὸν δὲ καὶ ὑδαλέον, ἐπὶ τῶν φλεγματικῶν. καὶ τὴν ὀδύνην ἐμφωλεύουσάν τε, καὶ βραδύτερον εἰς ὄγκον ἐκδιδομένην. ὥσπερ αἱματώδη τὴν χρόαν, ἐφ' ὧν αἱματικὸς ὁ πλεονάζων ὑπάρχει χυμός. πρὸς δὲ τὴν βεβαιοτέραν διάγνωσιν, συντελεῖ σοι καὶ ἡ προλαβοῦσα δίαιτα, καὶ τὰ λοιπά.

Θεραπεία τῶν ἐπὶ χολώδει χυμῷ ῥευματιζομένων.

Ἀρχὴ δέ σοι τῆς θεραπείας ἐπὶ τῶν ἐπὶ ξανθῇ χολῇ, καὶ μᾶλλον ἤδη ποιότητι πασχόντων, ἡ τοῦ λυποῦντος χυμοῦ γινέσθω κένωσις, διὰ τῶν καθαρτικῶν φαρμάκων. ὁποῖόν ἐστι μάλιστα τὸ διὰ τοῦ ῥοδομέλιτος σκευαζόμενον, καὶ τὸ διὰ τῶν μήλων τῶν κυδωνίων, καὶ τὸ διὰ τῆς πικρᾶς ἀντιδότου, καὶ τὰ διὰ τῆς ἀλόης καταπότια. κατὰ δὲ τοὺς παροξυσμοὺς ἔξωθεν τῷ ῥοδίνῳ χρησώμεθα, μετὰ τῆς λεκύθου τοῦ ᾠοῦ, καὶ βραχέος οἴνου προσανατρίβοντες ἠρέμα τὸ μόριον. καὶ τὰς ψυχούσας δὲ τῶν βοτανῶν προσενέγκωμεν, οἷον στρύχνον, ἀνδράχνην, ὑοσκύαμον, ἀείζωον, τὸν ἐκ τῶν τελμάτων φακόν, σέριν, μήκωνα, πολύγονον, ῥόδων φύλλα, καὶ τὰ παραπλήσια. ποτὲ μὲν καταχρίοντες αὐτά, ποτὲ δὲ μετὰ ψιχῶν ὀξυκράτῳ τε βρεχεισῶν, ἢ κριθίνων ἀλεύρων ἅμα ῥοδίνῳ, καταπλάσσοντες. ἐπὶ δὲ τῆς ἐρυσιπελατώδους φλεγμονῆς τῶν ἄρθρων, ἐπιφανῶς παρηγορεῖ, κολοκύνθης νεαρᾶς τὸ λέπος ἐπιτιθέμενον. πέπονός τε καὶ σικύου ἡ σάρξ, καθ' ἑαυτά τε καὶ μετὰ ἄρτου. περδικίου τε φύλλα καὶ κισσοῦ, σὺν ἄρτῳ ἢ παιπάλῃ ἀλφίτου. καὶ τὸ ψύλλιον δὲ συνεψόμενον ἀλεύρῳ κριθίνῳ, τὰς πυρώδεις τῶν φλεγμονῶν θαυμαστῶς παραμυθεῖται. ὡσαύτως καὶ ἡ ῥοδίνη κηρωτή, σύν τινι τῶν ἐμψυχόντων χυλῶν ψυχθεῖσα.

σα. καὶ ἡ διὰ τοῦ κυαμίνου ἀλεύρου. ἔχει δὲ οὕτως. κηροῦ γο. ε΄. χαμαιμηλίνου γο. β΄ S. ῥοδίνου γο. β΄ S. κυαμίνου ἀλεύρου γο. S. ᾠῶν ε΄ τὰς λεκύθους. Ἄλλο. Κατάπλασμα. μαλάχας ἑψήσας χλωράς, τρίψον. καὶ ψύλλιον κατ' ἰδίαν ἰξοποιήσας, ἐπίμιξον. εἶτα προσπλέξας ᾠῶν τὰ κρόκα, καὶ ἔλαιον χαμαιμήλινον, κατάπλασσε. πολλῆς δὲ καὶ δυσυπομονήτου τῆς ὀδύνης οὔσης. καὶ τὸ διὰ κρόκου, καὶ γλαυκίου, καὶ ὀπίου χρηστέον, δι' ὀξυκράτου λειοῦντας αὐτά, καὶ ἤτοι καταχρίοντας, ἢ μετὰ τὰ ψιχῶν καταπλάσσοντας. ὁ δὲ Γαληνὸς τούτου μέμνηται. ὀπίου μήκωνος < . δ΄. κρόκου < . α΄. λειώσας μετὰ γάλακτος βοείου, ἢ αἰγείου. ἢ ἄρτου τὸ ἐντὸς ἐπίβαλλε, καὶ μαλάξας, παράπτε ῥοδίνου, καὶ χρῶ καταπλάσματι. ἢ τὸ ὄπιον καὶ τὸν κρόκον τρίψας μετὰ τοῦ γάλακτος, ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ. καὶ ἡ διὰ τῆς πυρπένης δὲ κηρωτή, τῆς αὐτῆς ἐστι δυνάμεως, ἐν παροξυσμοῖς, καὶ τὸ ἔλαιον τὸ δι' αὐτοῦ. καὶ τοῦτο δὲ παραπλήσιόν ἐστιν. ψιχῶν βραχεισῶν εἰς ὕδωρ ἢ εἰς ὀξύκρατον, καὶ ἀειζώου ἢ στρύχνου ἢ ἀνδράχνης, καὶ φοινίκων σαρκῶν, καὶ κωδυῶν σπέρματος τὸ ἴσον. ᾠῶν ὀπτηθέντων τῶν κρόκων, καὶ ῥοδίνου τὸ ἀρκοῦν, κατάπλασσε. Τοῖς δὲ ναρκωτικοῖς μὴ ἐγχρονίζειν, ἀλλ' ἄχρι τοῦ μετριάσαι μόνον τῆς ὀδύνης τὸ σφοδρόν. ἡ γὰρ πλείων χρῆσις αὐτῶν, σφηνώσεις τε καὶ πώρους καὶ δυσκινησίας ἐργάζεται χρονίας. μετὰ τὴν χρῆσιν οὖν τῶν ἀνωδύνων, ἢ τῇ διὰ χυλῶν, ἀναλυθείσῃ διὰ χαμαιμηλίνου χρηστέον. ἢ τῇ διὰ τῆς ἀλθαίας, ἢ τινὶ τῶν τοιούτων φαρμάκων. μετὰ δὲ τὸ ἀναθάλψαι τὰ κατεψυγμένα, τονώσωμεν τὸ μόριον διὰ τῆς φοινικίνης, ἀναλυθείσης ὀξυροδίνῳ ἢ οἰνοροδίνῳ. εἰ δὲ βαρύνοιντο ταῖς ἐμπλάστροις, τὸν χυλὸν ἐπιχρίειν τῆς ἀκακίας δι' ὀξυκράτου. ἢ τὸ λύκιον ἅμα κρόκῳ καὶ γλαυκίῳ καὶ χυλῷ περδικιάδος, ἐν ὀξυκράτῳ. τὴν δὲ δίαιταν αὐτῶν ψύχουσάν τε, καὶ ὑγραίνουσαν εἶναι προσήκει. οἷον τὰ διὰ πτισάνης, καὶ χόνδρου ῥοφήματα. καὶ λαχάνων, μαλάχην, θριδακίνην, ἔντυβον. ὀρνέων τε, τῶν κατοικιδίων μάλιστα, τοὺς νεοσσούς. καὶ ἰχθύων τοὺς πετραίους, καὶ ἐχῖνον, καὶ κτένια, καὶ τὰ παραπλήσια. παραιτουμένων αὐτῶν, ἅπαντα τὰ θερμαίνοντα, καὶ χολῆς τῆς ὠχρᾶς τε καὶ ξανθῆς γεννητικά. καὶ οἴνους τοὺς παλαιούς τε καὶ κιρρούς καὶ μέλανας, καὶ ἐμπλησμονήν. καὶ λουτροῖς δὲ τοῖς διὰ ποτίμων ὑδάτων χρῆσθαι, καὶ κατ' αὐτοὺς τοὺς ῥευματισμούς, ὅσον ἐπὶ τῇ αἰτίᾳ, χωρὶς εἰ μή τι ἕτερον κωλύοι. φυλαττομένους ὀξυθυμίαν, ἀσιτίαν, δριμυφαγίαν, οἰνοφλυγίαν κόπον ἄμετρον, ἀφροδίσια.

Θεραπεία τῶν ὑπὸ αἱματικοῦ χυμοῦ ῥευματιζομένων.

Ἐφ' ὧν δὲ ὁ πλεονάζων χυμὸς αἱματικός ἐστι, φλεβοτομίᾳ χρηστέον ἀνυπερθέτως. οὐ μήν, ἀλλὰ κἀπὶ τῶν φλεγματικωτέρων ἢ μελαγχολικωτέρων. ἐπειδὴ καὶ τούτοις ὁ χυμὸς ταῖς φλεψὶν ὡς μάλιστα περιέχεται, ποσότητι μᾶλλον ἢ ποιότητι λυμαινόμενος. τὴν φλεβοτομίαν οὖν παραλαμβάνωμεν εὐθὺς κατὰ τὴν πρώτην τοῦ νοσήματος καταφοράν. ὡς οἵ γε φθάσαντες ἤδη πολλάκις ῥευματισθῆναι, βλάπτονται μᾶλλον ὑπὸ τῆς τοῦ αἵματος κενώσεως ἤπερ ὠφελοῦνται. καὶ μᾶλλον οἷς φύσει ψυχρότερον ἢ καὶ ἀσθενέστερον ἐστὶ τὸ σῶμα. μετὰ δὲ τὴν τοῦ αἵματος κένωσιν, εἰ μὴ μόνον αἷμα τὸ πλεονάσαν ὑπῆρχε, μικρὸν διαλείποντες, καὶ τῇ διὰ τῆς ἱερᾶς χρησώμεθα καθάρσει. καὶ τὸ ἰουλιανὸν δὲ ὀξύμελι, τῶν τούτοις ἁρμοδίων καθαιρόντων ἐστίν. ὅσοι δὲ τὰ τοιαῦτα τῶν καθαρτικῶν παραιτοῦνται φαρμάκων, καταποτίοις χρηστέον τοῖσδε. ἀλόης, κολοκυνθίδος, ἐλλεβόρου μέλανος, σκαμμωνίας ἀνὰ γο. α΄. εὐφορβίου γο. S. νίτρου γο. S. χ΄΄. κράμβης ἀναλάμβανε, καὶ δίδου πρὸς τὴν δύναμιν. βέλτιον δὲ εἰ μήλων κυδωνίων χυλῷ. Ἕτερον καταπότιον ἔν τε τοῖς παροξυσμοῖς καὶ τοῖς διαλείμμασι, καὶ ἐπὶ παντὸς χυμοῦ, διδόμενον τοῖς ποδαγρικοῖς. Ἀλόης γο. ς΄. ἀγαρικοῦ γο. S. κρόκου γο. S. κόστου γο. α΄. ναρδοστάχυος γο. α΄. σχοίνου ἄνθους γο. α΄. καρποβαλσάμου γο. α΄. κασσίας γο. β΄. σκαμμωνίας γο. β΄. ἐπιθύμου γο. γ΄ S. ἡ δόσις ἡ σύμμετρος γρ. β΄. ἡ τελεία γρ. δ΄. καὶ τὰ διὰ τοῦ ἀρμενιακοῦ λίθου καταπότια θαυμαστῶς καθαίρουσιν, ἰδίως ἐπὶ τῶν ἀρθριτικῶν ἁρμόζοντα, ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς παρακμαῖς τῶν ῥευματισμῶν, κἂν τοῖς διαλείμμασι διδόμενα. ἐπειδὴ δέ τινες τὴν σκαμμωνίαν ὡς κακοστόμαχον φεύγουσι, δοτέον αὐτοῖς καὶ μάλιστα φλεγματικῆς ὕλης πλεοναζούσης, ταῦτα. κολοκυνθίδος ἐντεριώνης, ἐλλεβόρου μέλανος, βδελλίου, κόμμεως, ἀλόης ἀνὰ γο. α΄. νίτρου ἀλεξανδρίνου, εὐφορβίου ἀνὰ γο. S. ἡ δόσις γρ. δ΄. ἐγὼ ἀντὶ τοῦ κόμμεως ἐπίθυμον ἔβαλλον. τινὲς δὲ ἐν αὐτοῖς τοῖς παροξυσμοῖς ἐπὶ πάντων τῶν ἀρθριτικῶν, καὶ τῇ δι' ἑρμοδακτύλου κέχρηνται καθάρσει. ἀλλὰ προσεκτέον ὅτι κακοστόμαχος ὢν ὁ ἑρμοδάκτυλος, ἀσώδεις τε καὶ ἀνορέκτους ἐργάζεται. ἐπὶ μόνων οὖν τῶν ἐν πράγμασιν ἀπαραιτήτοις ἐπειγομένων, αὐτῷ χρηστέον. συντόμως γάρ, καὶ μετὰ δύο τὸ πλεῖστον ἡμέρας, παύει τὸν ῥευματισμόν, ὥστε τὰ συνήθη δύνασθαι πράττειν. οἶδα δέ τινα μὴ τὴν οὐσίαν αὐτὴν τοῦ ἑρμοδακτύλου παρέχοντα, μηδέ τι τῶν δι' αὐτοῦ συνθέτων φαρμάκων, ἀλλὰ αὐτὴν τὴν πόαν ἑψῶντα

μετά τινος τῶν συνήθων φαρμάκων, οἷον ἀνήσου ἢ σελίνου, τὸ ἀφέψημα πίειν ἐδίδου. καὶ θαυμαστῶς ὅπως κενούμενοι διὰ γαστρὸς, ἀπεπαύοντο τοῦ ῥευματισμοῦ. δεῖ δὲ διὰ τὸ κακοστόμαχον, ὡς ἔφην, ὕστερον τοῖς δυστομάχοις τε καὶ τονωτικοῖς μετὰ τοῦ μετρίως θερμαίνειν ἐπανορθοῦσθαι τὸ στόμα τῆς γαστρός. τῶν δὲ διὰ ἑρμοδακτύλου, τὴν διὰ τοῦ κορωνοποδίου, καλλίονά φησιν ὁ Ἀλέξανδρος, οἷα τὴν αὐτὴν, κένωσίν τε καὶ ἀνωδυνίαν ἐργαζομένην. μετὰ τοῦ μὴ δὲ κακοστόμαχον εἶναι. ἐντερικὰ δὲ τοῖς φλεγματικοῖς προσφερέσθω. μετρίας μὲν οὔσης τῆς ὀδύνης, ἥτε κράμβη χλωρὰ καταπλαττομένη, καὶ τὸ σέλινον, καὶ ἡ κόνυζα, καὶ ὁ περιστερεὼν ὁ ὄρθιος. ἰσχυρῶς δὲ αὐτῶν ὀδυνωμένων. ἀλεύρου τηλίνου μέρη γ. αἰρίνου μέρος α. ἀλεύρου δὲ ἐρεβίνθων μέρος α. καταπλάττειν διὰ μελικράτου, ἢ οἴνου λεπτοῦ, σὺν ὀλίγῳ κυπρίνῳ ἢ ναρδίνῳ. καὶ μάλιστα χειμῶνος. καὶ τῶν κραμβῶν δὲ τῆς ῥίζης, καὶ τῶν καυλῶν καυθέντων, ἡ τέφρα σὺν ὀξυγγίᾳ καταπλαττομένη, πολλοὺς ὀνίνησιν. ἀλλ᾽ εἰς μὲν τὸ παραμυθήσασθαι, πρόσφατον εἶναι δεῖ τὸ ὀξύγγιον. εἰς δὲ τὸ διαφορῆσαι, παλαιὸν ἀλιπαρές. καὶ ἡ τῶν βοῶν κόπρος σὺν ἀλεύρῳ κριθίνῳ ἐν μελικράτῳ ἑψομένη, ἢ καθ᾽ ἑαυτὴν πρόσφατος ὑγρὰ καταπλαττομένη μετὰ φύλλων κράμβης. ὁμοίως δὲ καὶ αἱ τῶν αἰγῶν σπύραθοι καθ᾽ ἑαυτὰς, ἢ μετὰ ἀλεύρου κριθίνου δι᾽ ὀξυκράτου ἑψόμεναι. ἐπειδὴ δὲ καὶ διὰ τῶν ἐναντίων εἶναι δοκούντων τινὲς ὠφελήθησαν. ἡ γὰρ τῶν ποικίλων χυμῶν ἐπιμιξία τὴν διάγνωσιν ὑποτέμνεται. ῥητέον τὴν ὕλην ἀνάμιξ. ὠφελεῖ τὸ ἴνυ, ἥτε ἀγρία ἀτράφαξις καὶ ἥμερος, σὺν ἄρτῳ καταπλασσομένη. ἢ φλόμου φύλλα, μετὰ βολβῶν ἢ ἄρτου λεαινόμενα, ἢ μετὰ ἀλφίτου. ἢ τὸ διὰ τῆς ὠμῆς λύσεως κατάπλασμα. καθάπαξ δὲ ἐφ᾽ ὧν ἄδηλος ἡ αἰτία, ποιεῖσθαι δεῖ τὴν μετάβασιν. ποτὲ μὲν ἐπὶ τὰ ὁμοειδῆ, ποτὲ δὲ καὶ ἐπὶ τὰ ἐναντία, μὴ τοῖς αὐτοῖς ἐγχρονίζοντα, μὴ παραμυθουμένοις γοῦν. ταῦτα γὰρ ὁσημέραι βλέπομεν ἐν τοῖς ἔργοις τῆς τέχνης γινόμενα. καὶ τὸ αὐτὸ βοήθημα, τοῦτο μὲν τὸ ἄρθρον ὠφέλησεν, ἕτερον δὲ ἐπὶ τοῦ αὐτοῦ κάμνοντος ὁμοίως φλεγμαῖνον οὐ μόνον οὐκ ὠφέλησεν κατ᾽ αὐτὴν τὴν ὥραν, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ προσέβλαψεν. καὶ τὸ δὴ θαυμαστόν. τὸ γὰρ ἐν καὶ ταυτὸν πολλάκις ἄρθρον ὑπὸ τοῦ αὐτοῦ βοηθήματος, νῦν μὲν ὠφελήθη, μετ᾽ ὀλίγον δὲ καὶ προσεφλεγμήνε. μήποτε οὖν, ἐπειδὰν μὲν τὸ γλίσχρον καὶ παχὺ τῆς ὕλης ἐπικρατεῖ, τοῖς θερμοτέροις ὀνίναται. τῆς δὲ δριμείας καὶ ζεούσης τοῦ χυμοῦ κρατούσης ποιότητος, τοῖς ἐμψύχουσι παραμυθοῦνται. καὶ οὐδὲν θαυμαστὸν, καὶ τὴν φύσει ψυχροτέραν οὖσαν ὕλην ἐν τῷ καιρῷ τῆς φλεγμονῆς, ἐκπυροῦσθαί τε καὶ ζεῖν. ἵνα τὴν ἐπιμιξίαν, εἰ τύχοι, τῆς χολῆς ἐάσω. τὴν δὲ τῶν πώρων κωλύει σύστασιν, θέρμινον ἄλευρον σὺν ὀξυμέλιτι ἢ ὀξυκράτῳ, ἢ σιλφίου ἢ βρυωνίας ῥίζα σὺν ἄρτῳ. καὶ τοῦτο δὲ τῶν ἀβλαβῶς παραμυθουμένων ἐστὶ, μετὰ τοῦ διαφορεῖν μετρίως. λυκίου γο. α. ἀμμωνιακοῦ θυμιάματος γο. α. τρίψας μετὰ οἴνου παλαιοτάτου καὶ ἐλαίου ὀμφακίνου ἕψε, καὶ ἐπίβαλλε ἀλεύρου φαβατίνου τὸ ἀρκοῦν, καὶ ἑψήσας συμμέτρως κατάπλασσε. μετὰ δὲ τὰς ἀκμὰς, ὄγκου περιλειφθέντος, καταπλαστέον τοῖς βολβοῖς καθ᾽ ἑαυτοὺς ἢ σὺν ἀλφίτου παιπάλῃ, ἕως ἀμύξεως, οὕτω γὰρ ἐνεργεῖν πεφύκασιν. μὴ παραμυθούμενοι δὲ τοῖς καταπλάσμασιν, ἐπιβροχαῖς τε καὶ καταντλήσμασιν χρήσθωσαν κατὰ τοὺς τόπους, καὶ μάλιστα εἰ τὰ ἄκρα εἴη, τοῖς διὰ χαμαιμήλων καὶ μελιλώτων, ἢ καὶ κενταυρείου, ἀφεψήμασι. τινὰς δὲ καὶ τὸ τῆς καππάρεως ἱκανῶς ὤνησεν. τοῦτο δὲ πάντων ἐστὶ δραστικώτερον. ἐν ὄξει δριμυτάτῳ καθεψήσας θύμον τε καὶ ὀρίγανον καὶ θύμβραν καὶ καλαμίνθην, κατάντλησον τῷ ὄξει τὰ πεπονθότα, μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις τῆς ἡμέρας, θαῤῥῶν. τοῦτο πολλοὺς ὠφέλησεν, οὐ μόνον ἐπὶ φλέγματι πάσχοντας, ἀλλὰ καὶ ἐπὶ χολῇ.

Τινὲς ἐτήρησαν καὶ τοῦτο. φοινικοβάλανα κόπτονται λεῖα καὶ ἑψοῦνται ἐπὶ πολὺ, καὶ τῷ ζέματι τούτῳ, τὰ μὲν ἄκρα τῶν ἄρθρων ἐν ἀρχῇ τοῦ ῥευματισμοῦ, ἀποβρέχονται ἐπὶ χρόνον συχνόν. τὰ δὲ ἐνδοτέρω σπόγγοις περικαντλοῦνται. καὶ παρ᾽ αὐτὰ τὴν ὁρμὴν τῆς ὕλης ἀποκρούονται. τοῦτο καὶ τοῖς ἐπὶ χολῇ ἁρμόζει. καθάπερ καὶ ἡ εἰς τὸ θερμὸν ὕδωρ ἄνευ τινὸς ἀφεψήματος ἀποβροχή. πρὸς δὲ τὰς διὰ ἐπιτεταμένην ψύξιν γινομένας ὀδύνας καὶ σφηνώσεις τῶν ἄρθρων, ἰσχυρόν ἐστι βοήθημα τόδε. ἐλαίου παλαιοῦ λι. α. S. νίτρου ἀλεξανδρίνου λι. α. τερεβινθίνης λι. α. εὐφορβίου γο. α. ἴρεως γο. β. τήλεως ἀλεύρου ξ. α. S. τούτοις δὲ καὶ τὰ ἐπὶ τῶν ἰσχιαδικῶν εἰρημένα καλῶς συναρμόσει. πολλοὶ γὰρ ἐπὶ τῶν οὕτω κατεψυγμένων, ἐν παρακμαῖς καὶ τῷ νάπυϊ σὺν ἰσχάσιν ἐχρήσαντο. καὶ τοῖς ἄλλοις φοινιγμοῖς. τινὲς δὲ καὶ τῷ διὰ κανθαρίδος φαρμάκῳ. ταῦτα δὲ βλάπτουσιν εἰς ὕστερον, εἰ μή τινι καὶ τῶν μαλακτικῶν χρήσαιντο, οἷον τῷ τε διὰ στρουθίου καὶ τῇ πυξίδι, καὶ τῷ βασιλείου, καὶ τῷ διὰ τῆς ἐλάτης, καὶ τῷ διὰ τῆς αἰγείρου, τῷ τε βρωμίῳ, καὶ τῷ λυσιπονίῳ. καὶ τοῖς ἰσχυροτέροις τῶν ἀκόπων. ἐφ᾽ ὧν καὶ μάλιστα νευριτικαὶ συμπάθειαι καὶ σφηνώσεις γίνονται.

ται. ἡ δὲ διὰ τοῦ οὔρου τοῦ ἡμιόνου καὶ ἐν ἀκμαῖς ἐπιτεθεῖσα μάλιστα, τοῖς ψυχροτέροις ῥεύμασιν ἐπιτήδειός ἐστιν. ὡσαύτως δὲ καὶ ὁ διὰ τῶν δύο ἐλλεβόρων τροχίσκος τοὺς οἰδηματώδεις τε καὶ χαύνους ὄγκους ἁρμόζει. πυρία μὲν, ἡ διὰ τῶν πεφρυγμένων ἁλῶν τε, ἢ καὶ ἄλλως ἀπὸ τῆς θαλάσσης θερμῆς διὰ σπόγγων προσένθλησις ἢ ἀπόβροχή. καὶ αἱ δι' ἁλῶν σκευαζόμεναι ἔμπλαστροι, αἵτε διὰ στάκτης καὶ νίτρου, καὶ τὰ ταύταις παραπλήσια καταπλάσματα, μετὰ τὰς ἀκμάς. δίαιτα δὲ ξηροτέρα τούτοις ἁρμόσει καὶ ἀπέριττος, καὶ ἀσιτία ἢ ὀλιγοσιτία, καὶ λουτρῶν συχνῶν ἀποχή. λουόμενοι δὲ τοῖς νίτροις τε καὶ τοῖς ἄλλοις κεχρήσθωσαν ἀποτρίμμασιν. ἐν δὲ ταῖς παρακμαῖς, γυμνασίοις τε καὶ τρίψεσι μάλιστα τῶν ἄρθρων χρήσθωσαν, καὶ τοῖς αὐτοφυέσι τῶν λουτρῶν, ἢ καὶ ψαμμισμοῖς. ἐμέτοις τε τοῖς ἀπὸ ῥαφανίδων καὶ σιτίων. οἱ δὲ πρὸς τοῦτο ἐπιτηδείως ἔχοντες, καὶ διὰ ἐλλεβόρου τοῦ λευκοῦ κενούσθωσαν δι' ἐμέτων, ἢ καὶ διὰ τῆς κάτω καθαιρέσθωσαν κοιλίας.

Περὶ τῶν ὑπὸ αἱματικῶν χυμῶν ῥευματιζομένων.

Οἱ δὲ ὑπὸ τοῦ αἱματικοῦ χυμοῦ πάσχοντες, μετὰ τὴν τοῦ αἵματος ἐν ἀρχῇ τῆς νόσου κένωσιν τοῖς εἰρημένοις τοπικοῖς χρήσθωσαν βοηθήμασιν. χολωδεστέρου μὲν ὄντος καὶ δριμυτέρου τοῦ πλεονάζοντος αἵματος, τοῖς ἐπὶ τῶν ἐπὶ χολῇ λεχθεῖσι. ψυχροτέρου δὲ, καὶ φλεγματικωτέρου, ἢ μελαγχολικωτέρου, τοῖς μετ' ἐκεῖνα, πλὴν τῶν ἄγαν δριμέων. εἰ δὲ χρονίζει, καὶ τούτοις. καὶ τοῦτο δὲ τὸ κατάπλασμα κατ' ἀρχὰς ἁρμόζει, τὰ δὲ λέμματα τῶν ῥοιῶν, καὶ ῥοῦς καὶ ἄλφιτα ἐν οἴνῳ λειωθέντα καταπλάσσεται. Ἄλλο. φύλλα κράμβης ἑψήσας καὶ λειώσας ἐπιμελῶς ἐπίβαλλε τρύγα ὄξους, καὶ ὠῶν ἀνέφθων λεκύθους β'. καὶ ῥοδίνου βραχύ. καὶ λειώσας κατάπλασσε συνεχῶς ἀλλάσσων. τροφὰς δὲ λεπτυνούσας τε, καὶ ὀλιγοτρόφους λαμβανέτωσαν. κρεῶν τε οὖν καὶ ὀψείων ἀπεχέσθωσαν, καὶ οἴνου πλείονος, καὶ μέλανος. εἰ δὲ δυνατὸν εἴη, καὶ τὸ σύνολον παραιτείσθωσαν τοῦ οἴνου τὴν πόσιν. πολλοὺς γὰρ οἶδα τούτου μόνου παντελῶς ἀποσχομένους, καὶ πάντες ὠφελήθησαν. οἱ μὲν γὰρ ἐν ἀρχῇ τῆς νόσου, τέλεον ἀπηλλάγησαν, οἱ δὲ ὕστερον καὶ ἀραιῶς. καὶ οὐδὲ ἄγαν ἐπωδύνως παρωξύνθησαν. εἰ μὲν οὖν μή τις ἐναντίωσις ἐκ τούτου γίνοιτο, ἢ ἐλπίζοιτο γενέσθαι, διαπαντὸς ἀοινήτωσαν τοῦ βίου. ὅσοι δὲ δι' ἀσθένειαν ἢ κατάψυξιν ὑποπίπτειν τι φαίνοιντο, μέχρι διετοῦς χρόνου ἀοινήσαντες. τοὐντεῦθεν ἐκ τοῦ πρὸς ὀλίγον προσεθίσαντες αὑτοὺς, ὀλίγον τε καὶ ὑδαρῆ τὸ διηνεκὲς πινέτωσαν. δεῖ δὲ τοὺς ἀοινοῦντας ἀντὶ τοῦ οἴνου τὸ ἀφέψημα τοῦ ἀνήσου πίνειν, ἢ τινος τῶν τοιούτων σπερμάτων. ἀπεχομένους, ὡς οἷόν τε, ὀπωρῶν καὶ τῶν λοιπῶν ψυκτηρίων, καὶ ἀφροδισίων χρήσεως. οἱ δὲ βουλόμενοι διὰ τῶν ἐπ' ἐνιαυτὸν πινομένων φαρμάκων τέλεον ἀπαλλάττειν τῆς νόσου, τῶν μὲν φλεγματικωτέρων καὶ περιττωματικῶν, πολλοὺς ὠφέλησαν. τοῖς δὲ θερμοτέροις καὶ ξηροτέροις, θανάτων ἐξαίφνης γεγόνασιν αἴτιοι, εἰς ἔντερον ἢ νεφροὺς, ἢ πλευρὸν ἢ πνεύμονα, ἤ τι τῶν κυρίων μορίων μεταστάσης τῆς ὕλης. βέλτιον μὲν οὖν ἐπὶ μὲν τῶν χολωδεστέρων ἢ πολυαίμων, τὴν τοῦ οἴνου παραιτεῖσθαι χρῆσιν, μηδενὸς ἐκ τούτου τοῖς εἰρημένοις περιπίπτοντος κινδύνοις. ἐπὶ δὲ τῶν ψυχροτέρων τε καὶ περιττωματικῶν, τῇ δι' ἐχιδνῶν θηριακῇ χρῆσθαι. πυκνότερον μὲν, διὰ πέμπτης αὐτὴν λαμβάνοντας τοῦ χειμῶνος. ἀραιότερον δὲ, τοῦ θέρους. ἢ γὰρ ἀπαλλάττει τοῦ νοσήματος, ἢ μετριώτερον αὐτὸ καθίστησι, μηδὲν τῶν εἰρημένων βλάπτουσα μορίων. ἐπειδὴ δέ τινες ἀναγκάζουσιν ἡμᾶς καὶ ταῖς εἰρημέναις ἀντιδότοις χρῆσθαι. τοῦ μὲν αὐτοῦ γένους ὑπαρχούσας ἴσθι, τήν τε διὰ τοῦ διαμασσωνίου, καὶ τὴν ἀγαπητοῦ καλουμένην. τήν τε ἄτακτον, καὶ τὴν ὀκτάειδον, καὶ τὴν Πρόκλου. τήν τε διὰ τοῦ σκορδίου, καὶ τὴν διὰ κοραλλίου. καὶ ἑτέρας πλείονας. ἀσφαλεστέρα δὲ πασῶν, καὶ ἔτι διὰ πλείονος πείρας ἐστὶν, ἡ διὰ τοῦ κοραλλίου, καὶ πώρους ἤδη συστάντας ἐν τοῖς ἄρθροις διαλύσασα. τούτων δὲ πασῶν καὶ τὰς δυνάμεις καὶ τὸν τρόπον τῆς χρήσεως, καὶ τὴν ἐπὶ ταύταις παραφυλακὴν ἐν τῷ περὶ φαρμάκων εὑρήσεις. ὁμοίως δὲ καὶ τῶν πρὸς ἀρθριτικοὺς ψιλώθρων τάς τε συνθέσεις, καὶ τὸν τρόπον τῆς χρήσεως ἐπὶ τῶν αὐτῶν ἕξεων, λέγω δὴ τῶν φλεγματικωτέρων παραλαμβανομένων. ἕτεροι δὲ πρὸς τὴν ὅλου τοῦ νοσήματος ἀπαλλαγὴν, ἀλώπεκας ὅλας ἕψοντες ἐν ἐλαίῳ, τοὺς ἀρθριτικοὺς θεραπεύουσιν. οἱ μὲν ζώσας ἐμβάλλοντες μεγίστῳ λέβητι, οἱ δὲ καὶ τεθνεώσας. ὁμοίως δὲ καὶ τὰς ὑαίνας ἕψουσι, ποιοῦντες διαφορητικὸν ἔλαιον, εἶτα πυέλους αὐτὰς πληροῦντες, ἐμβιβάζοντες εἰς αὐτὰς τοὺς ἀρθριτικοὺς, ἐνδιατρίβειν χρόνῳ τινὶ συχνῷ κελεύοντες. ἐκ τούτου δὲ συνέβαινεν οὐ μόνον τοῖς περὶ τοὺς ἄρθρους ὄγκοις. ἀλλὰ καὶ σύμπαν τὸ σῶμα κενοῦσθαι.

Περὶ πώρων.

Ἐπειδὴ καὶ πῶροι πολλάκις ἐν τοῖς ἄρθροις συνίστανται, ποτὲ μὲν διὰ τὸ παχὺ καὶ γεώ-

διὰ τὸ ἐνσκήπτοντος αὐτοῖς χυμοῦ, ποτὲ δὲ καὶ διὰ φαρμάκων χρῆσιν διαφορούντων τε καὶ ξηραινόντων ἀμέτρως ἄνευ τοῦ μαλάττειν. ἰστέον ἐπιτηδειότερα τῶν φαρμάκων εἶναι ὅσα μετὰ τοῦ μαλάττειν ἅμα καὶ διαφορεῖν πέφυκε. μαλάττει μὲν οὖν στέατά τε παλαιὰ καὶ μυελοί, καὶ ἀμμωνιακόν, καὶ βδέλλιον, ἔλαιόν τε πάνυ παλαιόν, καὶ στύραξ. διαφορεῖ δὲ καὶ ξηραίνει νίτρον τε καὶ ἅλας, καὶ σακτή, καὶ ἀδάρκη, καὶ εὐφόρβιον, καὶ τὰ παραπλήσια. πρὸς δέ γε τοὺς ἐν ἄρθροις πώρους, ἰδίως ποιεῖ. τυρὸς ὁ χρονικώτατός τε καὶ δριμύτατος, ἅμα κρέως ὑείου λιπαροῦ, καὶ αὐτοῦ παλαιοῦ, ἀφεψήματι, τριβόμενός τε καὶ ἐπιτιθέμενος. διαρρηγνυμένου γὰρ αὐτομάτως τοῦ πώρου, καθ' ἑκάστην ἡμέραν κένωσις γίνεται. σύνθετον δὲ τὸ διὰ πέρνης καὶ πεπειραμένον ἐστὶ φάρμακον, διπλῶς σκευαζόμενον. τά τε διὰ σακτῆς εἰρημένα, καὶ τοῦτο ἰδίως, ἀφρονίτρου, τερεβινθίνης πρωτοστάκτου, προπόλεως ἀνὰ γο. δ. κηροῦ γο. θ. κολοφωνίας λι. α. ἐλαίου γο. ις. μίξας χρῶ, ἐπί τε πώρων καὶ ἀποστημάτων. τὸ δὲ διὰ κινναβάρεως, θαυμαστὸν μὲν πρός τε πώρους, καὶ πρὸς ἕτερα πλείονα, δυσπόριστον δέ. τὸ μέν τοι διὰ λεπτοκαρύων πρὸς τὸ ἐπιτευκτικὸν εἶναι, καὶ τῶν εὐπορίστων ἐστίν. οὐ μόνον ἐπὶ τῶν ἰσχυροτέρων, ἀλλὰ κἀπὶ τῶν εὐαισθήτων ἁρμόζον, εἰ προσλάβοι τὸ διὰ μέλιτος ἢ τὸ δι' ἀνεμώνης, δύο μέρη πρὸς ἓν τοῦ φαρμάκου. μὴ παρόντων δὲ τούτων. καὶ τὸ διὰ ψιμυθίου πολλάκις ἴσον αὐτῷ μίγνυται. Ἄλλο. Πρὸς πώρους. σανδαράχην λειώσας ἰξῷ δρυΐνῳ ἀναλάμβανε, καὶ χρῶ. ἕτερον ποιεῖ καὶ πρὸς σύριγγας καὶ αἰγίλωπας. ἐλαίου ℥. α. λιθαργύρου γο. η. S. ἀρσενικοῦ γο. α. ἕψε τὴν λιθάργυρον καὶ τὸ ἔλαιον, ἕως ἀμολύντου, εἶθ' οὕτως ἐπίπασσε λεῖον πάνυ τὸ ἀρσενικόν, καὶ πρὶν καυθῆναι, ἀνελόμενος χρῶ. τὰ δὲ διὰ λίθου ἀσσίου ἄνθους ἐν τοῖς διαλείμμασιν ἐπιτιθέμενα, πρὸς τὰς περὶ πάντα τὰ ἄρθρα συνισταμένας συλλογὰς ἁρμόζοντα, ἀπαλλάττειν καὶ τῆς ὅλης νόσου μεμαρτύρηνται τισὶ τῶν ἀρχαίων. καὶ τὸ δι' ἁλὸς ἄνθους ἐν ταῖς παρακμαῖς ὁμοίως ἐπιτιθέμενον, τοὺς ἀλειφθέντας ὄγκους διαφορεῖν πεπίστευται.

Περὶ προφυλακῆς ποδάγρας.

Τὴν μὲν ἤδη συστᾶσαν ποδάγραν, ἢ καὶ ἀρθρῖτιν, τῶν χαλεπωτάτων ἐστὶν ἐπανορθώσασθαι δίχα τῶν εἰρημένων μεθόδων. τὴν δὲ μήπω γεγονυῖαν, προφυλάξασθαι ῥᾴδιον. τῶν μὲν σιτίων ἀφαιροῦντα, καὶ τροφαῖς εὐδιοικήτοις τε καὶ ἀπερίττοις, οἴνῳ τε συμμέτρῳ χρώμενον. τοῖς δὲ γυμνασίοις προστιθέντα μέχρι τὸ ἱκανόν, ἐν βοηθήματος μοίρᾳ. οἱ ἅλες ἐν ἐλαίῳ λειοτριβούμενοι καὶ προστριβόμενοι τοῖς ἄρθροις, πάντας τοὺς προφυλαττομένους ἐμπεσεῖν εἰς ποδαγρικὸν πάθος ὀνίνησι μεγάλως, εἰ μὴ πάνυ ξηρὰν ἔχοιεν δυσκρασίαν. δεῖ δὲ χρῆσθαι αὐτῷ ἕωθέν τε καὶ ἑσπέρας διὰ παντὸς τοῦ βίου. καὶ μετὰ τὰς παρακμὰς δὲ τῶν φλεγμονῶν τῷ αὐτῷ χρηστέον.

Πρὸς χίμετλα καὶ τὰ ἐν πέλμασι καὶ πτέρναις. οθ.

Τὰ χίμετλα, ἑλκώδεις εἰσὶ διαθέσεις, περὶ τοὺς δακτύλους τῶν χειρῶν καὶ ποδῶν συνιστάμενα χειμῶνος ὥρᾳ. δεῖ οὖν αὐτὰ θαλάσσῃ χλιαρᾷ καταντλεῖν. ἢ τεύτλου ἀφεψήματι. ἢ φακοῦ ἢ ὀρόβου. ἢ ἀσφοδέλου ῥίζης. μετὰ δὲ τὴν κατάντλησιν, φακὸς ἑφθὸς ἐν οἴνῳ λειώσας κατάπλασσε. ἢ σῦκα λεῖα μετ' ἐλαίου λεάνας, ἐπιτίθει. ἢ στυπτηρίαν καὶ ἄλευρον ἴσα, τρίψας ἐν οἴνῳ, κατάπλασσε. ἢ τρυγὶ ὑποξήρῳ. ἢ βολβῷ προσφάτῳ, οἴνῳ λειωθέντι κατάπλασσε. ἢ σκόροδα ἐν ἐλαίῳ φρύξας καὶ ῥίψας, κηρὸν τῷ ἐλαίῳ σύμμετρον τήξας, ἐπιτίθει. ἢ σίδια ῥοιᾶς ἑψήσας οἴνῳ καὶ λειοτριβήσας, ἀνάλαβε κηρωτῇ ῥοδίνῃ καὶ χρῶ, προκαταιονῶν ἀφεψήματι θέρμων. ἢ μάνναν καὶ θεῖον ἄπυρον σὺν μέλιτι ἑφθῷ, ἐπιτίθει. ὁ δὲ τοῦ ὑοσκυάμου χυλὸς ἐπιχριόμενος συνεχῶς, ἀφλεγμάντους καὶ ἀπόνους ποιεῖ.

Μαρκέλλιον πρὸς χίμετλα.

Γογγύλης ῥίζαν γλύψας, εἰς τὸν βόθρον αὐτῆς ἔμβαλλε κηροῦ γο. β. ἐλαίου σχινίνου. καὶ ἑψήσας ἐν διπλώματι ἐν θαλάσσῃ ἢ ἅλμῃ ἢ ἀφεψήματι θέρμων, ὥστε μὴ προσάπτεσθαι. τὸ δὲ τακὲν ἐν τῇ γογγύλῃ κηρώδιον ψύξας, ἐπιτίθει. ἐπὶ δὲ τῶν ἡλκωμένων χιμέτλων. λιβάνου σχιστῆς, μίλτου, ῥητίνης, τὸ ἴσον, στέατι ὑείῳ ἀνεὶς χρῶ. πρὸς δὲ τὰ μετὰ φλεγμονῆς, ἡλκωμένα, τῷ ἑξαφαρμάκῳ χρῆσαι. ἐλαίου γο. θ. ταυρείου στέατος καὶ χολῆς ἀνὰ λι. α. λιθαργύρου γο. ς. κολοφωνίας γο. δ. μέλιτος γο. ς.

Πρὸς τὰς τῶν δακτύλων ῥαγάδας καὶ τῶν ὅλων ποδῶν.

Πίσσῃ ὑγρᾷ κατάχριε. ἢ καρκῖνον ποτάμιον ἢ θαλάσσιον καύσας ἐπ' ἀνθράκων, ἀπόξεσον τὸ ὄστρακον. καὶ μετ' ἐλαίου τρίψας, καὶ πάχος μέλιτος ποιήσας, προαποσμήξας τὰς ῥαγάδας ἔνσταζε. ποιεῖ δὲ καὶ σκίλλης τὸ ἐντὸς ἐλαίῳ ζεσθέν. καὶ τερμινθίνῃ συλλεανθέν. καὶ κέρας αἴγειον καυθὲν καὶ ἀναληφθὲν στέατι αἰγείῳ. δεῖ δὲ περικαθαίρειν τοὺς τύλους, καὶ οὕτω χρῆσθαι τοῖς φαρμάκοις.

Πρὸς

Πρὸς ῥαγάδας πτερνῶν, καὶ πελμάτων αὐθηρῶν.

Ἀσβέστου ζώσης < .ι. ψιμυθίου < .κ. κηροῦ < .κ. ἢ λ. χοιρείας πιμελῆς προσφάτου γο. ς. κολοφωνίας γο. θ. χυλοῦ λινοσπέρμου Κο. α. ἐλαίου γλυκέος γο. μ. ἁπαλὸν τὸ πέλμα ἐργάζεται ὡς οὐδὲν ἕτερον. Ἄλλο. Στέατος αἰγείου, κηροῦ, ἐλαίου, ἴσα, χρῶ. Ἄλλο. Σίδια ἐν ὄξει ἑψήσας κατάπλασσε ἡμέρας ε. εἶτα περικαθάρας ἐπιτίθει ἄσβεστον μετ' ἐλαίου, ἢ γλοιοῦ. Ἄλλο. Σκίλλαν ἑψήσας ἐλαίῳ αὐτὴν μὲν φρυγεῖσαν ῥῖψον. τῷ δὲ ἐλαίῳ τερεβινθίνης ἐντήξας χρῶ.

Πρὸς ἐκτρίμματα πτερνῶν τὰ ἐκ μακρᾶς κατακλίσεως.

Κηροῦ, ἐλαίου, λιθαργύρου, μέλιτος, ἴσα. ποιεῖ καὶ ἐπὶ πάσης ἑλκώσεως πελμάτων καὶ πτερνῶν. καὶ θέναρος, καὶ τοῦ ἐντὸς τῶν δακτύλων. καὶ ἔτι μᾶλλον, εἰ πλησίον εἴη τὸ ἕλκος ὄνυχι.

Πρὸς τὰ ἐν τῷ πέλματι ῥυπαρὰ ἕλκη, ἔμμοτον. ποιεῖ δὲ καὶ ἐπὶ αἰδοίου.

Ἀμόργης Κο. α. ὄξους Κο. α. ἑψήσας ἐν χαλκῷ ἕως μελιτώδους συστάσεως. καὶ λεάνας κατ' ἰδίαν, λεπίδος χαλκῆς < .β. μάννης < .β. ὀρίων οἰσυπηρῶν μαλακῶν ὅσον χεῖρα πλήρους, ἐν ἀγγείῳ ἀναληφθέντων δᾳδὶ καὶ καυθέντων, τὴν τέφραν. ἀνάλαβε πάντα καὶ χρῶ, ἐπὶ μὲν τραυμάτων οἴνῳ ἀνεὶς, ἐπὶ δὲ αἰδοίων καὶ πελμάτων, γλυκεῖ. Ἄλλο. Ἀμόργης, μέλιτος ἀπηφρισμένου ἴσον. τοῦτο καὶ οὖλα καθαίρει.

Πρὸς τὰ ἐξ ὑποδημάτων παρατρίμματα.

Γυμνῶν ἀρνὸς καὶ χοίρου καὶ αἰγὸς ποιεῖ. δέρμα δὲ ἀπὸ τῶν καττυμάτων καυθὲν, τὰ φλεγμαίνοντα μὲν οὐκ ὠφελεῖ, παυσάμενα δὲ τῆς φλεγμονῆς, ὀνίνησιν. ἢ κρόμμυον σὺν ὀρνιθείῳ στέατι πλείονος ἐπίβαλλε. ἢ κηκίδα καύσας, ἐπίπασσε. ἢ ἀκακίαν ἐν ὄξει διεὶς, ἐπίχειε.

Πρὸς ἥλους καὶ τύλους. π. 80. Cap.

Τοὺς ἥλους περικαθάραντα, ἐπιθεῖναι μίαν τῶν σηπτῶν, ἢ ἰὸν ξυστὸν, ἢ σανδαράχην, ἢ σμηγματικὸν ξηρὸν, ἢ κολλούριον συνάγχικον, ἀντὶ κόμμεως ἀμμωνιακῷ ἀναληφθέν. ἔστι δὲ ὁ ἧλος περιφερὴς λευκὸς, ὡμοιωμένος ἥλου κεφαλῇ, συνιστάμενος κατὰ πάντα τὰ μέρη τοῦ σώματος, μάλιστα δὲ ἐν τοῖς τῶν ποδῶν πέλμασι καὶ τοῖς δακτύλοις. ἀφαιρεῖται δὲ πλείονι χρόνῳ, κἂν τὸ ὑπερέχον τοῦ ἥλου συνεχῶς τις ἀποξύνῃ σμιλίῳ, ἢ κισσήρει παρατρίβῃ. ὁμοίως δὲ καὶ τοὺς τύλους. ποιεῖ δὲ καὶ θέρμων ὠμῶν καυθέντων ἡ σποδιὰ μετὰ μέλιτος, ἢ μίσυ ἀναληφθὲν ὑγρᾷ πίσσῃ. μελάνθιον σὺν οὔρῳ ἀφθόρου, ἢ λέκυθος. κυαμίνη μετ' ὄξους ἑψηθεῖσα. περιφερομένου δὲ πολλάκις ἔς τε τοῦτο. κανθαρίδων, χαλκάνθου, κασσίας, τὸ ἴσον. ἀναλαμβάνεται τερεβινθίνῃ ὡς ἐμπλαστρώδους γενέσθαι, καὶ τῷ ἥλῳ περιπεριακαθαρθέντι ἐπιτίθεται. Ἄλλο. Σφέκλης, ἀσβέστου, ἰξοῦ, ἴσα σὺν στακτῇ κονίᾳ ἢ οὔρῳ ἀφθόρου.

Περὶ τῶν περὶ τοὺς ὄνυχας. καὶ πρῶτον περὶ παρονυχίας. πα. 81

Ἡ παρονυχία, ἀπόστημά ἐστι παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος συνιστάμενον. μικρὰν μὲν οὖσαν ἔτι τὴν παρονυχίαν, καὶ ἀρχομένην, κηκὶς μετὰ μέλιτος καταστέλλει καὶ συστῆναι κωλύει. ἢ ὁ μυσᾶ τροχίσκος. ἢ ἴρα δι' ὕδατος. γενομένην δὲ ἤδη τὴν παρὰ φύσιν σάρκα, σκοπός ἐστι διὰ τῶν ἀδήκτων ἀναλῶσαι καὶ ῥῆξαι. ποιεῖ δὲ πρὸς παρονυχίας ὅ, τε τῶν ὤτων ῥύπος καὶ τὸ λύκιον. ἐκπυηθεῖσαν δὲ κεντήσας, καὶ τὸ ὑγρὸν ἐκχέας, σπόγγον ὕδατι βρέξας ἐπιτίθει. ἢ κατάπλασσε φακῷ, μεθ' ὕδατος λείῳ, ἢ φοινικίῳ, μετ' οἴνου. ἢ ῥόδοις χλωροῖς ἢ ξηροῖς ἀποβεβρεγμένοις ὕδατι, λείοις. ἢ ἀλφίτῳ μεθ' ὕδατος. ποιεῖ δὲ πρὸς παρονυχίας καὶ θέρμινον ἄλευρον, μέλιτι ἢ οἰνομέλιτι πεφυραμένον. πρὸς δὲ τὰς ἡλκωμένας παρονυχίας. ἰοῦ, λιθαργύρου ἀνὰ < .δ. σαρκοκόλλης < .δ. ἱκανὸν ἐπιτίθει ἄνωθεν διὰ οἴνου μοτὸν καὶ σπόγγον. δεῖ δὲ καὶ διαστέλλειν τὴν σάρκα πανταχόθεν ἀπὸ τοῦ ὄνυχος.

Περὶ πτερυγίων.

Ὑπεραύξησίς ἐστιν σαρκὸς τὸ πτερύγιον, καλύπτουσα μέρος τοῦ ὄνυχος. ἐκ παρονυχίας ἢ ἑτέρας τοιαύτης αἰτίας γινομένη. πρὸς ἣν ἀρσενικὸν καὶ μάνναν ἴσα ἐπίπασσε. ἄνωθεν δὲ μοτὸν δι' οἴνου καὶ σπόγγον ἐπιτίθει. Ἄλλο. Χαλκίτεως, λεπίδος, σιδίων, ἴσα ἀνάλαμβανε σύκῳ ὀπτημένῳ καὶ μέλιτι, προκαταιονῶν συμμάτων ἀφεψήματι. τὸ δὲ ξηραινόμενον τοῦ πτερυγίου περικαθάραι.

Πρὸς τὰ ἐπὶ τῶν δακτύλων πτερύγια σηπόμενα καὶ πρὸς αἰδοίων ἕλκη.

Λιβανωτοῦ < .α. λεπίδος < .α. ἰοῦ ξυστοῦ < .δ. μέλιτος Κο. α. τρίβε ἐν ἡλίῳ ἕως ὑπόξανθον γένηται. καὶ χρῶ διὰ σπλήνιον, προκαταιονήσας οἴνῳ.

Συντόμως ξηραῖνον πτερύγια. καὶ ἀποθεραπεῦον.

Σώρεως Κο. < .β. λιβάνου < .β. ἰοῦ ξυστοῦ < .α. μετὰ μέλιτος συλλεάνας, ἐπ' αὐτὸ τὸ πτερ.

[Handwritten marginalia: κηκὶς Galla — Sordes et lycium — κεντήσας ακενλεω pungo, — θέρμος lupinus lupinorum farina — μολὸς vel μοτὸν Linamentum Carptam vel penicillus vel penicillum a pledget.]

γιον ἐπιτίθει. ποιεῖ δὲ καὶ πρὸς τὰς λοιπὰς ἐπὶ τῶν τόπων τούτων κακοηθείας καὶ μελανίας, καὶ σεσημμένα. Ἄλλο. Λεπίδας χαλκοῦ, φοινίκων σαρκὶ ἀναλαβὼν, ἢ σύκων, χρῶ. Ἄλλο. Περιστερᾶς κόπρον μετὰ παιπάλης ἀλφίτου, ἐν γλυκεῖ ἑψήσας καὶ συμμίξας, θερμὸν ἐπιτίθει. καὶ λεπὶς δὲ καθ' ἑαυτὴν ἐμπασσομένη ξηραίνει τὰ πτερύγια. δεῖ δὲ συχνῶς τὴν νύττουσαν τὸ πτερύγιον γωνίαν τοῦ ὄνυχος αὐξομένην ἀφαιρεῖσθαι κοπαρίῳ μετεωριζομένον.

Πρὸς τεθλασμένους ὄνυχας.

Μυρσίνῃ, καὶ ῥοιᾶς φύλλοις ἁπαλοῖς, πρόσφατα κατάπλασσε.

Πρὸς ὑφαίμους ὄνυχας.

Ἄλευρον πίσσῃ μίξας, ἐπιτίθει.

Πρὸς τὸ ἀποστῆσαι τοὺς πεπονηκότας ὄνυχας.

Θεῖον λεῖον ἀναλαβὼν ὑείῳ στέατι, τίθει.

Πρὸς τὸ ἀποστῆσαι τοὺς λεπριῶντας ὄνυχας.

Ἰξοῦ δρυΐνου, σανδαράχης, τήλεως ἀνὰ γο. β. κανθαρίδων, θαψίας. ἀνὰ γο. α. ὄξους τὸ αὔταρκες. Ἄλλο. Προπόλεως, ἀττικῆς κηροῦ, ἀσφάλτου ἀνὰ < . β. θείου ἀπύρου < . α. ἐλαίῳ μὴ μολυνέσθω. ἐν δὲ τῇ χρήσει, θερμανθὲν περιπλάσσεται τοῖς ὄνυξιν. Ἄλλο. Πίσσης ὑγρᾶς, κηροῦ, κολοφωνίας, τερεβινθίνης, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, ἀφρονίτρου, ἴσα. μὴ μολυνέσθω. Ἄλλο. Ἐκ τῶν Ῥούφου πρὸς λεπριῶντας ὄνυχας. κανθαρίδων, θείου ἀπύρου, χαλκάνθου ἀνὰ γο. ς. ὑγροπίσσης γο. β. ποιήσας ἔμπλαστρον ἐπιτίθει κατὰ τοῦ ὄνυχος, ἐπιλύων διὰ τρίτης. Ἄλλο ἀφιστῶν τοὺς λεπριῶντας ὄνυχας ἄνευ ἑλκώσεως.

Ἀσφάλτου, ἀρσενικοῦ, σανδαράχης, θείου ἀπύρου ἀνὰ < . δ. ἀναλάμβανε ῥητίνῃ, καὶ χρῶ, ἐπιλύων διὰ ζ. ἡμερῶν. Ἄλλο. Ὀρόβινον ἄλευρον χολῇ προβατείᾳ, ἢ οὔρῳ προβατείῳ φυρῶν, χρῶ. ἢ ἀσβέστῳ μετ' ἐλαίου. ἢ χίαν μετὰ ὀποβαλσάμου. Ἢ ἰξῷ χάλκανθον καὶ θεῖον ἄπυρον ἀναλαβὼν, τὸ ἱκανὸν δέρματι ἐμπλάσας ἐπίθες. ἢ σταφίδα ἀγρίαν μετ' ὄξους λεάνας, χρῶ. ἢ ῥητίνης τερεβινθίνης < . α. σανδαράχης τὸ διπλάσιον ἅμα τίθει τῇ ῥίζῃ τοῦ ὄνυχος, διαδήσας ἐπιμελῶς. ὅταν δὲ ἐκπέσῃ ὁ ὄνυξ, κηρωτὴν μυρσίνην ἐπιτίθει, ὀλίγον ἔχουσαν τοῦ διὰ τῆς ῥητίνης φαρμάκου.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ.

Ἐν τούτῳ τῷ βιβλίῳ τετάρτῳ τῆς ὅλης ὑπαρχούσης πραγματείας περὶ τῶν ἀορίστως τε καὶ σποράδην ἐκτὸς μάλιστα τοῦ σώματος γιγνομένων παθῶν ὁ λόγος ἐστίν.

περὶ



ΠΕΡΙ ΕΛΕΦΑΝΤΟΣ. Α.



ΟΡΘΩΣ ΟἾΜΑΙ ΤῸΝ ΚΑΠΠΑΔΌΚΗΝ ἈΈΤΙΟΝ εἰπεῖν. μείζονα τῶν νόσων χρῆναι τὴν τῶν βοηθημάτων ὑπάρχειν δύναμιν, καὶ διὰ τοῦτο μὴ δύνασθαι τυγχάνειν ἰάσεως τὸν ἐλέφαντα. μὴ γὰρ εὑρίσκεσθαι τούτου φαρμακείαν κρείσσονα. εἰ γὰρ ὁ καρκῖνος, οἷον ἐλέφας τις ὢν ἐν ἑνὶ μορίῳ, τῶν ἀνιάτων ἐστὶ παρ᾽ αὐτῷ τῷ Ἱπποκράτει ὠνόμασται, πῶς οὐχὶ μᾶλλον ὁ ἐλέφας, οἷον καρκῖνος ὡς ὑπάρχων ἐν ὅλῳ τῷ σώματι, παντάπασιν ἀνίατος ἔσται. τῆς γὰρ μελαίνης χολῆς, ἐφ᾽ ἧς τὸ πάθος τοῦτο συνίσταται διττὴν ἐχούσης τὴν γένεσιν. ἢ γὰρ ἐκ τοῦ μελαγχολικοῦ καὶ τρυγωδεστέρου καὶ οἷον ἰλύος τοῦ αἵματος, ἢ ἀπὸ τῆς ξανθῆς χολῆς, ἀμφοῖν ὑπεροπτωμένων, γίνεται. τοὺς μὲν ὑπερύθρους ἐλέφαντας ἐπιεικεστέρους πως, ἀληθέστερον δὲ εἰπεῖν, ἧττον ὄντας κακοήθεις, ἡ πρώτη διαφορὰ τῆς μελαίνης ἐργάζεται χολῆς. τοὺς δὲ ἄλλους, οἳ καὶ κακοηθέστεροι τυγχάνουσιν, ἑλκοῦντές τε τὸ πᾶν σῶμα καὶ τῶν ἄκρων ἐκπτώσεις ἐργαζόμενοι, ἡ ὑστέρα ἡ ἀπὸ τῆς ξανθῆς χολῆς ὑπεροπτωμένης γινομένη. διὸ τοῖς μὲν ἤδη τῇ νόσῳ κεκρατημένοις ἀπαγορευτέον δεῖν. ἐν ἀρχῇ δὲ τοῦ πάθους ὑπάρχοντος, ὡς μήτε τι τῶν ἄκρων ἀποπεσεῖν, μήτε κατελκωθῆναι τὴν ἐπιφάνειαν, μήτε μὴν τοὺς ὄχθους ἐπὶ πλεῖστον ἐπανίστασθαι, εἰδεχθέστερον δέ πως μόνον τὸ πρόσωπον καὶ τοῦτο μὴ λίαν ἀπρεπὲς φαίνεσθαι, θεραπεύειν πειρασώμεθα. τινὲς γὰρ οὐκ ὀλίγοι, διὰ μόνης τῆς κατὰ τὴν κεφαλὴν καύσεως τῶν οὕτως ἀρξαμένων πολλοὺς ἐκώλυσαν κρατηθῆναι τῷ πάθει. εὐθὺς οὖν ἡμεῖς ἀρχομένου τοῦ νοσήματος φλεβοτομίᾳ χρησόμεθα μετ᾽ ἐπαφαιρέσεως. καὶ μᾶλλον ἦρος, ὅτε μάλιστα καὶ τίκτεται τὸ πάθος, ἐστὶ παροξύνεται. μετὰ δὲ ὀλίγων ἡμερῶν διάστημα θ ἢ ι. καθάρωμεν αὐτοὺς τῷ διὰ τῆς κολοκυνθίδος πολτῷ, μὴ προσάπαξ ἀλλὰ πλεονάκις, ἐκ τοῦ πρὸς λόγον τὸ ποσὸν τοῦ φαρμάκου παραύξοντες. καὶ ἡ διὰ τῆς ἱερᾶς δὲ κάθαρσις τούτοις ἐπιτήδειος. πάλιν δὲ διαλείποντα περὶ που ι. ἡμέρας, τὸν ὀῤῥὸν αὐτοῖς δοτέον τοῦ χιστοῦ γάλακτος. μήτε ἔλαττον βιῶν κοτυλῶν, μήτε πλέον ε. ταῖς δὲ ἑξῆς ἡμέραις ἀρίστῳ ἢ νεαμελγεῖ τρεφέσθωσαν. ἐφ᾽ οἷς ἐνδιδόντος μὲν τοῦ πάθους, τῇ αὐτῇ τροφῇ χρήσθωσαν. ἐπιμένοντος δὲ, τοῦ μὲν γάλακτος ἀπεχέσθωσαν, δριμυφαγήσαντες δὲ ἐξεμείτωσαν, ἀπό τε ῥαφανίδων, καὶ σιτίων. ἀγαθὴ δὲ καὶ ἡ διὰ τοῦ λευκοῦ ἐλλεβόρου μετὰ ταῦτα κάθαρσις, δὶς μὲν εἰ οἷόν τε τοῦ ἔαρος, ἅπαξ δὲ τοῦ φθινοπώρου. τοὺς δὲ κεκρατημένους, μήτε φλεβοτομεῖν μήτε ἐλλεβορίζειν. οὔτε γὰρ μετάληψις ἀπὸ τοῦ δέρματος εἰς τὸ βάθος, οὔτε μείωσις τῆς ὕλης ἐκ τούτων ἔτι γίνεται. ἀλλὰ δεῖ τὴν μὲν ὕλην ἐπὶ κοιλίαν ἀπάγειν καὶ ἐντόρα. τοῖς δὲ μετασυγκριτικοῖς χρῆσθαι. ξηραίνειν τε καὶ στύφειν τὴν ἐπιφάνειαν. κοῦφαι τε οὖν σικύαι ἐκ τοῦ στόματος τῆς γαστρὸς καὶ τῶν ὑποχονδρίων κολλάσθωσαν. τὰ δὲ αὐτὰ καὶ δρωπακιζέσθω. μικρὸν δὲ διαλιπόντα, πάλιν ἀνακαμπτέον, ἀπὸ τῆς διὰ τῆς ἱερᾶς ἀρχόμενον καθάρσεως, ὑπερτιθεμένους τὴν φλεβοτομίαν, ἐπιβλαβεστέραν μᾶλλον ἢ ὠφέλιμον ἐσομένην. καὶ ταύτῃ τῇ περιόδῳ, ἄχρι τρὶς ἢ τετράκις χρηστέον τοῦ ἐνιαυτοῦ, κατὰ τὸν καιρὸν μάλιστα τοῦ ἦρος καὶ τοῦ φθινοπώρου. πόματα δὲ τούτοις ἁρμόζει. ὄξους κυ α. μετὰ κεδρίας κυ α. καὶ χυλοῦ κράμβης ὠμῆς κυ β. μιγέντα δίδοται πρωῒ καὶ ἑσπέρας. ἢ σιδηρίτιδος βοτάνης φύλλα ξηρὰ < α. ἐν οἴνου κυ α. ἢ ἐλαφείου κέρατος < α. καὶ σκιλλίνου ὄξους κυ. πλῆθος ποτίζεται μετὰ τὸν ἑωθινὸν περίπατον καθ᾽ ἡμέραν. καὶ τὰ ἄλλα δὲ κατὰ

τὸν καιρὸν τούτοις διδόσθω. ἢ σκίλλης πεπλυμένης < .ε. ἐν μελικράτῳ, ἢ ἐν μέλιτι τρόπῳ ἐκλείγματος. ἢ ὀποῦ κυρηναϊκοῦ ὀρόβου τὸ μέγεθος, μέλιτι καὶ βουτύρῳ διῃρημένον. ἢ ἐλέφαντος ῥινήματος < .ϛ. μετὰ οἴνου κυάθων β. ἢ κυμίνου αἰθιοπικοῦ < .γ. μετὰ μέλιτος, ὡς ἔκλειγμα. τούτων δὲ πλέον ὠφελεῖ, θηριακῶν ἀρτίσκων < .α. ἐν οἴνῳ καλῷ Κχ α. λειοτριβηθεῖσα καὶ πινομένη. ὁμοίως δὲ καὶ τῶν σκιλλιτικῶν ἀρτίσκων < .α. πινέσθω. καὶ τῆς καλαμίνθης δὲ τὸν χυλὸν ὡς πρακτικώτατον ἐπαινοῦσι βοήθημα, πινόμενον. ἄρχεσθαι δὲ φασὶν ἀπὸ κυάθων τριῶν ἄχρι ϛ. ἁπάντων δὲ μᾶλλον ἡ δι' ἐχιδνῶν θηριακὴ δραστήριος ὑπάρχει πινομένη τε καὶ ἔξωθεν συγχριομένη. ἀπορίας δὲ παρούσης τῶν θηρίων, οὐδὲν οὕτως ἐστὶ δραστήριον, ὡς αἱ τῶν ἐχιδνῶν σάρκες ἐσθιόμεναι, καθεψημέναι λευκῷ ζωμῷ δι' ὕδατος πλείονος καὶ ἁλῶν καὶ πράσου καὶ ἀνήθου, ἄχρι τῆς τῶν ἀκανθῶν διακρίσεως. προαποκοπτέον πρότερον, τῶν τε κεφαλῶν αὐτῶν καὶ τῶν οὐρῶν, οἷον ἀπὸ δακτύλων δ. ἀφαιρεθέντων δὲ καὶ τῶν ἐντὸς αὐτῶν, καὶ τοῦ δέρματος. καὶ θηριακοὶ δὲ ἅλες, τῆς αὐτῆς κατ' εἶδος εἰσὶν ἐπαγγελίας, σὺν τοῖς ὄψοις λαμβανόμενοι. οὕτω γὰρ αὐτῶν χρωμένων, συμβαίνει ποτὲ λεπίδας, ἢ οἷον τινὰ ἀλώπεκα, ἀπὸ τοῦ δέρματος αὐτῶν ἀφίστασθαι.

Ἡ δὲ δίαιτα τοιαύτη τις ἔστω.

Μετὰ τοὺς ὕπνους προψηλαφηθείς τε καὶ τῆς κοιλίας ἀποκριθεὶς, ἐωρείσθω τε καὶ ἀναφωνείτω. εἶτα τριβέσθω, καὶ γυμναζέσθω ποικίλως, τὰ μὲν ἀφαλλόμενος, τὰ δὲ πλέον ἁλτῆρσί τε καὶ κωρύκῳ χρώμενος. ἀπομαξάμενος δὲ τὸν ἱδρῶτα, συγχριέσθω στέατι ἀρκείῳ, ἢ ἀλωπεκείῳ, ἢ τραγείῳ. ἢ τῶν ὀρνίθων τινός, ἢ βουτύρῳ προσφάτῳ. μικρὸν δὲ διαλιπών, λουέσθω συγχριόμενος χυλὸν τήλεως, ἢ πτισάνης. ἢ ἀμμωνιακοῦ βραχὺ ὄξει διειμένου. μετὰ δὲ τὸ λουτρόν, ἀπομαξάμενος, ἐπαλειφέσθω σχινίνῳ, ἢ οἰνανθίνῳ, ἢ μυρσίνῳ, καὶ οἴνῳ βραχεῖ μετὰ συνηθείας ἢ ἀμμωνιακοῦ, ὡς γλοιοῦ πάχος. ἀπομαξάμενος δὲ αὖθις ἁπαλοῖς ῥάκεσιν, ἡσυχαζέτω ἡμιώριον. μεθ' ὃ πιὼν ὕδωρ ἀπεμείτω καθέσει δακτύλων ἢ πτερῶν. ἐμέσας δὲ πινέτω ἀψινθίτην οἶνον ἢ ὀριγανίτην. αἱ δὲ τροφαὶ ἔστωσαν ἄρτος τε κρίθινος, ἢ μᾶζα ἐξ ἀλφίτων. λαχάνων δέ, σεῦτλον, θριδακίνη, ῥάφανός τε καὶ πράσα, καὶ κράμβαι, δυσὶν ὕδασιν ἀπογλυκανθέντα, καὶ κάππαρις. τῶν δὲ ἐκ θαλάσσης, ὄστρεα, πελωρίδες, ἐχῖνοι, κτένια, τελλίναι ἅμα σεύτλοις καθεψημέναι. τάριχον παλαιὸν ὡς ἐν φαρμάκου μοίρᾳ. οἴνου δὲ παρ' ὅλην τὴν νόσον, ἀπεχέσθωσαν, καὶ συνουσίας ὁμοίως. ὀλίγιστον μόνον καὶ λεπτὸν οἶνον καὶ ὑδαρῆ κατὰ τὸν καιρὸν τῆς ἐκ τῶν καθάρσεων ἀναλήψεως λαμβανόντων. ἐν ᾧ καὶ τὰ δριμέα περιαιρετέον, δίχα τῶν ἀρτυμάτων. δοτέον δὲ αὐτοῖς πτισάνην, ᾠά, καὶ χόνδρους πλυτούς, καὶ γάλα, καὶ μέλι σὺν ἄρτῳ. μαλάχην τε καὶ λάπαθον, καὶ σίσαρον, καὶ ἰχθὺν ἁπαλόσαρκον. καὶ τῶν ὀρνίθων, τὰ εὔχυμα. καὶ τῶν ὀπωρῶν, σῦκα, καὶ σταφυλήν, καὶ σταφίδας. μελιτωμάτων δέ, τὰ διὰ στροβίλων, ἢ ἀμυγδάλων πεφρυγμένων, καὶ κνίκου, δὶς τῆς ἡμέρας τρεφομένοις. χαλεπὸν δὲ τούτοις ἡ μονοσιτία. μετὰ δὲ τὴν ἔνδοθεν ἐπιμέλειαν, σμήγμασιν ἐν τῷ βαλανείῳ χρήσθωσαν, δι' ἀφεψήματος σεύτλου, ἢ τήλεως σὺν ἀφρονίτρῳ, ἢ σάπωνι, ἢ μυροβαλάνῳ. καὶ ποτὲ καὶ ψιλώθροις. σμήχει δὲ καὶ ἀνδράχνη μετ' ὄξους λεανθεῖσα, καὶ τὸ λεπτὸν ἀείζωον, καὶ λαπάθου ῥίζαι ὄξει ἑψηθεῖσαι, καὶ συνήθεια μετὰ ἁλῶν, καὶ σανδαράχης ἴσον ἐν οἴνῳ καὶ σχινίνῳ. καὶ τὸ πρὸς ἀλφούς, δι' ἀλκυονίου. καὶ νίτρου καὶ μυρσίνης καὶ θείου. καὶ συκῆς ἀγρίας φύλλων ξηρῶν, μετ' ὄξους λεῖον καταχριόμενον. καὶ τὸ διὰ σηπίας ὀστράκου Κχ καὶ κισσήρεως καὶ νίτρου καὶ κιμωλίας πεφωσμένης, κόμμεώς τε καὶ κνηκίδος ὀμφακίνης, ἴσον ξηρὸν ἐμπασσόμενον, ἢ δι' ὄξους σμηχόμενον. καὶ τοῦτο δὲ θαυμαστόν. λαπάθου ῥιζῶν δεσμίδιον χειροπληθές. νίτρου < .δ. ἢ μ. λιβάνου < .κε. θείου < .κε. δι' ὄξους αἰγυπτίου καταχρίεται. ἔμπρακτον δὲ τοῦτο, ἀρσενικοῦ < .ι. θείου ἀπύρου < .κ. κόστου < .ιβ. ἀσβέστου < .δ. κηροῦ < .δ. δαφνίδων ξηρῶν < .ιβ. ταῦτα φυρᾶται λεύκης τῶν φύλλων χυλίσματι, ἢ πτισάνης ἀφεψήματι, καὶ σύστασιν ἔχοντα μέλιτος καταχρίεται. Ἄλλο. Ῥιζῶν λαπάθου δεσμίδια δύο ἐν ὄξει καθεψεῖται καὶ ὁλμοκοπεῖται καὶ λειοτριβεῖται. εἶτα ἀλκυονίου λι. α. ἀφρονίτρου Γο. κ. θείου ἀπύρου λι. α. κοχλιῶν ὀστράκων Κχ. Γο. δ. χαμαιλέοντος μετὰ τῆς ῥίζης Γο. δ. συνεκλεαίνεται πάντα μέχρι γλοιώδους πάχους, εἶτα καταχρίεται, θέρους μὲν ἐν ἡλίῳ πολλάκις, χειμῶνος δὲ ἐν βαλανείῳ, μέχρι συνιδρώσεως. καὶ τὸ τοῦ ἀσκληπιοῦ δὲ ξηρὸν σμῆγμα καλῶς ἂν ἁρμόζοι καὶ τούτοις. καὶ πάντα κοινῶς τὰ ῥηθησόμενα σμηκτικά, μέχρι τῶν πρὸς ἀλφούς. ὥσπερ οὖν καὶ τὰ νῦν εἰρημένα πρὸς ἐκεῖνα. αἱ δὲ ὀχθώδεις ἐπαναστάσεις φλεγμαίνουσαι ἢ ἡλκωμέναι, καταχριέσθωσαν λυκίῳ ἰνδικῷ, ἢ γλαυκίῳ, ἢ ἀλόῃ, ἢ ἀνδρωνίῳ τροχίσκῳ, ἢ τῇ πολυείδους σφραγίδι. καταπλασσέσθωσαν χόνδρῳ μετὰ χυλοῦ πολυγόνου ἢ ἀρνογλώσσου. ἢ ἐλξίνης λείας. καὶ

τῆς

τῆς μηλισίας δὲ βοτάνης χλωρᾶς τὰ φύλλα, μετ' ὀξυγγίου κοπτόμενα καὶ καταπλασσόμενα, θαυμασίως ὠφελεῖ. φοινίσσεται μὲν γὰρ τὰ μέρη. στέλλεται δὲ ῥᾳδίως αὖθις ἐπιπλασθέντος, ἡ κηρωτῆς δι' ἀμυγδαλίνου πεποιημένης καὶ εἰς τὴν κατὰ φύσιν εὐχροιαν ἀποκαθίσταται. καὶ τὰ. δὲ τῶν ἡλκωμένων ἁρμόζουσιν ἔμπλαστροι. ἥτε διὰ τοῦ διφρυγοῦς, καὶ ἡ διὰ οἴνου μηλίνη, καὶ τὸ κοράκιον, καὶ τὸ διὰ ὀξυμέλιτος, καὶ ὁ ἀνδρώνιος τροχίσκος, καὶ πομφόλυξ, καὶ καδμεία. σημεῖον δὲ τοῦ τὴν ὅλην μετριάζεσθαι νόσον, τὸ τὰ πρῶτα τῶν ἑλκῶν συνουλοῦσθαι. πρὸς δὲ τὰς δυσπνοίας τῶν ἐλεφαντιώντων. ὄνους τοὺς ὑπὸ τὰς ὑδρίας πιεῖν ἢ ϛ. διὰ μελικράτου κυ. γ. πότιζε. κοινῶς δὲ καὶ τῶν πρὸς δυσπνοϊκοὺς ἀναγεγραμμένων αὐτοῖς ἁρμόσει τινά. τὴν δὲ τῶν αὐτοφυῶν ὑδάτων, αἱρεῖσθαι χρῆσιν, ὡς ἀναγκαιοτάτων, στυπτηριωδῶν μάλιστα καὶ σιδηριζόντων, καὶ εἰ οἷόν τε ψυχρῶν. συμφέρει δ' αὐτοῖς μάλιστα καὶ πινόμενα. καὶ ἡ τῆς παραθαλασσίας δὲ ἄμμου χρῆσις, τῆς αὐτῆς ἐστὶν ἀεὶ δυνάμεως. καὶ πάντα τὰ ἀφιδρωτήρια. ἐπειδὴ δὲ τῶν εὐμεταδότων ἐστὶ τὸ πάθος, οὐχ ἧττον ἢ λοιμός. ἀποικιστέον αὐτοὺς ὡς ὅτι πορρωτάτω τῶν πόλεων, ἐν μεσογείοις καὶ καταψύχροις καὶ ὀλιγανθρώποις χωρίοις, εἴπερ οἷόν τε. κἀντεῦθεν δὲ μεταβαινέτωσαν εἰς τὰ παρακείμενα. διά τε αὐτοὺς καὶ τοὺς ὡς εἰκὸς ἐντευξομένους ὀχληρότερον, αὐτοί τε γὰρ ἐπιτηδειοτέρῳ τῷ ἀέρι χρήσονται, καὶ οὐκ ἂν μεταδοῖεν ἄλλοις τοῦ κακοῦ.

Περὶ λέπρας καὶ ψώρας. β.

Τούτων τῶν παθῶν ἑκάτερον τραχυσμὸς τῆς ἐπιφανείας ἐστὶ μετὰ κνησμοῦ καὶ ἀποτήξεως σώματος, ἐκ μελαγχολικοῦ χυμοῦ τὴν γένεσιν ἔχων. ἀλλ' ἡ μὲν λέπρα. διὰ βάθους ἐπινέμεται τὸ δέρμα κυκλοτερῶς, μετὰ τοῦ φολιδοειδεῖς ἀφιέναι λεπίδας. ἡ δὲ ψώρα, ἐπιπολαιοτέρα τέ ἐστι καὶ ποικίλως ἐσχηματισμένη, καὶ πιτυρώδη ἀφίησι σώματα, ἐφ' ὧν δεῖ φλεβοτομίαν παραλαμβάνειν, πληθωρικωτέρου φαινομένου τοῦ σώματος. εἰ δὲ μὴ, πάντως γοῦν κάθαρσιν, διὰ τῶν μέλαιναν ἐκκενούντων χολήν. ἔξωθεν δὲ χρήσῃ, κοινῶς μὲν τοῖς τε ἐλλεβόροις ἑκατέροις. καὶ τὴν τίτανον πεπλυμένην ἔχε ξηράν, ἐπὶ δὲ τῆς χρείας ὕδατι διαλύων εἰς γλοιοῦ πάχος, κατάχριε. Ἄλλο. Ἐλελισφάκου, ἐλαίας αἰθιοπικῆς δάκρυον ἀνὰ < η. καππάρεως ῥίζης φλοιοῦ, κόμμεως ἀνὰ < ιγ. χρίε δι' ὄξους ἐν ἡλίῳ. τὰς δὲ λέπρας ἰδίως ἀφίστησιν, ἀνεμῶναι προστιθέμεναι, ἀμπέλου ῥίζα λευκῆς. σύνθετα δέ. αἰγείρου ἀλεύρου χοίνικα, καρδαμώμου λευκοῦ < δ. νίτρου ἀφροῦ < α. χαλκάνθου < η. ἀσφοδέλου ῥίζας μέσας < δ. λεάνας ἐν ὄξει καὶ πάχος ποιήσας κηρωτοῦ κατάχριε, προεκνιτρώσας τὸν τόπον. καὶ ἐπιλύσας, ἐπίλυε δὲ διὰ τρίτης, καὶ ἀποκλύσας ὕδατι ψυχρῷ, πάλιν κατάχριε. Ἄλλο. Ἀσφοδέλου ῥιζῶν χυ. γο. ϛ. θείου ἀπύρου, μάννης ἀνὰ < ι. νίτρου < η. ἐπίχριε διεὶς ὄξει. πρὸς δὲ ψώραν ἰδίως ποιεῖ. ἁπλᾶ μὲν, σταφὶς ἀγρία, θέρμοι πικροί, καρδάμωμον μετ' ὄξους. κνίκου ῥίζα μετὰ μέλιτος, ῥητίνη τερεβινθίνη, θεῖον, ἐρέβινθοι, αἴγεια κόπρος. σύνθετα δέ. μίσυ καὶ χαλκῖτιν ἴσα μετ' οἴνου ἐπίχριε τὰς ὑγροτέρας ψώρας. Ἄλλο. Ῥοδοδάφνης ἁπαλὰ φύλλα σύνεψησον ἐν ἐλαίου ξε. α. ἕως φρυγῶσι. καὶ ῥίψας ἐπίβαλλε τῷ ἐλαίῳ, κηροῦ τριακτοῦ γο. γ. μετὰ δὲ τὸ λυθῆναι ψύξας, ἐπίπασσε θείου ἀπύρου γο. α. καὶ κατάχριε ἐν ἡλίῳ ἢ ἐν βαλανείῳ. τινὲς ἅμα τῇ ῥοδοδάφνῃ καὶ σκίλλαν ἕψουσιν. Ἄλλο. Τῆς διὰ χυλῶν γο. β. κηροῦ γο. β. ῥοδίνου γο. α. λιθαργύρου γο. γ. ψιμυθίου γο. γ. ὑγροπίσσης γο. ϛ. ἑλκύσματος γο. β. σικυοῦ γο. β. ὄξους τὸ ἀρκοῦν εἰς τὴν τῶν ξηρῶν λείωσιν. Ἄλλο. Ψιμυθίου γο. ϛ. ἀμύλου γο. ϛ. μολύβδου γο. α. λωτάρια ἐρυθρᾶς ἢ ἀγχούσης γο. β. κηροῦ γο. ϛ. ῥοδίνου γο. θ. τὴν ἄγχουσαν ἕψησον καλῶς μετὰ τοῦ ῥοδίνου, εἶτα ἐπίβαλλε τὰ λοιπά. Ἄλλο. Ὠὰ δέκα, ἢ ὅσα πρὸς τὴν χρείαν. ἀποβρέξας ἐν ὄξει δριμυτάτῳ ἕως οὗ τὸ λέπος αὐτῶν ἁπαλὸν γένηται. ἕψησον ἐν αὐτῷ τῷ ὄξει, τὰ κροκὰ αὐτῶν, συλλεάνας τῷ ῥοδίνῳ καὶ τῷ λοιπῷ ὄξει, καὶ λιθαργύρου συμμέτρως. γλοιοῦ πάχος κατάχριε. Ἄλλο. Τῶν ὠῶν τῶν διὰ τοῦ ὄξους κροκὰ γ. ῥοδίνου γο. ϛ. θείου ἀπύρου γο. γ. προεκλεάνας μετὰ τοῦ ὄξους τὰ κροκὰ καὶ τὸ θεῖον, ἐπίβαλλε τὴν κηρωτήν. καὶ ἡ λιθάργυρος δὲ τῷ ὀξυροδίνῳ λειουμένη ὡς ἐμπλαστρώδης γενέσθαι, τὰς δριμυτέρας ψώρας ἀποκαθαίρει. καὶ τὰ διὰ λαπάθου δὲ σμήγματα καὶ τὰ πλείονα τῶν πρὸς ἐλεφαντιῶντας σμηγμάτων, κοινῶς ἐπί τε λέπρας καὶ ψώρας ἁρμόζει.

Περὶ λειχήνων. γ.

Μιχθέντων ἰχώρων λεπτῶν καὶ δριμέων ἑτέροις παχυχύμοις, οἱ λειχῆνες ἐπιγίνονται. ταχέως εἰς ψώραν καὶ λέπραν μεθιστάμενοι. διὸ τῶν ἰσχυρῶς ξηραινόντων χρῄζουσι φαρμάκων. μετὰ οὖν τὴν ὅλου τοῦ σώματος εἰ δέοι κένωσιν, ἁπλᾶ μὲν αὐτοῖς ἁρμόσει. ἐρέβινθος, ἐλλέβορος, ἐχῖνος ὁ ἐπὶ τῶν πετρῶν, πίσσα μιγνυμένη κηρωτῇ καὶ ῥητίνῃ, κροκοδείλου χερσαίου κόπρος, καὶ ἡ τῶν ψαρῶν ὅταν ὀρύζαν μόνην ἐσθίωσι. πολλοὶ δὲ τούτῳ μόνῳ τοὺς ἐπὶ τῶν γε-

νέων ἢ ἄλλη περὶ λειχῆνας ἰάσασθαι. πυροὺς πολλοὺς λαβὼν ἐπί τινος ἄκμονος ὑποτίθει διαπύρου. καὶ τὸ ἀπορρέον ἐξ αὐτῶν ὑγρὸν, ἔτι θερμὸν λαμβάνων, ἐπίχριε τοὺς λειχῆνας. τοὺς δὲ τῶν παιδίων λειχῆνας, σιέλῳ ἀνθρώπου συνεχῶς ἀπότριβε. τοῦτο ποιεῖ καὶ διὰ κοκκυμηλαίας τὸ κόμμι χριόμενον. χρονιζόντων δὲ τῶν λειχήνων, ἄγνου φύλλα τρίψας σὺν ὄξει κατάπλασσε. ἢ καππάρεως τὰ φύλλα ὁμοίως. σύνθετα δὲ ταῦτα. θεῖον μετὰ λιβανωτοῦ ἢ μετὰ ἀμμωνιακοῦ διεὶς ὄξει, κατάχριε.

Τροχίσκος πρὸς λειχῆνας.

Κόλλης τεκτονικῆς < . δ΄. λιβάνου < . γ΄. ὄξους Κζ. S΄. ὄξει διαλύων ἐπίχριε. Ἄλλο. Χαλκίτεως, κόμμεως ἀνὰ < . η΄. θείου ἀπύρου, μίσυος ἀνὰ < . ϛ΄. λεπίδος χαλκοῦ, ἀκακίας ἀνὰ < . β΄. ὄξει κατάχριε. Ἄλλο. Θείου ἀπύρου, νίτρου ἀφροῦ ἀνὰ < . δ΄. κάχρυος κόκκους ξ΄. λείου μετ᾽ ὄξους. μόνον δὲ χρίε τὸ πεπονθὸς μηδὲν μολύνων τῶν ἀπαθῶν. ξηρανθὲν δὲ ἔκπλυνε ὕδατι ψυχρῷ. Ἄλλο. Ἐλλεβόρου λευκοῦ ἀνὰ < . η΄. ἀλεύρου θερμίνου, κηρύκων Κζ΄. νίτρου ἀνὰ χοίνικα, ξηρῷ σμᾶσθω. ἀγρίους δὲ καλοῦσι λειχῆνας τοὺς ὑπὸ μὲν τῶν μετρίως ξηραινόντων οὐδὲν ὀνειναμένους, ὑπὸ δὲ τῶν δριμυτέρων παροξυνομένους. χρὴ οὖν ἐπὶ τούτων φάρμακα παραλαμβάνειν δραστήρια μὲν ἱκανῶς, χωρὶς δὲ τοῦ δάκνειν ἰσχυρῶς, οἷόν ἐστι τόδε. γλαυκίου, λιβάνου, ἀλκυονίου, ἀσφάλτου, θείου, κόμμεως ἀνὰ Γο. α΄. ὄξει ἐπίχριε. ἀφρικανὴν πίσσαν σὺν ὄξει ἑψήσας, ταχὺ ἐρωθεῖσαν ἐπίχριε. Ἄλλο. Πρὸς λειχῆνας καὶ κνησμόν. χαλκάνθου, θείου ἀπύρου, νίτρου, λιβάνου ἴσα. ἐπὶ μὲν λειχήνων ὄξει, ἐπὶ δὲ κνησμοῦ οἴνῳ. Ἄλλο. Λειχηνικὸν, ἀμμωνιακοῦ θυμιάματος, ὀροβίνου ἀλεύρου, θερμίνου ἀλεύρου, ἴσα ὄξει.

Περὶ κνησμοῦ. δ΄.

Τὸν μὲν ἐν γήρᾳ συμβαίνοντα κνησμὸν, οὐκ ἂν ἰάσαιο τέλεον. παραμυθήσῃ δὲ τοῖς ὑποτεταγμένοις. τὸν δὲ διὰ κακοχυμίαν τοῖς ἄλλοις γινόμενον, ἰᾶσθαι προσήκει ταύτην κενοῦντας. εἴη δ᾽ ἂν ὑπὸ χολώδους τινὸς ἢ φλεγματικοῦ χυμοῦ σεσηπότος, ἢ καὶ ἁλμυροῦ, συνιστάμενη. διαγινώσκεται δὲ ἀπὸ τῆς ἡλικίας καὶ κράσεως καὶ διαίτης, ὥρας τε καὶ χώρας, καὶ τῶν λοιπῶν τούτοις συστοίχων. εἰ μὲν οὖν κατὰ τὰς φλέβας ἅμα τῷ αἵματι πλεονάζουσα φαίνοιτο, ἀπὸ φλεβοτομίας ἀρκτέον. εἰ δὲ ποιότητι μᾶλλον λυποῦσα, τοῖς καταλλήλοις αὐτὴν κενώσαντες φαρμάκοις, οὕτω τὴν ἔξωθεν τραπώμεθα ἐπιμέλειαν. λουτρῷ τοίνυν χρηστέον, πάντως μετὰ νῆστιν, ἔσθ᾽ ὅτε δὲ καὶ μικρὸν βεβρωκότα, τὸ δεύτερον λούειν. λύσιμον γὰρ τὸ πάθος. σμᾶν δὲ τηλεως ἀφεψήματι, ἢ σεύτλων, ἢ πιτύρων, ἢ μαλάχης ἀγρίας καὶ ἡμέρου, ἢ πτισάνης. σὺν τούτοις δὲ καὶ ἀλεύρου κυαμίνου, ἢ θερμίνου, ἢ μυροβαλανίνου. ἢ τοῦ πεπονάτου σκευαζομένου. εἰ δὲ χρονίζοι, λούειν μὲν ὁμοίως, πυριᾶν δὲ ἀφεψήματι ἐλελισφάκου, μυρίκης, λινοζώστεως, ὀριγάνου, γλήχωνος, δαφνίδων, σικύου ἀγρίου ῥίζης, καππάρεως, κονίας στακτῆς, ὀξάλμης. εἶτα περιπάσσειν ξηρῷ νίτρῳ, ἢ μετὰ τρυγὸς ὄξους. ἢ τῷ λαμβάνοντι, νίτρου ἀφροῦ ξ. α΄. λιβανωτοῦ, θείου ἀπύρου, ἀνὰ λι. α΄. κιμωλίας λι. τὸ S΄. ἢ τόδε. ἀφρονίτρου, θείου ἀπύρου, ἀλκυονίου Κζ΄, ἴσων, ξηροῖς. ἢ μετά τινος τῶν εἰρημένων ἀφεψημάτων. εἰ δὲ βούλει, καὶ ἐλλεβόρου ξηροῦ σύμπασσε, ἀλίπαντον. συγχρίειν δὲ ὀξελαίῳ, συντετριμμένης ἀγρίας σταφίδος, ἢ θείου, ἢ σανδαράχης, ἢ πάντων. ἢ σινήπι μετὰ μυροβαλάνου πίεσματος, καὶ ὀξελαίου. ἢ κοχλίοις Κζ΄. καὶ λαπάθοις μέλιτι. ἢ λαπάθου ῥίζαις. ἢ τοῖς διὰ αὐτῶν σκευαζομένοις σμήγμασιν, ὡς ἐν τῷ περὶ ἐλέφαντος εἴρηται. ἢ τισὶ τῶν ἐν τοῖς ψωρικοῖς. εἰ δὲ ἑλκωθείη τὰ μέρη, χρῆσθαι παρύγρῳ, ἢ τῷ διὰ πομφόλυγος καλουμένῳ, ἢ κηροῦ Γο. α΄. τήξας ἐν Κζ α΄. κυπρίνου, ἐπισύμπλεκε θείου ἀπύρου Γο. α΄.

Ἕτερον πρὸς κνησμούς.

Καρύων μεγάλων τῶν ταγγῶν Γο. α΄. θείου Γο. α΄. σελίνου χ΄ λειώσας χρῶ ἐν βαλανείῳ, ἀνατρίβων ἐπὶ πολύ. τόδε μόνον ἤρκεσεν πολλοῖς ψωρικοῖς τε καὶ ἄλλως κνηθομένοις. καὶ τὸ σέλινον δὲ καθ᾽ ἑαυτὸ χλωρὸν κοπτόμενον, καὶ σμώμενον ἐν βαλανείῳ, μεγάλως ὀνίνησιν. ὁμοίως δὲ καὶ τὸ περδίκιον. καὶ ζυγαία μετὰ ῥοδίνου λυθεῖσα, καὶ καταχριομένη. Ἄλλο. Ὀρύζης καθαρᾶς καὶ ἄγαν λευκῆς Γο. γ΄. κόψας καὶ σήσας λείωσον ὄξει δριμυτάτῳ ἕως γλοιοῦ πάχος. καὶ ἐπιβάλλων ἰδίᾳ λειωθέντος θείου ἀπύρου Γο. α΄. καὶ μίξας καλῶς, ἐν βαλανείῳ χρῶ ἐπὶ πολὺ ἀνατρίβων. ἐπὶ δὲ τῶν περιττωματικωτέρων ἴσον ἴσῳ μίξας ἄμεινον αὐτὸ ποιήσεις.

Περὶ λεύκης. ε΄.

Ἡ λεύκη μεταβολή τίς ἐστι τοῦ χρωτὸς, ἐπὶ τὸ λευκότερον, ὑπὸ γλίσχρου τε καὶ κολλώδους γινομένη φλέγματος. ἐπειδὴ δὲ οὐ πᾶσα λεύκη θεραπευτή ἐστιν, τὰς διαγνώσεις αὐτῆς ἱστορίας δέ. βελόνῃ κατακέντησον ἐξ ἐπιπολῆς τὴν λεύκην, μὴ περαιτέρω τοῦ δέρματος. καὶ εἰ

μὲν

μὲν αἷμα ῥυῇ, θεραπευτή ἐστιν. εἰ δὲ γαλακτώδης ὑγρότης, ἀθεράπευτος. ἢ ῥάκει ἐρίνῳ τραχεῖ ἀνάτριψον αὐτήν. καὶ εἰ μὲν ἐρυθρότερος ὁ χρὼς γένηται, θεραπευτή ἐστιν. εἰ δὲ μένει ἐπὶ τοῦ αὐτοῦ χρώματος, οὐ θεραπευθήσεται. καὶ τὰς πλείονα δὲ τοῦ σώματος κατειληφυίας χωρία, τῶν ὀλίγας. καὶ τὰς παλαιοτέρας, τῶν νεωτέρων, μᾶλλον ἀθεραπεύτους εἶναι νομιστέον. τινὲς μὲν οὖν τὴν διὰ σιδήρου καῦσιν ἐπὶ τῆς λεύκης ἐδοκίμασαν, κατ᾽ ἐπίφλεξιν καὶ μόνον γινομένην. ἕτεροι δὲ τό, τε τῆς καύσεως ὀδυνηρὸν καὶ τὴν ἐκ ταύτης οὐλὴν δεδιότες, οὐχ ἧττον ἀπρεπῆ τῆς λεύκης ὑπάρχουσαν, τοῖς ἐσχαρωτικοῖς ἐχρήσαντο φαρμάκοις. οἷα φασὶ καὶ τὴν οὐλὴν ὁμόχρουν ἐργαζόμενα. ἄλλοι δὲ καὶ τούτων παραιτούμενοι τὴν δυσεργείαν, τοῖς βάμμασιν ἐχρήσαντο, τῆς παρ᾽ αὐτὰ μᾶλλον ἀπάτης ἀλλ᾽ οὐκ ὠφελείας φροντίσαντες. ὃς πλέον ἁπάντων παραιτητέον, διὰ τὴν ταχεῖαν τοῦ πάθους παλιγγενεσίαν. χρηστέον τοίνυν ταῖς ὑποτεταγμέναις δυνάμεσιν, ἀδάρκης, κάχρυος, θείου ἀπύρου, ἴσα ἑκάστου κόψας. καὶ σήσας ἰδίᾳ. εἶθ᾽ ὁμοῦ μετ᾽ ὄξους λειοτριβήσας ἐφ᾽ ἱκανὰς ἡμέρας, ἐν ἡλίῳ κατάχριε, μὴ ἀθρόως, ἵνα μὴ ἑλκωθῇ ὁ χρώς. προελθόντος δὲ χρόνου, προσβάλλεται βραχύ τι ἐλλεβόρου καὶ κνιδίου, ὁμοίως. Ἄλλο. Συκῆς μελαίνης τοὺς ἀκρέμονας βρέξον ὄξει, καὶ λειοτριβήσας μῖξον ἀφρονίτρου, θείου ἀπύρου, μυρσίνης καρποῦ ἴσα. προσεκνιτρώσας δὲ κατάχριε καὶ ἡλίαζε, φυλασσόμενος μὴ ἑλκωθῇ. ὁ δὲ Ἀρχιγένης, τοῖς φύλλοις τῆς συκῆς, ἀσβέστου τὸ αὔταρκες μίξας ὁμοίως ἐπέχριεν. ἢ παρατρίψας φησὶ τὰς λεύκας ἐλλεβόρῳ λευκῷ ἕως συνιδρώσασαι ὁμόχρους γένωνται τῷ ἄλλῳ σώματι, κατάχριε, σινωπίδι ἢ μηλιάδι. ἢ βελόναις συνεπειραμέναις κατακεντήσας, ἕως αἱμάξωσι, κατάχριε σινωπίδι μετ᾽ ὄξους. ἢ προαποσμήξας ὡς εἴρηται, κατάχριε τῷ τῆς συκῆς ὀπῷ προσφάτῳ, καὶ τῷ φύλλῳ αὐτῆς ἐπὶ ποσὸν παράτριβε.

Περὶ ἀλφῶν λευκῶν τε καὶ μελάνων. ς.

Ἡ τῶν ἀλφῶν γένεσις ὁμοειδής ἐστι ταῖς λεύκαις. ἀλλ᾽ ἐκεῖναι μὲν ἄχρι βάθους τὸν χρῶτα τρέπουσιν, ὡς καὶ τὰς τρίχας ὁμοίας ἐκφύεσθαι. οἱ δὲ ἀλφοί, ἐπιπολῆς τοῦ δέρματός εἰσι, πλὴν ὅτι καὶ αὐτοὶ χρονίζοντες ἄχρι βάθους χωροῦσιν, ὡς καὶ τὰς τρίχας λευκὰς φύειν διὰ τὸν ὑποκείμενον χυμόν. ἐκ μὲν γὰρ τοῦ φλεγματικοῦ χυμοῦ, λευκοὶ γίνονται. μέλανες δὲ ἀπὸ τοῦ μελαγχολικοῦ. κοινῶς μὲν οὖν ἀμφοτέροις ἁρμόζει, πεπλυμένη τίτανος ὕδατι λυθεῖσα. ἢ δρακοντίου ῥίζα σὺν ὄξει καταπλασσομένη. ὁμοίως ἐλλέβορος ἑκάτερος. θέρμων πικρῶν, ἀφέψημα καταντλούμενον. καὶ τὸ ἄλευρον αὐτῶν καταπλασσόμενον δι᾽ ὄξους ἢ ὀξυμέλιτος. καππάρεως τῆς ῥίζης ὁ φλοιὸς σὺν ὄξει. κρίνου ῥίζα μετὰ μέλιτος. κρόμμυον σὺν ὄξει, καταχριόμενον ἐν ἡλίῳ. κροκοδείλου χερσαίου κόπρος. ὁμοίως καὶ ἡ τῶν ψάρων, ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. σηπίας ὄστρακα καυθέντα. σύνθετον δὲ τόδε, ἁλκυονίου, νίτρου ἀνὰ Γο. β´. ἐλλεβόρου λευκοῦ, θείου ἀπύρου ἀνὰ Γο. α´. ἔνιοι δὲ καὶ σφέκλης κεκαυμένης. Ἄλλο. Θείου ἀπύρου, νίτρου ἀφροῦ ἀνὰ < δ´. κάχρυος κόκκους ζ´. λείου μετ᾽ ὄξους. μόνον δὲ χρῖε τὸν ἀλφὸν μηδὲν μολύνων τοῦ ἀπαθοῦς. ξηρανθὲν δὲ ἔκκλυζε ὕδατι ψυχρῷ. Ἄλλο. Ἀλεύρου θερμίνου, κηρύκων καὶ νίτρου, ἀνὰ χοίνικα. ἐλλεβόρου λευκοῦ < η´. ξηρῷ σμήχθω. Ἄλλο. Ὀροβίνου ἀλεύρου λι. β´. εὐζώμου σπέρματος, ἀμυγδάλων πικρῶν, σικύου ἀγρίου ῥίζης ἀνὰ λι. α´. οἰνομέλιτι συλλεαίνων ἐπίχριε, καὶ μετὰ ὡραῖον διάστημα ἀποσπόγγιζε. ποιεῖ καὶ πρὸς ἐφήλεις καὶ ἰόνθους καὶ σπίλους.

Πρὸς ἀλφοὺς λευκοὺς διὰ πείρας.

Θείου ἀπύρου ξ. β´. ἀσβέστου ζώσης λευκῆς Γο. δ´. λευκὰ ᾠῶν ε´. ἐλαίου ναρδίνου, καὶ ὄξους βραχέος. λειοῦται τὸ θεῖον πρῶτον. εἶτα ἐπιβάλλομεν αὐτῷ τὸ νάρδινον ἔλαιον, καὶ αὖθις λειοῦμεν. καὶ εἶθ᾽ οὕτως ἐπιστάζεται τὸ ὄξος, καὶ πάλιν λειοῦται. τὴν δὲ ἄσβεστον ἰδίᾳ πλύναντες καὶ ἅπαξ καὶ δὶς καὶ τρίς, ἐπιβάλλομεν τῷ θείῳ, ἅμα καὶ τοῦ λευκοῦ τῶν ᾠῶν, καὶ πάλιν λειοῦμεν. καὶ τὸ ἀθροιζόμενον ὑγρὸν ἀποχέομεν. σύμμετρον δὲ καταλιπόντες, ὥς τε δύνασθαι χρίειν τὸ ἄλειμμα, χρώμεθα οὕτως. Ἄλλο. Διὰ πείρας. θεῖον ἄπυρον, συκῆς φύλλων ξηρῶν, ἀφρόνιτρον, ἁλκυόνιον, κιμωλία, μυρσίνη, μετ᾽ ὄξους χρῶ. Ἄλλο. Ἀρχιγένους. συκῆς φύλλων ξηρῶν ἐν σκιᾷ, θείου, στυπτηρίας. ἴσα σὺν ὄξει κατάχριε. ἢ φύλλων συκῆς < δ´. νίτρου < β´. ἁλκυονίου Κ´. < β´. ὄξει κατάχριε ἐν βαλανείῳ. ἰδίως δὲ τοὺς μέλανας ἄκρως αἴρει σανδαράχη μετὰ ἡμίσεος θείου. προσνιτρώσας δὲ κατάχριε ἐν ἡλίῳ. τοὺς δὲ λευκούς. χαλκάνθου, ἰοῦ, ἴσα. νίτρου διπλάσιον. δίχα λίπους σμῆχε. ἢ κάχρυος, θείου ἀπύρου, ἀδάρκης, ἴσα λεάνας μετ᾽ ὄξους σμῆχε καὶ κατάχριε. ὅταν δὲ ξηρανθῇ λοῦε τρίβων. αὐτὸ ποιεῖ καὶ λεύκαις.

Πρὸς στίγματα ἐκ τῶν Ἀρχιγένους. ζ.

Τὰ δὲ στίγματα ἐξελεῖς, τὸ προεστηκὸς τῇ ἀμίδι μετὰ δριμυτάτου ὄξους καταχρίων. ἢ ἀσβέστου μ´. α´. νίτρου ὀπτοῦ πυρροῦ τὸ ς´. σὺν ὕδατι ἐν ἡλίῳ κατάχριε. ὅταν δὲ ἑλκωθῇ, ὡς ἕλκος

κατούλου. ὁ δὲ Κρίτων πρὸς τὰ στίγματά φησιν προκεντρώσας τὸν τόπον κατάπλασσε τῷ βαυθίνῳ. εἶτα ἐπιδήσας ἔα ἐπὶ ἡμέρας ϛ̄. τῇ δὲ ζ̄. λύσας, κατακέντησον βελόνῃ τὸ στίγμα. καὶ ἀποσπογγίσας τὸ αἷμα, μετ' ὀλίγον, τρῖψον ἁλὶ λεπτῷ. εἶτα τὸ φάρμακον ἐπιθεὶς ἔα ἡμέρας ε̄. ἔστι δὲ. λιβάνου, νίτρου, κονίας ἀσβέστου, κηροῦ. ἀνὰ < . δ̄. μέλιτος η̄. λύσας γὰρ εὑρήσεις, τὸ μέλαν ἐπὶ τοῦ φαρμάκου. Ἄλλο. Χρῖσμα. πεπέρεως < . β̄. πηγάνου < . δ̄. σανδαράχης < . δ̄. ἀρσενικοῦ < . ᾱ. μέλιτος τὸ ἀρκοῦν. κατάχριε προκεντρώσας, καὶ τὰ ἄλλα ποιήσας ὁμοίως τῷ πρώτῳ. λύων δὲ διὰ τριῶν ἡμερῶν, καὶ τὸ μέλαν ἀρμόττων, αὖθις κατάχριε. αἴρει γάρ φησιν ἐν ἡμέραις κ̄ ἄνευ ἑλκώσεως καὶ οὐλῆς. Ἄλλο. τὸ κεκλημένον καλούμενον. λιβάνου < . δ̄. νίτρου < . β̄. χαλκάνθου < . δ̄. κηροῦ < . ϛ̄. πεπέρεως < . γ̄. τιτάνου < . γ̄. θαψίας < . γ̄. ἀρσενικοῦ < . ᾱ. S. σανδαράχης < . γ̄. μέλιτος τὸ ἀρκοῦν. χρῶ ὥσπερ τῷ πρὸ αὐτοῦ. Ὀριβάσιος δέ φησι βατράχιον καταπλασθὲν, ἢ καππάρεως φύλλα, τὰ στίγματα αἴρει. εἰ δὲ διὰ βάθους ὄντα μὴ ἀφαιροῖτο, ἐπ' ὀλίγου δὲ τοῦ δέρματος εἴη, ψυχρῷ καυτῆρι ἐσχαρώσας ἄφελε.

Περὶ ἐξανθημάτων. η̄.

Ἐξανθήματα γίνονται παχέων χυμῶν ἐν τῷ δέρματι σφηνωθέντων, καὶ πλέον ἔτι κατὰ τὴν ἐπιδερμίδα πυκνὴν οὖσαν. ἐφ' ὧν μὲν οὖν κἂν τῷ βάθει πλῆθος ὑπόκειται χυμῶν, τούτους πρότερον δεῖ καθαίρειν. εἰ γάρ τις μὴ πράξας τοῦτο πρότερον ἐπιχειροίη διαφορεῖν, ἐμφράξει μᾶλλον αὐτοὺς ἢ κενώσει διὰ τοῦ δέρματος. εἰ δὲ τὸ βάθος ἀπείρατον εἴη, χρὴ κενοῦν αὐτοὺς διὰ τοῦ δέρματος, καὶ μὴ πόῤῥω περισπᾶν, βουλόμενον διὰ γαστρὸς ἢ δι' ἐμέτων κενῶσαι. ἀλλὰ τήν γε θεραπείαν τῶν ἐμπεπλασμένων τῷ δέρματι χυμῶν, διὰ τῶν ἐκπυρούντων τε καὶ θερμαινόντων ποιητέον. καὶ μάλιστα ὅταν πλατέα τυγχάνῃ τὰ ἐξανθήματα. ἐπὶ ψυχρῷ γὰρ ἱκανῶς καὶ παχεῖ χυμῷ, τὰ τοιαῦτα γεγόνηται. δάφνης οὖν φύλλων ἁπαλῶν, καὶ πηγάνου καὶ μαίνης, ἴσον ἑκατέρου τρίψας, καὶ λιβανωτὸν μετ' ἐλαίου διεὶς, ἐπάλειφε. ἢ σεῦτλον ἁπαλὸν ἑψήσας καὶ τρίψας, κατάπλασσε. ἢ κηροῦ < . η̄. θείου, ἴσον. ἁλὸς < . ϛ̄. τὰ ξηρὰ τρίψας καὶ ἐπιχέας ἐλαίου Κο. S̄. πάντα ὁμοῦ ἕψε. καὶ γενομένῳ ἐμπλάστρῳ χρῶ. προσεμβάλλειν δὲ τῇ ἑψήσει. ἀγαθὸν σφόδρα τὸ φάρμακον.

Περὶ ἐπινυκτίδων. θ̄.

Αἱ ἐπινυκτίδες. ἑλκύδριά εἰσιν, ἀπὸ ταυρμάτου ἐξανθοῦντα, φλυκταινοειδῆ, ὑπέρυθρα, ὧν ἐκρηγνυμένων, ἰχὼρ ὕφαιμος ἀποῤῥεῖ. ταῦτα τὰς μὲν ἡμέρας οὐ πάνυ ἐνοχλεῖ, νυκτὸς γὰρ ἐπόδυνα ὄντα μᾶλλον ἢ κατὰ τὸ ἕλκος. ὀποπάνακα σιλφίου ὕδατι διεὶς ἐπιτίθει. ξηραίνει γὰρ ἄνευ δήξεως. ἢ κώνειον ἐκλεάνας ἐπιτίθει. ἢ κράμβην ὠμὴν μεθ' ὕδατος. ἢ σέλινον μετὰ ἀλφίτου τρίψας, κατάπλασσε. ἢ ὑοσκυάμου φύλλα μετὰ μέλιτος τρίψας, ἐπιτίθει. ἢ στρύχνον καθ' ἑαυτὸ, καὶ μετὰ κορίου χλωροῦ. ἢ ἐλαίας φύλλοις ἑφθοῖς μετὰ ὕδατος, χρῶ. ἢ σταφίδας ἐκγιγαρτωθείσας, λείας, ἐπὶ λινίου ἐπιπλάσας, ἐπιτίθει. ἢ ἀδίαντον τρίψας μετὰ μέλιτος. φυλακτέον δὲ τὴν τῶν δριμέων καὶ ὀξέων καὶ ἁλυκῶν προσφοράν. καὶ πυρίαν καὶ λουτρὸν καὶ ἥλιον.

Περὶ φλυκταινῶν. ῑ.

Τὰς δὲ μὴ ῥηγνυμένας αὐτομάτως φλυκταίνας, ἐπωδύνους δὲ γενομένας, ὀξείᾳ βελόνῃ τιτρᾶν προσήκει καθ' ὑπόῤῥυσιν. εἶτα ἐκθλίβειν πρᾴως τὸ ὑγρὸν, τὸ δέρμα τὸ προκείμενον ἐῶντα κἂν πληρωθῇ. μύσαντος τοῦ τραύματος τὴν φλυκταίναν πάλιν δεῖ τιτρᾶν ὁμοίως, καὶ ἐκθλίβειν. καὶ φυλάττειν τὸ δέρμα προστέλλειν, ἄχρις ἂν ἀπουλωθῇ τὸ ὑπ' αὐτὸ ἡλκωμένον. πρὶν μὲν οὖν ἐκραγῆναι τὰς φλυκταίνας, ἑφθῷ φακῷ λείῳ μεθ' ὕδατος κατάπλασσε. ἢ ῥοιᾶς ῥαβδία χλιαίνων ἐπὶ τέφρας θερμῆς, προστίθει. καὶ κατόπτα τοὺς τόπους. ἐὰν δὲ ἐκραγῶσιν καὶ ἕλκος γένηται. στέαρ ὕειον τήξας, καὶ λιθαργύρου λείου μίξας, καὶ εἰς ὀθόνιον ἐμπλάσας, ἐπιτίθει. ἢ κρίνου ῥίζαν ἑψήσας ἐν ὕδατι, καὶ τρίψας μετὰ κηρωτῆς ἐπιτίθει.

Πρὸς ἐπινυκτίδας καὶ φλυκταίνας.

Λιθάργυρον καὶ θεῖον ἄπυρον ἴσα μετ' ὄξους. καὶ μυρσίνου λείου γλοιώδει ἐπιχρίσει, μετ' ἐλαίου καὶ οἴνου. ποιεῖ πρός τε ταῦτα, καὶ θερμὰ ἐκβράσματα, καὶ προσιζήματα, καὶ ἀχῶρας, ἀρχομένους τε δοθιῆνας, καὶ κατακαύματα, τό, τε διὰ μολυβδαίνης, καὶ τὸ δι' ὠῶν σκευαζόμενον φάρμακον.

Πρὸς τὰ πυρίκαυτα. ῑᾱ.

Τὰ πυρίκαυτα, τῶν μετρίως ῥυπτόντων δεῖται φαρμάκων, χωρὶς τοῦ θερμαίνειν ἢ ψύχειν ἐπιφανῶς. γῆ τοίνυν χία καὶ κιμωλία καὶ κρητικὴ, καὶ πᾶσα δὲ κούφη γῆ καταχειομένη μετ' ὄξους μὴ πάνυ δριμέως ἢ ὕδατος μιγνυμένου, ποιεῖ καλῶς. καὶ κωλύει φλυκταινοῦσθαι. καὶ

ὠὸν

ᾠὸν ὅλον ὠμὸν παραχρῆμα ἐπιτιθέμενον, ἀναλαμβανόμενον ἐρίῳ μαλακῷ, καὶ γὰρ ἐμψύχει μετρίως καὶ ἀδήκτως ξηραίνει. καὶ μέλανι δὲ γραφικῷ περίχριε. ἢ λιβανωτῷ, ὕδατι διειμένῳ. ἢ φακῷ ἑφθῷ λείῳ, ἢ ὀρόβῳ κατάπλασσε. πρὸς δὲ τὰ ἀφ᾽ ὕδατος θερμοῦ κατακαύματα, πρὶν φλυκταίνας γενέσθαι ἐλαίων ἁλμάδων ὕδωρ συνεχῶς καταντλεῖ. καὶ αὐτὰς τὰς ἁλμάδας μετὰ ἀλφίτου λείας κατάπλασσε. ἢ στυπτηρίαν σχιστὴν τρίψας μετ᾽ ὄξους, κατάχριε. ἢ χολὴν ταυρείαν μεθ᾽ ὕδατος δαψιλοῦς τετηκυῖαν, κατάχριε. ἢ κονίαν στακτὴν κατάντλει γάρῳ. ἢ ἅλμῃ κατάντλει. ἢ βολβοὺς κρίνων, ἢ ὑακινθίνων, ἢ ναρκίσσων μετὰ ῥοδίνου τρίψας, καὶ ποιήσας γλοιῶδες κατάχριε. ὁ δὲ Μάρκελλος σύνθετον τοῦτο φησί. ῥάκος μέλιτι δεύσας, καὶ κριθὰς ἀνακυλίσας κατάκαυσον, καὶ βάλε τῆς τέφρας < η. ψιμυθίου < δ. βουτύρου < η. κηροῦ < ιϛ. στέατος αἰγείου < ιϛ. ῥοδίνου < ιϛ. πρὸς δὲ τὰ ἤδη πεφλυκταινωμένα. ῥοῦν καὶ ἄλφιτον τρίψας μετ᾽ ὄξους κατάπλασσε. ἢ κονίαν ἄσβεστον, κηρωτῇ μιγνὺς καὶ εἰς ὀθόνιον ἐμπάσσων ἐπιτίθει. καὶ τὸ σφαιρίον δὲ καλούμενον πρὸς ταῦτα χρήσιμόν ἐστι. τὰ δὲ ἡλκωμένα πράσοις λείοις κατάπλασσε. ἢ ἀνδράχνην τρίψας μετὰ ἀλφίτων κατάπλασσε. ἢ περιστερᾶς κόπρον εἰς ὀθόνιον ἐνειλίσας κατάκαυσον, καὶ διεὶς ἐλαίῳ τὴν τέφραν αὐτοῦ, χρῶ. θαυμαστὸν φάρμακον. καὶ πίτυος ἢ πεύκης φλοιὸς, ἢ ἀδίαντον ξηρὸν λεῖον, ἢ μυρσίνης φύλλα κατακεκαυμένα λεῖα ἐμπάσσεται. ποιεῖ δὲ τούτων ἕκαστον καὶ μετὰ κηρωτῆς συντιθέμενον. καὶ τὸ λαμβάνον δὲ τῆς ἐρυθρᾶς ἀγχούσης τῆς ῥίζης ξηρᾶς, κοπείσης λείας γο. δ. κηροῦ Ποντικοῦ γο. θ. ῥοδίνου γο. ιη. καὶ τὸ διὰ ψιμυθίου σὺν ὀλίγῳ μυελῷ ἐλαφείῳ, ἀγαθόν ἐστι φάρμακον.

Πρὸς τοὺς ὑπὸ μαστίγων πληγέντας. ιβ.

Ψιμυθίου καὶ λιθαργύρου ἴσα. κηροῦ τὸ τετραπλοῦν, μετὰ σουσίνου ἢ ῥοδίνου, ὡς ἐμπλάστρῳ χρῶ. τῇ δὲ πρώτῃ ἡμέρᾳ κατ᾽ ἰδίαν τῷ σουσίνῳ μόνῳ χρῶ. ἢ κρόκου < α. τραγακάνθου < α. ᾠὸν ὁλόκληρον, χωρὶς τῶν ὀρόβων ἑνώσας χρῶ. τοῖς μεμαστιγωμένοις, δέρμα προβάτου νεωστὶ ἐκδαρμένου θερμὸν ἔτι περιτιθὲν, θεραπεύει παντὸς μᾶλλον ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτί.

Τρίχας ἐκ κατακαυμάτων φῦσαι. ιγ.

Τρίχες ἐκ κατακαύματος φύουσιν, ἐὰν συκῆς φύλλα ἐν χύτρᾳ ὀπτὰ μετὰ κηρωτῆς ἔμπλαστρον ἐπιθήσῃς. ἢ καρίκης < η. σαμψύχου < α. ῥίψας μετὰ ἐλαίου κηρωτῆς πάχος, χρῶ. ἢ λατύπης < ρ. λεπίδος < ι. μεθ᾽ ὕδατος ἀναπλάσας τροχίσκους, ἔχε. ἐπὶ δὲ τῆς χρείας ἀνίει μέρος ἓν, πρὸς η. μέρη κηρωτῆς.

Πρὸς ἀποσύρματα. ιδ.

Ἐπὶ δὲ τῶν ἀποσυρμάτων καὶ τῶν ἐπιπολαίων ἑλκῶν ταῖς πρώταις ἀποσύψας, ἢ οἴνῳ ἢ ὄξει ἢ ὀξάλμῃ. ταῖς ἑξῆς εἰς ἀπούλωσιν χρῶ ταῖς τε λιπαραῖς, καὶ τῶν λευκῶν ἐμπλάστρων ταῖς τρυφεραῖς. ἄκρως δὲ ποιεῖ τοῦτο. ψιμυθίου μ α. ἀμμωνιακοῦ τὸ ς. μυρσίνου τὸ ἀρκοῦν. λεάνας ἐν ὕδατι τὸ ἀμμωνιακόν, μίξον τὸ ψιμύθιον παραχέων τὸ μύρσινον καὶ χρῶ λιπαρᾷ. ἢ λατύπῃ λεπίδα χαλκοῦ πρόσμιξον, καὶ μυρσίνῳ λεάνας χρῶ. ἢ κιμωλίαν καὶ λιθάργυρον μετ᾽ οἴνου καὶ κικίνου καὶ μυρσίνου λεάνας χρῶ.

Πρὸς παρασύρματα καὶ ἀποτρίμματα καὶ χρόνια ἕλκη, καὶ πρεσβυτικοὺς καὶ ἁπαλοὺς χρῶτας.

Λιθαργύρου χρυσίτιδος < ν. κηροῦ < η. ῥητίνης ξηρᾶς πευκίνης < ιβ. ἐλαίου κο. α. ς. τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἑψήσας ἐπίβαλε τὰ λοιπὰ, καὶ σπαθίσας ἢ καὶ μαλάξας ἐν θυίᾳ χρῶ. τὸ δὲ ἀποσυρὲν δέρμα οὐ χρὴ τῶν ἑλκῶν ἀποτέμνειν, ἀλλ᾽ ἐπάγειν τὸ φάρμακον καὶ ἐπιτιθέναι. κολλᾶται γὰρ οὕτω, εἰ καὶ μελανθὲν εἴη. γυμνωθεὶς δὲ τῆς σαρκὸς, δύσκολος ἡ ἐπούλωσις διακναιομένου καὶ ῥυπουμένου τοῦ ἕλκους. ἀφλέγμαντα δὲ τηρεῖ τὰ ἀποσύρματα, ῥοῦς ἐρυθρὸς καταπλασσόμενος λεῖος σὺν μέλιτι. ἢ σχοίνου κόμη καυθεῖσα, καὶ σὺν μέλιτι ἐπιτεθεῖσα.

Πρὸς ἀποσύρματα καὶ μαστιγωθέντα καὶ περιθλάσεις ἄρθρων ἀνώδυνον.

Λιθαργύρου, ψιμυθίου ἀνὰ γο. ι. κηροῦ γο. ϛ. ἐλαίου καθαροῦ ἢ ῥοδίνου λι. α. ς. ἀμύλου γο. β. ποιεῖ δὲ πρὸς τὰ αὐτὰ καὶ τὸ πηλώδειον τὸ διὰ ἑλκύσματος. καὶ ἡ διὰ ᾠῶν, ὁμοίως.

Περὶ μυρμηκίων καὶ ἀκροχορδόνων. ιε.

Ἑκάτερον τούτων ἐπανάστασίς ἐστι τοῦ δέρματος μικρὰ, τυλώδης, περιφερὴς κατὰ τὸ πλεῖστον. ἀλλ᾽ ἡ μὲν μυρμηκία, πλατεῖαν ἔχει τὴν βάσιν, καὶ πρὸς τὰς ἀποψήξεις ὁμοίαν αἴσθησιν ἐμποιεῖ δήγμασι μυρμήκων. ἡ δὲ ἀκροχορδὼν, στενὴν ἔχει τὴν βάσιν ὡς δοκεῖν ἐκκεκρεμάσθαι ἄκρῳ χορδῆς ὡμοιωμένη. τούτους αἴρειν τοὺς ὄγκους. αἴρει ἐλατήριον μετὰ ἁλῶν ἐπιτεθέν. λιβανωτὸς μετ᾽ ὄξους. ὄλυνθοι μετ᾽ ὄξους καὶ ἀλεύρου καὶ νίτρου. ὀπὸς συκῆς ἐπιχεόμενος, ὁμοίως δὲ καὶ τιθυμάλλου. σμαρίδος κεφαλὴ ταριχηρὰ καυθεῖσα, ἰὸς μετὰ θείου ἀπύρου καυ-

θείς, ὠκίμου φύλλα μετὰ χαλκάνθου. κληματίδων ἔτι χλωρῶν καιομένων τὸ ἀποστάζον. προβάτεια κόπρος μετ᾽ ὄξους. τράγου χολὴ ἐπιχριομένη. ἡλιοτροπίου τοῦ μεγάλου ὁ καρπὸς σὺν οἴνῳ καταπλασθείς. πήγανον μετὰ νίτρου καὶ πεπέρεως. νίτρον σὺν οὔρῳ, ἀφθόρου. κόπρος βοὸς ἀγελαίας ἐν ὄξει.

Περὶ γαγγλίου. ις.

Συστροφὴ νεύρου τὸ γάγγλιόν ἐστιν, ἐκ πληγῆς ἢ κόπου γινόμενον, ἐν πλείοσι μὲν τοῦ σώματος μέρεσι, μάλιστα δὲ κατὰ τὰ κινούμενα, οἷον χεῖρας ἄκρας καὶ πόδας. ἐφ᾽ οὗ ὁ μὲν Ἀρχιγένης φησίν, ἄσβεστον μετὰ στέατος χηνείου, καὶ τερεβινθίνης ἐπιτίθει. πόλης δέ, τῷ διὰ τοῦ ἀχάτου λίθου φαρμάκῳ χρῆται. Ὀρειβάσιος δέ, τούτῳ. ψιμυθίου, πιτυΐνης, ἐλαίου παλαιοῦ ἀνὰ γο. α. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ γο. α. κηροῦ γο. δ. ἢ μολίβδινον δισκάριον, φησί, παχύτερον ὡς οἱ σπόνδυλοι, μεῖζον τοῦ γαγγλίου, ἐπιτίθει καὶ δέσμει. τῷ βάρει γὰρ διαλύει αὐτὸ ἐν χρόνῳ πλείονι. καὶ ἡμεῖς δὲ τούτῳ χρώμεθα.

Περὶ φλεγμονῆς. ιζ.

Κοινῶς μέν, τοὺς θερμοὺς ἅπαντας καὶ ὀδυνηροὺς μετὰ φλογώσεως ὄγκους, φλεγμονὰς προσαγορεύειν εἰώθασιν. παρὰ δὲ τὴν ἐργαζομένην αὐτοὺς ὕλην, διάφορον ὑπάρχουσαν, καὶ τούτων τὴν διαφορὰν ἐξαλλάττεσθαι φησίν. αἵματος μὲν γὰρ χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἰς τὸ μόριον ἀθρόως, καὶ διὰ τὸ πλῆθος σφηνωθέντος, τὴν ἰδίως προσαγορευομένην γίνεσθαι φλεγμονήν. χολῆς δὲ ξανθῆς κατὰ τὸ μόριον ἱσταμένης, ἕρπητα. αἵματος δὲ καὶ χολῆς ἅμα ξανθῆς ἐπιρρυέντων, τὸ ἐρυσίπελας συνίστασθαι. ὅταν δὲ τὸ ἐπιρρέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχύ, τοὺς ἄνθρακας ἐργάζεσθαι πέφυκεν. Οὐκοῦν ἀπὸ τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς ἀρκτέον ἐπὶ πολλῶν ἀεὶ συμβαινούσης. ἥτις ὄγκος ἐστὶν ἐνερευθὴς καὶ ὀδυνηρὸς καὶ ἀντίτυπος καὶ θερμός, ἐξ αἵματος ὡς ἔφην χρηστοῦ τὴν γένεσιν ἔχων, ποτὲ μὲν ἐξ ὅλου τοῦ σώματος φερομένου, ποτὲ δὲ ἐν αὐτῷ τῷ μορίῳ πλεονάσαντος, ὡς μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων ἀλλὰ διεκπίπτειν ἱδρωτωδῶς εἰς τὰς μεταξὺ κενὰς χώρας. καὶ τρώσεσι δὲ πολλάκις καὶ κατάγμασι, ἕλκεσί τε καὶ ἑτέροις πλείοσιν ἔξωθεν αἰτίοις τοῦτο τὸ πάθος ἕπεται. ἐπειδὰν οὖν ἐξαίφνης φλεγμήνῃ τὸ μόριον ἄνευ τοῦ προηγήσασθαι φανερὰν αἰτίαν, ὅλου δὲ τοῦ σώματος ἐπιπέμποντος τῷ μορίῳ. τὸ μὲν ὅλον δεῖ κενοῦν διὰ φλεβοτομίας. αὐτὸ δὲ τὸ φλεγμαῖνον, ἐπιβρέχειν τε καὶ καταπλάττειν, μὴ τοῖς θερμαίνουσι καὶ ὑγραίνουσιν, ἀλλὰ τοῖς ἀποκρούεσθαι μὲν τὸ ἐπιρρέον δυναμένοις, τὸ δὲ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι κενοῦν. καταπλάττειν οὖν τῷ ἀειζώου καὶ λεμμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ, κηροῦ τε καὶ ἀλφίτων συγκειμένου. ὀδύνης μὲν οὖν σφοδρᾶς οὐκ οὔσης, τούτῳ καὶ τοῖς τοιούτοις χρηστέον. σὺν ὀδύνῃ δὲ μείζονι τοῦ μορίου ῥευματιζομένου, μὴ δ᾽ οὕτως μὲν θερμὸν ὕδωρ ἢ ἔλαιον προσφέρειν, ἢ τὰ διὰ τῶν ἀλεύρων καταπλάσματα. πολέμια γὰρ ταῦτα πάντα ταῖς ῥευματικαῖς διαθέσεσιν. παραμυθεῖσθαι δὲ τὸ σφοδρὸν τῆς ὀδύνης, τῷ διὰ γλυκέος καὶ ῥοδίνου καὶ κηροῦ βραχέος, ἐρίοις ῥυπαροῖς οἴσυπον πολὺν ἔχουσιν. ἀναλαμβάνονται δὲ καὶ προσφέρονται, θέρους μὲν ψυχρά. χειμῶνος δὲ χλιαρά. περιλαμβάνοντα, καὶ τοὺς ἀνωτέρω τόπους τῶν πεπονθότων μορίων σπόγγῳ βρεχθέντι οἴνῳ αὐστηρῷ, ἢ ὀξυκράτῳ ψυχρῷ. παραμικτέον δὲ τοῖς καταπλάσμασι καὶ τὰς πρὸς τοῦτο χρησίμους πόας. ἑλξίνη τοίνυν πρὸς πᾶσαν φλεγμονὴν ἁρμόττει, ἐν ἀρχῇ τε καὶ ἀναβάσει. γλαύκιον ὁμοίως. ἀτράφαξις καὶ μαλάχη. θρίδαξ τε, καὶ κολοκύνθη πρὸς τὰς θερμὰς ἐπιπλαττόμεναι. ποιοῦσι καὶ τρίβολοι ἀμφότεροι πρὸς τὰς ἐκ ῥεύματος φλεγμονάς. κράμβη δὲ πρὸς τὰς σκληρυνομένας. παραλλαγῆς δὲ ἐπὶ τούτοις γινομένης καὶ πόνου μὴ ὑποπίπτοντος, τῷ διὰ χαλκίτεως ἐμπλάστρῳ φαρμάκῳ θεραπεύειν, ἢ τινὶ τῶν ὁμοίων τῶν πρὸς τὰ ῥεύματα ποιούντων. καθαρὸν δὲ ἔριον οἴνῳ βεβρεγμένον αὐστηρῷ ἔξωθεν ἐπιβάλλειν τοῦ φαρμάκου. τούτῳ μὲν οὖν ἰᾶσθαι τῷ τρόπῳ, τὰς ἐπὶ ῥεύματι φλεγμονάς. τὰς δὲ ἐπί τινι προφάσει συνισταμένας, ὑγραίνων καὶ θερμαίνων οὐ βλάψεις. κἄν ποτε χρεία γένηται ἀποσχάζων αὐτάς, δεόντως αὐτὸ ποιήσεις. τὰς δὲ ἐπὶ ῥεύματι φλεγμονὰς ἀποσχάσας καὶ μάλιστα ἐν ἀρχαῖς, αἴτιος τινος κακοῦ μεγάλου γενήσῃ τῷ πάσχοντι.

Περὶ τῶν ἐκτὸς τοῦ σώματος ἀποστημάτων. ιη.

Ἐὰν μὴ δυνατὸν εἶναι φαίνοιτο κωλυθῆναι τὴν ἐκπύησιν, ἄρτον ἑψήσας ἐν ὑδρελαίῳ κατάπλασσε. ἢ κρίθινον ἄλευρον παραπλησίως σκευαζόμενον. καταντλείσθω δὲ ὕδατι τὸ μόριον ἀλθαίας ῥίζης ἀνεψηθείσης. ὅταν δὲ δυσεκπύητος ὁ ὄγκος, ἢ δυσδιαφόρητος ᾖ, τῷ διὰ τῶν ἰσχάδων καταπλάσματι χρήσῃ. δεῖ δὲ γλυκείας καὶ λιπαρὰς τὰς ἰσχάδας ἕψοντα κατατήκειν ἐν ὕδατι, καὶ ποιεῖν ὅμοιον τὸ ὕδωρ μέλιτι λεπτῷ καὶ προσβάλλειν κρίθινον ἄλευρον.

καὶ εἰ διαφορεῖται μὲν ὁ ὄγκος, ἐνδεέστερον δέ. ταῖς ἰσχάσι συνεψεῖν ὕσσωπον ἢ ὀρίγανον. εἰ δὲ ἐπιτεῖναι βουληθείης μᾶλλον, ἅλας ἐπεμβάλλε τῷ ἀφεψήματι. πρόσεχε δὲ ἀκριβῶς μὴ διὰ τὸ ξηραίνεσθαι σφοδρότερον, σκιρρώδες γένηται τὸ μόριον. κἄν ποτε τὸ τοιοῦτον θεάσῃ, συναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν, ἢ ἀλθαίας, ἢ βρυωνίας. ἰσχυροτέρα δὲ τούτων ἡ τοῦ δρακοντίου, καὶ διαφορητικωτέρα ἐστί. καὶ αὐτὸ δὲ τὸ διὰ τοῦ δρακοντίου φάρμακον, ἰσχυρῶς τὰ τοιαῦτα διαφορεῖ. ἐνίοτε μὲν οὖν τούτων μόνον ἀφεψεῖς. ἐνίοτε δὲ καὶ ἰσχάδων ἐπεμβαλεῖς, καὶ τὸ ἄλευρον ἀναμιγνὺς ἅμα στέατι. καὶ τὸ ἀνήθινον ἔλαιον διαφορητικόν ἐστι καὶ πεπτικὸν ὠμῶν χυμῶν, καὶ ἀπέπτων ὄγκων. καὶ πίττα συμπέττει τοὺς σκληροὺς καὶ ἀπέπτους ὄγκους ἅπαντας, ἐμβαλλομένη τοῖς καταπλάσμασιν. καὶ μᾶλλον ἡ ὑγρά.

Φάρμακον σύνθετον.

Τὰ μὲν ἤδη πεπεμμένα τῶν ἀποστημάτων ἐξηθοῦν, ὡς πολλάκις εὑρίσκεσθαι ἐπὶ τοῦ σπληνίου πύον. τὰ δὲ μὴ πεπεμμένα εἰς τέλος διαφορεῖ. λίθου πυρίτου < ιβ΄. ἀμμωνιακοῦ λείου ἴσον. κυαμίνου ἀλεύρου < ς΄. ἀνάλαμβανε ῥυτίνῃ ὑγρᾷ, καὶ εἰς δέρμα ἐπιπλάσας ἐπιτίθει. τὸ δὲ σπλήνιον μὴ ἀφαίρει, μέχρις ἂν αὐτομάτως πέσῃ. δεῖ δὲ μὴ πρὸ πολλοῦ σκευάζειν τὸ φάρμακον, ξηραίνεται γὰρ ταχέως. ἐπὶ τούτοις δὲ μηδὲν διαφορηθέντος τοῦ ὄγκου, πύου δὲ κατ' αὐτὸν ὑποπίπτοντος, διελόντα καὶ κενώσαντα τὸ πύον, φυλάττεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ. ἀλλ' εἰ καὶ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ τε καὶ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρηστέον. καὶ εἰ μὲν ἔτι φλεγμαίνοι, διὰ τῆς φακῆς κατάπλασμα. μὴ φλεγμαινοντος δὲ, τῶν ἄλλων τε φαρμάκων τῶν ἐμπλάστρων, ἐπὶ τοῖς τοιούτοις τόποις χρησόμεθα. καὶ οὐχ ἥκιστα τῷ διὰ τῆς χαλκίτεως. ἐπιτίθει δὲ κατ' αὐτῶν, σπόγγον ἢ ἔριον, οἴνῳ βρέχων στρυφνῷ. τῷ δὲ τραύματι μηδὲν λιπαρὸν τῶν φαρμάκων προσφέρειν, οἷον τὸ τετραφάρμακόν ἐστιν. ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι.

Ὅσα ῥήσσουσιν ἀποστήματα.

Ἐπειδὴ δέ τινες οὐκ ἀνέχονται σιδήρῳ διαιρεῖσθαι τὰ ἀποστήματα, πειρατέον καὶ φαρμάκοις χρῆσθαι ἐπισπαστικοῖς. ναρκίσσου ῥίζαν λειοτριβήσας ἐν μελικράτῳ, μετὰ ἰρίνου ἑψήσας κατάπλασσε. ἢ καλάμου ἁπαλὴν ῥίζαν λειοτριβήσας μετὰ μέλιτος. εἰ δὲ σκληρὰ εἴη προσεψήσας μελικράτῳ. ἢ ἀριστολοχίᾳ μετὰ μέλιτος κατάπλασσε. ῥήσσει δέ. πίσσης ξηρᾶς, προπόλεως, κηρωτικῆς ἴσα, καὶ ἀφυλοί.

Διονύσια, πρὸς ἀποστήματα θαυμαστὴ, καὶ πρὸς μαστοὺς, καὶ βουβῶνας, ἐπισπαστική. διὰ τῶν ἀδήλων πόρων διαφοροῦσα.

Ἐλαίου παλαιοῦ, ὕδατος ἀνὰ λι. α΄. ἑψήσας τὸ ὑδρέλαιον ἐπ' ὀλίγον, ἐπίβαλλε ἀφρονίτρου Γο. ς΄. μίσυος Γο. α΄. ἢ β΄. καὶ ἕψε ἕως ἀμολύντου. εἶτα ἐπίβαλλε μάννης, λιβάνου, κηροῦ, τερεβινθίνης ἀνὰ Γο. ς΄.

Πρὸς νευρικὰς ἀποστάσεις.

Κηροῦ κολοφωνίας, βουτύρου. ἀνὰ λι. α΄. πίσσης ξηρᾶς, μέλιτος ἀνὰ λι. β΄. Γο. ς΄. ἰοῦ Γο. γ΄. ἰξοῦ τὸ ἀρκοῦν. Ἄλλο. Ἐπισπαστικόν. ἀμμωνιακοῦ θυμιάματος Γο. ς΄. κηροῦ, τερεβινθίνης ἀνὰ Γο. δ΄. θείου ἀπύρου Γο. γ΄. νίτρου. Γο. γ΄. καὶ τὸ σμηλίον δὲ καλούμενον φάρμακον. καὶ τὸ διὰ σκορόδων, ἰσχυρῶς ῥήσσουσι τὰ ἤδη μεταβληθέντα. τὸ δὲ διὰ τοῦ χυλοῦ τοῦ λινοσπέρμου διαφορεῖ, μεταβάλλει, ῥήσσει πρὸς τὴν ἐπιτηδειότητα. πρὸς δὲ τὰ ἐπιεικέστερα τῶν ἀποστημάτων, καὶ τὰ πρὸς παρωτίδας ἁρμόσει λελεγμένα. ταῦτα μὲν οὖν περὶ τοῦ μεταπεσοῦντος ἀπὸ φλεγμονῆς ἀποστήματος. ὁ μέντοι Γαληνὸς ἔφη μὴ δὲ φλεγμονῆς ἐνίοτε προηγησαμένης ἀπόστημα συνίστασθαι, ταύτης δὴ τῆς ἐξ αἵματος χρηστοῦ τὴν γέννησιν ἐχούσης. εὐθὺς γὰρ ἐξ ἀρχῆς, φησὶ, δι' ἄλλον τινὰ χυμὸν ἐνίοτε ὁντιναοῦν ὑποδέχεται τῷ χρόνῳ καὶ ἀφίσταται τῶν ὑποκειμένων τὰ περιέχοντα. καὶ τοίνυν καὶ τμηθέντα, παντοίαν ἰδέαν ὑγρῶν τε καὶ στερεῶν σωμάτων, ἐντὸς ἑαυτῶν ἔχοντα φαίνεται. καὶ γὰρ καὶ βορβόρῳ καὶ οὔρῳ, καὶ θρόμβῳ, καὶ χυμῷ μελιτώδει, καὶ μυξώδει, καὶ ὀστοῖς, ὄνυξί τε καὶ θριξὶν, ἐν ἀποστήμασιν εὑρίσκεται παραπλήσια σώματα. καὶ μὴν καὶ ζῶα πολλάκις εὕρηται σχεδὸν ἅπασι τοῖς ἐκ σηπεδόνος ἔχουσι τὴν γένεσιν ὁμοιότατα. καὶ λίθοις δὲ καὶ ψάμμοις ὀστράκοις τε καὶ ξύλοις, ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ, καὶ ἀμόργῃ, καὶ τρυγὶ φύσιν ἐοικότα τοῖς ἀπὸ σκήμαματος μάλιστα χρονίσασιν ἀποστήμασι συνίστασθαι. διὸ τὴν τελεωτέραν τῶν ἐκτὸς μάλιστα τοῦ σώματος ἀποστημάτων σημείωσιν ὡς ἐπιτόμως λεκτέον. καὶ ὅσα τὴν διὰ φαρμάκων οὐκ ἐπιδέχεται διαφόρησιν. ἀπόστημα τοίνυν, ἐστὶ φθορὰ καὶ μεταβολὴ σαρκῶν ἤτοι σαρκωδῶν. οἷον μυῶν, φλεβῶν, ἀρτηριῶν. τούτων τὰ μὲν ἐν χιτῶνι περιέχεται, ὡς ἀθερώματα, στεατώματα, μελικηρίδες. τὰ δὲ ἄνευ χιτῶνος συνίσταται, τῇ τοῦ γένους ὀνομασίᾳ προσαγορευόμενα.

περὶ ὧν νῦν λέγωμεν τὴν τῶν ἀποστημάτων γενέσεως, κατὰ μὲν τὸ πλεῖστον φλεγμονῇ περιγίνεται. περὶ ἧς διειλάβομεν. ἔστι δὲ ὅτε καὶ κατ' ἀρχὰς εὐθὺς ὡς ἀρτίως ἔφημεν γίνεται. παρέπεται δὲ τοῖς ἀποστήμασι, πύρωσις ἰσχυρὰ τοῦ τόπου. καὶ μείζων ὄγκος, ἐρυθρός τε μᾶλλον ἢ πρὶν καὶ σκληρὸς μετὰ νυγματώδους ἀλγήματος καὶ σφυγμοῦ καὶ βάρους, ὡς δοκεῖν ἐκκρεμᾶσθαί τι τοῦ μορίου. εἰ δὲ δὴ καὶ ὁ τόπος ἐπίκαιρος εἴη. καὶ πυρετὸς ἐπιγίνεται καὶ ῥῖγος ἄτακτον. καὶ νυκτὸς μάλιστα πονοῦσί τε, καὶ πυρέττουσιν. ἔστι δὲ ὅτε καὶ βουβῶν αὐτοῖς ἐγείρεται, κατὰ τοὺς πλησίον ἀδένας. γινομένου δὲ τέλεον τοῦ ἀποστήματος, τὰ πλεῖστα μειοῦται. τὰ δὲ νύγματα κνησμώδη γίνεται, καὶ ἡσυχῇ ναρκώδη. καὶ ὁ ὄγκος κορυφοῦται μᾶλλον εἰς ὀξεῖαν κορυφήν, εὐβαφής τε ὢν καὶ εὔεικτος. καὶ ἡ ἐπιφάνεια κατὰ τὴν κορυφήν, ἀποσύρεται. λέγω δὲ ταῦτα ἐπὶ τῶν ἔξω ῥηγνυμένων. εἰ μὲν οὖν ὑπὸ φαρμάκοις ἢ αὐτομάτως ῥαγείη, τῇ ἐμμότῳ θεραπευέσθω ἀγωγῇ, κατὰ μέρος τοῦ πύου κενωθέντος. εἰ δὲ μή, στομοῦν αὐτὸ κατὰ τὸν ἐν τοῖς χειρουργουμένοις εἰρησόμενον τρόπον.

Περὶ γαγγραίνης καὶ σφακέλου. ιθ.

Ἐπειδὴ μὴ διαφορουμένη, μήτε εἰς πύον ἡ φλεγμονὴ μεταβάλλουσα, πολλάκις εἰς γάγγραινάν τε καὶ σφάκελον μεταπίπτει. λέγωμεν ἤδη καὶ περὶ τούτων. γαγγραίνας μὲν γὰρ τὰς διὰ μέγεθος φλεγμονῆς, νεκρώσεις ὀνομάζουσιν. οὐκ ἤδη γεγεννημένας, ἀλλὰ γινομένας ἔτι. καὶ εἰ μὴ ταχέως τις τὴν τοιαύτην διάθεσιν ἰάσηται, νεκροῦταί τε ῥᾳδίως τὸ παθόν, οὗ τὸ μόριον ἐπιλαμβάνεται τὰ συνεχῆ. καὶ ἀποκτέννει τὸν ἄνθρωπον. ὅταν δὲ τελέως ἀναίσθητα γένηται τὰ οὕτω παθόντα σώματα, τὸ πάθος οὐκέτι γάγγραιναν, ἀλλ' ἤδη σφάκελον ὀνομάζουσιν. συμβαίνει δὲ καὶ τοῦτο τὸ πάθος καὶ τοῖς ὀστοῖς, ὅταν ἡ περικειμένη σὰρξ αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα διαβρέξῃ τούτοις, αὐτὰ καὶ διασήψῃ. τελέως μὲν οὖν νεκρωθὲν τὸ μόριον, τάχιστα χρὴ περικόπτειν. καθ' ἃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς. τὴν δὲ γάγγραιναν θεραπεύειν χρὴ κενοῦντας ὅσον πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος. ἢ γὰρ φλέβα τεμόντας κενῶσαι δεῖ τὸ διεφθαρμένον αἷμα, ὅταν ἡ περὶ αὐτὸ τὸ μόριον φλὲψ μεγάλη. ἢ ὅλον τὸ δέρμα διαιροῦντας πολλαῖς καὶ βαθείαις ἀμυχαῖς. καὶ ἐάσαντας ἀποῤῥυῆναι τὸ αἷμα, τῶν πρὸς τὰ σηπόμενα χρησίμων. ἔτι δὲ ταῦτα δι' ὀξυμέλιτος, ἄλευρον ὀρόβων ἢ αἰρῶν, ἢ τὸ τῶν κυάμων. σφοδρότερον δὲ προσάγειν βουλόμενος, ἅλων ἐπεμβάλλειν, ἢ τροχίσκον τὸν Ἄνδρωνος, ἤ τινα τῶν ὁμοίων. ποιεῖ πρὸς γαγγραίνας, καὶ παλαιὰ κάρυα. ἀνακαθαίρει δὲ αὐτὰς ἀκαλύφη, καὶ ὀπὸς τιθυμάλλου, ἐν καιρῷ καὶ μέτρῳ προσαγόμενος. ὠφελεῖ δὲ αὐτοὺς καὶ θέρμων πικρῶν ἀφέψημα προσαντλούμενον. τινὲς δὲ καὶ μετὰ τὴν τομὴν ἐκτομῆς ἀσφαλείας χάριν, καὶ καυτῆρα προσφέρουσιν. ἐφ' οἷς ἅλσι μετὰ πράσου χρηστέον. εἰς ὕστερον δὲ πρὸς ἀπόπτωσιν τῶν ἐσχάρας καταπλαστέον τῷ δι' ἄρτου ἢ κριθίνου ἢ πυρίνου ἀλεύρου, ἑψομένῳ ἐν ὑδρελαίῳ, τῷ τε κεφαλικῷ ξηρίῳ μετὰ μέλιτος. τῷ τε τετραφαρμάκῳ, καὶ τῷ μακεδονικῷ καλουμένῳ χρηστέον. χωρίζει δὲ καλῶς τὰς ἐσχάρας. ἄρτος μετὰ σελίνου λειωθείς, ἢ ὠκίμου. ἢ ἶρις ἢ πάναξ ἢ ἀριστολοχία. ἢ ἄκορον μετὰ μέλιτος. ἢ λίβανος. ἀφαιρεῖ δὲ καλῶς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον. καὶ ἡ ἶσις ἔμμοτα διὰ μέλιτος. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων, ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος.

Ἐκ τῶν Ὀρειβασίου πρὸς γαγγραίνας.

Ἰοῦ ξυστοῦ, μίλτου, σχιστῆς στυπτηρίας ἴσα ὕδατι λειάνας ἐπίχριε γαγγραίνας καταπλασσομένας περιχαράξει. αἴρινον ἄλευρον μετὰ ῥαφάνου καὶ ἁλῶν, ἔσθ' ὅτε καὶ ὄξους. σταφὶς ἀφῃρημένη τὰ γίγαρτα μετὰ φλοιοῦ, σὺν ἁλσὶ καὶ ὀξυμέλιτι. καρύων βασιλικῶν τὰ ἐντός. μυρσινόφυλλα ἐν οἴνῳ ἑφθὰ λεῖα μετὰ μέλιτος. ῥάφανος μετ' ὄξους, καὶ ἐσχάρας ἄχρι ὀστοῦ ῥήσσει.

Περὶ ἕρπητος. κ.

Χολῆς ξανθῆς ἀμιγοῦς ἑτέρου χυμοῦ ἀποκριθείσης κατά τι μόριον ἱσταμένης, τὸ πάθος ἕρπης ὀνομάζεται. εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη καὶ μᾶλλον δριμεῖα, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα. καὶ καλεῖται ἕρπης ἐσθιόμενος. εἰ δὲ λεπτή τε καὶ ἧττον δριμεῖα καὶ θερμή, φλυκταίνας μικρὰς ἐξ ἐπιπολῆς τοῦ δέρματος ἐγείρει κέγχροις ἐοικυίας. καὶ κεγχρίας ἕρπης ἐκ τῆς ὁμοιότητος ὀνομάζεται. κατὰ δὲ τὸν Ὀρειβάσιον φλέγματος ἐπιμιξία μετὰ τῆς ξανθῆς χολῆς, τὸν κεγχρίαν ἕρπητα ποιεῖ. κενώσωμεν οὖν τὸ σῶμα πᾶν διὰ χολαγωγοῦ φαρμάκου. τοῖς πεπονθόσι δὲ τόποις τὰ ψύχοντα καὶ ξηραίνοντα προσαγάγωμεν φάρμακα. κατ' ἀρχὰς μὲν ἕλικας ἀμπέλου, καὶ βάτου καὶ ἀρνογλώσσου καταπλάσσοντες. ὕστερον δὲ φακῆν τούτοις μιγνύειν ποτὲ καὶ μέλιτος καὶ ἀλφίτων. καὶ τὸ γεγραμμένον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα, χωρὶς τοῦ ἀειζώου. τὰ δὲ ἡλκωμένα,

τροχί-

τροχίσκοις ὑπογρίειν λυομένοις γλυκεῖ ἢ οἴνῳ λεπτῷ καὶ αὐστηρῷ μὴ παλαιῷ. ἢ ὀξυκράτῳ ὑδαρεῖ. προσφόρως δὲ καὶ γλαύκιον, καὶ τὰ τούτῳ παραπλήσια διὰ ὕδατος. μηδὲν δὲ ἀνιόντος, ὄξος παραπλέκειν. καὶ χυλῷ δὲ ἀρνογλώσσου ἢ στρύχνου διεὶς οἴνῳ μεγάλως ὀνίνησιν. ἢ λίνου σπέρμα φώξας καὶ ἑψήσας ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ λεάνας ἐπιτίθει. ἢ τὴν κιμωλίαν στρύχνου χυλῷ διεὶς κατάχριε. καὶ λιθαργύρου γο. δ'. καὶ πράσου χυλοῦ κο. ζ'. καὶ σεύτλου χυλοῦ τὸ ἴσον, κατάχριε λεάνας. χρονίων δὲ ἤδη ὄντων τῶν τοιούτων ἑλκῶν, ἐπιτήδειος ὅ,τε τῆς μούσης τροχίσκος. καὶ ὁ τοῦ ἄνδρωνος.

Ἄλλο. Πρὸς τὸν φλυκταινώδη ἕρπητα. σκωρίαν μολίβδου ἐν οἴνῳ αὐστηρῷ λεάνας καὶ καταχρίσας, ἐπάνω κατάπλασσε σεύτλου φύλλα ἐν οἴνῳ ἑφθά. ἢ κηροῦ γο. δ'. μυρσίνου γο. ις'. σκωρίας μολίβδου γο. δ'. οἴνῳ ἡμίσει κατάχριε. σταθείσης δὲ τῆς νομῆς, τῇ διὰ τῆς σκωρίας κηρωτῇ χρῶ. ἢ φακῷ ἑφθῷ, μετὰ μέλιτος κατάπλασσε. πρὸς δὲ τὸν ὑπὸ τὸ δέρμα ἕρπητα. σκωρίαν μολίβδου ἀναλαβὼν λείου πηγάνου χυλῷ. ἢ κηρωτὴν ἀντὶ πηγάνου μυρσίνην. Ἄλλο. Ἐρίου παλαιοῦ ἀπλύτου περὶ δαΐδα κεκαυμένου < ιβ. S. κηροῦ < κε. σκωρίας μολίβδου ὀξυβάφου < S. στέατος αἰγείου τεθεραπευμένου καὶ πεπλυμένου ἐφ' ὕδατι < κε. μυρσίνου γο. ε'.

Ἄλλο, πρὸς τοὺς ὀξέως νεμομένους. σιδίων γλυκείας ῥοιᾶς < ς'. λιθαργύρου < ς'. ἐρίου ἀπλύτου περὶ δαΐδα κεκαυμένου < γ'. κηροῦ < ιβ'. ψιμυθίου < η'. λιβάνου χιστῆς < α'. οἴνῳ καὶ μυρσίνῳ.

Περὶ ἐρυσιπέλατος. κα'.

Ἰδιαίτερον μὲν ὁ Γαληνὸς τὸν ἐξ αἵματος ζέοντός τε καὶ λεπτοῦ συνιστάμενον ὄγκον, ἐρυσίπελας ὀνομάζων. τὸν δὲ ἐξ ἀμφοῖν αἵματός τε καὶ χολῆς συνεστῶτα, προσηγόρευσεν ἐκ τοῦ ἐπικρατοῦντος χυμοῦ τὴν προσηγορίαν τῷ πάθει θέμενος. φλεγμονὴν μὲν γὰρ ἐρυσιπελατώδη, τοῦ αἵματος. ἐρυσίπελας δὲ φλεγμονῶδες, τῆς ξανθῆς ἐπικρατούσης ὀνομάζει χολῆς. κοινότερον δὲ τὸν ἐξ αἵματός τε καὶ χολῆς θερμοτέρων γενομένων συνιστάμενον ὄγκον, ἐρυσίπελας προσαγορεύει. καθ' ἑκάτερον δὲ τρόπον, οὐδὲν μέγα διοίσει πρός γε τὴν τῶν βοηθημάτων χρῆσιν. εἰδέναι δὲ χρὴ τῶν ἐρυσιπελάτων ἐργωδέστερα τυγχάνειν μάλιστα τὰ περὶ κεφαλήν. ὅθεν εἰ μὴ ἐμπράκτου τύχοι βοηθείας, ἐνίοτε καὶ πνίγει τοὺς πεπονθότας. εὐθὺς οὖν ἐξ ἀρχῆς τούτου φανέντος, φλέβα τέμνειν ἐν τῷ ἀγκῶνι. μάλιστα μὲν τὴν ὠμιαίαν. εἰ δὲ μὴ φαίνοιτο, τὴν εὑρισκομένην. εἰ δὲ διά τι κωλύοι μὴ φλεβοτομήσωμεν, καθάρσει χρηστέον διὰ χολαγωγοῦ φαρμάκου. ταύτῃ μέν γε κἀπὶ τῶν ἐν τοῖς ἄλλοις μέρεσιν ἐρυσιπελάτων χρηστέον. ἢ κλύσμασι δραστικωτέροις. καταχρίειν τε τοῖς ἐρυσιπέλασι, τὸ μὲν ἐπιῤῥέον, ἀποκρουομένους διὰ τῶν ψυχόντων. τὸ δὲ ἀθροισθὲν διαφοροῦντας, διὰ τῶν μετρίως θερμαινόντων τε καὶ ὑγραινόντων. πρὶν πελιδνὸν ἢ μέλαν γενέσθαι τὸ μόριον. φυλαττομένων ἀεὶ τῶν ἐπιχριομένων δίυγρον διὰ τὸ συχνότερον ἐξαλλάττεσθαι δι' εὐβαφῶν σπόγγων ἀποπλυνομένων τῶν πρώτων. ἡ γὰρ πολλὴ τοῦ μορίου πύρωσις ταχέως ἐξατμίζουσα, ταῦτα ξηραίνει. χρήζει δὲ τὰ ἐρυσιπέλατα καταρχὰς ὡς ἔφην τῶν ψυχόντων μεθ' ὑγρότητος ἄνευ στύψεως. οἷόν ἐστιν ἀείζωον, καὶ ἀνδράχνη, καὶ ψύλλιον. ὅ,τε ἀπὸ τῶν τελμάτων φακός, καὶ σέρις, καὶ κολοκύνθη, στρύχνον τε καὶ ὑοσκύαμος, καὶ θριδακίνη, καὶ γλαύκιον. ἔστι γε μὴν καὶ σέλινον καὶ τῆς ῥάμνου τὰ φύλλα καθ' αὑτὰ ἢ σὺν ἄρτῳ καταπλασσόμενα. αἵ τε διὰ ὕδατος πάνυ ψυχροῦ κηρωταί. μίγνυται δὲ καὶ ὀπίου τι τούτοις. καὶ χυλοῦ μήκωνος καὶ κωνείου, καὶ μανδραγόρου. καὶ γίνεται σύνθετα φάρμακα. καὶ γίνοιτο δ' ἂν ἡ κηρωτὴ κηρῷ τρακτῷ, ῥοδίνου τετραπλοῦ μιχθέντος, ἐξ ὀμφακίνου ἐλαίου χωρὶς ἁλῶν πεποιημένου. ἐν θυίᾳ τε μαλαττομένων αὐτῶν, ὕδατος παραχεομένου ψυχροῦ, ὅσον εἰσδέξασθαι δύναται. εἰ δὲ καὶ ὄξους λεπτοῦ καὶ διαυγοῦς βραχύ τι μίξαις, ἄμεινον ἐργάσῃ τὸ φάρμακον. καὶ ἄλφιτα δὲ μετά τινος τῶν εἰρημένων ψυκτικῶν βοτανῶν, ἐμψύχουσιν ἱκανῶς. καὶ φοίνικες λιπαροί, σύν τινι τούτων. καταχρίοιτο δ' ἂν τὸ μέρος καὶ ψιμυθίῳ ἢ κιμωλίᾳ ἢ κεραμικῇ γῇ, μετὰ στρύχνου. ἢ λιθαργύρῳ μετὰ ῥοδίνου. ἢ χαλκίτιδι, μετὰ ἐλαίου καὶ γλυκέος. ἢ ψιμυθίῳ μετ' ὄξους καὶ λυκίου. ἢ ἀκακίᾳ μετ' ὄξους. ἐνδιδούσης δὲ τῆς ζέσεως, χρηστέον ἁπλοῖς μὲν θείῳ ἀπύρῳ καὶ ἡδυόσμῳ μετ' ὀξυροδίνου, ἢ πηγάνῳ μετὰ ἀψινθίου καὶ ὄξους καὶ ἐλαίου. ἢ λιθαργύρῳ μετὰ χυλοῦ πράσου καὶ σεύτλου. συνθέτοις δέ, ἰδίως μὲν ἐν τῇ κεφαλῇ τούτῳ τῷ τροχίσκῳ. λιθαργύρου, ψιμυθίου, κρόκου, θείου ἀπύρου, ὀπίου μετὰ γλυκέος. κοινῶς δὲ πᾶσι. μίλτου σινωπικῆς, χαλκίτεως, μίσυος ὀπτοῦ ἰοῦ, χαλκάνθου χιστῆς. ἴσα ὀξεῖ χρῶ. Ἄλλο. Θείου ἀπύρου, ψιμυθίου, ὀπίου, ἀκακίας, ἴσα ὄξει. Κατάπλασμα πρὸς ἐρυσιπέλατα, ἕρπητας, ἀποστήματα, παρωτίδας, καὶ πυρίκαυτα. Ἀλθαίας νεαρᾶς φύλλων ἁπαλῶν λι. α'. ἑψήσας ἐν ὑδρελαίῳ τρῖψον καλῶς. καὶ προσβαλὼν ῥοδίνου γο. δ'. λιθαργύρου, ψιμυθίου ἀνὰ γο. β'. S. λείου πάλιν κοριάννου χυλῷ ἢ ἀειζώου ἢ στρύχνου. εἶτα ἐπιβαλὼν ψίχας ὡς ἐμπλαστρῶδες γενέσθαι,

κατάπλασσε. ἔμπλαστρον δὲ ταύτῃ κέχρηκα. κηκῖδος λι. α΄, μυρσίνου λι. α΄. κηροῦ γο. ε΄. λιθαργύρου γο. δ΄. ἰοῦ ξυστοῦ γο. β΄. ὄξει λειοῦται ἰὸς καὶ λιθάργυρος. Κηρωτὴ πρὸς ἐρυσιπέλατα καὶ κατακαύματα. Κηροῦ τραγικοῦ γο. δ΄. ῥοδίνου γο. γ΄. ᾠὰ ϛ΄. περδικιάδος γο. δ΄. παυσαμένης δὲ τῆς φλεγμονῆς ἢ χρονιζούσης, πρὶν πελιδνὸν γενέσθαι τὸ μόριον καταπλαττέσθω δι' ὠμῆς λύσεως. εἰ δὲ καὶ φθάσοι γενέσθαι πελιδνόν, ἀμυχαστέον τὰ μέρη, καὶ καταπλαστέον ἐπὶ πλεῖον, καὶ καταντλητέον δι' ὕδατος θερμοῦ γλυκέος. ἐνίοτε δὲ καὶ θαλάττης ἢ ἅλμης. καί ποτε καὶ τῷ καταπλάσματι μιγνύναι ἅλας. κἄπειτα τοῖς εἰρημένοις συνθέτοις χρηστέον προσέχοντας. ἐπιμενόντων γάρ, εἰς μεταβολὴν πύου ἢ εἰς σηπεδόνα, μετάπτωσις γίνεται.

Περὶ φύματος καὶ βουβώνων καὶ φυγέθλου. κβ.

Κατὰ μὲν τὸν Γαληνὸν ὁ βουβὼν καὶ τὸ φῦμα καὶ τὸ φύγεθλον ἀδένων εἰσὶ παθήματα. βουβὼν μέν, ἡ φλεγμονή. φῦμα δέ, ἡ πρὸς ἐκπύησιν ἐπιγινομένη φλεγμονὴ τοῦ ἀδένος. κατ' ἄλλους δέ τινας κοινῶς ἅπαντες οἱ ἐκφυόμενοι παρὰ φύσιν ἐν οἵῳ δήποτ' οὖν μορίῳ οἷον ἀποστηματώδεις ὄγκοι, φύματα προσαγορεύονται. φησὶ γὰρ Ἱπποκράτης. ὁκόσοισι φύματα ἐν τῇ οὐρήθρῃ ἐκφύεται, τουτέοισι διαπυησάντων καὶ ἐκραγέντων λύσις. οἱ μὲν οὖν ἐπὶ προσπταίσμασιν ἢ ἑτέροις ἕλκεσιν ἢ ὀδύναις συνιστάμενοι βουβῶνες, τῶν ἀκινδύνων εἰσί. οἱ δὲ ἐπὶ πυρετοῖς, οἳ δὴ μάλιστα λοιμικῶς συνεισπίπτειν εἰώθασι, κάκιστοι. ἄντε κατὰ τοὺς μηροὺς ἄντε κατὰ μασχάλας ἢ τράχηλον ὦσι γεγεννημένοι. ἀλλὰ τοὺς μὲν προτέρους ἐν ἀρχῇ καθάπερ ἁπάσας φλεγμονὰς διὰ τῶν ψυχόντων τε καὶ στυφόντων ἀποκρούεσθαι βοηθημάτων. ἤτοι σπόγγον ἐπιτιθέντας ἀπ' ὀξυκράτου, ἢ ἔριον δι' οἴνου καὶ ἐλαίου ὁμοτριβοῦς ἢ ῥοδίνου ἢ μηλίνου ἢ σχινίνου, ἢ μυρσίνου. κἄπειτα τοῖς διαφοροῦσι χρηστέον. εἰ δὲ καὶ ὅλον τὸ σῶμα πληθωρικὸν ᾖ, προκενωτέον αὐτό. ἀπερίττου δὲ ὄντος, τὸ μὲν ἕλκος ἐφ' οὗ γεγένηται προνοήσωμεν, ὡς ἐν τῷ περὶ ἑλκῶν εἰρήσεται. τὸν δὲ ἀδένα φλεγμαίνοντα παρηγορητέον ἐρίοις ἐν ἐλαίῳ τῶν χαλαστικῶν τινὶ δεδευμένοις. καὶ ὅλον δὲ τὸ κῶλον αὐτοῖς περιελιττέον. διαπυηθέντα δὲ τὸν ὄγκον, οὐ προχείρως διαιρεῖν. ἀλλὰ πειρᾶσθαι τοῖς κηρωτοειδέσι φαρμάκοις διαφορεῖν. ὁποῖόν ἐστι μάλιστα τὸ διὰ τῶν πράσου. καὶ τὸ βοτανικόν. μὴ γινομένης δὲ τῆς διαφορήσεως, ἐπὶ τὴν ῥῆξιν ἰτέον, ὁμοίως τοῖς ἄλλοις ἀποστήμασι. καὶ θεραπεύειν ὡς ἐκεῖνα. ἐπὶ δὲ τῶν ἐπὶ πυρετοῖς ἢ ἁπλῶς ἐπὶ πλήθει χυμῶν γινομένων. φυλάττεσθαι μὲν τὰ ἀποκρούοντα, διὰ τὸ μὴ παλινδρομεῖν ὠθουμένην εἰς τὸ βάθος τὴν ὕλην. ἀπὸ δὲ τῶν διαφορούντων εὐθέως ἄρχεσθαι. μηδενὸς δὲ κωλύοντος, οἷον ἡλικίας ἢ δυνάμεως, φλεβοτομία πρότερον ἀπ' ἀγκῶνος παραλαμβανέσθω. κατὰ δὲ τοῦ τόπου πυρίαις χρηστέον δι' ἀφεψήματος χαμαιμήλων ἢ ἀνήθων, ἤ τινος τῶν ὁμοίων. τὴν δὲ λοιπὴν τῶν φαρμάκων ὕλην, μάλιστα μὲν ἐκ τῶν πρὸς παρωτίδας ἐν τῷ τρίτῳ λελεγμένων μετενεγκτέον βιβλίῳ, οὐχ ἥκιστα δὲ κἀκ τῶν πρὸς φλεγμονὰς ἔναγχος εἰρημένων. ὥσπερ οὖν καὶ τὴν τῶν φυγέθλων θεραπείαν, ἐκ τούτων τε καὶ τῶν πρὸς ἐρυσιπέλατα λεχθέντων. ὁ δὲ ἀττικὸς ἀστὴρ πόα, ἣν καὶ βουβώνιον διὰ τοῦτο καλοῦσιν. οὐ μόνον καταπλαττόμενον, ἀλλὰ καὶ περιαπτόμενον, βουβῶνας ὠφελεῖν πεπίστευται. τὰ δὲ φύματα διαφορεῖ καταπλασσόμενα ἰδίως, ἀδίαντον, ἀτράφαξυς, ἑλξίνη, ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖσα, ἀμμωνιακὸν μετὰ μέλιτος μαλαχθὲν καὶ ἐπιτεθέν, ἰξὸς σὺν ῥητίνῃ κηρωτῇ. ῥήσσει δέ, πρόπολις, θέρμοι πικροὶ μετὰ ὄξους καταπλασθέντες. σικύου ἀγρίου ῥίζα τερεβινθίνῃ ἀναληφθεῖσα. κάππαρεως ῥίζα ὁμοίως. νίτρον μετὰ ζύμης ἢ σύκων.

Περὶ δοθιήνων. κγ.

Καὶ ὁ δοθιήν, ὄγκος ἐστὶν ἀποστηματώδης ἐκ παχέων χυμῶν, ἐν τοῖς σαρκώδεσι μάλιστα τόποις, συνιστάμενος. ἐπιεικὴς μὲν ὑπάρχων, ὅταν ἂν ἐν αὐτῷ μόνῳ συνίσταται τῷ δέρματι. κακοήθης δέ, ὅταν ἐκ πλείονος ἀνίσχῃ βάθους. διαφοροῦσι δὲ τοὺς δοθιῆνας καὶ πέπτουσι πυροὶ μασσώμενοι καὶ ἐπιτιθέμενοι, μαστίχη αἰγυπτία, σταφίδες ἐκγιγαρτωθεῖσαι καὶ σὺν ἁλσὶ τριβεῖσαι καὶ καταπλασθεῖσαι. ἅλας ἢ διαχεῖ, ἢ ῥήσσει. ἢ ἰσχάδας ἑφθὰς ἐν ὑδρομέλιτι ἐπιτίθει. ἢ ταῖς ἰσχάσι μίξας ῥητίνην ἐπιτίθει. ἢ αὐτὰς τὰς ἰσχάδας ὅταν ὦσι λιπαραί, σχίσας. ἢ ζύμην μετὰ νίτρου. ἢ λινόσπερμον μετὰ μέλιτος. ἢ ὑοσκυάμου φύλλα λεῖα μετὰ βουτύρου. σύνθετα δὲ τό, τε διὰ ζύμης καὶ τὸ διὰ γύρεως, καὶ τὸ ἰδίως δοθιηνικὸν προσαγορευόμενον ἁρμόσει. πυρία δὲ μαλακοῖς σπόγγοις, συνεχῶς εἰς θερμὸν ὕδωρ ἀποβάπτων. εἶθ' οὕτως ἐπιτίθει τὰ φάρμακα.

Περὶ τερμίνθου. κδ.

Ὁ μὲν Ὀριβάσιος, φύματος εἶδος φησὶ τὴν τέρμινθον. ἐπικεῖσθαι δὲ αὐτῇ ἄνω κάτω φλύκταιναν μέλαιναν. ἧς ἐκραγείσης τὸ ὑπὸ κάτω ὅμοιον ἀποσεσυρμένῳ φαίνεσθαι. τούτου δὲ διαιρεθέντος, πῦον ἀνευρίσκεσθαι. Διοσκορίδης δὲ ὁ Ἀλεξανδρεύς φησί. τερέβινθοι εἰσίν, ὑπεροχαὶ

ἐπὶ

ὑπὸ τὸν χρῶτος συνιστάμεναι, στρογγύλαι, μελανόχλωροι, ἐοικυῖαι τερεβίνθου καρπόν. καὶ ταύτας οὖν παραπλησίως τοῖς ἄλλοις φυματώδεσιν ὄγκοις θεραπευτέον, ἐκ τῶν εἰρημένων μεταφέροντα τὰ βοηθήματα.

Περὶ ἀνθράκων. κε'.

Τοῦ αἵματος μελαγχολικωτέρου γενομένου καὶ ζέσαντος, ἐνσκήψαντός τε μορίῳ τινί, τοὺς ὀνομαζομένους ἄνθρακας γίνεσθαι συμβαίνει. ἅπερ εἰσὶν ἐσχαρώδη ἕλκη. τὰ πολλὰ μὲν ἀπὸ φλυκταίνης ἀρχόμενα, τοῖς πυρικαύτοις ἐμφερῶς. ἐνίοτε δὲ καὶ χωρὶς ταύτης. ἀνακνῶνταί γε πάντως ἐν ἀρχῇ τὸ μόριον. εἶτα ποτὲ μὲν μία φλύκταινα. ποτὲ δὲ πλείους ἐπανίστανται λεπταί, καθάπερ κέγχροι τινές. ὧν ἐκρηγνυμένων, ὁμοίως ἐσχαρῶδες ἕλκος γίνεται, παραπλήσιον τοῖς ὑπὸ καυτηρίων γινομένοις, ποτὲ μὲν τεφρώδους τῆς ἐσχάρας φαινομένης, ποτὲ δὲ μελαίνης. σὺν τῷ προσέχεσθαι τῇ βάσει, καὶ τρόπον τινὰ προσηλῶσθαι μετὰ νομῆς. ἡ δὲ ἄλλη σὰρξ ἡ πέριξ. φλογώδης ἰσχυρῶς καὶ μέλαινα τῇ χροιᾷ γίνεται, καὶ στίλβουσα, παραπλησίως ἀσφάλτῳ καὶ πίττῃ. τοιαύτη δὲ ἐστὶν ἡ ἀκριβῶς μέλαινα χολή. ἀλλ' οἱ μὲν περὶ τῇ σαρκὶ συστάντες ἄνθρακες, συντόμως περιγράφονται. οἱ δὲ κατὰ τῶν ὑμένων ἢ τῶν νεύρων γινόμενοι, μέχρι πολλοῦ παραμένουσιν. καὶ τὰς συμπαθείας τοῖς ὑποκειμένοις μεταδιδόασι τόποις, ὥστε καὶ φλεγμονὰς ἐρυσιπελατώδεις αὐτοῖς γίνεσθαι. οὐκ ὀλίγοις δέ, καὶ εἰς διαπύησιν ἐτράπη. τοῖς δὲ πλείστοις, καὶ πυρετοὶ συνεδρεύουσι. γίνονται δὲ καὶ κατά τινας ἐπιδήμους αἰτίας οἱ ἄνθρακες. θεραπεύειν οὖν αὐτοὺς εἰ μὴ μικροὶ παντελῶς εἶεν, ἀπὸ φλεβοτομίας, κενοῦντας αὐτοὺς μέχρι λειποθυμίας. καὶ ἀποσχάζειν δὲ μετὰ φλεβοτομίαν οὐκ ἀνάρμοστόν ἐστι βαθυτέραις ἀμυχαῖς διὰ τὸ τοῦ χυμοῦ πάχος. κατὰ δὲ τοῦ πεπονθότος τοῖς ἀποκρουομένοις μετρίως καὶ διαφοροῦσι χρησώμεθα. τοιοῦτο δέ ἐστι. τὸ διὰ ἀρνογλώσσου καὶ φακῆς ἑφθῆς κατάπλασμα. λαμβάνομεν ἄρτου κλιβανίτου τὸ ἁπαλόν, μήτε ἄγαν καθαροῦ μήτε ῥυπαροῦ. κατ' αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιθήσομεν τῶν σφοδρῶν τι φαρμάκων. οἷόν ἐστι τό, τε ἄνδρωνος καὶ πολυείδου καὶ τὸ πασίωνος, ἀνιέντες αὐτὰ γλυκεῖ, μέχρι γλοιώδους συστάσεως. καὶ τὸ μασσαλεωτικὸν ξηρόν, εἰ καὶ αὐτὸ παραπλησίως ἀνειμένον. καὶ ῥίζα δὲ δρακοντίου ἢ ἀριστολοχίας, ἢ ὀπὸς σιλφίου ἢ κυρηναϊκοῦ, ἕκαστον δι' ὄξους, καλῶς ἂν καταχρισθείη. τὰ δὲ ἐρυσιπελατώδη, τοῖς πρὸς ἐρυσιπέλατα καταχριέσθω. τὰ δέ γε περὶ συμπαθείας ὕποπτα τῶν μορίων, ἐμβρεκτέον οἰσυπηροῖς ἐρίοις δι' οἰνελαίου. παυσαμένης δὲ τῆς φλογώσεως. κατὰ τῶν ἀνθράκων ἐπιρριπτέον κεφαλικὰς κηρωτάς, ἀνειμένας ἐμμότους. καλὴ δὲ μάλιστα ἡ διὰ βοτανῶν. καὶ ἡ διὰ νίτρου. καὶ τὰ πρὸς νομὰς ξηρὰ κατ' ἰδίαν καὶ μετὰ ῥοδίνου. ἐπιμενούσης δὲ τῆς σκληρίας. χρηστέον τῇ μηλίνῃ σεραπίωνος. σπουδαστέον μέντοι ὡς ὅτι τάχιστα διαπυΐσκειν τοὺς ἄνθρακας, δὶς μὲν τῆς ἡμέρας, ἅπαξ δὲ τῆς νυκτὸς ἀλλάσσοντα τά τε καταπλάσματα καὶ φάρμακα. πρὸς δὲ τὸ ἐκριζῶσαι τοὺς ἄνθρακας καὶ ἀπολῦσαι τῆς πρὸς τὰ παρακείμενα συνεχείας, ῥοιὰς ὀξείας κατασχίσας ἕψε ἐν ὄξει, καὶ τακερὰς λειοτριβήσας, ἔμπλασον εἰς ὀθόνιον καὶ ἐπιτίθει. ξηραινόμενον δὲ ὑγραινέσθω τῷ ὄξει. ἄνθρακας πυοποιεῖ καὶ ῥήσσει. κάρυου βασιλικοῦ παλαιοῦ τὸ ἐντός, ἢ καὶ μὴ παλαιοῦ. κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοί. καὶ τὰ νέα καὶ ἁπαλὰ σφαιρία σὺν ἀλφίτοις. σταφὶς ἐκγιγαρτισθεῖσα. ἰσχάδες ἑφθαὶ ἐν οἴνῳ. μήκωνος κερατίτιδος ἄνθη. ὀπὸς σιλφίου μετὰ πηγάνου καὶ ὀλίγου μέλιτος. ὑγρόπισσον σὺν σταφίδων καὶ ὑείῳ στέατι.

Πρὸς ἄνθρακας πάνυ καλόν.

Λιθαργύρου λι. α'. ἐλαίου παλαιοῦ λι. α'. S. ἀρσενικοῦ Γο. α'. ἑψήσας ἔλαιον καὶ λιθάργυρον ἕως ἀμολύντου, καὶ ἐπάρας ἐπίβαλλε τὸ ἀρσενικόν. καὶ πάλιν ἕψε ἕως μέλαν γένηται. καὶ λειώσας εἰς θυΐαν, χρῶ ἐμμότῳ.

Πρὸς γαγγραίνας, παλαιὰ ἕλκη, χειρώνια, χοιράδας, ποδάγραν τε. δαιμονίως δὲ πρὸς ἄνθρακας. πρὸς τοὺς ἐν βλεφάροις ἄνθρακας.

Ὀπίου, ἀκακίας, μίσυος ὀπτοῦ, λεπίδος χαλκοῦ ἀνὰ <. β'. χαλκάνθου <. α'. ὑοσκυάμου σπέρματος <. α'. λεάνας ἐν ὕδατι χρῶ. ποιεῖ δὲ καλῶς φησὶ καὶ ἡ τετραφάρμακος, ἔχουσα τὸ πέμπτον λιβάνου. πρὸς δὲ τοὺς ἐν αἰδοίοις ἄνθρακας. χαλκίτεως, χαλκάνθου ἀνὰ <. η'. ἀφονίτρου <. β'. μεθ' ὕδατος λεάνας χρῶ. ποιεῖ δὲ καὶ κόπρος προβατεία φωχθεῖσα μετὰ μέλιτος. ἐν ἀλεξανδρείᾳ τῇ σεραπιάδι, ἥ τις καὶ ὄρχις καὶ τριόρχις ὀνομάζεται, χλωρᾷ μετὰ ψιχῶν, ὡς καταπλάσματι χρῶνται πρὸς ἄνθρακας καὶ πάντα τὰ ἐσχαρώδη. ἐκπεσούσης δὲ τῆς ἐσχάρας, ὡς ἕλκος κοινὸν θεράπευε.

Περὶ καρκίνων. κϛ'.

Ἐν παντὶ μὲν τοῦ σώματος μέρει πέφυκεν ὁ καρκῖνος γίνεσθαι. καὶ γὰρ ἐν ὀφθαλμοῖς καὶ

ὑστέρᾳ, ὡς ἐν τοῖς περὶ αὐτῆς εἴρηται λόγοις. καὶ ἐν ἄλλοις δὲ πλείοσι μορίοις. ἀλλ' ἐν τοῖς τιτθοῖς μάλιστα τῶν γυναικῶν πλεονάζει, διὰ τὸ χαύνους ὄντας ἑτοίμως εἰσδέχεσθαι τὴν ὕλην παχυτάτην ὑπάρχουσαν. ἐκ μελαίνης γὰρ χολῆς ζεούσης οἱ καρκῖνοι συνίστανται. καὶ εἰ δριμυτέρα τύχοι, μεθ' ἑλκώσεως. διὰ τοῦτο καὶ κατὰ τὴν χροιὰν μελάντεροι τῶν φλεγμονῶν εἰσὶ, χωρὶς θερμότητος τοσαύτης. αἱ φλέβες δὲ πληροῦνταί τε καὶ τείνονται πέριξ, παραπλησίως τοῖς τοῦ καρκίνου τοῦ ζώου ποσίν. ὅθεν καὶ τῆς ὀνομασίας ταύτης τετύχηκεν. τινὲς δὲ φασὶ διὰ τὸ δυσαπολύτως ἔχεσθαι τῶν μορίων ὧν ἂν λάβηται, καθάπερ ὁ καρκῖνος τὸ ζῶον. διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ τούτου καὶ ἀνίατος ὁ καρκῖνός ἐστιν, μήτε ἀποκρουσθῆναι δυνάμενος, μήτε διαφορηθῆναι. μήτε δὲ τῆς ὅλου τοῦ σώματος εἴκων καθάρσεως. ἢ καὶ τῶν μὲν πρᾳοτέρων φαρμάκων ἐπιτιθεμένων καταφρονῶν, ὑπὸ δὲ τῶν σφοδροτέρων παροξυνόμενος. δυνατὸν μέντοι τοὺς ἀρχομένους καρκίνους κωλύειν αὔξεσθαι, τὸν μελαγχολικὸν χυμὸν κενοῦντας, πρὶν ἐν τῷ πεπονθότι μορίῳ στηριχθῆναι. κενώσωμεν δὲ, πρῶτον μὲν εἰ μή τι κωλύοι διὰ φλεβοτομίας, ἔπειτα δὲ διὰ καθάρσεως. καταρχὰς μὲν τοῖς ἁπλουστέροις. οἷόν ἐστι τὸ ἐπίθυμον πλῆθος ʒο. δ. S. ἐν ὀῤῥῷ γάλακτος ἢ μελικράτῳ δίδομεν. εἰς ὕστερον δὲ διὰ τῆς ἱερᾶς τὸν μέλανα λαμβανούσης ἐλλέβορον. ἐπὶ δὲ τοῦ πεπονθότος τόπου προσφερόμενον ἀλύπως ποιεῖ τοῖς ἡλκωμένοις. στρύχνου χυλὸς, ὀθονίου μαλακοῦ διπτύχου δευομένου ἐν αὐτῷ, καὶ ἐπιτιθεμένου. δεῖ δὲ ἔξωθεν κατ' αὐτοῦ ἔριον ἁπαλὸν περιβάλλειν, δευόμενον καὶ αὐτὸ τῷ χυλῷ. καὶ προνοεῖν ὅπως μὴ ξηρανθείη ταῦτα, συνεχέστερον ἐπαντλουμένου τοῦ χυλοῦ. χρήσαιτο δ' ἄν τις χρονίως ἐπὶ τῶν ἡλκωμένων καρκίνων, καὶ τῷ διὰ πομφόλυγος. οὐκ ἀνάρμοστα δὲ καὶ τὰ κατὰ τὸ τρίτον περὶ τῶν ἐν ὑστέρᾳ καρκίνων λελεγμένα βοηθήματα. Πρὸς τὰ καρκινώδη, καὶ κακοήθη. πρός τε τὰ ἐν ἕδρᾳ στολιδώδη. καὶ τὰς ἐν αἰδοίοις ἢ ὄρχεσιν ἢ μαστοῖς φλεγμονάς. ἐν μολιβδίνῳ ἰγδίῳ καὶ δοίδυκι μολιβδίνῳ, λημνίαν σφραγίδα δι' ὀξυκράτου καὶ μελικράτου ἢ γάλακτος ἐκτρίψας, ὥστε μελανθῆναι. ἢ ῥόδινον ἢ ὀμφάκιον ἔλαιον, ἢ χυλὸν ἀειζώου, ἢ κοτυληδόνος ἢ θριδακίνης ἢ ψυλλίου ἢ ὀμφακίου, τρίψας ὁμοίως κατάχριε. διαιτάσθω δὲ ὁ κάμνων ἔν τε χυλῷ πτισάνης πλεονάζων καὶ γάλακτος ὀῤῥῷ. καὶ λαχάνων μαλάχῃ, καὶ ἀτραφάξυϊ, βλίτῳ τε καὶ κολοκύνθῃ. καὶ τοῖς πετραίοις τῶν ἰχθύων. καὶ ὀρνέοις ἅπασιν πλὴν τῶν ἑλείων.

Ἀρχιγένους πρὸς καρκινώδη, καὶ κακοήθη ἕλκη.

Καρκίνων ποταμίων κεκαυμένων καὶ καδμείας ἴσα λεῖα ἐπίπασσε. ἢ τὴν σποδὸν τῶν καρκίνων μετὰ κηρωτῆς ἐπιτίθει. ἐρυσίμου σπέρμα, λεῖον σὺν μέλιτι ἐπιτίθει.

Περὶ οἰδήματος. κζ.

Περὶ τῶν ἐπὶ θερμοτέροις χυμοῖς συνισταμένων ὄγκων διαλαβόντες, αὖθις περὶ τῶν ἐναντίων διαληψόμεθα. τὴν ἀρχὴν ἀπὸ τοῦ οἰδήματος ποιούμενοι. ὥσπερ γὰρ ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας, οὕτως ἐπὶ φλεγματώδει, τὸ οἴδημα γίνεται, χαῦνός τις ὄγκος ὑπάρχων ἀνώδυνος. ἴσμεν δὲ δήπου, καὶ ἄλλως οἰδήματα γινόμενα περὶ τοῖς ποσὶν, ἐν ὑδερικαῖς διαθέσεσι, καὶ φθόαις καὶ καχεξίαις. ἐπ' ἐκείνων μὲν οὖν σύμπτωμά ἐστιν τὸ οἴδημα τοῦ κατέχοντος πάθους τὸν ἄνθρωπον, οὐδεμιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον. ἀρκεῖ γὰρ εἴπερ ἄρα τηνικαῦτα τρίβειν τὰ σκέλη. ποτὲ μὲν δι' ὀξυροδίνου, ποτὲ δὲ δι' ἐλαίου καὶ ἁλῶν. ἢ καὶ αὐτὸ τὸ ὀξυρόδινον τῶν ἁλῶν ἐπεμβάλλοντα. διὰ δὲ τὸν φλεγματώδη χυμὸν ἐπιῤῥυέντα μορίῳ συστάντος οἰδήματος. ἱκανὸς ἐνίοτε καὶ σπόγγος ὀξυκράτῳ βραχεὶς καὶ ἐπιτεθεὶς μετ' ἐπιδέσεως ἠρέμα σφιγγούσης, ἐκ τῶν κάτω μερῶν ἀρχομένης, τελευτώσης δὲ εἰς τὰ ἄνω. καινὸν δὲ χρὴ εἶναι τὸν σπόγγον. εἰ δὲ μὴ παρῇ τοιοῦτος, ἐκκαθαίρειν τὸν παρόντα νίτρῳ, καὶ μᾶλλον τῇ καλουμένῃ στακτῇ κονίᾳ. μὴ καθαιρουμένου δὲ ἐπὶ τούτοις τοῦ οἰδήματος, βραχύ τι στυπτηρίας μιγνύειν. ἐπιτήδειον δὲ καὶ τὸ ἁπαλώτατον ἐλλύχνιον ὑγρότητι τοιαύτῃ δευόμενον, καὶ ἐπιτιθέμενον. καλὸν δὲ καὶ τὸ γλαύκιον. κεχρονικὸς δὲ οἴδημα, προϋπαλείψας ἐλαίῳ τὸ μόριον, εἶτα ἐπιθεὶς σπόγγον ἐκ κονίας, καὶ σφίγξας βιαιότερον, θεραπεύσεις. διαφορεῖ δὲ καὶ προστέλλει τοὺς οἰδηματώδεις ὄγκους, γῆ πᾶσα καταχριομένη. καὶ μᾶλλον ἡ αἰγυπτία. καὶ ἴσατις ἥμερος.

Περὶ ἐμφυσήματος. κη.

Πνεύματος φυσώδους. ποτὲ μὲν ὑπὸ τῷ δέρματι, ποτὲ δὲ ὑπὸ τοῖς περιοστέοις ὑμέσιν, ἢ τοῖς τοὺς μῦς περιέχουσιν ἀθροιζομένου, τὸ ἐμφύσημα γίνεται. ἀθροίζεται δέ ποτε καὶ κατὰ τὴν γαστέρα, καὶ τὰ ἔντερα, καὶ μεταξὺ τούτων τε καὶ τοῦ περιτοναίου κατὰ τοὺς τυμπανίας προσαγορευομένους ὕδερους. καὶ διαφέρει γε τῶν οἰδημάτων, τῷ πρὸς τὸ μὴ βοθροῦσθαι καθάπερ ἐκεῖνα πιεζόμενα, καὶ ψοφεῖν ὥσπερ τύμπανον. συνεργεῖ δὲ τὸ μὴ διαπνεῖσθαι τὸ πνεῦμα, τῶν σωμάτων ἡ πυκνότης, ἅμα τῷ καὶ αὐτὸ παχυμερὲς εἶναι τὸ πνεῦμα. ὅθεν καὶ ὁ σκοπὸς τῆς θεραπείας.

θεραπείας, ἀραίωσις μὲν τῶν σωμάτων, λέπτυνσις δὲ τοῦ πάχους τοῦ πνεύματός ἐστι διὰ τῶν λεπτομερῶν τε καὶ θερμῶν ἐπιτελουμένη φαρμάκων. ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα καὶ τὰ σπλάγχνα, λεπτομερὲς ἔλαιον ἐργάζεται τοῦτο, πήγανον ἐναπεζεσμένον ἔχον ἢ κύμινον, ἢ σελίνου σπέρμα. καίποτε καὶ σικύα μεγάλη χωρὶς ἀμυχῶν περὶ τὸν ὀμφαλὸν δὶς ἢ τρὶς τεθεῖσα διεφόρησε. τῶν μυῶν δὲ διὰ θλάσιν ὥσπερ ἐπικρούσμασιν ἐμπεφυσημένων, ἐπὶ τοῖς ἄγαν θερμοῖς καὶ δριμέσιν ἀγανακτεῖν συμβαίνει τὰ μόρια. διὸ κατ᾽ ἀρχὰς μὲν τοῖς παρηγορικοῖς δεῖ πλεονάζειν, παρακμῆς δὲ γινομένης τοῖς διαφοροῦσι. χρηστέον τοίνυν τῷ ἀφεψήματι μετ᾽ ἐλαίου βραχέως, ἀναλαμβάνοντας οἰσυπηροῖς θερμὰ, ἢ καὶ τὴν δι᾽ ὑσσώπου κηρωτὴν ἐπιμιγνύντας. καὶ φροντίζειν ὅπως ἂν θερμότης παραμένῃ. ψύχεσθαι γὰρ οὐ συμφέρει. παρηγορηθέντος δὲ τοῦ κάμνοντος, ὄξους παραμιγνύναι καὶ νίτρου ἢ ἀφρονίτρου. εἶτα μετὰ ταῦτα καὶ τῆς σακτῆς κονίας. εἰς ὕστερον διαφορητικαῖς ἐμπλάστροις εἰς ἀποκατάστασιν χρῆσθαι, οἷα ἐστὶ καὶ ἡ ὑποτεταγμένη. γλοιὸν ἀρξέτας ἤθησον πρῶτον ὡς καθαρὸν γενέσθαι, καὶ πάλιν ἔμβαλον τῇ κακκάβῃ, καὶ λεάνας σβεστὸν τίτανον ὡς ἄλευρον, καὶ ἔμπλασσε μέχρι πηλώδους συστάσεως, καὶ χρῶ. τούτου δὲ δραστικώτερόν ἐστι τὸ διὰ συκομόρων σύνθετον φάρμακον.

Πρὸς στρέμματα καὶ θλάσματα, κθ.

Πρὸς τὰ περὶ τοῖς ἄρθροις στρέμματα καὶ θλάσματα ποιεῖ ἔρια οἰσυπηρὰ, ἢ σπόγγος ὀξελαίῳ βρεχόμενος καὶ ἐπιτιθέμενος. βολβῶν ἑφθῶν τὰ ἁπαλὰ μετὰ μέλιτος. ἄγνου φύλλα, καὶ ἅλας, καὶ νίτρον ὀπτὸν, λεῖα μετὰ κηρωτῆς. χρῶ δὲ καταντλήσει ὕδατος γλυκέος, ἢ θαλασσίου θερμοῦ. μετὰ δὲ τὸ παύσασθαι τὴν φλεγμονὴν καὶ τοὺς πόνους, καὶ ἀνατρίψει χρῶ τῶν ἐστραμμένων μορίων.

Περὶ σαρκοθλασμάτων καὶ ἐκχυμωμάτων. λ.

Σαρκὸς θλασθείσης ὑπό τινος βαρέος ἐμπεσόντος, καὶ τῶν μικρῶν ἐν ταύτῃ φλεβίων διαιρεθέντων, αἷμα προχεῖται κατὰ διαπήδησιν. ὅθεν ἀθροιζόμενον ὑπὸ τῷ δέρματι ποιεῖ τὸ καλούμενον ἐκχύμωμα. μὴ διαιρεθέντος τοῦ δέρματος, ὥσπερ ὄγκος εὐαφὴς εἴκων ἔπεστι, πελιδνὸς, ἀνώδυνος τὰ πολλά. σκοπὸς μὲν οὖν ἐστὶν ἡμῖν διαφορῆσαι τὸ περιεχόμενον αἷμα, καὶ τοῦτο συντόμως, πρὶν μελανθῆναι. κατ᾽ ἀρχὰς δὲ, καὶ τῶν στυπτικῶν τι παραπλέκειν χρὴ τοῖς διαφοροῦσιν, διὰ τὸ τοὺς χιτῶνας τῶν φλεβίων τεθλασμένους ἔχειν χρῄζειν πυκνώσεως. μετὰ δὲ ταῦτα καὶ χωρὶς τῶν στυφῶν τοῖς διαφορητικοῖς μόνον χρησόμεθα. καὶ ἀρχαΐζοντες δὲ ἐν ἀρχῇ τὰ ἐκχυμώματα, οὕτω τὴν ἑξῆς θεραπείαν προσαγάγωμεν. πρὸς δὲ τὰ χρόνια τῶν ἐκχυμωμάτων, ῥάφανος καταπλασσομένη ποιεῖ. διαφορεῖ δὲ αὐτὴν, ὅταν ἄρξηται δάκνειν. ἢ ῥεφανίνων χυλὸς καταπλασσόμενος μετὰ ψιχῶν. εἴδη δὲ τοῦ ἐκχυμώματός ἐστι, τά τε καλούμενα ὑπώπια, καὶ τὰ ὑποσφάγματα. καὶ ἡ κατὰ τοὺς ὄνυχας ἐπιδρομὴ τοῦ αἵματος, ἐκ πληγῆς γινομένη. περὶ ὧν ἐν τοῖς ἰδίοις εἴρηται τόποις, κατὰ τὸ τρίτον βιβλίον, περὶ δὲ τῶν ἐν τοῖς ὄνυξιν, κἀν τοῖς χειρουργουμένοις εἰρήσεται.

Περὶ ῥήγματος καὶ σπάσματος. λα.

Τὰ ῥήγματα, σὺν ἐκχυμώσει μὲν γίνεται πάντως. ἰᾶται δὲ αὐτὰ τῶν φαρμάκων τὰ μετρίως θερμαίνοντα. τοιοῦτον δὲ ἐστὶ τὸ διὰ τῶν αἰγείρων ἄκοπον, καὶ ὅσα τούτῳ ὅμοια. δεῖ δὲ ἐπὶ τῶν ἐν βάθει τοῦ σώματος ῥηγμάτων δριμύτερα καὶ τμητικώτερα προσφέρειν τὰ φάρμακα. ὠφέλιμος δὲ τούτοις καὶ ἡ τῆς σικύας χρῆσις. ἐὰν μὲν οὖν εὐθὺς διαφορηθῇ τὸ ὅλον ἐκχύμωμα, συμφύεται ῥᾳδίως ἡ διεστῶσα σάρξ. ἐὰν δὲ χρονίσῃ καὶ ῥύπος ὑποτραφῇ, συμφῦναι τὸ ῥῆγμα λοιπὸν ἀδύνατον, παρατιθέναι δὲ ἀλλήλοις τὰ χείλη μόνον, ὡς καὶ μικρὰν πρόφασιν ῥᾳδίως αὐτὰ διιστᾶν, ἐμπίπλασθαί τε τὴν μεταξὺ χώραν αὐτοῦ ὑγρότητός τινος, καὶ τρόπον τινὰ συνεχῶς ἐκχύμωμα γίνεσθαι παραπλήσιον τῷ κατ᾽ ἀρχάς. πλὴν ὅτι θᾶττον ἐκείνου διαφορούμενον, ἅ τε ἰχῶρα λεπτὸν περιέχον τοῦ κατ᾽ ἀρχὰς ἐξ αἵματος συνισταμένου. Τὸ δὲ σπάσμα γίνεται, διασπωμένων τινῶν ἰνῶν. καὶ παρηγορίας μόνης δεῖται ἄχρι ἀνωδυνίας. κολληθῆναι γὰρ αὐτὰς οὐ δυνατόν. ἀριστολοχία τοίνυν στρογγύλη, ῥήγμασιν καὶ σπάσμασιν εἴπερ τι ἄλλο ἐπιτήδειον. ὁμοίως κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα, καὶ ὁ χυλὸς αὐτοῦ ῥέον, κόστος, βδέλλιον, σὺν ὀξυμέλιτι πινόμενα.

Περὶ σκίρρων. λβ.

Ὁ μὲν ἀκριβὴς σκίρρος, ὄγκος ἐστὶν παρὰ φύσιν ἀναίσθητός τε καὶ σκληρός. ὁ δὲ οὐκ ἀκριβὴς, δυσαίσθητος. καὶ ὁ μὲν ἀναίσθητος, ἀνίατος. ὁ δὲ δυσαίσθητος, οὐκ ἀνίατος μὲν, οὐ μὴν εὐίατος. γίνεται γὰρ ὑπὸ γλίσχρου καὶ παχέος χυμοῦ, δυσλύτως ἐμπλαττομένου τοῖς σκιρρουμένοις μορίοις. ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς συνίσταταί τε καὶ αὔξεται. τὰ πολλὰ δὲ ὑπὸ τῆς

ἰατρῶν κατασκευάζεται, ψυξάντων τε καὶ συμψάντων σφοδρῶς ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιρρουμένοις σώμασι προσφέρει φάρμακα, καὶ σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίρρου χρόνῳ βραχεῖ, τὸ λοιπὸν τοῦ πάθους λείψανον ἀνίατον ἐργάσεται. τῆς μὲν λεπτοτέρας ὑγρότητος διαφορηθείσης, τῆς δὲ λοιπῆς ἀποξηρανθείσης καὶ οἷον λιθώδους γεγενημένης. χρὴ τοίνυν τὸ διαφορητικὸν φάρμακον ἔχειν τι καὶ μαλακτικὸν, ἄνευ τοῦ θερμαίνειν τε καὶ ξηραίνειν ἰσχυρῶς. τοιοῦτοι δέ εἰσι, μυελοί τε σύμπαντες καὶ μᾶλλον ὁ ἐλάφειός τε καὶ μόσχειος. στεάτων δὲ, τό, τε λεόντειον, καὶ τὸ τῆς παρδάλεως, καὶ τὸ τῆς ἄρκτου, εἶτα τῶν ταύρων, ἐν δὲ τοῖς ὀρνέοις, τό, τε χήνειον καὶ τὸ τῆς ἀλεκτορίδος, καὶ φασιανικόν. ξηρότερον τε τὸ τῶν αἰγῶν τε καὶ τῶν τράγων. ἔτι τε πρὸς τούτοις, ἀμμωνιακὸν θυμίαμα, καὶ βδέλλιον, μάλιστα τὸ σκυθικὸν, καὶ στύραξ ὁ ὑγρότερός τε καὶ λιπαρὸς, καὶ ἡ αἰγυπτία μαστίχη. ἐπὶ μὲν οὖν τῶν ἄλλων μορίων σκιρρωθέντων, ἑκάστοτε τούτων κατ᾽ ἰδίαν χρηστέον, καὶ τοῖς ἐξ αὐτῶν συντιθεμένοις φαρμάκοις. ἐπὶ δὲ τῶν τενόντων τε καὶ συνδέσμων, ὄξει δριμυτάτῳ δεῖ σβεννύειν προπυρωθέντα λίθον. εἰ μὲν οἷόν τε τὸν πυρίτην. εἰ δὲ μή, τὸν γοῦν μυλίτην. ἐφ᾽ οὗ τὸ πεπονθὸς μόριον χρὴ διακινεῖν, ὅπως τὸν ἀναφερόμενον ἀτμὸν δέχοιτο. καὶ μετὰ τοῦτο πάλιν τὸ μαλακτικὸν ἐπιτιθέναι φάρμακον. ἐλαίῳ τε μὴν λεπτομερεῖ ἀπαρχῆς, οὐχ ὕδατι τὸ μόριον ἀπαντλεῖν ἄχρι παντὸς ἑκάστης ἡμέρας, ἐναφεψόντας ἐνίοτε τῷ ἐλαίῳ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν ἢ τοῦ ἀγρίου σικύου. λουτροῦ δὲ τὸ παράπαν ἀφεκτέον αὐτοὺς, ἤγουν τοῦ συχνοῦ. μετρίως δὲ τοῦ σκίρρου μαλαχθέντος. ἀμμωνιακὸν τὸ λιπαρώτατον διέντες ὄξει δριμυτάτῳ καταχρίομεν τὸ μόριον, ἄχρι συχνῶν ἡμερῶν. μεθ᾽ ἃς πάλιν τῷ μαλακτικῷ χρηστέον, προσειληφότι χαλβάνης τε καὶ ὀποπάνακος τῶν λιπαρωτάτων. τοιαῦτα δέ εἰσι μάλιστα τὸ διὰ πτερύνης. καὶ τὸ ἀμυθάωνος. καὶ τὰ πρὸς χοιράδας ἀναγραφησόμενα φάρμακα.

Περὶ χοιράδων. λγ΄.

Αἱ χοιράδες. ἀδένες εἰσὶν ἐσκιρρωμένοι, κατά τε τὸν τράχηλον, καὶ μασχάλας, καὶ βουβῶνας μάλιστα συνιστάμεναι. κοινῶς μὲν οὖν τῇ τῶν σκίρρων εἰρημένῃ νῦν ὑπάγονται θεραπείᾳ. ἰδίως δὲ, θέρμων πικρῶν ἄλευρον δι᾽ ὀξυμέλιτος ἑψῶν, κατάπλασσε. τοῦτο καὶ πρὸς τὰ φύματα. ἢ βοείᾳ κόπρῳ σὺν ὄξει ἑψομένῃ κατάπλασσε. τοῦτο καὶ τοὺς σκιρρώδεις ὄγκους ἅπαντας διαφορεῖ. καλῶς δὲ διαφορεῖ χοιράδας, ἄσβεστος μέλιτι ἢ γλοιῷ ἀναληφθεῖσα ἢ ἐλαίῳ, ἢ στέατι χοιρείῳ. ἢ ἀσβέστου καὶ νίτρου ἴσα, καρδαμώμου καὶ τήλεως τετραπλοῦν, σὺν μέλιτι, ὡς μάλαγμα ἐπιτίθει. τὰς σκληρὰς διαφορεῖ. τὰς μεταβεβλημένας ῥήσσει. αἴρινον ἄλευρον μετὰ περιστερᾶς κόπρου καὶ λινοσπέρμου, ἐν οἴνῳ ἑψηθέν. ὄλυνθοι ἄγριοι, καὶ ἥμεροι. ἢ κάρδαμον λευκὸν λεῖον μετὰ πίσσης ὑγρᾶς μαλαγματῶδες ποιῶν, ἐπιτίθει. ἢ σικύου ἀγρίου ῥίζης ξηρᾶς καὶ δάφνης φύλλων ξηρῶν κεκαυμένων τὴν τέφραν μετὰ τερεβινθίνης ἐπιτίθει. ἢ σταφίδος ἀγρίας, νίτρου τὸ ἴσον, εὐζώμου τὸ διπλάσιον, μετὰ ῥητίνης ἐπίθες. ἢ κόπρον αἰγείαν ἢ βοείαν ἐν ὄξει ἑφθήν. ἢ ὀρόβινον ἄλευρον ἐν οὔρῳ ἀφθόρου παιδὸς βραχὲν, καὶ ἀναληφθὲν πίσσῃ καὶ κηρῷ καὶ ἐλαίῳ τετηκόσιν. ἢ ὄφιν νεκρὸν βαλὼν εἰς χύτραν, καὶ γυψώσας δὸς εἰς κάμινον καυθῆναι, καὶ τὴν σποδὸν αὐτοῦ μίξον τήλεως ἴσῳ, καὶ ἀναλαβὼν μέλιτι χρῶ. καὶ τὸ διὰ τῶν ἀσπίδων δὲ φάρμακον θαυμαστόν ἐστιν. τό, τε διὰ τοῦ στρουθίου καὶ τὸ διὰ τοῦ ἀγρίου σικύου. καὶ τὸ διὰ κεδρίας. Χοιράδας διαπυΐσκει, ἢ διαχεῖ, σμύρνης <. ι΄. ἀμμωνιακοῦ θυμιάματος <. β΄. ἰξοῦ δρυΐνου <. η΄. χαλβάνης <, δ΄. προπόλεως <. α΄. ὁλμοκοπεῖται.

Πρὸς χοιράδας μαστῶν καὶ σκληρίας.

Ἰξοῦ εἰργασμένου, ῥητίνης ξηρᾶς. κηροῦ ἀνὰ λι. α΄. χαλβάνης Γο. γ΄.

Πρὸς χοιράδας ἡλκωμένας καὶ ἀνελκώτους.

Κηροῦ πιτυΐνης, στέατος χοιρείου ἀνάλου, πρασίου, ἰοῦ ξυστοῦ ἀνὰ Γο. ς΄.

Χοιραδικόν.

Ἐλαίου παλαιοῦ λι. β΄. κηροῦ λι. α΄. κολοφωνίας Γο. δ΄. νίτρου Γο. δ΄. σκόρδα ι β΄. λεπίσας τῶν σκόρδων τὰς σχελίδας, βρέξον εἰς τὸ ἔλαιον ἐπὶ ἡμέρας γ΄. εἶτα ἑψήσας ἕως φρυγῶσιν, αὐτὰ μὲν ῥῖψον. ἐντήξας δὲ τῷ ἐλαίῳ τὰ τηκτὰ, μετὰ τοῦ ἀφελεῖν τοῦ πυρὸς ἔμπασσε λειότατον τὸ νίτρον. ῥήσσει καὶ ἀποστήματα. Ἄλλο. Συκίνης τέφρας Γο. β΄. σχιστῆς Γο. α΄. ἀφρονίτρου Γο. α΄. ὑγροπίσσης Γο. ζ΄.

Σηπτὴ χοιραδική.

Σχιστῆς σανδαράχης ἀνὰ <. δ΄. λεπίδος χαλκοῦ <. α΄. ἀρσενικοῦ <. α΄. ξηρῷ κατάπασσε χοιράδας. ἐὰν δὲ ᾖ καρκινώδη, ῥοδίνῳ φυράσας, δὶς τῆς ἡμέρας χρῶ.

περὶ

Περὶ στεατωμάτων καὶ ἀθερωμάτων καὶ μελικηρίδων. λδ.

Τοῦ γένους τῶν ἀποστημάτων, ὡς ἐν ἐκείνοις ἐλέγομεν, ὑπάρχοντα καὶ ταῦτα, προσηγορίας ἕκαστον αὐτῶν ἰδίας τετύχηκεν ἀπὸ τῆς ὁμοιότητος τῶν περιεχομένων οὐσιῶν κατὰ τοὺς ὄγκους. ἔστι γὰρ αὐτῶν ἡ μέν τις, οἷόνπερ τὸ στέαρ. ἡ δὲ οἷον μέλι. καί τις ἀθήρᾳ παραπλήσιος. οἱ σκοποὶ δὲ τῆς θεραπείας κοινοί, διαφορῆσαι τὸ περιεχόμενον, ἢ σῆψαι πᾶν, ἢ ἐκτεμεῖν. ἔνιοι μὲν οὖν ὄγκοι τοῖς τρισὶν ὑποπίπτουσιν σκοποῖς, οἱ μὲν λεπτότερον ὑγρὸν ἔχουσιν, ὡς μελικηρίς. ἔνιοι δὲ τοῖς δύο μόνοις, ὥσπερ τὸ ἀθήρωμα. καὶ γὰρ καὶ ἐκτέμνειν οἷόν τε καὶ σῆψαι τοῦτο. τὸ δὲ στεάτωμα, διὰ τῆς χειρουργίας μόνης θεραπεύεται, μήτε σαπῆναι μήτε διαφορηθῆναι δυνάμενον. ἑκάστου δὲ τούτων τὴν διάγνωσιν ἐν τοῖς χειρουργουμένοις εὑρήσεις. τῶν μὲν οὖν διαφορούντων τὴν ὕλην, ἐν τοῖς περὶ χοιράδων εὑρήσεις. ἰδίως δὲ μελικηρίδας διαφορεῖ τοῦτο. σταφίδες ἀφαιρεθέντων τῶν γιγάρτων ν̄. λεπίδος <. γ̄. πρὸ πυρείων ἐπιτίθει. Ἄλλο. Λαδάνου, βδελλίου, χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, προπόλεως, τερμινθίνης ἴσα ὁλμοκοπεῖται. ποιεῖ καὶ χοιράσι, παρωτίσι, λοβιοῖσι, φύμασιν. ὁ δὲ Ἀρχιγένης πρὸς μελικηρίδας φησὶν ἀφρόνιτρον, καὶ ἐλλεβόρου τὸ διπλοῦν, μετὰ κηρωτῆς σκληρᾶς ἐπιτίθει. τοῖς δὲ σηπτοῖς, οὐχ οἷόν τε χρήσασθαι περικειμένου τοῦ δέρματος. δεῖ οὖν τούτου πρότερον τὰς μελικηρίδας τε καὶ τὰ ἀθερώματα ἢ καὶ χοιράδας γυμνοῦν διὰ τῶν καυστικῶν φαρμάκων. ἐξ ὧν ἁπλούστερον μέν ἐστι τὸ λαμβάνον ἀσβέστου καὶ σάπωνος, καὶ στακτῆς κονίας. ποικιλώτερον δὲ καὶ φυλάττεσθαι δυνάμενον ἀποθέσει, τοῦτο. ἀσβέστου <. δ̄. σφέκλης ἥτις ἐστὶ τρὺξ οἴνου Κς. νίτρου ὑγροῦ ὀπτοῦ ἀνὰ <. β̄. μίλτου <. ᾱ. λείου ἐν στακτῇ κονίᾳ. ποιήσας δὲ πάχος μέλιτος ὑγρότερον, ζέσον τρὶς ὥστε πως συστῆναι, καὶ ἀπόθου ἐν μολιβδίνῃ πυξίδι, παραστάζων τῆς κονίας ὅπως μὴ ταχέως ξηρανθῇ. ποιεῖ καὶ πρὸς ἀκροχορδόνας, μυρμηκίας, πτερύγια, ἥλους, τύλους, ὅλας ὑπερεχούσας. ἡ σφέκλα μὴ παλαιοτέρα δύο μηνῶν ἔστω. τούτῳ ἐπίχριε τὸ δέρμα. καὶ ὅταν ἄρξηται ξηραίνεσθαι. ἀποπλύνας σπόγγῳ, αὖθις ἐπίχριε. καὶ ὅταν μελανθῇ τὸ δέρμα, πάλιν ἀποπλύνας, τοῖς ἀπεσχαρωτικοῖς χρῆσαι. ἐκπεσούσης δὲ τῆς ἐσχάρας, τὰ σηπτὰ παραλαμβανέσθω. σηπτὴ ἱκανῶς ἄδηκτος. λεπίδος χαλκοῦ <. δ̄. σανδαράχης <. β̄. ἐλλεβόρου μέλανος <. β̄. μετὰ ῥοδίνου χρῶ. Ἄλλο. Λεπίδος, σανδαράχης, κνίδης σπέρματος πεφωσμένου ἴσα μετὰ ῥοδίνου χρῶ. Ἄλλο. Ἐχίνων Κς, σηπίας, ὀστράκου, ἀρσενίκου ἴσα μετὰ ῥοδίνου. τὰ δὲ κύκλῳ πάντα προκατάχριε ψιμυθίῳ μετ' ἐλαίου. ἀγαθὴ καὶ ἡ δι' ἀσβέστου μ. β̄. χαλκίτεως μ. ᾱ. ἀρσενίκου μ. ᾱ.

Περὶ κηρίων. λε.

Τὸ κηρίον, ὄγκος ἐστίν, ἐπὶ τοῦ δέρματος ἔχον κατατρήσεις δι' ὧν μελιτῶδες ὑγρὸν ἐκκρίνεται. ἐπιθετέον οὖν αὐτῷ σταφίδας μετὰ πηγάνου. ἢ συκῆς τὰ ἁπαλώτατα φύλλα μετὰ μέλιτος. ἢ κάρδαμον μετὰ λινοσπέρμου σὺν μέλιτι. ἢ σικύου ἡμέρου ῥίζαν μετὰ μέλιτος. ἢ θεῖον ἄπυρον μετὰ κηρωτῆς ἢ τερεβινθίνης. ποικιλωτέραν δὲ τὴν περὶ τῶν κηρίων ποιήσεις θεραπείαν, τὰ ἐν τῷ περὶ ἀχώρων κατὰ τὸ τρίτον βιβλίον εἰρημένα μεταφέρων ἐνταῦθα.

Περὶ ἁπλοῦ ἕλκους. λϛ.

Ἐπειδὴ τὸ ἁπλοῦν ἕλκος διαίρεσίς ἐστι μόνον. εἴ τις συνάγοι τὰ διαιρεθέντα, δεσμὸν ἐν κύκλῳ περιθείς, συμφυήσεται τὰ διεστῶτα μόρια χωρὶς ἑτέρας τινὸς πραγματείας. δεῖ δὲ ὅταν μὲν καθ' ἕν τι τῶν χειλῶν ἐκτετραμμένον εἴη τὸ ἕλκος εἰς τὸ πλάγιον, ἐκεῖθεν τὴν ἀρχὴν ποιεῖσθαι τῆς ἐπιδέσεως ἐπὶ περιτρέποντι εἰς τἀναντία. κατ' ἀμφοτέρας δὲ οὔσης τῆς ἐκτροπῆς, τὴν ἀπὸ δυοῖν ἀρχῶν παραλαμβάνειν ἐπίδεσιν καὶ προσάγειν οὕτω τὰ χείλη. μηδενὸς γὰρ μεταξὺ τῶν χειλῶν παρεμπεσόντος, οἷον τριχός, ἢ ψάμμου, ἢ ἐλαίου, ἢ ῥύπου, ἤ τινος τοιούτου. πάντως συμφυήσεται τὸ ἕλκος. μεγάλου δὲ ὄντος τοῦ ἕλκους, ὡς μὴ δύνασθαι τὰ κεχωρισμένα δι' ὅλου συναχθῆναι διὰ τῆς εἰρημένης ἐπιδέσεως. ῥαφαῖς πρότερον αὐτὰ συνακτέον. εἶθ' οὕτως ἐπιδήσαντα, τοῖς κολλητικοῖς λεγομένοις χρηστέον βοηθήμασι, ξηραίνουσί τε καὶ δαπανῶσι τὴν ἠθροισμένην ὑγρότητα, καὶ ἑτέραν ἐπιρρεῖν κωλῦσαι δυναμένοις.

Ὅσα κολλᾶν ἕλκη δύναται. λζ.

Δρυὸς φύλλα καταπλασσόμενα, καὶ ἰτέας, καὶ κράμβης. χαμαιλαίας τε ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ φλοιός, καὶ ὁ χυλὸς τῆς αὐστηροτέρας ἀρνογλώσσου. πάπυρος ὀξυκράτῳ ἢ οἴνῳ βραχεῖσα, καὶ ἐν κύκλῳ περιειλουμένη. τὰ δὲ πρόσφατα κολλᾷ. πίτυος καὶ πεύκης τὰ φύλλα. καὶ ὁ φλοιὸς πρόσφατος, ὡς ἐπίδεσμος περιειλούμενος, μεθ' ὕδατος ἢ ὀξυκράτου ἢ οἴνου. τυρὸς πρόσφατος λειωθείς. ἔξωθεν δὲ ἐπιτιθέναι δεῖ φύλλα λαπάθου, ἢ ἀμπέλου, ἢ τεύτλου, ἢ θριδακίνης. ὁ δὲ ὀξυγαλάκτινος τυρός, καὶ τὰ μείζονα τραύματα. ἀχράδες καὶ ἀναστέλλουσιν τὸ ῥεῦμα. ἵππουρις καταπλασσομένη, κἂν νεῦρα διατετμημένα τύχοι, ἴσατις ἡ ἥμερος ἐπὶ τῶν σκληρῶν

σωμάτων, κἂν ἐν ταῖς τῶν μυῶν ἢ κεφαλαῖς. κυπαρίσσου τὰ φύλλα, καὶ οἱ βλαστοί. καὶ τὰ νέα τῶν σφαιρίων καὶ μαλακὰ καὶ ἐπὶ τῶν σκληρῶν σωμάτων. μιγνύναι δὲ χρὴ λελειωμένην ἀράχνην ἀλεύρου λαμβάνοντα πλησιάζοντος μύλῃ. σμύρνα σὺν ὕδατι καταχρισθεῖσα, ἢ λιβανωτός, γῆς ἔντερα. καὶ νεύρων διακοπὰς κολλᾷ. πενταφύλλου φύλλα μετὰ μέλιτος. σκόρδα καέντα καταπλασσόμενα. πρὸς δὲ τὰ πρεσβυτικὰ ἕλκη ἀνάπαλιν ποιεῖ. μετὰ κηρωτῆς κριθαὶ καυθεῖσαι. καὶ ψιμύθιον δὲ μετὰ κηρωτῆς μυρσίνης διπλασίονος. πρὸς δὲ τὰ ἐν κεφαλῇ, σμύρναν ξηρὰν ἐπιπάσσειν καὶ μὴ βρέχειν, ταχέως γὰρ συνάγει. ἢ ἀλόην ξηρὰν ἢ ἀριστολοχίαν ῥίψας, καὶ μέλιτι ἐν οἴνῳ συνεψήσας ἕως συμμέτρου πάχους εἰς μοτὸν ἐπὶ χρείων ἐπιτίθει. τῶν δὲ συνθέτων κολλητικῶν. αἵ τε βάρβαροί εἰσι, καὶ ἡ χρυσῆ, καὶ ἡ Νικολάου. δι᾽ ἰτεῶν τε καὶ διὰ δικτάμνου. καὶ ταύταις ἕτεραι παραπλήσιαι, τὰ μεγάλα μάλιστα τραύματα κολλᾶν δυνάμεναι.

Πρὸς περιοδυνοῦντα καὶ φλεγμαίνοντα ἕλκη. λη.

Πρὸς δὲ τὰ περιοδυνοῦντα καὶ φλεγμαίνοντα τραύματα, χρεία τῶν ξηραντικῶν τε καὶ ἀφλεγμάντων φαρμάκων. ὑγρῶν μὲν οὖν κάλλιστόν ἐστιν οἶνος. ποιεῖ δὲ καὶ ὀξύκρατον. εἰ δὲ καὶ σὺν ῥύπῳ φλεγμαίνοι, καὶ μελίκρατον ὑδαρές. τῶν δὲ ξηρῶν φαρμάκων κοινῶς μὲν ἁρμόσει τὰ πρὸς φλεγμονὰς εἰρημένα, πλὴν τῶν ἐλαιωδῶν καὶ δριμέων. ἰδίως δὲ τοῦτο. ῥοιὰς γλυκείας ἑψήσας ἐν οἴνῳ καὶ τρίψας, κατάπλασσε. θαυμαστὸν τοῦτο καὶ πολύχρηστον. πρός τε γὰρ τὰ ἐν κεφαλῇ ἕλκη ποιεῖ καὶ τὰ ἐν αἰδοίοις, καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι περιοδυνοῦντα, καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. εἰ δὲ καὶ ἐρυσίπελας, ἤ τι τοιοῦτον τῷ ἕλκει προσγένοιτο. τοῖς πρὸς ἐκεῖνα χρηστέον, ἀναγεγραμμένοις βοηθήμασιν.

Πρὸς ἄπεπτα καὶ ἀνέκπυκτα ἕλκη. λθ.

Τὰ μὲν πρόσφατα, καὶ διὰ τὸ ἔτι φλεγμονώδη τυγχάνειν ἀνέκπυκτα τῶν ἑλκῶν, συμπέττει τε καὶ πυοποιεῖ. ἁπλᾶ μὲν, ὕδωρ εὔκρατον καταντλούμενον, πύρινον ἄλευρον, ἢ χόνδρος, ἢ ἄρτος, ἢ κόλλα ἡ εἰς τὰ βιβλία, μετὰ τερεβινθίνης καταπλασσόμενα. κηρός, κρόκος, λιβανωτός, πίσσα, ῥόδινον, στέαρ χοίρειόν τε καὶ μόσχειον. σύνθετον δὲ, τὸ τετραφάρμακον ἔμμοτον αὐτόθεν ῥοδίνῳ. τὰ δὲ παλαιὰ καὶ τυλώδη συμπέττει. ἁπλᾶ μὲν, σταφὶς ἡμέρα, στύραξ, χαλβάνη, σμύρνα, λάδανον, πίσσα, ῥητίνη, βούτυρον, μαστίχη αἰγυπτία, ὕσσωπον. σύνθετα δὲ, ἥ τε διὰ τοῦ κικίνου ἄκηρος Γαληνοῦ ἐμμότως ἀναλυθεῖσα δι᾽ ἐλαίου παλαιοῦ ἢ κυκίνου. ἥ τε δίχρωμος ὁμοίως καὶ τὸ βασιλικόν, καὶ αἱ παραπλήσιοι.

Περὶ τῶν κοίλων ἑλκῶν. μ.

Τὸ κοῖλον ἕλκος, τῆς ἐλλειπούσης σαρκὸς ἀπαιτεῖ τὴν ἀναπλήρωσιν. ὕλη δὲ ταύτης, αἷμα σύμμετρόν τε καὶ χρηστόν ἐστιν. οὐκοῦν τὴν μὲν συμμετρίαν αὐτοῦ διὰ τῆς αὐτάρκους τροφῆς χρησόμεθα. τὴν εὐκρασίαν δὲ, διά τε τῆς αὐτῶν τῶν τροφῶν εὐχυμίας καὶ τῆς εὐκρασίας τοῦ μορίου, ἐν ᾧ τὸ ἕλκος ἐστίν. ἐπὶ δὲ τοῦ γινομένου περιττώματος. τὸ μὲν λεπτόν, ὑγρότερον τὸ ἕλκος ἀποτελεῖ. τὸ δὲ παχύτερον, περιπηγνύμενον αὐτῷ ῥύπος γίνεται, διὰ τοῦτο φαρμάκων δεῖται τῶν μετρίως ξηραινόντων τε καὶ ῥυπτόντων. τοιαύτη δὲ ἐστίν, λιβανωτός, καὶ κρίθινον ἄλευρον καὶ κυάμινον καὶ ὀρόβινον, καὶ ἶρις, καὶ ἀριστολοχία, καὶ καδμεία, καὶ πάναξ, καὶ πομφόλυξ. ὅταν δὲ μηδὲν ὠφελήσῃ τὸ προσαγόμενον σαρκωτικὸν φάρμακον, οὕτω πως ἐπ᾽ ἄλλο μεταβαίνειν. ἀλλ᾽ εἰ μὲν πλεῖον ὁ ῥύπος φανείη, καὶ ὑγρότερον τὸ ἕλκος. εἰδέναι προσήκει, ὡς ἐνδεέστερον ἐξήρανε τὸ φάρμακον, καὶ ἐπιτείνειν αὐτοῦ μέλιτος μίξει. εἰ δὲ καθαρὸν καὶ μᾶλλον ἄνικμον, εὑρεθείη. πλέον ἢ προσῆκεν, ἐξήρανε, καὶ χρὴ δι᾽ ἐλαίου πλείονος ἀνιέντα κηρωτὴν προσφέρειν. συμβαίνει δὲ ἐνίοτε τοῦ φαρμάκου τυγχάνοντος ἰσχυροτέρου συντήκεσθαι τῆς σαρκός, ὡς ῥυπαρὸν καὶ ὑγρὸν φαίνεσθαι τὸ ἕλκος παραπλησίως τοῖς ἐνδεέστερον ξηρανθεῖσιν. ἀλλὰ τοῦτο κοιλότερόν τε συντηκόμενον γίνεται καὶ ὀχθῶδες τοῖς χείλεσιν, ἐρυθρόν τε ἔτι καὶ φλεγμονῆς ἔχον. πολλάκις δὲ καὶ δάκνεται σαφῶς ὁ πάσχων. τὸ δὲ ἕτερον ὑπὸ τῶν ἔλαττον ξηραινόντων, οὐδὲν τούτων ἔχει παρακολουθοῦν. σαπρότης τοίνυν ξύλων καὶ μάλιστα ὅσα μετέχει μετρίας στύψεως τε καὶ ῥύψεως, ὥσπερ καὶ ἡ πτελαία, καθαίρει καὶ ἀναπληροῖ τὰ καθαρὰ τῶν ἑλκῶν. ἢ ἀνεμῶναι προστιθέμεναι. πίτυος φλοιὸν ἀποξύσας καὶ τρίψας μετὰ κηρωτῆς, εἰς μοτοὺς ἐγχρίων, ἐπὶ τῶν κοίλων ἑλκῶν καὶ μάλιστα τῶν προσφάτων ἐπιτίθει. πληροῖ γὰρ αὐτά. σύνθετα δὲ, καθαρῶν μὲν ὄντων τῶν ἑλκῶν. τό, τε διὰ τῶν ὀστρέων ἐστὶ καὶ τὸ μανέθωνος διὰ σφέκλης. καὶ τὸ διὰ τῆς ἀλόης. καὶ ἡ μελιτηρὰ προσαγορευόμενον ξηρίον. καὶ τὸ λαμβάνον ἀμύλου, μάννης, ἅλικος, ὀρόβου, ἴσα. ὁμοίως δὲ καὶ τὸ διὰ λιβάνου, καὶ τὸ ἀφροδιτάειον. ῥυπαρωτέρων δέ πως, ὡς τά τε κεφαλικὰ προσαγορευόμενα ξηρία. ἔμμοτα δὲ φάρμακα, ἥ τε τροφός ἐστι καλουμένη καὶ ἡ ἶσις, καὶ ἡ ἀθηνᾶ. καὶ ἡ διὰ τῶν ἀτρακτυλίδων, ἔτι καὶ τὸ λεγόμενον ἰταλικόν. καὶ ὅσα διὰ πείρας.

Ανακα-

Ἀνακαθαρτικὰ ῥυπαρῶν ἑλκῶν. μα.

Τὰ ῥυπαρὰ τῶν ἑλκῶν εἴτε κοῖλα εἶεν εἴτε ἰσόπεδα, καλῶς ἀνακαθαίρει ἀριστολοχία σὺν μέλιτι. τερεβινθίνη μετὰ ἴσου ῥοδίνου καὶ μέλιτος. ἢ ἀντὶ ῥοδίνου βούτυρον. ἶρις ἰλλυρικὴ μετὰ μέλιτος. ἐλαῖαι κολυμβάδες καταπλασθεῖσαι. πρὸς δὲ τὰ νευρώδη, τερμινθίνη σὺν βουτύρῳ τακεῖσα. τοῖς δὲ ἄγαν ῥυπαροῖς καὶ νομώδεσι ποιεῖ πράσιον μετὰ μέλιτος. τοῦτο καὶ ἐσχάρας ἐκβάλλει. σύνθετα δὲ ταῦτα. ἀμόργης ἑφθῆς, μέλιτος ἀπηφρισμένου, στυπτηρίας φορίμης ἴσα. Ἄλλο.

Σαραπιάδος τῆς καὶ τριόρχεως ξηρᾶς, ἴρεως ἰλλυρικῆς, πρασίου ξηροῦ, ἀριστολοχίας, ἀνὰ < π. ὀροβίνου ἀλεύρου < ι. ξηρῷ χρῶ, καὶ μετὰ μέλιτος. ἔτι δὲ πρὸς τὰ ῥυπαρὰ τῶν ἑλκῶν, ἥ τε αἰγυπτία ποιεῖ, καὶ αἱ διὰ ἁλῶν κηρωταὶ συντακεῖσαι, ἥ τε ἰνδική, καὶ ἡ ἀθηνᾶ. καὶ αἱ χλωραὶ ἀνιέμεναι. τό, τε διὰ κισσήρεως καὶ τὰ διὰ ὀρόβου, ξηρά. καὶ ὁ μελάγχλωρος τροχίσκος. ὁμοίως δὲ καὶ ὁ Κειογένης.

Πρὸς σκώληκας ἑλκῶν. μβ.

Πρὸς τοὺς ἐν ἕλκεσι γινομένους σκώληκας, τὸ μὲν πρῶτον δεῖ παῦσαι τὴν ὑγρότητα, καὶ τὴν σηπεδόνα τὴν ἐργαζομένην αὐτούς. ἀναιρεῖ δὲ τοὺς σκώληκας. κοινῶς μὲν ἅπαντα τὰ πρὸς τοὺς ἐν ὠσὶ σκώληκας ἀναγεγραμμένα. πρὸς δὲ τοὺς ἐν τοῖς ἕλκεσιν Ἀρχιγένης φησίν. ψιμύθιον καὶ πόλιον ἴσα σὺν πίσσῃ ὑγρᾷ κατάχριε.

Περὶ ὑπερσαρκούντων ἑλκῶν. μγ.

Ἡ τῶν ὑπερσαρκούντων ἑλκῶν καθαίρεσις διὰ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων. οἷον δεῖ διφρυγὲς καταπασσόμενον, καὶ λεπὶς χαλκοῦ, καὶ τὰ ὀστρεώδη πάντα καυθέντα. καὶ οἱ ἐχῖνοι καυθέντες ἀμφότεροι σὺν τῷ σώματι παντί. ἀλλὰ ταῦτα μὲν μετρίως καθαίρει τε καὶ προστέλλεται τὰ ὑπερσαρκοῦντα. τὸ δὲ τῆς ἀσίας πέτρας ἄνθος, ἰσχυρότερον. τούτου δὲ μᾶλλον σῶρυ τε καὶ χρυσόκολλα, καὶ χαλκῖτις, καὶ μίσυ. καυθέντα δέ, ἀδηκτότερα. καὶ τοῦ χαλκοῦ τὸ ἄνθος ὁμοίως. ὁ δὲ ἰὸς πάντων ἰσχυρότερος. ἅλες δὲ καυθέντες, τὰς πλαδαρὰς τῶν σαρκῶν ὑπεκτήκουσιν. ὁμοίως καὶ μοτοὶ τιλτοί, ἐκ ῥάκους ἐν ἅλμῃ δριμυτέρᾳ βραχέντος καὶ ξηρανθέντος πεποιημένοι, καὶ ἐπιτιθέμενοι, τὰ μέτρια τῶν ὑπερσαρκωμάτων ὑπεκτήκει. ὁ δὲ ἰὸς μετὰ λεπίδος χαλκοῦ, τῶν ἰσχυρῶς δεῖ καταστελλόντων, σύνθετα, ἥ τε ῥοδία καλουμένη ξηρά, καὶ τὸ ψαρόν. ἔτι τε τὸ ξανθὸν ἀδήκτως καταστέλλει. τὰς δὲ μεγίστας ὑπερσαρκώσεις ἄχρι βάθους ἐσχαροῦσιν, οἵ τε φαυστιανοὶ τροχίσκοι λεῖοι ἐπιπαττόμενοι, καὶ τὸ ἡλιοκαὲς ξηρίον. τὸ δὲ λαμβάνον, ἀσβέστου, λεπίδος χαλκοῦ, καὶ μάννης ἴσα, ποιεῖ καὶ πρὸς τὰ ὑπεραυξόμενα, καὶ μύκησιν ὅμοια. ἀνακαθαίρει τε μετὰ μέλιτος καὶ πληροῖ μετὰ κηρωτῆς.

Ξηρίον καταστέλλον.

Λιθαργύρου, χαλκίτεως, ἰοῦ, μολυβδαίνης ἴσα. Ἄλλο. Καταστέλλον ἰσχυρῶς, ἄδηκτον. ποιεῖ δὲ καὶ πρὸς νομάς, καὶ μάλιστα ἐπουλίδας. λευκαίνει δὲ καὶ τοὺς ὀδόντας. Ἀσβέστου λι. α. ἀρσενικοῦ Γο. ς. λειώσας τὸ ἀρσενικὸν ξηρὸν μεθ᾽ ὕδατος, ἐπίβαλλε τὴν ἄσβεστον πλυθεῖσαν ὥσπερ καδμίαν, καὶ τρίψας ξήραινε καὶ χρῶ. καὶ τῶν τροχίσκων δὲ ὅ, τε παντόλμιος, καὶ ὅσοι πρὸς πολύποδας εἰσὶν ἀναγεγραμμένοι, καλῶς ἕλκη καταστέλλουσιν. αἱ δὲ χλωραὶ τῶν ἐμπλάστρων, καὶ μάλιστα ἡ διὰ τῶν καππαδοκικῶν ἁλῶν, ὁμοίως δὲ καὶ ἡ ἶσις, ἀκροτάτως ὑπερσαρκοῦν κωλύουσι τὰ ἕλκη.

Περὶ νομῶν καὶ σηπεδόνων καὶ φαγεδαίνης. μδ.

Καταντλήμασι μὲν χρηστέον ἐπὶ τῶν νεμομένων τε καὶ σηπομένων ἑλκῶν, δι᾽ ὄξους τε καὶ ὀξυκράτου, ἢ οἴνου στύφοντος, ἢ ψυχροῦ ὕδατος, ἢ θαλάττης. ἢ ἀφεψήματος φακῆς, σιδίων, βαλαυστίων, σχίνου, μύρτων, ἀκάνθης αἰγυπτίας. ἤ τινι τῶν στυφόντων τε καὶ ξηραινόντων. καταπλαστέον τε τούτους αὐτοῖς τοῖς διὰ ὀροβίνου ἀλεύρου, καὶ στυπτηρίας ὑγρᾶς, ἄρτου τε σεμιδαλίτου τοῦ ἐντός, κωβίου παλαιοῦ, ἢ ἄλλου ταρίχου παλαιοῦ, σαρκὸς ἀπλύτου, τερεβινθίνης ὑγρᾶς, ἴσα σταθμῷ λεάνας ἐπιτίθει. ἢ ἀριστολοχίαν, καὶ κηκίνων φύλλων χυλὸν τὸ ἴσον, ἰοῦ τὸ ἥμισυ διὰ ὕδατος μέλιτος παχέος κατάχριε. ἐὰν δὲ μὴ ἀφίστηται ἡ ἐσχάρα, ἐλατηρίου τὸ ἴσον τῷ ἰῷ πρόσμισγε. ἐπὶ δὲ τῶν σηπεδονωδῶν, ποιεῖ σῶρυ λεῖον ἐπιπασσόμενον. καὶ ἐπάνω τίλμα ξηρόν. ἢ ἀριστολοχίαν στρογγύλην. ἢ κηκῖδας. ἴσα μετ᾽ ἐλαίου περίχριε. ἢ σικύου ἀγρίου ῥίζαν, ἢ κράμβης, ἢ σεύτλου. ἢ λαπάθου φύλλων ἐνδήσας θερμοσποδιᾷ, ἔγκρυψον. ὅταν δὲ μαλακωθῇ, σὺν ἁλὶ τρίψας ἐπίθες, εὐτόνως ἀνακαθαίρει. ἢ θαλλία ἐν οἴνῳ ἑφθῇ μετὰ μέλιτος, κατάπλασσε. ἢ χαλκῖτιν κατάπλασσε. ἢ σελίνου σπέρμα λεῖον. ἢ λινόσπερμα λεῖον μετὰ χαλκάνθου ἐπιτίθει. ἢ θύμῳ καὶ σταφίδι καὶ σύκοις ἑφθοῖς κατάπλασσε. ἢ συκίνοις φύλλοις λείοις μετὰ μέλιτος. ἢ νίτρου καὶ κυμίνου καὶ ἀλεύρου μετὰ μέλιτος. ἢ σικύου ἀγρίου ῥίζῃ. ἢ σκίλλῃ ἑφθῇ μετὰ μέλιτος. ἢ σώρεως < ιβ. χαλκίτεως < ι. μίσυος < δ. σὺν ὄξει δριμυτάτῳ ἡμικοτυλίῳ λέαινε μέχρις ἂν ξηρανθῇ, καὶ ἀνελόμενος χρῶ μήλην βάπτων, καὶ

ἐπικυλίωμ τῷ ἕλκει, καὶ ἐπάνω διπλοῦν ὀθόνιον ἐξ οἰνελαίου ἐπιτίθει. ἐὰν δὲ φλεγμαίνῃ, ὑοσκυάμου μετὰ ἀλφίτου, ἢ κράμβη μετὰ μέλιτος κατάπλασσε.

Πρὸς σηπεδόνας τὰς ἐν παντὶ τόπῳ καὶ νομάς.

Ἀσβέστου, χαλκίτεως ἀνὰ <.β. ἀρσενικοῦ <.α. τούτῳ καὶ πρὸς τὰ ἐν τοῖς δακτύλοις πτερύγια. καὶ πρὸς φαγεδαίνας. καὶ πρὸς ἄνθρακας χρηστέον. ἐν τοῖς αἰδοίοις μετὰ μέλιτος. ἐν δὲ τοῖς λοιποῖς ξηρῷ. ἄνωθεν, σπλήνιον ῥητίνης ἐπιτιθείς.

Πρὸς νομὰς πάσας καὶ τὰς ἐν στόματι, καὶ πρὸς αἱμορραγίας. καὶ ὑπερσαρκοῦντα καταστέλλον, πάγχρυσον, ξηρόν.

Χαλκίτεως, μίσυος, ὠμῶν ἀνὰ <.η. λεπίδος σιδήρου <.ϛ. κηκίδος ὀμφακίτιδος <.η.

Πρὸς νομὰς καὶ σηπεδόνας.

Ἁλῶν <.β. συπτηρίας οἵας δήποτε Kς <.α. λεπίδος κισσήρεως Kς ἴσα. ποιεῖ καὶ ἰὸς ξυστὸς μετὰ μίσυος Kς, ἀναληφθέντα πίσσῃ ὑγρᾷ. καὶ λεπὶς σιδήρου σὺν ἐλαίῳ.

Πρὸς νομὰς αἰδοίου.

Ταῦτά τε καὶ τὸ λεγόμενον ἁρμόσει μελητήριον. τό, τε δι' ὀξυμυρσίνης καὶ τὸ διὰ χάρτου ξηρόν. καὶ πρὸς πάσας νομάς. καὶ τὸ δι' ὀξυμέλιτος κοράκιον. ὅ, τε τῶν ἀνδρῶν τροχίσκος, καὶ οἱ παραπλήσιοι. τὰ δὲ αὐτὰ ταῦτα, καὶ πρὸς φαγεδαίνας ἁρμόζει. καὶ γὰρ καὶ ἡ φαγέδαινα, ἕλκος ἐστὶν νομῶδες ἀναβιβρωσκόμενον.

Πρὸς τὰ πλαδαρὰ ἕλκη καὶ δυσώδη.

Λημνία σφραγίς, δι' ὄξους ἢ ὀξυμέλιτος, ἢ ὀξυκράτου, ἢ οἴνου ἀνειμένη εἰς πηλώδη σύστασιν, καταχρισθεῖσα ποιεῖ. ἢ κυπαρίσσου τὰ φύλλα, καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία τὰ ἁπαλά. ἢ κολοκύντης ξηρᾶς κεκαυμένης τέφρα, ἢ πλατάνου φλοιοῦ Kς, καὶ ἡ ἀνήθου Kς ὁμοίως, ἢ ἐρίων ῥυπαρῶν Kς. ἢ ἀρνόγλωσσον, ἰδίως καθ' αὑτὴν ἢ σὺν ἀλφίτοις. ἢ πολυκνήμου ῥίζα ξηρά.

Περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν. με.

Ξηραινόντων καὶ στυφόντων τὴν σάρκα τῶν οὐλῆς δεομένων ἑλκῶν εἰς τοσοῦτον, ὥστε μὴ μόνον διαφορῆσαι τὸ παρὰ φύσιν περιττόν, ἀλλὰ καὶ τὴν κατὰ φύσιν ἀψαθῆ, τὸ ἐπιπολῆς τοῦ ἕλκους παραπλήσιον δέρματι κατασκευάσομεν, καὶ εἰς οὐλὴν ἄξομεν τὸ ἕλκος. ἐπιτήδειον δὲ εἰς τοῦτο, κηκὶς ὀμφακῖτις, καὶ τὰ τῆς ῥοιᾶς λέμματα μετρίως ξηραίνοντα. καὶ ὅσα δὲ χωρὶς τοῦ στύφειν ἀδήκτως ξηραίνει, καὶ ταῦτα εἰς οὐλὴν ἄγει. οἷον σμύρνα, λιθάργυρος, καὶ ἡ καυθεῖσα ὄστρεον. ἐπιπαττόμενα γὰρ ξηρά. καὶ ταῦτα πολλάκις ἐπούλωσε. πίτυος φλοιὸς σὺν κηρωτῇ μυρσίνῃ, κισσοῦ τὸ ἄνθος μετὰ κηρωτῆς, κρίνου ῥίζα σὺν ῥοδίνῳ, πιτύνη ξηρά, κίσσηρις ὀπτή, λεπὶς χαλκοῦ ἴσα, ξηροῖς χρῶ. τοῦτο καὶ καταστέλλει. ἢ κισσήρει λείᾳ μάννης καὶ διφρυγοῦς μίξας ἀνὰ ὀλίγον, χρῶ. ἢ λιθαργύρου μετὰ διφρυγοῦς τὸ ϛ. μετὰ κηρωτῆς ὡς σπλήνιον ἐπιτίθει. τὰ δὲ παλαιὰ ἀπούλωτα. ἰξὸς σὺν λιβανωτῷ. ἰὸς μετὰ διφρυγοῦς ἴσου, καὶ μετὰ κηρωτῆς μυρσίνης. ἢ κενταύρειον τὸ μικρόν, πρόσφατον καταπλαττόμενον. τὰ δὲ ὑγρότερα, κυπρίνου ῥίζῃ κατάπλαττε. πρὸς δὲ τὰ καθ' ἕδραν τε καὶ αἰδοῖον μάλιστα φλεγμαίνοντα, ἀλόῃ χρῶ λείᾳ ξηρᾷ, ἢ δι' ὕδατος. ἢ λεπίδα χαλκοῦ, ἢ χρυσόκολλαν ἐν ἡλίῳ μετὰ κηροῦ μαλάξας ἐπιτίθει.

Ξηρὸν ἀπουλωτικόν.

Ὀστρέων <.ιβ. μάννης <.ϛ. καδμίας <.δ. ποιεῖ καὶ πρὸς νομάς. Ἄλλο. Ἀριστολοχίας <.ϛ. πίτυος φλοιοῦ <.ϛ. μάννης <.ϛ. κισσήρεως <.δ. κολοφωνίας <.δ. ἴρεως <.δ. Ἄλλο. Κέρατος ἐλαφείου Kς <.δ. πίτυος φλοιοῦ Γο.ϛ. ψιμυθίου Γο.δ. ἰοῦ ξυστοῦ Γο.θ. καδμίας <.ιη. Ἄλλο. Κυτίνων, χαλκάνθου ἀνὰ <.ιϛ. λεπίδος χαλκοῦ, συπτηρίας σχιστῆς ἀνὰ <.η. κηκίδος <.α. Ἄλλο. Ψιμυθίου, λιθαργύρου ἀνὰ Γο.η. σκωρίας μολίβδου, κηκίδος, σμύρνης ξηρᾶς ἀνὰ <.δ.

Κατουλωτικόν.

Σχιστῆς συπτηρίας Γο.α. λειώσας βρέξον ἐν ὕδατι ξ.α. λυθείσης δὲ τῷ ὕδατι, μότους βρέξας καὶ ξηράνας, αὐτοῖς χρῶ.

Ἔμπλαστρος ἀπουλωτικὴ τῶν ἀπλουστέρων.

Κηροῦ <.μ. λιθαργύρου <.λε. διφρυγοῦς <.η. μυρσίνου ἡμικοτύλιον. ποιεῖ δὲ πρὸς ταῦτα καὶ ἡ φοινικίνη, καὶ ἡ διὰ καδμίας. τό, τε μυρσίνατον καὶ τὰ παραπλήσια. πρὸς δὲ τὰ δυσαπούλωτα. κηροῦ, μυρσίνου ἀνὰ <.ϛ. καδμίας Γο.ϛ. μολίβδου, λιβάνου ἀνὰ <.β. σχιστῆς συπτηρίας, χαλκοῦ Kς ἀνὰ Γο.α. ἰοῦ ξυστοῦ <.β. ἔπιλυε παρὰ μίαν.

Χρονίοις καὶ δυσαπουλώτοις.

Καδμίας <.η. χρυσοκόλλης <.η. σχιστῆς <.η. ἰοῦ, λεπίδος χαλκῆς ἀνὰ <.α. πιτυΐνης <.μ. κηροῦ <.ρ. μυρσίνου τὸ ἀρκοῦν. Ἄλλο. Κηροῦ πιτυΐνης ἀνὰ Γο.ϛ. καδμίας Γο.ϛ. χαλκίτεος ὠμῆς Γο.γ. μυρσίνου τὸ ἀρκοῦν. οἴνῳ λειοῦται ἡ καδμία καὶ ἡ χαλκῖτις, ἐν τοῖς ὑπὸ κύνα χρῶ πλατύσματι, καὶ ἐπάνω μότῳ καὶ σπόγγῳ δι' οἴνου. Ἄλλο. Χαλκοῦ Kς Γο.β. σχιστῆς συπτηρίας Γο.β. ἁλῶν ἀμμωνιακῶν <.β. κηροῦ Γο.ϛ. κολοφωνίας Γο.ϛ. μυρσίνου Γο.β. ὄξει λειοῦται τὰ ξηρὰ ἐν ἡλίῳ ἡμέρας η. ὅταν δὲ μελιτῶδες γένηται, ἐκτήξας καὶ ψύξας τὸν κηρὸν μίσ-

γε μαλάσσων. ποιεῖ πρὸς ταῦτα καὶ τὸ διὰ κισσήρεως φάρμακον, ἥτε ἶσις, καὶ τὰ παραπλήσια.

Περὶ κακοήθων ἑλκῶν ἃ χειρώνια καὶ τηλέφια καλεῖται. μς.

Τὰ παλαιὰ καὶ δυσκατούλωτα τῶν ἑλκῶν, οἱ μὲν χειρώνια προσηγόρευσαν, οἷα δὴ τοῦ χείρωνος αὐτοῦ δεόμενα πρὸς ἴασιν. οἱ δὲ, τηλέφια, διὰ τὸ τὸν Τήλεφον ἐν ἕλκει τοιούτῳ χρονίσαι. σκεπτέον τοίνυν μήποτε καὶ τὸ ὅλον σῶμα κακόχυμον ὑπάρχον, τοιαύτας ἐπιῤῥοίας ἐκπέμπει τῷ ἕλκει. καὶ τὸν πλεονάζοντα χυμὸν διὰ τῶν καταλλήλων κενωτέον φαρμάκων. εἰ δὲ καὶ κιρσὸς ἐπιπέμπων τοῖς σκέλεσι, ἐν τούτοις τοῦ ἕλκους τυγχάνοντος, ἐπὶ τὸν ἀφαιρετέον, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται. ἢ διὰ φλεβοτομίας γοῦν αὐτοὺς κενωτέον, συχνὸν ἀφαιροῦντας τοῦ αἵματος, κἄπειτα τοῖς ἐπικοῖς χρηστέον βοηθήμασι τῆς ἀνασκευαστικῆς ἀδήκτως ὑπάρχουσι δυνάμεως. ἁπλᾶ μὲν οὖν τὰ διὰ κισσήρεως τε καὶ διφρυγοῦς, καὶ λεπίδος, ἰοῦ τε καὶ τιτάνου μετρίως πλυθείσης. στυπτηρίας σχιστὴν λείαν ἐπίπασσε. ὑσσώπου < .δ. σταφίδος < .δ. νίτρου < .ϛ. προεπιχρίσας μέλιτι κατάπασσε. λεπίδος χαλκῆς < .ι. στυπτηρίας < .β. μετὰ κηροῦ < .ι. μαλάξας ἐν ἡλίῳ, ἐπιτίθει.

Σύνθετα δὲ ταῦτα. ἔμπλαστρος πρὸς χειρώνια.

Ψιμυθίου γο. η. σχιστῆς στυπτηρίας γο. β. λεπίδος χαλκῆς < .ϛ. ἁλῶν ἀμμωνιακῶν, λιβανωτοῦ ἰοῦ ξυστοῦ, σιδίων ἀνὰ γο. β. ἀσβέστου γο. α. κηροῦ λι. α. μυρσίνης λι. α. ϛ. τὰ ξηρὰ οἴνῳ λέου. ἐκτύλοι ἐν ἀρχῇ, καὶ ἀποτιθέμενον φυλάσσεται, ἐπὶ τέλει δὲ τὸ ἀεὶ, χρήσεως ἀναμαλασσόμενον μυρσίνῳ κατύλοι. Ἄλλο. Λιθαργύρου λι. α. ἐλαίου λι. β. χαμαιλέοντος μελανος, ῥίζης ἀριστολοχίας, κηκίδος ὀμφακίτιδος ἀνὰ γο. α. χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, λιβανωτοῦ ἀνὰ γο. β. σκεύαζε κινῶν ῥίζαις χλωρῶν καλάμων.

Ἀρχιγένους πρὸς χειρώνια, τά τε ἐπὶ τῶν κνημῶν καὶ τὰ ἐν μασοῖς κακοήθη, χοιράδας, παρωτίδας.

Στέατος βοείου λι. γ. τερμινθίνης γο. ε. μάννης γο. ζ. γῆς λεγομένης σάρδης ᾗ οἱ γραφεῖς χρῶνται. γο. ε. τὰ τηκτὰ ἐπὶ τῶν ξηρῶν βαλὼν, καὶ ἑνώσας, χρῶ. Ἄλλο. Ἀρχιγένους. Κηροῦ γο. δ. ἐλαίου ὀμφακίνου, μάννης, ἢ λιβανωτοῦ, διφρυγοῦς, λεπίδος ἀνὰ < .δ. σὺν ὄξει τὰ ξηρὰ λεάνας, καὶ μελιτῶδες πάχος ποιήσας, μίσγε τῇ κηρωτῇ, καὶ χρῶ ἀνεὶς ἐμμότῳ. Ἄλλο. Περὶ τὰ τῶν γυναικῶν κακοήθη ἕλκη καὶ τῶν ἄλλων ἁπαλοχρώτων. Κηροῦ τυῤῥηνικοῦ < .η. στέατος ταυρείου, τερμινθίνης, μολίβδου κεκαυμένου, καὶ πεπέρεως ἀνὰ < .α. χρῶ ἐμμότῳ ἀνεὶς διὰ ῥοδίνου ἢ μυρσίνου.

Πρὸς οὐλὰς μελαίνας. μζ.

Οὐλὰς μελαίνας αἴρει. Βρυωνίας ῥίζης λευκῆς καὶ μελαίνης ἑψηθείσης ἐν ἐλαίῳ ἄχρι χυλώσεως, τὸ ἔλαιον ἐπιτιθέμενον. καλαμίνθη ἐν οἴνῳ ἑφθή. λιθάργυρος πεπλυμένη σὺν ῥοδίνῳ λευκῷ. τὰς δὲ ἐκ λειχήνων οὐλὰς καὶ τὰς ἄλλας, ὁμοχρόους ποιεῖ ὄνειον στέαρ καταχριόμενον, εὐζώμου σπέρμα λεῖον μετὰ χολῆς αἰγὸς καὶ βοὸς καὶ προβάτου καταχριόμενον σὺν λιθαργύρῳ. προβάτειος ἀστράγαλος κεκαυμένος, λεῖος σὺν αὐστηρῷ οἴνῳ. ἀμμωνιακὸν θυμίαμα σὺν ὑείᾳ χολῇ καταχριόμενον. σύνθετα δέ. λιθαργύρου ἡδιόσμου, λιβανωτοῦ ἴσα, μέλιτι. Ἄλλο. Νίτρου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, σμύρνης ἴσα, ὄξει λευκῷ ἢ οἴνῳ ἢ ὕδατι διαφορήσας ἐπίχριε ὀλιγοστὸν, ὡς μὴ ἑλκωθῆναι. Ἄλλο. Κιμωλίας, περιστερῶν κόπρου, σάπωνος, λιβανωτοῦ ἴσα δι' ὄξους. Σμῆγμα πρὸς οὐλὰς μελαίνας. κιμωλίας < .η. ἀφρονίτρου < .ε. ἐλλεβόρου λευκοῦ < .ε. μυροβαλάνου πιέσματος < .δ. ἐν βαλανείῳ σμῆχε.

Περὶ κόλπων. μη.

Ὅτε τὸ παρακείμενον δέρμα τοῖς ἕλκεσιν, ἐπὶ πλέον ἀκόλλητον ᾖ τοῖς ὑποκειμένοις σώμασιν. κόλπον τὸ τοιοῦτον πάθος ὀνομάζουσιν. πρὸς μὲν οὖν τὴν ἄνω χώραν ἀνατεταμένου τοῦ κόλπου, ῥαδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχὼρ, καὶ ἡ κόλλησις εὐχερὴς γίνεται. ἀναῤῥόπου δὲ ὄντος αὐτοῦ, μένων ἔνδον ὁ ἰχὼρ ἀναβιβρώσκει τι τῶν συνεχῶν. καὶ εἰ μὴ πρότερον εἰς ὑπόῤῥυσίν τινα ποιήσεις τομὴν, οὐδὲν ἀνύσεις, οὔτε ἐν τῷ σαρκοῦν αὐτοὺς οὔτε ἐν τῷ κολλᾶν. εἰ δὲ κατά τι τῶν κώλων, οἷον πήχεων ἢ μηρὸν, κόλπος ὑπάρχοι. δύναιτ' ἂν καὶ χωρὶς ἀντιδιαιρέσεως κολληθῆναι, κατάῤῥοπον ἐπινοοῦντος σου σχῆμα. ἐν μὲν γὰρ τῷ πήχει πλησίον τοῦ ἀγκῶνος ὑπάρχοντος τοῦ στομίου, τὸ ἄκρον τῆς χειρὸς ὑψηλότερον ἀνατείνων, εἰς ὑπόῤῥυσιν ῥέψεις τὸν κόλπον. ἐν δὲ τῷ μηρῷ τοῦ κόλπου πρὸς τῷ γόνατι τὸ στόμα ἔχοντος, κατάῤῥοπον ἐργάσῃ τὸ σχῆμα, ἐπὶ τὴν ἰγνύαν ὑποθεὶς ὑπαυχένιον μαλακὸν, ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. εἰ μὲν οὖν μὴ δέοιτο σαρκώσεως ὁ κόλπος, εὐθὺς διὰ εὐθυτρήτου τινὸς αὐλίσκου κύστιν ἔχοντος ἐνδεμένην, πρὸς μὲν τὸ ἀποῤῥίψαι τοὺς ἐπὶ τὸν κόλπον ἰχῶρας, μελικράτῳ ὕδαρεῖ ὡς ἂν πίοι τις κλυστέον αὐτόν. πρὸς δὲ τὴν μέλλουσαν κόλλησιν, οἴνῳ ἢ οἰνομέλιτι. κἄπειτα χωρητέον ἐπὶ τὸ κολλητικὸν φάρμακον. εἰ δὲ κοῖλος ὢν ὁ κόλπος δέοιτο σαρκώσεως. πρῶτον μὲν ἐνιέναι τοῦ διὰ χάρτου ξηροῦ ὀλίγον, μετὰ πολλοῦ ῥοδίνου, κἄπειτα τινὰ τῶν μοτῶν βύειν τὸ στόμιον. μετὰ δὲ τοῦτο ἐπὶ ἰσιδος ἢ τοῦ μαχαιρίωνος ἢ τινος τῶν παραπλησίων ἐμπλα-

ξηρῶν φαρμάκων, ἅμα ῥοδίνῃ κηρωτῇ ὑγροτέρᾳ τήκοντας, ὡσαύτως ἐνιέναι. συμμέτρως δὲ ἀποσαρκωθέντος τοῦ κόλπου, τῶν παρακολλητικῶν τι φαρμάκων ἐπιθήσεις, ὥσει καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα. τοιαῦται δέ εἰσιν αἵ τε Βάρβαροι καὶ δίχρωμοι καὶ κιρραὶ προσαγορευόμεναι. μάλιστα δὲ πασῶν, ἡ διὰ τοῦ κικίνου καὶ τῶν μεταλλικῶν χωρὶς κηροῦ σκευαζομένη, κιρρὰ τοῦ Γαληνοῦ ἔμπλαστρος, ἁρμόσει. μετὰ δὲ τὴν ἐπίθεσιν τοῦ φαρμάκου, σπόγγος καινὸς ἐξ οἰνομέλιτος ἢ οἴνῳ περιβαλλέσθω, μαλακῶς μάλιστα. καὶ ἡ ἐπίδεσις, ἀπὸ μὲν τοῦ πυθμένος ἀρχέσθω τοῦ κόλπου, τελευτάτω δὲ ἐπὶ στόμα. αἱ δὲ περιβολαὶ τῶν ὀθονίων, σφιγγέτωσαν μὲν ἀνωδύνως τὸν πυθμένα τοῦ κόλπου, κατὰ βραχὺ δὲ ἐκλυέσθωσαν ἄχρι τοῦ στομίου, τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης κατὰ τὸ στόμιον ὡς ἐκκρίνεσθαι τοὺς ἰχῶρας. μικροῦ δέ τινος ἄλλου κατὰ τοῦτον ἐπιτιθεμένου ἐμπλαστρίου, ἐκ τοῦ αὐτοῦ φαρμάκου, χαύνου διὰ τὴν αὐτὴν ἔκροιαν. ἐᾶν δὲ αὐτὸ μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος ἀφαιρέσεις αὐτὸ τοῦτο, καὶ ἀλλάξεις. ἐάσας τι καθόλου τοῦ κόλπου περιβεβλημένον φάρμακον. ἔσται δέ σοι διάγνωσις εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου, καλῶς ἐκρυέντος ἰχῶρος ὀλίγου τε καὶ πεπεμμένου. ἢ καὶ μηδ᾽ ὅλως ἐκρυέντος. ἔτι δὲ καὶ κατ᾽ αὐτὸν τὸν κόλπον, εἰ μήτε ὀδύνη τις αἰσθητή, μήτε ὄγκος, ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν, καὶ ξηρὸν καὶ ἀνώδυνόν ἐστιν. ἐὰν δὲ καὶ πῦον ὑπέπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον ἐλπίδας ἀγαθὰς ἕξεις. εἰ δὲ καὶ κατὰ τὴν πρώτην ἢ δευτέραν ἡμέραν ἐκκρίνηταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τῆς κολλήσεως ἀπέλπιζε. πολλάκις γὰρ ἡ τοῦ φαρμάκου δύναμις ἐκθλίβει σφοδρῶς ἐκ τῶν ὑποκειμένων ὑγρότητα λεπτήν, ἧς ἐκθλιβείσης, συμμέτρως ξηρὰ γινόμενα τὰ χωρία κολλᾶται. κατὰ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ φαίνηται διὰ τοῦ στομίου, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον. καὶ ἐπίμενε τῷ αὐτῷ φαρμάκῳ. ἀφιστάμενον δὲ ὡς εἰκὸς αὐτὸ διὰ ὑγρότητά τινα, καὶ ἀλλάξαι οὐδὲν ἄτοπον, ἐκ τοῦ αὐτοῦ φαρμάκου.

Περὶ ῥακωδῶν κόλπων.

Ὅταν δὲ βραδέως τμηθέντος ἀποστήματος, ἤτοι διὰ ἀμαθίαν τοῦ ἰατρεύοντος ἢ διὰ δειλίαν τοῦ θεραπευομένου, τὸ ἐπικείμενον τῷ κόλπῳ δέρμα λεπτὸν καὶ ῥακῶδες εἴη, καὶ μὴ οἷόν τε περιελεῖν αὐτό. μετὰ τὰ λελεγμένα κλύσματα, κολλητικῷ χρηστέον φαρμάκῳ, συστάσει μὲν ὑγρῷ, τῇ δυνάμει δὲ ξηρῷ. τοιαύτη δέ ἐστιν ἡ διὰ χαλκίτεως φοινικίνη προσαγορευομένη, ἀνιεμένη δι᾽ ἐλαίου παλαιοῦ, ὡς μήτε σκληρὰν πάνυ εἶναι μήτε ἀμόλυντον. κᾄπειτα μετὰ οἴνου μετρίως παλαιοῦ φυρωμένη. εἶτα ἐπιτιθεμένη ἐν κύκλῳ, μετὰ τῆς προσηκούσης ἐπιδέσεως. ἁρμόττει δὲ ἐπὶ τῶν ῥακωδῶν, ὡς εἴρηται, δερμάτων οὐχ ἥκιστα μέλι, μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθέν, καὶ ἐπιτεθέν. ἄμεινον δὲ μετὰ τὴν ἐν τῷ ῥάκει ἐπίπλασιν ἐπιπάττειν αὐτῷ διὰ κοσκίνου μετεώρου χνοώδη σμύρναν, ἢ ἀλόην, ἢ λιβανωτόν, ἢ πάντα ὁμοῦ. ἐπιφέρεσθω δὲ τοῦ λεπτοῦ κεντωνείου θαυμασίου φαρμάκου πρὸς τὴν αὐτὴν χρείαν. ἐφεξῆς δὲ αὐτῷ τὸ σύμφυτόν ἐστι. καὶ μετὰ τοῦτο, τῆς ἰλλυρίδος ἴρεως ἡ ῥίζα. μεθ᾽ ὧν, τὸ τῶν ὀρόβων ἄλευρον. ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὴν τὴν ἕψησιν ἐμπάττομεν αὐτὰ τῷ μέλιτι, ὅτε μέλλει καθαιρεῖσθαι ἀπὸ τοῦ πυρὸς ἡ κακκάβη. κάλλιον δὲ καὶ μετὰ τὸ ἐπαρθῆναι. εἶτα κινεῖν. ὅτε δὲ γένηται χλιαρόν, ἐπιτιθέναι αὐτὸ τῷ κόλπῳ, καὶ ἐπιδεῖν ὡς εἴρηται.

Περὶ σύριγγος. μθ.

Ἡ σύριγξ. κόλπος ἐστὶ τετυλωμένος, ἐξ ἀποστημάτων τὰ πολλὰ συνιστάμενος, ἐκ μεταφορᾶς τῶν καλαμίνων συρίγγων ὠνομασμένος. εἰ μὲν οὖν εἰς ὀστοῦν καταλήγοι, τῶν ἀδυνάτων ἐστὶν αὐτὴν ἄνευ χειρουργίας ἰαθῆναι. πλὴν εἰ μὴ χρόνῳ λεπὶς αὐτομάτως, ἢ ὀστοῦν, ἀποσταίη. εἰ δὲ μὴ καταλήγοι εἰς ὀστοῦν, διὰ τῶν ἐκτυλωτικῶν τε καὶ κολλητικῶν ἰαθήσεται φαρμάκων. ἐκτυλωτικὰ μὲν οὖν εἰσὶ ταῦτα. σπονδυλίου ῥίζα περιξεομένη καὶ ἐπιτιθεμένη, συρίγγων τύλους ἀφαιρεῖ. καὶ ἐλλέβορος μέλας ἐντιθέμενος, ἐν δύο καὶ τρισὶν ἡμέραις ἀφίστησι τὸν τύλον. ἀμόργη ἑψημένη καὶ ἐγκλυζομένη. σῶρυ ὠμὸν ἢ κεκαυμένον, μετ᾽ ὀλίγου κράματος ἐγκλυζόμενον. σῶρυ καὶ κροκόμαγμα μεθ᾽ ὑδρομέλιτος. ἢ ἐλατήριον τερμινθίνῃ ἀναλαβὼν κολλούρια ποίει, καὶ ἐντίθει. ἢ σιλφίου ῥίζης χυλῷ ἐγχυμάτιζε. ὑπεκτήκει δὲ τοῦτο. ἰοῦ < ιβ. ἀμμωνιακοῦ < β. ἀναλαβὼν ὄξει ποίει ἐπιμήκη.

Κολλούριον ᾧ χρῶμαι εἰς ἐκτύλωσιν συρίγγων.

Ἀμμωνιακοῦ θυμιάματος, χαλκάνθου, ἰοῦ, μίσυος, χαλκίτεως, κόμμεως, ἴσα ἀναλάμβανε ὄξει.

Ἄλλο. Ἐκ τῶν Ἑλιοδώρου χειρουργουμένων. Καδμίας, μίσυος, χαλκάνθου, χαλκοῦ κεκαυμένου. κόμμεως ἀνὰ < δ. χαλκίτεως ὠμῆς < γ. ἀναλάμβανε οὔρῳ παιδὸς ἀφθόρου καὶ πλάσσε κολλούρια. ἐνθεὶς δὲ τὸ κολλούριον ἐν τῇ σύριγγι, ἔξωθεν ἐπιτίθει ἄρτου τὸ ἐντὸς ὕδατι βραχέν, ἀλλάσσων

αὐτὸ

αὐτὸ ἕως ἀφλέγμαντος γένηται, καὶ ἐκπέσῃ ἡ ἐσχάρα. Ἄλλο. Ὃ ἔλαβον ἐν Ἀλεξανδρείᾳ. Ἀγχούσης ῥιζῶν, μίσυ ὀπτοῦ, χαλκίτεως, ἰοῦ, στυπτηρίας σχιστῆς, χαλκάνθου, ἀλόης ἀνὰ γο. α΄. κανθαρίδας πέντε, ὄξει λειώσας ποίει κολλύρια. Ἄλλο. Χαλκάνθου < β΄. χαλκίτεως, ἰοῦ ἀνὰ < α΄. ἀναλάμβανε ἀμμωνιακῷ καὶ χρῶ. ὅταν δὲ ἐκτυλωθῇ, ἰῷ ἑφθῷ μετὰ μελικράτου καθαρωτάτου ὀκταπλασίου ἀνακάθαιρε, ποιῶν κολλύρια. μετὰ δὲ τὸ ἐκτυλωθῆναι σαρκωτικοῖς δεῖ χρῆσθαι. Κολλύριον σαρκωτικόν. ἀλόης, σμύρνης, ἀμμωνιακοῦ, ὠῶν λέπων < κ΄ τῆς τέφρας, ἴσον, ὕδατι λειώσας, πλάσσε κολλύρια καὶ ἐντίθει. Ἄλλο. Σμύρνης, ἀλόης, λιβάνου, σιδίων τὸ ἴσον, ἀναλάμβανε ὕδατι. τινὲς χολῇ ταυρείᾳ. σαρκοῖ δὲ καὶ τὸ ὀμφάκιον ἐγκλυζόμενον. οἶδα τινὰ κεδρίαν κλύζοντα τὰς σύριγγας, καὶ θαυμαστῶς ἐπιτυγχάνει. μετὰ δὲ τὸ σαρκωθῆναι, τῷ κολλητικῷ χρηστέον φαρμάκῳ κατὰ τὸν ἐν τῷ περὶ τῶν ἄλλων κόλπων διηγορευμένον τρόπον. στενῆς δὲ οὔσης ἅμα καὶ μακρᾶς τῆς σύριγγος, φησὶν ὁ Γαληνός, καὶ μηδέπω μου φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, ἐνῆκα πρότερον τὴν κονίαν, εἶτα ἐπισχὼν ἐν τῇ σύριγγι τοσοῦτον χρόνον ἕως οὗ τὸν ῥύπον ἤλπισα τελέως ἐκπεσεῖν. μετὰ ταῦτα ἐπέθηκα τὸ φάρμακον. ἦν δὲ τὸ διὰ κικίνου ἐλαίου, λεχθὲν ἀνωτέρω.

Περὶ τῶν ἀναρρηγνυμένων. ν΄.

Τινὰ δὲ τῶν ἑλκῶν ἐπουλούμενα, πολλάκις μετὰ χρόνον οὐ πολὺν αὖθις φλεγμαίνει καὶ ἀναρρήγνυνται. παθόντος γὰρ ὀστοῦ τινός, ἐνίοτε ἡ ἐπικειμένη σὰρξ ἐπουλοῦται μὲν ῥᾳδίως, καὶ ὑγιὴς εἶναι δοκεῖ τελέως. πάλιν δὲ ἰχῶρος ἐπιρρέοντος κατ' ὀλίγον, ἐκ τοῦ φθειρομένου κατὰ τὸ βάθος ὀστοῦ φλεγμονή τε καὶ πόνος ἐπιγίνεται τὴν οὐλὴν ἀναξαίνων. τίς οὖν ἡ θεραπεία τῶν τοιούτων ἑλκῶν; ξηραντέον ἐστὶ τοσοῦτον ὡς ἀποστῆναι τὸ πεπονθὸς ὀστοῦν. ῥᾳδίως οὖν ἀναπλύνει τὰ ἐγκαθήμενα τῶν ὀστῶν, εἰ μήκωνος ἀγρίας καὶ συκῆς φύλλα λεῖα μετὰ παιπάλης ἀλφίτου καὶ οἴνου καταπλάσσεις. ἢ ὑοσκυάμου σπέρμα καὶ χαλκάνθου ἴσα τρίψας, ἐπιθήσεις. ἢ πευκεδάνου ἡ ῥίζα, λεπίδας ὀστῶν ἀφίστησιν ἐν τάχει.

Περὶ τῶν ἐν ἄρθροις ἑλκῶν. να΄.

Τὰ ἄρθρα ξηρότερα τῶν σαρκωδῶν ἐστι μορίων, διόπερ ἑλκωθέντα ξηροτέρων δεῖται φαρμάκων. καλῶς γοῦν ὁ τοῦ Πολυείδου τροχίσκος ποιεῖ, μετ' οἴνου τριβόμενος ἕως γλοιώδους συστάσεως. καὶ τὰ ὁμοίως τούτῳ ξηραίνοντα φάρμακα. καὶ θαλάττῃ δὲ καὶ ἅλμῃ πολλάκις ὀνήσαντες αὐτά, βέλτιον ἐθεασάμεθα διατιθέμενα. χρηστέον οὖν ἐστὶ τῶν ἄρθρων καὶ τοῖς μᾶλλον ξηραίνουσιν.

Ὅσα σκόλοπας καὶ ἀκίδας καὶ ἀκάνθας ἀνάγει. καὶ τὰ παραπλήσια. νβ΄.

Ἀκίδας καὶ καλάμους, ἔτι δὲ σκόλοπας καὶ ἀκάνθας ἐπισπῶνται ἀναγαλλίδες αἱ δύο, ἀριστολοχία στρογγύλη, ἀμμωνιακὸν σὺν μέλιτι, ὑοσκυάμου καρπὸς λεῖος καταπασσόμενος. καλάμου ῥίζαν κόψας καὶ μέλιτι μίξας, εἰς τὸ ὀθόνιον ἐμπλάσσων δαψιλές, ἐπιτίθει. συντόμως ἀνάγει.

Περὶ αἱμορραγίας τῆς τε ἀπὸ φλεβὸς καὶ τῆς ἀπὸ ἀρτηρίας. νγ΄.

Ἐπὶ τῶν αἱμορραγούντων μορίων, τὸ τοῖς κόλποις ἐναντίον ἁρμόσει σχῆμα. ἄνω δέ ἐστι τὸ ἀνάρροπον. ἔσω δὲ μηδὲ ἄνω ἄμετρον. κίνδυνος γὰρ ὀδύνην γενέσθαι, καὶ αὖθις αἱμορραγῆσαι τὸ ἀγγεῖον. οὐδὲν γὰρ ὀδύνης πλέον, αἱμορραγίας τε κινεῖ καὶ φλεγμονὰς αὔξει. ἐπὶ δὲ τῶν αἱμορραγούντων μορίων, αὐτίκα μὲν ἐπίβαλλε τὸν δάκτυλον, ἐπὶ τὸ στόμα τοῦ κατὰ τὸ ἀγγεῖον ἕλκους ἐρείδων πράως, καὶ πιέζων ἀνωδύνως. ἅμα τε γὰρ ἐφέξεις τὸ αἷμα, καὶ θρόμβον ἐπιπήξεις τῇ τρώσει. καὶ μέντοι καὶ εἰ διὰ συχνοῦ βάθους εἴη τὸ αἱμορραγοῦν ἀγγεῖον, ἀκριβέστερον ἂν καταμάθοις τήν τε θέσιν αὐτοῦ καὶ τὸ μέγεθος, καὶ πότερον φλέψ ἐστιν ἢ ἀρτηρία. μετὰ δὲ ταῦτα, σμικροῦ μὲν ὄντος τοῦ ἀγγείου, τινὶ τῶν ἰσχαίμων χρηστέον. κάλλιστα δὲ αὐτῶν ἐστι τὰ ἐμπλαστικά, συντιθέμενα διά τε τῆς φρυκτῆς ῥητίνης, καὶ ἀλεύρου πυρίνου χνοῦ, καὶ γύψου, καὶ ὅσα τοιαῦτα, ὠοῦ τῷ λευκῷ φυρώμενα καὶ σὺν λαγωαῖς θριξὶν ἐπιτιθέμενα. μεγάλου δὲ ὄντος αὐτοῦ, διαπείρας ἀγκίστρῳ τὸ ἀγγεῖον ἀνάτεινέ τε καὶ περίστρεφε μετρίως. ἐπισχεθέντος δὲ τοῦ αἵματος, εἰ μὲν φλὲψ εἴη παραδοθῇ χωρὶς βρόχου στέλλειν τὸ αἷμα, τοῖς αὐτοῖς τούτοις φαρμάκοις. εἰ δ' ἀρτηρία, δυοῖν θάτερον, ἢ βρόχον περιθεὶς ἢ ὅλον διακόψας τὸ ἀγγεῖον ἐφέξεις τὸ αἷμα. βρόχον δὲ ἀναγκαζόμεθα ποτὲ καὶ ταῖς μεγάλαις περιτιθέναι φλεψίν, ὥσπερ γε διατέμνειν ποτὲ αὐτὰς ὅλας, ἐγκαρσίας δηλονότι. καταστάν δ' αὐτάς, εἰς ἀνάγκην τοῦδε, κατὰ τὰς ἐκ πολλοῦ βάθους ὀρθίας ἀναφερομένας. καὶ μάλιστα διὰ στενοχωρίας τινὸς ἢ μορίων κυρίων. ἀνασπᾶται γὰρ οὕτως ἑκάτερον τὸ μέρος ἑκατέρωσε, καὶ θρύπτεται, καὶ σκέπεται πρὸς τῶν ἐπικειμένων σωμάτων ἡ τρῶσις. ἀσφαλέστερον δὲ ἄμφω ποιεῖν, βρόχον μὲν τῇ ῥίζῃ

προσθεῖναι τοῦ ἀγγείου. τέμνειν δὲ τοὐντεῦθεν. ταῦτα δὲ πράξαντα, σαρκοῦν ὅτι τάχιστα τὸ τραῦμα πρὶν ἀπορρυῆναι τοῦ ἀγγείου τὸν βρόχον. εἰ μὲν γὰρ ταχέως σαρκωθῇ, ἀλλ' εὑρεθείη που χώρα κενή, τὸ καλούμενον ἀνεύρυσμα γίνεται. διαγνώσῃ δὲ ποτέρα φλὲψ ἢ ἀρτηρία ὅθεν ἡ αἱμορραγοῦσα. ἐπὶ μὲν γὰρ ἀρτηρίας ξανθότερόν τε καὶ λεπτότερον ἐστὶ τὸ αἷμα, καὶ σφυγματωδῶς κινούμενον. ἐπὶ δὲ φλεβός, μελάντερόν τε καὶ χωρὶς σφυγμοῦ. ἄριστον οὖν ἁπάντων ὧν ἴσμεν σαρκωτικῶν ἐστι φαρμάκων, ᾧ καὶ πρὸς τὰς ἐκ μηνίγγων αἱμορραγίας ἀσφαλέστατον χρῆσθαι. καὶ πρὸς τὰς ἐν τραχήλῳ τρώσεις ἀρκεῖ καὶ τῶν σφαγιτίδων. καὶ γὰρ καὶ τούτων ἐπέχει τὸ αἷμα, χωρὶς βρόχου. λαμβάνων λιβανωτοῦ τοῦ λιπαρωτάτου μέρος ἕν. ἀλόης, ἐπὶ μὲν τῶν μαλακωτέρων σωμάτων μέρη .ϛ'. ἐπὶ δὲ τῶν σκληροτέρων, τὸ ἴσον. καὶ ἀντὶ λιβανωτοῦ μάννης τὸ ἴσον. ὠοῦ δὲ λευκῷ καὶ τοῦτο φυράσθω ὡς μελιτώδη σύστασιν ἔχειν, εἶτα ἀναλαμβανέσθω λαγωαῖς θριξὶ ταῖς μαλακωτάταις, κἄπειτα ἐπὶ τῷ ἀγγείῳ, καὶ ἐπὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέσθω. καταδείσθω δὲ ἔξωθεν διὰ ὀθόνης. ἐπιδέσμῳ, τὰς μὲν πρώτας ἐπιβολὰς τέσσαρας ἢ πέντε, κατ' αὐτοῦ τοῦ αἱμορραγοῦντος ἀγγείου ποιουμένων ἡμῶν. ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν αὐτοῦ νεμομένων. εἶτα λύσας διὰ τρίτης εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτερον ἐν κύκλῳ περιχέοντα καὶ ὥσπερ ἐπιτέγγοντα, πάλιν ἐπιδεῖν. εἰ δὲ αὐτομάτως ὁ πρῶτος ἀπολύοιτο μοτός, ἀτρέμα πιεζοῦντα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου, πρὸς τὸ μηδὲν ἐπιρρυῆναι. τοῦτον μὲν ἀφελεῖν ἠρέμα, προσθεῖναι δὲ ἕτερον. οὕτω τε θεραπεύειν, μέχρι περ ἂν σαρκωθῇ τὸ ἀγγεῖον, ἀεὶ τοῦ ἀνάρροπου φυλαττομένου σχήματος ἀλύπως. τὰ δέ γε τὰς ἐσχάρας ἐπιπηγνύντα, γυμνότερον ἐργάζεται τὸ μέρος ἢ κατὰ φύσιν εἶχε, ἀποπιπτούσης δὲ τῆς ἐσχάρας, καὶ πολλοῖς αἱμορραγία δυσεπίσχετος ἠκολούθησεν ἐπὶ ταῖς τῶν ἐσχαρῶν ἀποπτώσεσιν. χρηστέον δὲ ὅμως καὶ τούτοις, ὅταν ἀνάγκη μεγάλη βιάζεται. μεγίστη δὲ ἀνάγκη τοῦ χρῆσθαι φαρμάκοις ἐσχαρωτικοῖς ἢ καυτηρίοις διαπύροις, ὅταν διὰ ἀναβρώσεως σηπεδονώδους ἡ αἱμορραγία γίνεται. καὶ μέντοι κἄπειδὰν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἅπαν ἐκκόψωμεν τὸ σηπόμενον, ἀσφαλέστερον ἤτοι καίειν αὐτὴν οἷον ῥίζαν, ἢ φαρμάκοις ἐσχαρωτικοῖς χρῆσθαι. τοῦτο δὲ μάλιστα ἐπί τε αἰδοίων καὶ ἕδρας συμβαίνει γίνεσθαι. σκοπὸς δὲ τῶν ἐσχαρούντων, ἡ μετὰ στύψεως θερμότης, καθάπερ ἐν χαλκίτιδι καὶ μίσυϊ καὶ χαλκάνθῳ. τὰ δὲ διὰ τῆς ἀσβέστου σφοδρότερα μέν, ἀλλὰ διὰ τὸ μὴ στύφειν τὴν τίτανον θᾶττον ἀποπίπτουσιν αἱ ἀπ' αὐτῶν ἐσχάραι. κάλλιον δὲ μένειν αὐτάς. φθάνει γὰρ ὑποσαρκοῦσθαι κατὰ τὴν βάσιν αὐτῶν, καὶ γίνεσθαι καθάπερ τι πῶμα τοῖς ἀγγείοις. ἐπὶ δὲ τῶν οὕτως αἱμορραγούντων, ἰσάτις ἡ ἥμερος ἐπιπαττομένη καλῶς ἐπέχει. ἢ κηκῖδες καυθεῖσαι. δεῖ δὲ αὐτὰς διαπύρους, δι' ὄξους ἢ δι' οἴνου σβεννύειν. καθάπαξ δὲ αἱμορραγίας ἵστησιν. ἁπλᾶ μέν, ἀλόη, λίβανος, μάννα, σάμιος ἀστήρ, ἰὸς σιδήρου, ἐρίων καυθέντων ὁμοίως ἡ τέφρα λειοτάτη, κόπρος ὄνου καὶ ἵππου, ἄσφαλτος Βραχὺς, σίδια, διφρυγές, κηκίς, μυρσίνη ξηρά, στυπτηρία πᾶσα ὠμή τε καὶ καυθεῖσα, ῥητίνη φρυκτή, ἀμπέλου φλοιός, ἢ φύλλα ξηρά. τῶν πλατάνων τῶν σφαιρίων ὁ χνοῦς, μάλιστα ὅτε τὸν ἐπίπαγον ἀποβάλλει. ἰδίως δὲ μυκτῆρος αἱμορραγίαν ἐντιθέμενα στέλλει ὀξυχίνου καρπός, κνίδης φύλλων χυλός, χαλκῖτις, ἄνθηλις κε. τρίχες λαγωοῦ. νάρθηκος τὸ μέσον, καυθὲν σὺν ὄξει. ὠὶς ξηρὰ ἢ ὑγρά. χυλὸς πράσου μετὰ λιβάνου ἐλλυχνίῳ ἀναληφθείς. σύνθετα δὲ πάσης αἱμορραγίας εἰσὶ φάρμακα καὶ τάδε. σπόγγον καινὸν ὑγρᾷ πίσσῃ δεύσας, καὶ ἀσφάλτῳ καταπλάσας, ἐν χύτρᾳ καινῇ καῦσον. τοῦ δὲ σποδιᾶς μέρη .β'. βαλὼν μίσυος μολίβδου μέρος .α'. καὶ στίμμεως μέρος .α'. Ἄλλο. Λιβανωτοῦ, μάννης, θείου ἀπύρου. ἴσα ἔμπασσε. Ἄλλο. Χαλκίτεως < .η'. λιβανωτοῦ ἢ μάννης < .ιϛ'. ῥητίνης φρυκτῆς < .η'. γύψου κε. < .η'. Ἄλλο. Ἐσχαρωτικὸν ἴσχαιμον. Χαλκίτεως, χαλκοῦ κε. χαλκάνθου, μίσυος ὀπτοῦ, ἴσα. καὶ ἡ ῥοδία δὲ προσαγορευομένη, καὶ ἡ ξανθή, τῶν ἀγαθῶν ἰσχαίμων εἰσίν.

Περὶ νευροτρώτων. νδ'.

Τὰ τετρωμένα τῶν νεύρων ἢ νυγέντα, τὴν φλεγμονὴν καὶ τὴν ὀδύνην ὑπερβάλλουσαν ἔχει διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. διὸ καὶ πυρετοὶ καὶ σπασμοὶ τούτοις παραγίνονται. εἰσὶ δὲ καὶ παραφροσύνη, διὰ τὴν πρὸς τὸν ἐγκέφαλον τῶν νεύρων συνέχειαν. ἔσθ' ὅτε δὲ καὶ κατ' ἄλλα τὰ πέριξ χωρία τοῦ τρωθέντος μορίου φλεγμοναὶ καὶ ἀποστάσεις εἰώθασι γίνεσθαι, κατ' αὐτὸ τοῦ νεύρου τοῦ τρωθέντος, διὰ τὴν συνέχειαν αὐτοῦ. δεῖ οὖν τὴν τοῦ δέρματος τρῶσιν διατηρεῖν ἀκόλλητον, ἵνα δι' αὐτοῦ οἱ ἰχῶρες ἐκρέοιεν. ἐπὶ δὲ τῶν νυγμάτων, εἰ τυφλὰ φαίνοιτο. καὶ προσεπιτέμνειν δύο διαιρέσεσι τεμνούσαις ἀλλήλας. ἐν δὲ τοῖς βοηθήμασιν, εἰ πληθωρικὸν εἴη τὸ σῶμα, καὶ ἡ φλεγμονὴ μεγάλη. πρῶτον ἀπὸ φλεβοτομίας ἄρχεσθαι. κακοχύμου δὲ φαινομένου τοῦ σώματος, καὶ καθάρσει χρηστέον. φάρμακα δὲ προσαγέσθω τῷ τραύματι τὰ τὴν ὀδύνην πραΰνοντα,

τα,

τα, καὶ τὴν ἐκροὴν ἀναστομοῦντα, μὴ γεγονυίας μάλιστα τῆς ἐπιδιαιρέσεως. τὸ μὲν οὖν θερμὸν ὕδωρ τὸ ταῖς ἄλλαις φλεγμοναῖς ἐπιτηδειότατον, εἰδέναι τούτοις πολέμιον, καὶ κάλλιον καταιονᾶν ἐλαίῳ λεπτομερεῖ μηδὲν ἔχοντι στύψεως, θερμῷ πρὸς αἴσθησιν. οὔτε γὰρ τὸ ψυχρόν, οὔτε τὸ χλιαρὸν ἄγαν, ἀβλαβὲς αὐτοῖς ἐστιν. τῶν δὲ φαρμάκων, ἐπιτήδειός ἐστι ῥητίνη τερμινθίνη, καθ' ἑαυτὴν μὲν ἐπὶ παιδίων καὶ γυναικῶν καὶ τῶν ἁπαλοσάρκων. μετὰ δὲ εὐφορβίου μαλαττομένη, ἐπὶ τῶν σκληροσάρκων. κἄν ποτε σκληρότερα τύχοι, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. καταπλάσμασι δ' αὖθις ἐπὶ τῶν φλεγμαινόντων καὶ σηπομένων νεύρων χρήσαιτο, κρίθινον ἄλευρον, ἢ κυάμινον, ἢ ὀρόβινον ἑψήσας ἐν κονίᾳ στακτῇ σὺν ὀξυμέλιτι. χωρὶς δὲ τῆς ἑψήσεως, ἐπὶ τῶν νυγμάτων καὶ κηρωτῇ τις ἂν χρήσαιτο τοιαύτῃ. κηροῦ οὐγ. γ. εὐφορβίου οὐγ. α. ἢ περιστερᾶς κόπρου, ἐπὶ τῶν σκληροτέρων σωμάτων. ἐλαίου οὐγ. β. ἔσθ' ὅτε καὶ τερμινθίνης οὐγ. α. ἐμπλαστρῶδες δὲ τὸ φάρμακον ἐργαζόμενος, εἰς τὴν οὐγ. τοῦ εὐφορβίου, ἀνὰ ς. οὐγ. κηροῦ καὶ φρυκτῆς ῥητίνης καὶ ἐλαίου καὶ πίσσης λιπαρᾶς ἐμβαλεῖς. ἀντὶ δὲ τῆς ῥητίνης, πρόπολιν τὴν λιπαρωτάτην ἐμβαλὼν ἄμεινον ποιήσεις. καὶ τοῦτο δὲ πρὸς τὰ νυγέντα νεῦρα τῶν ἀγαθῶν ἐστι φαρμάκων, ποιοῦν καὶ πρὸς τοὺς λυσσοδήκτους. ὄξους ξ. α. πίσσης λιπαρᾶς λι. α. ὀποπάνακος οὐγ. γ. τὸν ὀποπάνακα λύσας ὄξει ἐπὶ πλεῖον ἐκλείου, καὶ τὴν πίσσαν τήξας ἕψε. τοῦτο φάρμακον τοῖς νενυγμένοις νεύροις ἐπιτήδειόν ἐστιν, οὐ συγχωροῦν μύσαι τὸ στόμιον τοῦ νύγματος. ὥσπερ οὐδὲ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος. ποιεῖ δὲ ἐπὶ μόνων τῶν σκληρῶν σωμάτων. εἰ δὲ ἐπὶ παιδίων νυγέντων ἢ ἁπαλοσάρκων χρήσασθαι βουληθείης αὐτῷ, ἔστι σοι τήκειν αὐτὸ διά τινος τῶν διαφορούντων αὐτό, ἀμαρακίνου, ἢ ὀποβαλσάμου, ἢ ἐλαίου παλαιοῦ. ἁρμόττει δὲ καὶ τὸ βασιλικὸν φάρμακον, προσλαμβάνον νίτρου ἢ ἀσβέστου, ἢ εὐφορβίου, ἢ θείου ἀπύρου, ἢ ἀγρίας περιστερᾶς κόπρου, ἢ ὀποπάνακος, ἢ σαγαπηνοῦ, ἢ ὀποῦ κυρηναϊκοῦ, ἢ καστορίου. εἰς λίτραν δὲ τοῦ φαρμάκου οὐγ. α. ἐμβάλλειν τῶν εἰρημένων τινός. ποιεῖ δὲ πρὸς τοὺς νευροτρώτους καλῶς, καὶ μάλιστα τοὺς νενυγμένους. δύναιτο δ' ἄν τις κατ' ἀγρὸν μηδενὸς εὐπορῶν πρόπολιν πρόσφατον καὶ λιπαρὰν ἐντιθέναι κατὰ τοῦ τραύματος. ἢ ζύμην μάλιστα παλαιὰν μόνην τε καὶ μετὰ τῆς προπόλεως μίξας, ἢ μετὰ ὀποῦ τιθυμάλλου. τοῖς καταπλάσμασι δέ, τοῖς δι' ὀξυμέλιτος ἢ στακτῆς κονίας, μετὰ ἀλεύρου κυάμων ἢ ὀρόβων ἢ ἐρεβίνθων ἢ θέρμων πικρῶν ἢ κριθῶν, ἢ παιπάλης ἀλφίτων. οὐ μόνον ἐπὶ τῶν φλεγμαινόντων, ἀλλ' ἤδη καὶ κατ' ἀρχὰς εὐθέως κεχρῆσθαι. τὰ δὲ χαλαστικὰ τῶν καταπλασμάτων, ἐπὶ τῶν νευροτρώτων ἀεὶ παραιτεῖσθαι δεῖ. εἰ δὲ μὴ νυγείη τὸ νεῦρον, ἀλλὰ σαφῆ τῇ τομῇ τρωθείη, διαιρεθέντος καὶ τοῦ περικειμένου δέρματος, ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον, καὶ ὄρθιον οὐκ ἐγκάρσιον διῃρημένον. τῶν προειρημένων διὰ εὐφορβίου καὶ τῶν οὕτω δριμέων οὐδενὶ χρήσῃ. γυμνὸν γὰρ ὂν τὸ νεῦρον, οὐκ οἴσει τὴν δύναμιν αὐτῶν σφοδρὰν οὖσαν. τὴν τίτανον οὖν παραλήψῃ πεπλυμένην πολλάκις ἐν ὥρᾳ θερμῇ, πλείονι τῷ ἐλαίῳ δευομένην. καλὸν δὲ καὶ τὸ διὰ πομφόλυγος, καὶ τὸ διὰ μέλιτος ἐν ῥοδίνῳ πλείονι τακέν. δεῖ δὲ μηδὲν τῆς τρώσεως ψαύειν, αἰσθητικὸν γάρ ἐστι τὸ νεῦρον, καὶ τῇ κράσει ψυχρόν, καὶ συνεχὲς τῇ κυριωτάτῃ τῶν ἀρχῶν. ἀλλ' οὐδὲ ἐλαίῳ καταιονᾶν προσήκει τὸ τοιοῦτον ἕλκος. ῥυποῦται γάρ. ἐκμάττειν οὖν μόνον τοὺς ἰχῶρας διὰ μαλακῶν ἐρίων, ὑπαλείπτρῳ περιελίττοντας. πάντων δὲ κατὰ γνώμην προχωρούντων, ἀκίνδυνον γλυκεῖ διαβρέχειν. ἐπὶ δὲ τῶν ἰσχυροτέρων, καὶ τῷ πολυείδου τροχίσκῳ μετὰ σιραίου θερμοῦ διαμώτῳ χρῆσθαι. μετὰ δὲ τὸ σκεπασθῆναι τὸ γεγυμνωμένον νεῦρον, τοὺς μότους ἔξωθεν περιβάλλειν δεῖ σύν τινι τῶν πρὸς τὰς στενὰς τρώσεις ποιούντων, οἷον τῷ διὰ εὐφορβίου ἢ τῷ διὰ τῆς κόπρου τῶν περιστερῶν, συμπεριλαμβάνοντα πολὺ καὶ τῶν ὑγιεινῶν μορίων. τῆς τρώσεως δὲ ἐγκαρσίας γενομένης. ὁ μὲν κίνδυνος τοῦ σκεπασθῆναι μείζων, τὰ δὲ τῆς θεραπείας καὶ ἐπὶ ταύτης ὅμοια. πλὴν ὅτι τῆς τρώσεως ἔτι προσφάτου τυγχανούσης, ῥαφαῖς ἐχρήσαντό τινες, καὶ τῶν κολλητικῶν τινὶ φαρμάκων. ἀλλὰ δεῖ τὰς ῥαφὰς μὴ λίαν ἐπιπολῆς διδόναι, ἵνα μὴ τὸ βάθος ἀκόλλητον μένῃ, ἀλλὰ βαθυτέρας, φυλαττομένους μέντοι τὸ πάλιν ὑπὸ τῆς βελόνης νυγῆναι τὸ νεῦρον. εἰδέναι δὲ καθάπαξ ἐπὶ τῶν νευροτρώτων, ὅτι τὸ τὰ νύγματα θεραπεῦον φάρμακον, θερμότερον ὑπάρχον, οὐχ οἷόν τέ ἐστι διαίρεσιν νεύρου θεραπεύειν, οὐχ ὑπομένοντος τὴν ἐξ αὐτῶν δῆξίν τε καὶ φλόγωσιν. οὔτε δὲ τὸ τὰς διαιρέσεις θεραπεῦον ἁρμόζει τοῖς νύγμασιν. οὐ γὰρ ἐξικνεῖται πρὸς τὸ βάθος ἡ δύναμις αὐτοῦ, στενῆς οὔσης τῆς τοῦ δέρματος διαιρέσεως. δίαιτα δὲ παραλαμβανέσθω λεπτοτέρα, καὶ στρωμνὴ μαλακή. καὶ θερμῷ τῷ ἐλαίῳ χρῆσθαι κατὰ μασχαλῶν καὶ κεφαλῆς καὶ τραχήλου. τῆς δὲ τρώσεως ἐν σκέλει γενομένης, κατά τε βουβώνων καὶ ἤτρου, καὶ τῶν τῇδε χωρίων. λουτρῶν δὲ τὸ μὲν σύμπαν, ἄχρι τῆς παρακμῆς τῶν φλεγμονῶν ἀπέχεσθαι, μηδαμῶς αὐτοῖς ἁρμοζούσης τῆς

τοῦ ὕδατος ὡς ἔφημεν ψαύσεως. ἐπεὶ δέ τινες οὐκ ἀνέχονται μένειν ἄλουτοι διὰ ἔθος, εἰ μὲν τὸ τετρωμένον μόριον χεὶρ εἴη, πειρατέον ὡς οἷόν τε μὴ βρέχειν αὐτὴν τῷ ὕδατι μήτε τῷ θερμῷ μήτε πολλῷ πλέον τῷ ψυχρῷ. ἐν ποδὶ δὲ τῆς τρώσεως γενομένης, ἐπεὶ τὸ μὴ βρέχειν ἀδύνατόν ἐστι, μελλόντων αὐτοῦ λούεσθαι, κατὰ τοῦ τετρωμένου μέρους ἐπιθεὶς τῶν ἐμπλάστρων τι φαρμάκων, ἔξωθεν αὐτοῦ πάλιν ἐπίβαλλε πολυπτύχους ὀθόνας πλείονας, ἐλαίῳ διαβραχείσας. αὖθις ἔξωθεν ἐπίδεσμον ἐξ ὀθόνης ἐπιβάλλων. καὶ μετὰ ταῦτα πάλιν ἐν αὐτῷ τῷ βαλανείῳ προκατάχει τοῦ ἐπιδέσμου τὸ ἔλαιον, μέλλοντος εἰς τὴν πύελον ἐμβαίνειν τοῦ νευροτρώτου. λουσαμένου δὲ, τὰ μὲν ἐπικείμενα πάντα ἀπόβαλλε, χρῶ δὲ τῇ προειρημένῃ τῆς ὅλης θεραπείας ἀγωγῇ. Θλάσεως δὲ μόνης τοῦ νεύρου γενομένης. ἐὰν μὲν ἅμα τῷ δέρματι θλασθέντι καὶ ἕλκωσις γένηται, τὸ διὰ τῶν κυάμων ἀλεύρων καὶ ὀξυμέλιτος, ἐπιτήδειον κατάπλασμα. προσβάλλειν δὲ ἐνίοτε, καὶ ὀροβίνων ἀλεύρων καὶ ἴρεως. τῇ θλάσει δὲ ὀδύνης συνούσης, πίττης ὑγρᾶς μιγνύειν. ἐὰν δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα γένηται, διαφορητικωτέρων καταντλεῖν ἐλαίῳ θερμῷ, συνεχῶς, ἀνηθίνῳ φημὶ ἢ πηγανίνῳ ἢ ἰρίνῳ, ἢ ἀμαρακίνῳ. τοῦ νεύρου δὲ ὅλου διακοπέντος, κίνδυνος μὲν οὐδεὶς ἕψεται. τὸ μόριον δὲ ἀνάπηρον γίνεται. θεραπεία δὲ ὁμοία παραληφθήσεται τοῖς ἄλλοις ἕλκεσιν. αὕτη μὲν ἡ διὰ τῶν ἁπλουστέρων βοηθημάτων ἐπὶ τῶν νευροτρώτων ἴασις, ἀρκοῦσα πρὸς τὴν ὅλην θεραπείαν. τινὲς δὲ καὶ πολυσυνθέτοις ἐπὶ αὐτῶν εἰώθασι χρῆσθαι φαρμάκοις. ὁποῖόν ἐστι τὸ διὰ τῶν μεταλλικῶν τε καὶ αἱ βάρβαροι προσαγορευόμεναι. τό, τε κίσσινον καὶ τὸ διὰ τοῦ ἰριγέροντος, καὶ τὸ μελάγχλωρον, ἥ τε ἰνδικὴ ἁρμονία καὶ ἡ ἀθηνᾶ. ὧν καὶ τὰς συνθέσεις καὶ τὸν τῆς χρήσεως τρόπον, κατὰ τὸ ἕβδομον εὑρήσεις βιβλίον. ἐπεὶ δέ τινες τῶν ζαπλούτων καὶ πολυτελέσιν ἐπὶ τῶν νευροτρώτων ἀξιοῦσι χρῆσθαι φαρμάκοις. ὁ Γαληνὸς ἀνέγραψε, πρὸς μὲν τὰ νύγματα τῶν νεύρων, τάδε. κινναμώμου Γο. α. δικτάμνου Γο. α. μαράθρου Γο. α. ἀμαράκου Γο. β. κηροῦ Γο. η. ὀποβαλσάμου Γο. ι. τερεβινθίνης Γο. α. Ἄλλο. ὀποῦ κυρηναϊκοῦ Γο. α. κηροῦ Γο. γ. ὀποβαλσάμου Γο. ιβ. πρὸς δὲ τὰ γυμνωθέντα νεῦρα, τόδε. κηροῦ μυρεψικοῦ Γο. γ. μύρου σπικάτου ἢ φουλιάτου ἢ νάρδου Γο. ιβ. πομφόλυγος πεπλυμένης Γο. α. ναρδοστάχυος Γο. α. ἀμώμου Γο. α. φύλλου Γο. α. καὶ ταῦτα δὲ τῶν ὑπὲρ ἐλπίδας εὐδοκιμούντων ὁ Γαληνὸς ἀπεφήνατο.

Περὶ ἀγκυλώσεων. νε.

Ἀγκύλας τε καὶ ἀγκυλώσεις, προσαγορεύειν εἰώθασι τὰς τῶν ἄρθρων κατοχάς, διὰ σφήνωσιν ἢ νευρικήν τινα τάσιν γινομένας. ἐφ' ὧν τῆς μαλακτικῆς τε καὶ χαλαστικῆς δεήσει δυνάμεως. κοινότερον μὲν οὖν, καὶ τὰ ἐπὶ τῶν ἐσκιρρωμένων μορίων. ἔτι δὲ μᾶλλον, τὰ ἐπὶ τῶν παραλυθέντων εἰρημένα τούτοις ἁρμόσει. ἰδιαίτερον δὲ μᾶλλον, καταιόνησις δι' ὑδρελαίου, ἐν ᾧ ἀφεψήθη λινόσπερμον, τῆλις, ἀλθαία, δάφνη, σικύου ἀγρίου ῥίζα, καὶ αὐτὸ τὸ σικυώνιον. μετὰ δὲ τὴν καταιόνησιν προσαγέσθω τούτοις. ἄκοπα μὲν πρῶτον, τὰ ἁπλούστερα, οἷόν ἐστι τό, τε διὰ τῆς αἰγείρου καὶ τὸ διὰ τῆς ἐλάτης, τό, τε βρόμιον καὶ τὸ βασιλείου, καὶ ἡ πυξίς. μεθ' ἃ τό, τε ἀρεισοφάνειον καὶ τὸ τοῦ ἀζανίτου. ἰσχυρότατα δὲ τό, τε λυσιπόνιον προσαγορευόμενον. καὶ τὸ ποικίλον ἐστιν. ἔμπλαστρα δὲ φάρμακα. τό, τε ἀμυθάωνος ἐστὶ καὶ ἡ ἀνίκητος. κάλλιστον δὲ τόδε. βδελλίου, στέατος μοσχίου, ἀμμωνιακοῦ θυμιάματος, ἴρεως ἰλλυρικῆς ἀνὰ < ις. ὀποπάνακος, χαλβάνης, καχρύος, στύρακος, λιβάνου ἀνὰ < η. πεπέρεως κόκκοι ρξ. κηροῦ λι. S. ῥητίνης τερεβινθίνης λι. S. ἰρίνου ὑποστάθμης ὅσον ἐξαρκεῖ. οἴνου τὸ ἱκανόν. κόπτον ἐστὶ τὸ φάρμακον. ἔστι δὲ καὶ ἄκοπον ἀγαθόν, διαλυόμενον ἰρίνῳ ἢ κυπρίνῳ ἢ δαφνίνῳ. μεταξὺ δὲ τῶν τε ἀκόπων καὶ τῶν ἐμπλάστρων ἐστὶ, τὸ διὰ πρύνης τὸ πολυμίγματον. ἡ δὲ τῶν ἀκόπων χρῆσις διὰ μαλακῆς γινέσθω καὶ ἐπιμόνου τρίψεως, μετὰ τοῦ ἀποπιδρᾶσθαι καὶ τῆς τοῦ πεπονθότος ἄρθρου κάμψεώς τε καὶ ἐκτάσεως.

Περὶ κεχαλασμένων ἄρθρων. νς.

Χαλᾶται τὰ ἄρθρα πολλάκις, ἐπί τε πυρετικοῖς χρονίοις νοσήμασιν, ἐπί τε κωλικοῖς καὶ παραλυτικοῖς, θερμοτέρας ὡς μάλιστα καὶ ὑγροτέρας αὐτὰ δυσκρασίας καταλαβούσης. κἀντεῦθεν ἡ κίνησις παραποδίζεται. ἐφ' ὧν ἀκακίας χυλὸς ἀνεθεὶς ὕδατι καὶ καταντλούμενος. ἢ βάτου ἢ μυρσίνης ἢ σχίνου ἢ ἀγριελαίας τῶν ῥιζῶν τοῦ φλοιοῦ, ἁρμόσει τὸ ἀφέψημα. ἢ σίδια καταπλασθέντα. ἢ μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσίνῃ ἐπιτιθέμενα. κρατύνεσθαι γὰρ δεῖται τὰ συνδετικὰ νεῦρα διὰ τῆς στυφούσης τε καὶ ξηραινούσης δυνάμεως. τὰ οὖν τοιαῦτα τοῖς ἄρθροις ἐπιθετέον φάρμακα, οἷον τό, τε διὰ ἰτεῶν. καὶ ἡ ὀξύρα. καὶ ἡ φοινικίνη οἴνου στύφοντος ἢ ὄξους ἔτι προσλαβοῦσα. πολλοὶ δὲ νομίζοντες ὑπὸ ψύξεως γίνεσθαι τὴν τοιαύτην ἀκράτειαν, εἶτα θερμοτέροις χρησάμενοι βοηθήμασι, μείζονα βλάβην εἰργάσαντο.

Περὶ

Περὶ ἑλμίνθων. νζ.

Τρεῖς εἰσὶν ἅπασαι τῶν ἑλμίνθων αἱ διαφοραί. μία μὲν ἡ τῆς στρογγύλης κατὰ πάχος. ἑτέρα δὲ ἡ τῆς πλατείας. καὶ τρίτη ἣν ἀσκαρίδα προσαγορεύουσιν. αἱ δὲ γενέσεις ἁπάσαις ἐξ ὠμῆς καὶ παχείας φλεγματικῆς ὕλης καὶ σήψεως ἐπιτηδείας εἰσίν, οἵαπερ ἀθροίζεται τοῖς παιδίοις καὶ τοῖς ἄλλοις ἀδδηφαγοῦσιν. ἀλλ' οὐκ ἀπὸ θερμῆς καὶ δριμείας ἢ μελαγχολικῆς. αὗται γὰρ καὶ τὴν τοῦ τρέφειν ὑπερβᾶσαι φύσιν, ἀφυεῖς πρὸς τὴν τῶν ἑλμίνθων καθεστήκασιν γένεσιν. τοὐναντίον δὲ καὶ φθαρτικὰ τούτων εἰσὶ τὰ χολώδη μάλιστα περιττώματα. εἰ δέ ποτε ταῖς ἕλμινσι χολὴ συνεξεκρίθη ξανθὴ κάτωθεν, ἢ καὶ δι' ἐμέτων, αὐτὰς μὲν ἐν τοῖς ἐντέροις ἴσθι γινομένας. τὸν δὲ χολώδη χυμὸν ἤτοι κατὰ τὸ στόμα τῆς γαστρὸς ἢ ἐν ἄλλῳ τινὶ συστῆναι μορίῳ. ἑκάστης οὖν διαφορᾶς αὐτῶν εἴπωμεν εἶδός τε καὶ γένεσιν καὶ τόπον καὶ διάγνωσιν καὶ θεραπείαν, ἀπὸ τῆς στρογγύλης ἀρξάμενοι.

Περὶ τῶν στρογγύλων ἑλμίνθων.

Αἱ τοίνυν στρογγύλαι τῶν ἑλμίνθων, τὸ μὲν εἶδος ἅπασιν κατάδηλον ἔχουσιν, ὅτι δὴ καὶ μᾶλλον αὗται τῶν ἄλλων πλεονάζουσιν. συνίστανται δὲ κατὰ τὰ λεπτὰ μάλιστα τῶν ἐντέρων, πλησιάζουσαι καὶ τῇ γαστρί. διὸ καὶ διὰ στόματος πολλάκις ἀναφέρονται. τισὶ δὲ καὶ διὰ ῥινῶν ἐξεκρίθησαν. πλεονάζουσαι μᾶλλον περὶ τὰ νήπια, καὶ σὺν πυρετῷ κατὰ τὸ πλεῖστον. ἀλλὰ περὶ μὲν τὰς ἀρχὰς τῶν πυρετῶν γινόμεναι, τὴν ὑπόστασιν ἐξ ὑποκειμένης διαφθορᾶς ἴσχουσιν. περὶ δὲ τὰς ἀκμὰς ἐκ πονηρᾶς νόσου. περὶ δὲ τὰς παρακμὰς ἐκ μεταβολῆς τῶν ὅλων ἐπὶ τὸ κρεῖττον. καὶ γὰρ Ἱπποκράτης φησίν. ἀγαθὸν δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι, πρὸς κρίσιν ἰούσης τῆς νόσου. αἱ δὲ καὶ τάχιον ἀποκτείνονται. παρέπεται δὲ τοῖς ἕλμινθας στρογγύλας ἔχουσι. δηγμὸς ἐντέρων καὶ κοιλίας, καὶ βῆχες μικραὶ διερεθίζουσαι ξηραί, τισὶ δὲ καὶ λυγμός, ὕπνοι τε μετὰ παλμῶν καὶ ἀλόγων ἐξαναστάσεων. ἔνιοι δὲ καὶ μετὰ κραυγῆς ἐξανίστανται, καὶ πάλιν καταφέρονται. σφυγμοὶ ἀνώμαλοι καὶ οἱ πυρετοὶ μεγεθύνονται ἀτάκτως, ἐπιτιθέμενοι, μετὰ περιψύξεως τῶν ἄκρων, καὶ τρίτον, ἔσθ' ὅτε καὶ τέταρτον τῆς ἡμέρας ἢ τῆς νυκτὸς ἀλόγως ἐπισημαινόντων. τοῖς δὲ παιδίοις καὶ μάσησις μετὰ προβολῆς τῆς γλώττης διακενῆς, καὶ τρισμὸς ὀδόντων γίνεται. καὶ τὰ ὄμματα μύουσιν, καὶ σιωπᾶν ἐθέλουσιν, καὶ πρὸς τοὺς διεγείροντας ἀγανακτοῦσι, καὶ οἱ ὀφθαλμοὶ φαίνονται. καὶ τὰ μῆλα ἐρυθρὰ γίνονται, καὶ πάλιν εἰς τὸ πελιδνὸν μεταβάλλεται. πρὸς βραχὺ δὲ ταῦτα καὶ ἐκ διαστημάτων. τισὶ δὲ περιτρέχουσαι περὶ τὸν στόμαχον, ναυτιῶν καὶ δηγμῶν αἰτίαι γίνονται, καὶ ἀνορεκτοῦσιν οἱ κάμνοντες. ἐκβιασθέντων δέ, ναυτιώντων μόλις καταπίνουσιν, ἢ καὶ ἀπεμοῦσι τὸ προσενεχθέν. πολλοῖς δὲ καὶ ἡ γαστὴρ καταφέρεται μετὰ διαφθορᾶς τῶν ἐδηδεσμένων. καὶ ἐμφυσᾶται τυμπάνου δίκην. τό, τε λοιπὸν σῶμα παραλόγως ἐκτήκεται μήτε λιμαγχονίας γενομένης μήτε κενώσεως ἀμέτρου. οὐκ ἐπὶ πάντων δὲ ταῦτα δεῖ ζητεῖν τὰ λεχθέντα σημεῖα. ἀλλὰ τινὰ πρὸς τὸ ἐπικρατοῦν. ἐνίοτε δὲ καὶ τὰ πλεῖστα. ταῦτα δὲ συμβαίνει τῶν ζώων ἑλισσομένων κατὰ τὰ ἔντερα καὶ δακνόντων, καὶ τῆς πυρετώδους θερμασίας ἀτμοὺς ἀναφερούσης παρὰ τὸν ἐγκέφαλον μοχθηροὺς ἐκ τῆς ἀθροισθείσης ἐν τῇ γαστρὶ σηπεδονώδους ὑγρότητος. ἐφ' ὧν δεῖ πῆ μὲν ἀμφοῖν ὁμοίως προνοεῖσθαι τοῦ τε πυρετοῦ καὶ τῶν ἑλμίνθων. πῆ δὲ τοῦ πυρετοῦ φροντίσαντας ὀλίγον, σπουδαίως ἐξαίρειν τὰς ἕλμινθας τοῦ σώματος. πολλοὶ γὰρ ἀμεληθέντων διεβρώθησαν ὑπ' αὐτῶν, καὶ σπασθέντων ἀπέθανον. ἄλλοι δέ φασιν ἑωρακέναι διὰ τῶν βουβώνων τοῦ κάμνοντος αὐτὰς ἐξεληλυθυίας. ἐξαιρήσεις δὲ ταύτας ἀποκτείνας. ἀποκτενεῖς δέ, τοῖς πικροῖς μάλιστα χρώμενος βοηθήμασι. κοινῆς μὲν οὖν τῆς θεραπείας τοῦ πυρετοῦ καὶ τῶν ἑλμίνθων ὑπαρχούσης, ἁρμόσει τῶν βοηθημάτων τὰ ἁπλούστερα. προποτιστέον τοίνυν αὐτοὺς τῷ τε τῶν χαμαιμήλων ἀφεψήματι, καὶ τῶν ὀνομαζομένων μυξαρίων. ἢ καὶ αὐτὰ δοτέον ἐσθίειν τὰ μυξάρια καθεψημένα. δοτέον δὲ καὶ τῆς σέρεως τὸν χυλόν, ἢ τοῦ κοριάννου τὸ σπέρμα μεθ' ὕδατος θερμοῦ λεῖον ἢ μετ' ὀξυκράτου. ἢ τῆς μυοτίδος βοτάνης τὸ ἀφέψημα. ἢ τοῦ ἐλαφείου κέρατος τὸ ῥίνημα. ἢ τὴν σινωπίδα μίλτον λειοτάτην. καὶ ἐλαίου δὲ ὠμοτριβοῦς τοῦ πικροῦ κατὰ βραχὺ κοχλιάρια δύο καταῤῥοφείτωσαν. τῷ μὲν γὰρ πικρῷ, τὰς ἕλμινθας ἀναιρεῖ. τῷ δὲ ὀλισθηρῷ κατασύρων αὐτάς, τῇ κόπρῳ συναποδίδωσι. φλεγμονῆς δὲ καὶ διατάσεως τῶν σπλάγχνων ὑπαρχούσης, τῷ διὰ λινοσπέρμου καὶ ἀλεύρου θερμίνου, καὶ ἀψινθίας, καὶ βρυωνίας ῥίζης χρηστέον καταπλάσματι, δι' ὑδρομέλιτος. ἢ καὶ τῇ δι' ἐλαίου χαμαιμηλίνου, καὶ οἴνου, καὶ ἀψινθίας καρποῦ, καὶ ἀλόης περὶ τὰ ὑποχόνδρια καταιονήσει. μὴ σφόδρα δὲ τῶν πυρετῶν ἐνοχλούντων, μικτέον τοῖς μυξαρίοις τὸ ἡδύοσμον, καὶ δοτέον. ἐν ἀπυρεξίᾳ δὲ καὶ τὰ δραστικώτερα. οἷον τὸ ἀφέψημα τοῦ σερίφου, ἢ καλαμίνθης, ἢ πτέρεως, ἢ τοῦ καρδαμώμου τὸ

σπέρμα. ἢ ῥοιᾶς ὀξείας ῥίζης ἀποτριτωθὲν τὸ ἀφέψημα. ἢ τοῦ φρυκτοῦ κυμίνου. καὶ νίτρου πυρροῦ ἀνὰ γρ. γ. ἢ τὸ σανδονικόν, ἢ τὸ ἀβρότονον, ἢ καὶ ἄμφω, ὁμοῦ σὺν μέλιτι καταπότια γεγενημένα. ἢ θέρμων πικρῶν γρ. γ. ἢ τῆς κράμβης ἢ τοῦ εὐζώμου τὸ σπέρμα λεῖον. ἢ τὸ ἀψίνθινον, ὃ καὶ μόνον πολλάκις ἤρκεσε. δοτέον δὲ, καὶ τῆς πεπλυμένης ἀλόης ὅσον γρ. γ. ἔστι γὰρ τῶν ἄγαν εὐδοκιμούντων ὄντων. ὧδε δὲ τῶν ἰσχυροτέρων, καὶ ἀπλύτου. ἐπειδὴ δὲ τὰ παιδία τὴν ἀλόην οὐ προσίενται διὰ ζωμηρύσεως ὑπτίων αὐτῶν κρατουμένων τὸ στόμα διαστήσαντες, διὰ κλυστηριδίου τινὸς ἰσχυρὸν ἔχοντος αὐλίσκον ἄκουσιν αὐτοῖς τὴν ἀλόην, ὡς ὅτι μάλιστα ἐσωτέρω παραπέμψαντες, ἐμβαλοῦμεν. θαυμασία μέθοδος ἐπὶ τῶν δυσαναχετούντων παιδίων. ἐφ' ὧν καὶ τροφὰς πολλάκις ῥοφηματώδεις τῷ τρόπῳ τούτῳ ἀνορεκτούντων ἐνεχέαμεν. καὶ τὸ κῦφι δὲ καὶ μασσαλεωτικὸν καλῶς ἂν δοθείη. καὶ τὸ κέρας τὸ ἐλάφειον κεκαυμένον μετὰ πεπέρεως, σὺν μέλιτι ἢ ὀξυμέλιτι. καὶ τὰ λοιπὰ δὲ δι' ὀξυμέλιτος αὐτοῖς πρότερον διδόναι. κάλλιον δὲ εἰ καὶ σκιλλητικὸν εἴη τὸ ὄξος, καὶ μάλιστα τοῖς τελειοτέροις. ἢ τὸ νάπυ μετὰ ἐλαίου καὶ ὄξους κοχλιαρίου μέγεθος. τοὺς δὲ μετὰ ῥεύματος κοιλίας ἐνοχλουμένους ὑπὸ τῶν ἑλμίνθων, προποτιστέον ἀρνογλώσσου χυλῷ, ἢ καὶ αὐτὸ ξηρὸν δοτέον τὸ ἀρνόγλωσσον. ἐπίσης γὰρ πρὸς ἑκάτερον ἐνεργεῖ, τήν τε ῥύσιν καὶ τὰς ἕλμινθας. καταπλαστέον δὲ τούτους τῆς διὰ ὠμῆς λύσεως καὶ πτέρεως καὶ ἀψινθίας καὶ ἀλεύρου θερμίνου καὶ σανδονικοῦ καὶ ἀβροτόνου. ἤδη δὲ καὶ σίδια καὶ ἀκακίαν, καὶ κηκῖδα, ἢ βαλαύστιον ἐπιμικτέον. ἐπειδὴ δέ τινες πολλάκις ἀπαρέσκονται τοῖς πικροῖς πόμασι. τῶν μὲν ἤδη λεχθέντων αὐτοῖς διδόναι τὰ μὴ καταφανῶς πικρά, πρὸς δὲ τούτοις ἔτι χαμαιπίτυν τε καὶ πράσιον, ἐλένιον, δαφνόκοκκον, κασίαν, θύμον, γλήχωνα, καρπησίαν, καὶ κύπερον, πολυπόδιον, ἶριν, κνῆκον, ἐρυθρόδανον, ἄκανθαν αἰγυπτίαν μετὰ πεπέρεως ἴσου γρ. ϛ. εἰς ἀπόζεμα ἡδυόσμου. μορέας ῥίζης τὸν χυλὸν ἢ τὸ ἀφέψημα. πετροσέλινον καὶ τὰ παραπλήσια τῶν εὐωδῶν σπερμάτων. ἔξωθεν δὲ χριστέον ἀλόῃ σὺν μηλίνῳ καὶ οἴνῳ. ἔστι γὰρ καὶ τὴν ὄρεξιν διεγείρει πάνυ προσαπόδεκτον οὖσαν. ἐπιμικτέον δὲ πολλάκις τῇ ἀλόῃ, καὶ ἀψίνθιον. ἢ χολῇ ταυρείᾳ πληροῦν τὸν ὀμφαλὸν σύν τινι τῶν εἰρημένων πικρῶν. ἢ τὸ διὰ τῆς ῥοδοδάφνης ἔλαιον συχνῶς ἐπαλειπτέον. ἢ τὴν κεδρέαν ἐπιθετέον μόνην τε καὶ σὺν κηρωτῇ κατὰ πάσης τῆς γαστρός. ἢ τὴν ξηρὰν πίτταν λείαν ἐπιπαστέον. ἢ τὸ ἡδύοσμον, ἢ μελάνθιον σὺν ῥοδίνῳ ἐπιχριστέον. ἢ καὶ στείφου ἀπόζεμα αὐτοῖς ἐπιμικτέον. ἢ μηλέας περσικῆς τὰ φύλλα ἐκλειώσαντες, καταπλάσσωμεν. χρηστέον δὲ καὶ τῷ ἐλαφείῳ μυελῷ, τρόπον ἀλείμματος, κατά τε ὀμφαλοῦ καὶ ἤτρου καὶ ὀσφύος. καὶ κηρωτὴν δὲ προσάξωμεν εἰ δέησοι ταύτην. ἀλόης, ἀψινθίας, ἀλεύρου θερμίνου, στείφου, μελανθίου ἀνὰ γρ. ϛ. κηροῦ ὀγ. α. ϛ. χαμαιμηλίνου τὸ ἀρκοῦν. χολῇ ταυρείᾳ λεάνου τὰ ξηρά. ἐνετέον δὲ συχνότερον αὐτοῖς τῷ μελικράτῳ, ὅπως ἂν πρὸς τὴν γλυκύτητα τοῦ μέλιτος αἱ ἕλμινθες ὑποβιβάζοιντο κάτω. εἰ δὲ σαπεῖσαι κατὰ τὸ βάθος μὴ ἐκκρίνοιντο, ἀλλὰ μᾶλλον ἀναθυμιάσεις ἐργάζοιντο. δεῖ ὑπεξάγειν αὐτάς, ἢ τὴν ἀλόην ἢ τὸ διὰ αὐτῆς πικρὸν φάρμακον αὐτοὺς προποτίζοντα. ὅπου γε καὶ ἄλλως οὐκ ἀνόνητος αὐτοῖς ἐστιν ἡ διὰ ὑπηλάτου μετρία κένωσις.

Περὶ πλατείας ἕλμινθος.

Ἡ πλατεῖα ἕλμις, ἔστιν μὲν ὡς εἰπεῖν μεταβολὴ τοῦ ὑποπεφυκότος ἔνδοθεν τὰ ἔντερα ὑμένος ἐπί τι σῶμα ζῶδες, ἥ τις ἢ ἐκκρίνεται πολλάκις ὅλη, ἄπιστον ὄψιν μεγέθους χάριν παρέχουσα. ἢ κατὰ μέρη ἀποκρίνεται. ἀπολυθεῖσα μέντοι, οὐ συνίσταται. πλεονάζει δὲ, ποτὲ μὲν καὶ ὧδε ἀπυρέτων, καὶ πυρέττουσι δὲ συμβαίνει διὰ μακρᾶς νόσου, ἐπιφέρουσα δηγμὸς τοῦ στομάχου συνεχεῖς καὶ πρὸς σιτία ὀρέξεις ἀκρατεῖς. τὸ γὰρ ζωοποιηθὲν ἐν τοῖς ἐντέροις τὴν παρακειμένην ἀναρπάζει τροφὴν, ὡς ἑτέρας εὐθὺς προσδεῖσθαι. καὶ εἰ μὴ λάβοιεν, δάκνεσθαι τὰ ἔντερα. παρέπεται δὲ αὐτοῖς καὶ ἰσχνότης τοῦ σώματος, καὶ ἀδυναμία μετ' ἀνωμαλίας. τὸ δὲ ἀψευδέστατον σημεῖον, τοῖς διαχωρήμασιν συναποκρίνεταί τινα σπέρματι κολοκύντης ἐμφερῆ. ἡ δὲ θεραπεία σύμφωνος. προποτισμοί τε γὰρ οἵ τε διὰ τῶν δριμέων καὶ σκοροδοφαγία, καὶ τῆς πτέρεως ἢ τοῦ κενταυρείου τὸ ἀφέψημα πινόμενόν τε καὶ ἐνιέμενον, ἢ καλαμίνθης ἢ δικτάμνου ἢ γλήχωνος. ἐνετέον δὲ αὐτοῖς καὶ τὴν ἅλμην. προποτίζειν δὲ ἔστι μὴ δὲ τοῖς ὑπὸ τῶν ἄλλων ἑλμίνθων ἐνοχλουμένοις ἄριστον, εἰ ἀπύρετοι μάλιστα τυγχάνοιεν. νίτρου ἐρυθροῦ, πεπέρεως, καρδαμώμου ἴσα, ἡ δόσις γρ. γ. μετ' οἴνου ἢ ὕδατος θερμοῦ. Ἄλλο ἔκλειγμα. Πεπέρεως, δαφνίδων καθαρῶν, κυμίνου αἰθιοπικοῦ, μαστίχης ἴσα. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις κοχλιάριον α. ἕωθεν καὶ εἰς κοίτην. εἰ δὲ βούλει δραστικώτερον αὐτὸ γενέσθαι. καὶ νίτρου τοῦ ἐρυθροῦ τὸ ἴσον. Ἄλλο. Ἐλενίου, ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἐν ἄλλῳ πτερίδος, ἀνὰ < ε. μετ' ὀξυμέλιτος θερμοῦ, καὶ διαστήσας πότιζε εὐφορβίου < α. ἢ δύο τὸ πλέον.

τελείως. Ἄλλο. Πτέρεως ὀξύβαφον, νίτρου < β'. δίδου ἐν κ° ὕδατος προκεκενωμένῳ. Βέλτιον δὲ γίνεται εἰ προσλάβοι καὶ σκαμμωνίαν ὀλίγην. Ἄλλο. Ῥοιᾶς ὀξείας ῥιζῶν φλοιοῦ εἰς τὸ ἄνω λεπισθέντος < δ'. πτέρεως < δ'. καρδαμώμου < ϛ'. πρασίου < β'. μέλιτι δίδου προσεσκοροδοφαγηκότι. εἰς δὲ παντελῆ τοῦ πάθους ἀπαλλαγήν, καὶ τῆς θηριακῆς ἂν παράσχῃς, μὴ κωλύοντος ἰσχυροῦ πυρετοῦ.

Περὶ ἀσκαρίδων. να'.

Καὶ αἱ ἀσκαρίδες, ὡς ἤδη καὶ φθάσαντες εἴπομεν, εἶδός εἰσιν ἑλμίνθων, σκώληξιν παραπλήσιοι, συνιστάμεναι περὶ τὰ ἔσχατα τοῦ ἀπευθυσμένου καὶ τὰ πρῶτα τοῦ σφιγκτῆρος, ἐπιφέρουσαι τῶν τόπων τούτων κνησμὸν ἰσχυρόν. ποιητικὰ δὲ τοῦ εἴδους φαῦλαι τροφαί, καὶ ψύξεις, καὶ διαφθορὰ σιτίων. κενωτέον οὖν αὐτάς. ἐπὶ μὲν τῶν νηπίων βαλάνοις διὰ μέλιτος, μετὰ μετρίων ἁλῶν ἢ νίτρου. ἐπὶ δὲ τῶν τελειοτέρων. ἅλμη δριμεῖα, ἢ ἀφεψήματι κενταυρείου σὺν νίτρῳ καὶ μέλιτι. ἢ κολοκυνθίδος, ἢ ἀψινθίου, ἢ χαμαιλέοντος, ἢ ἀγχούσης, ἢ κνίκου, ἢ ὑσσώπου, ἢ γλήχωνος, ἢ καλαμίνθης, ἢ θέρμων. μετὰ δὲ τὰ κλύσματα ὑποχριστέον τὸ ἀπευθυσμένον. ἁπλοῖς μέν, ἀκακίᾳ, ἢ ὑποκυστίδι μετὰ νίτρου, ἢ ῥῷ συριακῷ μετὰ στυπτηρίας ὑγρᾶς. ἐπὶ δὲ τῶν στυφομένων, λημνίᾳ σφραγῖδι μετὰ οἴνου. συνθέτοις δέ. τῷ τε Ἄνδρωνος τροχίσκῳ, καὶ τοῖς παραπλησίοις. καὶ τῇ κεδρίᾳ δὲ αὐτοὺς ἐγχυτέον διὰ κλυστῆρος πολυρρύτου οἷοί περ εἰσὶν οἱ μητρεγχύται προσαγορευόμενοι. ἢ κρέας ἁλιστὸν ἁρμόσαι δυνάμενον, ἐνθέντες ἐπιδέσει χρώμεθα, ἐφ' ὅσον ἂν ὑπομένοι χρόνον, καὶ τοῦτο πολλάκις ἀλλασσέσθω. κοινῶς δὲ πάντας τοὺς ὑπὸ τῶν ἑλμίνθων νοσοῦντας ὠφελοῦσιν. ἰχνεύμονος τρίχες ὑποθυμιώμεναι. τροφαὶ δὲ αὐτοῖς ἔστωσαν εὔχυμοί τε καὶ εὐδιοίκητοι, μὴ δὲ τὴν τῶν ἑλμίνθων ποιητικὴν αἰτίαν αὔξουσαι, μὴ δὲ τὴν δύναμιν ἐλαττοῦσθαι συγχωροῦσαι. διὸ καὶ οἴνου δώσομεν ὑδαροῦς. συχνότερον δὲ τρέφειν αὐτοὺς διὰ αὐτὸ δὴ τοῦτο, καὶ ἵνα μὴ τροφῆς ἀμοιροῦσαι αἱ ἕλμινθες δήξεις ἐμποιοῦσι. καιρὸς δὲ τῆς τροφῆς, ὅτε μάλιστα εὐτροφέστερον ἔχουσιν. εἰ δὲ καὶ ῥευματισμὸς γένηται τῆς γαστρός, ἰστέον μᾶλλον πληθυνομένας τὰς ἕλμινθας, μὴ διοικουμένων τῶν τροφῶν. καὶ δὴ ῥοφηματώδη μὲν αὐτοῖς διδόναι σιτία, ἐπιμιγνύντας τινὰ καὶ τῶν στυπτικῶν. οἷον ἄπιον, ἢ μῆλον, ἢ ῥοιὰν καὶ μάλιστα τὴν ὀξεῖαν. ἔξωθεν δὲ τῆς γαστρός, ἐφεκτικοῖς χρηστέον βοηθήμασιν. ἀνωτέρω δὲ λέλεκται.

Περὶ δρακοντίων. νθ'.

Ἐν Ἰνδικῇ καὶ τοῖς ἄνω τῆς Αἰγύπτου τόποις, τὰ λεγόμενα δρακόντια συνίστανται, καθάπερ ἑλμινθώδη τινὰ ζῷα ἐν τοῖς μυώδεσι τῶν μορίων, οἷον βραχίοσι, μηροῖς, κνήμαις. ἐπὶ δὲ τῶν παιδίων καὶ πλευροῖς ὑπὸ τῷ δέρματι συνιστάμενα, καὶ κινούμενα σαφῶς. εἶθ' ὅταν χρονίσῃ κατά τι μέρος τὸ δρακόντιον, πυοῦται ὁ τόπος, καὶ τοῦ δέρματος ἀναστομουμένου ἔξω προέρχεται τοῦ δρακοντίου ἡ ἀρχή. ἑλκόμενον δὲ τὸ δρακόντιον ἀλγηδόνας ἐμποιεῖ, καὶ μάλιστα ὅταν ἀπορραγείη. διό τινες μὲν φασὶ χρῆναι μολύβδιον ἐξαρτᾶν μὲν τοῦ δρακοντίου, ἵνα μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος τῷ βάρει τοῦ μολυβδίου ἡ ἀπόπτωσις αὐτοῦ γένηται. ἕτεροι δὲ τούτων κατεγνωκότες, διὰ τὸ μηδὲν ἧττον τῷ βάρει τοῦ μολυβδίου τὸ δρακόντιον ἀπορρήγνυσθαι καὶ ὀδύνας ἰσχυρὰς ἐμποιεῖν, παρακελεύονται τὸ μόριον εἰς ὕδωρ καθεῖναι θερμόν, ἵνα τὸ δρακόντιον θαλπόμενον πρὸς τὸ ἐκτὸς χωρῇ. κἄπειτα τοῖς δακτύλοις αὐτὸ κατὰ μέρος ἐξέλκειν. ὁ δὲ Σωρανός, οὐδὲ ζῷον τὴν ἀρχήν, ἀλλὰ νεύρου τινὸς σύστασιν οἴεται τὸ δρακόντιον. δόκησιν μόνον ἐμποιοῦν, τοῦ κινεῖσθαι. εἴτε δὲ τοῦτο. εἴτε τὸ πρότερον. καὶ τῷ Σωρανῷ καὶ τῷ Λεωνίδῃ καὶ ἑτέροις ἔδοξε, προσαντλήσει θερμῇ, καὶ καταπλάσμασι πεπτικοῖς ἐπὶ τούτων κεχρῆσθαι, τοῖς διὰ μελικράτου καὶ ἀλεύρου πυρίνου ἢ κριθίνου. καὶ ἐμπλάστρου δὲ χρῆσιν ἐσθ' ὅτε δοκιμάζουσι τῆς ὁμοίας δυνάμεως. ἁρμόσοι δ' ἂν καὶ ἡ διὰ δαφνίδων καὶ ἡ διὰ μέλιτος. νεκρούμενα γὰρ ἐκ τῆς τούτων χρήσεως τὰ δρακόντια. ἤγουν τὸ περιεχόμενον σωμάτιον ἐκπίπτει. διαπυήσεως δὲ γενομένης, εἰ μὴ ἐκπέσοι. διαιρείσθω τὸ δέρμα, καὶ γυμνωθέν, ἀφαιρείσθω τὸ περιεχόμενον καὶ διαμοτούσθω τὸ δέρμα, καὶ ἡ ἀκόλουθος πυοποιὸς ἐπιμέλεια δοκιμαζέσθω.

ΤᾺ ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΠΈΜΠΤΟΥ ΒΙΒΛΊΟΥ.



ΠΡΟΦΥΛΑΚΤΙΚΑ ΠΑΝΤΩΝ ΚΟΙΝΗ͂ ΤΩ͂Ν ἸΟΒΌΛΩΝ.



ΤΗΝ ΠΕΡῚ ΤΩ͂Ν ἸΟΒΌΛΩΝ ΖΏΩΝ ΠΟΙΟΎΜΕνοι διδασκαλίαν, ἀπὸ τῶν κοινῶς ἐπὶ πάντων τῶν τοιούτων ἀρξόμεθα, προφυλακτικὰ πρότερον ἐπερχόμενοι. εἴ τις τοίνυν ἐν τοῖς θηριωμένοις καθεύδων τόποις διά τινα ἀνάγκην τυγχάνοι, ἐν οἷς μάλιστα σαλαμάνδραι ἢ φαλάγγια ἢ ἑρπετά πλεονάζει τινά. τὸ μὲν φράττειν προσήκει, τοὺς ὑπογείους φωλεοὺς σκόρδῳ μεθ' ὕδατος τετριμμένῳ, ἢ τινι τῶν εἰρησομένων βοτάνων. ὑποθυμιᾶν δὲ κέρατα ἐλάφων, αἰγῶν χηλὰς ἢ τρίχας, γαγάτην λίθον, ἄσφαλτον, βδέλλιον, χαλβάνην, κυπαρίσσου ἢ κέδρου πρίσμα, μελάνθιον, πευκέδανον, ἄγνου φύλλα, καλαμίνθην, σαγαπηνόν, καστόριον, κάχρυος ῥίζαν, κόνυζαν, ἤ τι τῶν λοιπῶν βαρυόσμων. Τοὺς δὲ κώνωπας ἰδίως διώκει θυμιαθέντα

συχνό-

χαλκάνθου, καὶ μελανθίου ἀγρίου σπέρμα, κυμίνου ἴσα. καὶ βόλβιτον. πρὸς δὲ τούτοις καὶ πῦρ ἀνάπτειν συχνότερον. φεύγουσι γὰρ ὡς τὸ πολὺ τὰ θηρία τὴν αὐγήν. ὑποστρώννυσθαι δὲ στιβάδας ἐκ ἀσφοδέλων καὶ καλαμίνθης, ἄγνου, γλήχωνος, πολίου, κονύζης, ἀβροτόνου. εἰ δὲ μὴ δυνατόν, πάσῃ τῇ στιβάδι τοιαύτῃ χρῆσθαι. περὶ γοῦν τὰ στρωμνῆς αὐτὰ τιθέναι. προσέχειν δὲ χρὴ καὶ τοῖς ἑψομένοις, καὶ τοῖς ὕδασι, καὶ τοῖς οἰνηροῖς ἀγγείοις, ἐπιμελῶς αὐτὰ πωμάζοντα. τάς τε ἐσχάρας μὴ ποιεῖν ὑπό τινα δένδρα, καὶ μάλιστα πεύκας, ἢ πίτυας. ἐν ταύταις γὰρ σαλαμάνδραι τε καὶ κάμπαι θανάσιμοι πλεονάζουσιν. αἳ τινὲς ὑπὸ τῆς τοῦ πυρὸς ἀλέας θερμαινόμεναι, πίπτουσιν ἐπὶ τῶν ὄψων, ἢ τῶν ἄλλων ἀγγείων εἰ τύχοιεν ἄσκεπα. τοῖς ἀσφαλεστέροις δὲ προσήκει. καὶ συγχρίεσθαι κηρωτῇ ὑγροτέρᾳ ἐκ κηροῦ καὶ ῥοδίνου καὶ χαλβάνης ὀλίγης, καὶ ῥινήματος ἐλαφείου κέρατος ὀλίγου, ἢ καὶ τοῦ αἰθιοπικοῦ κυμίνου. ἰδίως δὲ ὑπὸ μελιττῶν καὶ σφηκῶν πληγῆναι κωλύει συγχριόμενα μαλάχης φύλλα, μετ' ἐλαίου τριβόμενα.

Κοινὴ θεραπεία πάντων τῶν ὑπό τινος ἰοβόλου δηχθέντων ἢ πληγέντων. β.

Ἐὰν δὲ συμβῇ πληγῆναί τινα ἢ δηχθῆναι ὑπό τινος ἰοβόλου, παραυτὰ μὲν ἐκμυζησμῷ κεχρῆσθαι. δεῖ δὲ τὸν ἐκμυζήσοντα μήτε νῆστιν εἶναι, ἀλλὰ καὶ οἴνῳ προκλύσαι τὸ στόμα, καὶ ἔλαιον κατέχειν αὐτῷ. ἔπειτα τοῦ μορίου προσδεχομένου, σικυάζειν τὰ δεδηγμένα σὺν πολλῇ φλογί, κατασχάζοντα καὶ κατὰ τοὺς πλησίον τόπους. ἀντισπᾶται γὰρ ἅμα τῇ τοῦ πνεύματος καὶ αἵματος ὁλκῇ ὁ ἰός. ἐπιφλέγειν τε καὶ ἐσχαροῦν τὰ ἡλκωμένα. καὶ ἀκροτηριασμοῖς δὲ παραλαμβανέσθω τὸ μόριον, εἰ θανάσιμον εἴη τὸ δάκνον θηρίον, ὡς ἐπὶ ἀσπίδος, κεράστου, ἐχίδνης, καὶ τῶν παραπλησίων. καθάπερ ἱστορεῖ ὁ Γαληνὸς ἀμπελουργόν τινα ὑπὸ ἐχίδνης δηχθέντα, γνόντα δὲ τὸ θηρίον, τῷ δρεπάνῳ τὸν δεδηγμένον εὐθὺς ἀποτεμεῖν δάκτυλον, καὶ τοῦ κινδύνου τὸ παράπαν ἀπαλλαγῆναι. εἰ δὲ φθάσῃ ὁ ἰὸς ἀναδοθῆναι κατὰ τὸ σῶμα, φλεβοτομίᾳ χρηστέον αὐτίκα καὶ μάλιστα πληθωρικοῦ τοῦ δηχθέντος σοι φαινομένου. διδόναι τε μετὰ τῶν σιτίων ἐσθίειν, πέπερι, ἢ σκόροδον. οἴνου τε πίνειν ἰσχυροῦ, νεαρῶν ἀτμῶν, καὶ συμφύλου θερμασίας πληροῦντας τὸ σύγκριμα. καταπλάσσειν τε μετὰ ταῦτα τοῖς θερμαίνειν καὶ ἀμύσσειν τὸ δῆγμα δυναμένοις, σποδὸν κράμβης ἢ συκῆς ὄξει μίξαντα, ἢ κονίᾳ στακτῇ, ἢ γάρῳ. καὶ κρόμμυα σὺν ἀλφίτῳ ἢ ἄρτῳ. καὶ πράσα κάρτα μεθ' ἁλῶν. ἢ πίσσῃ ὑγρᾷ μεθ' ἁλῶν θερμῇ, ἢ κέδρῳ, ἢ σπυράθοις αἰγῶν. ἁρμόζει δὲ αὖθις καὶ καταύτλησις διὰ ὄξους θερμοῦ, ἐν ᾧ καλαμίνθη ἐνήψηται. ἢ διὰ ὄξους καὶ θαλάττης. ἢ διὰ ὀξάλμης. ἐπιβλητέον δὲ τοῖς τόποις ὄρνιθας, καὶ μᾶλλον τοὺς ἀλεκτρυόνας, ἢ ἕτερα ζῷα ἀνατέμνοντα θερμά. τόν τε γὰρ ἰὸν μεταλαμβάνει καὶ παρηγορεῖ τὰ ἀλγήματα. καὶ ἐμπλάστροις δὲ χρηστέον φαρμάκοις, τῇ τε διὰ ἁλῶν, καὶ τῇ διὰ κάχρυος καὶ ἀδάρκης. καὶ τὸ ὅλον τῆς δριμυτέρας δυνάμεως. προποτίζειν δὲ κοινῶς ἅπαντας τοὺς ὑφ' οὗ δήποτε δηχθέντας ἢ πληγέντας ἰοβόλου, πλὴν εἰ μὴ παντάπασιν ἀβλαβὲς εἴη, τῶν ἐν βάθει, σέριν, ἢ σρίκην, ἢ ἀστραγαλῶτιν μετ' ὄξους, ἢ ἄσφαλτον παλιούρου ὡσαύτως, ἢ παλαιοῦ ὀροῦ ἀφέψημα. ἢ γαλῆς σκελετευθείσης ∠ β. μετ' οἴνου τῶν περιβοήτων ἐστίν. ἢ χελώνης θαλασσίας αἷμα. ἢ καστορίου ∠ α. μετὰ κράματος ἢ λιβανωτίδος ∠ α. ἢ σικυωνίας ῥίζης. ἢ πράσου χυλός. ἢ χαμαιπίτυν ἢ σμύρνιον. ἢ κιννάμωμον. ἢ ἀριστολοχίαν. ἢ ἄγνου σπέρμα ἢ κυπαρίσσου σφαιρία. ἢ σέσελι. ἢ πέπερι. ἢ τριφύλλου σπέρμα. ἢ δαφνίδας. ἢ καρκίνους ποταμίους, ὀπτοὺς ἢ ἑφθούς. κέχρησο δὲ καὶ συνθέτῳ θηριακῇ τοιᾶδε.

Θηριακὴ πρὸς τὰ ἰοβόλα καὶ τὰ δηλητήρια, ἐχεοδήκτους, σκορπιοπλήκτους.

Βρυωνίας, ὀποπάνακος, ἴρεως ἰλλυρικῆς, λιβανωτίδος ῥίζης, ζιγγιβέρεως ἀνὰ ∠ δ. ἀριστολοχίας ∠ ε. λιβανωτοῦ, πηγάνου ἀγρίου ἀνὰ ∠ γ. ἀλεύρου ὀροβίνου ∠ β. οἴνῳ πλάσσε τροχίσκους καὶ δίδου τριώβολον μετ' οἴνου. καὶ κάθαρσις δὲ πᾶσιν ἁρμόσει, καὶ ὑδρωτήρια. καὶ ἡ διὰ τῶν ἐχιδνῶν θηριακῆς παράληψις.

Περὶ λυσσοδήκτων καὶ τοῦ ὑδροφοβικοῦ πάθους. γ.

Τὸν περὶ τῶν λυσσοδήκτων λόγον τῶν ἄλλων προετάξαμεν. ἐπειδὴ τὸ ζῷον πολύ τε καὶ σύνηθές ἐστι, καὶ συνεχῶς ἁλίσκεται τῇ λύσσῃ, καὶ δυσφύλακτον καθέστηκε, καὶ ὁ ἀπ' αὐτοῦ κίνδυνος ἀπαραίτητός ἐστιν, εἰ μὴ πολλοῖς τις καὶ προσφόροις χρήσαιτο τοῖς βοηθήμασι. λυσσῶσι δὲ οἱ κύνες ὡς τὸ πολὺ μὲν ἐν τοῖς σφοδροτέροις καύμασιν. ὡς δέ φησιν ὁ Λύκος, ἔσθ' ὅτε κἂν τοῖς ἐπιτεταμένοις κρύεσι. λυσσήσαντες δέ, καὶ πόσιν καὶ βρῶσιν ἀποστρέφονται. καὶ διψώδεις μέν εἰσιν, οὐ ποτικοὶ δέ. καὶ ἀσθμαίνουσιν ὡς ἐπὶ τὸ πολύ. καὶ τὰ ὦτα κλίνουσι. σίελον δὲ καὶ δαψιλὲς καὶ ἀφρῶδες ἀφιᾶσι. καὶ ἄφωνοι τοὐπίπαν εἰσί, καὶ οἷα ἄφρονες, ὡς μηδὲ τοὺς οἰκείους γνωρίζειν. ἐφορμῶσι γοῦν χωρὶς ὑλαγμοῦ πᾶσιν ὁμοίως καὶ θηρίοις καὶ ἀνθρώποις,

καὶ δάκνουσι. δακνόντων δὲ, παραχρῆμα μὲν οὐδὲν ὀχληρὸν φέρουσι, πλὴν ὅσον ὀδύνην τὴν ἐκ τοῦ τραύματος. ὕστερον δὲ, πάθος ἐμποιοῦσι τὸ καλούμενον ὑδροφοβικὸν, ὃ συμπίπτει μετὰ σπασμῶν, ἐρυθήματος ὅλου τοῦ σώματος, μάλιστα δὲ τοῦ προσώπου, καὶ μετὰ ἐφιδρώσεως καὶ ἀπορίας, καὶ τὸ ὕδωρ φεύγουσιν ὁρῶντές τε καὶ προσφερόμενοι, τινὲς δὲ καὶ πᾶν ὑγρόν. ἔνιοι δὲ καὶ ὑλακτοῦσιν, ὥσπερ οἱ κύνες. καὶ δάκνουσιν ἐπιόντας. καὶ δακνόντων αἴτιοι τοῦ αὐτοῦ κατέστησαν πάθους. ἡ δὲ τῶν συμπτωμάτων αἰτία, τῶν μὲν ἄλλων εὔδηλος, κατειληφότος τοῦ ἰοῦ πάντα τὰ μόρια. τὸ δὲ φοβεῖσθαι τὸ ὕδωρ, τινὲς μὲν ἔφησαν διὰ τὴν ἄμετρον γίνεσθαι ξηρότητα, οἷα παντελῶς αὐτῶν ἠλλοτριωμένης τῆς ὑγρᾶς οὐσίας. ὁ δέ γε Ῥοῦφος, μελαγχολίας αὐτοῖς εἶδος τὸ τοιοῦτον ἀπεφήνατο γίνεσθαι, τοῦ ἰοῦ τὸν χυμὸν ἐκεῖνον μιμησαμένου, καθάπερ ἑτέρους ἴσμεν μελαγχολικοὺς ἄλλους ἄλλα φοβουμένους. ἥτις αἰτία συντρέχει, καὶ τοῖς φάσκουσιν αὐτοὺς οἴεσθαι τὸν δάκνοντα κύνα ἐν τοῖς ὕδασιν εἰκονίζεσθαι. τῶν δὲ ἐμπεσόντων εἰς τὸ πάθος οὐδένα ἴσμεν περισωθέντα, πλὴν ἐξ ἱστορίας ἕνα ἢ δύο μεμαθήκαμεν. καὶ αὐτοὺς, οὐκ ἀπὸ τοῦ λυσσόντος κυνὸς δηχθέντας, ἀλλὰ ὑπὸ δηχθέντος τινὸς μετειληφότος. πρὸ δὲ τοῦ τὸ πάθος καταπείρας, πολλοὶ καὶ τῶν ὑπὸ τοῦ κυνὸς δηχθέντων περιεσώθησαν. ἀρκτέον οὖν τῆς θεραπείας ἐντεῦθεν. Ἀλλ' ἐπεὶ πολλάκις ἐκ τοῦ μὴ συστῆναι τέως τὸ ὑδροφοβικὸν πάθος (ὡς τὰ πολλὰ γὰρ περὶ τὴν τεσσαρακοστὴν ἡμέραν εἴωθεν ἐνσκήπτειν, ἔστι δ' ὅτε καὶ μετὰ ϛ. μῆνας, ἱστόρηται δὲ ἔστι καὶ μετὰ ἑπτὰ συστᾶσαι) τινὲς οἰηθέντες μὴ λυττᾶν τὸν κύνα τὸν δακόντα, συνουλῶσαί τε σπουδάσαντες τὸ ἕλκος, αὐτοὶ τοῦ πάθους αἴτιοι κατέστησαν. τῇ δὲ τῇ δοκιμασίᾳ χρησάμενος εὑρήσεις πότερον λυττῶντος εἴη τὸ δῆγμα, ἢ οὔ. κάρυα βασιλικὰ λεοτριβήσας ἐπιμελῶς κατάπλασσε τὸ ἕλκος. τῇ δὲ ἑξῆς λαβὼν αὐτὰ παράθες εἰς βρῶσιν ἀλεκτορὶ ἢ ἀλεκτορίδι. καὶ τὸ μὲν πρῶτον οὐχ ἅψεται. εἰ δὲ ὑπὸ λιμοῦ πιεσθὲν φάγῃ, σκόπησον, εἰ μὲν γὰρ μὴ λυττῶν εἴη ὁ δακὼν κύων, ζήσεται τὸ ὀρνίθιον. εἰ δὲ λυττῶν, τῇ ἐπιούσῃ τεθνήξεται. καὶ τότε πρὸς ἀναστόμωσιν ἐπείγου τοῦ ἕλκους. πάλιν δὲ μετ' ὀλίγας ἡμέρας τῇ δοκιμασίᾳ κέχρησο. κἀπειδὰν μὴ ἀποθάνῃ τὸ ὀρνίθιον, τηνικαῦτα τὸ ἕλκος εἰς οὐλὴν ἄγε, ὡς ἀπηλλαγμένου κινδύνου τοῦ κάμνοντος. ταύτην μὲν οὖν τὴν δοκιμασίαν Ὀριβάσιος παραδίδωσιν. εἰ δὲ διὰ τῶν εἰρημένων σημείων ἀκριβῶς γνοίημεν λυττᾶν τὸν κύνα, τοῖς ἀναστομωτικοῖς αὐτίκα χρηστέον. πρῶτον μὲν οὖν ἐστι τῶν ἀναστομωτικῶν, τὸ διὰ πίσσης καὶ ὄξους δριμυτάτου καὶ ὀποπάνακος, ἐν τῷ περὶ νευροτρώτων ἀκριβῶς εἰρημένον. εἰ δὲ τρυφερόχρως ὁ δηχθεὶς εἴη, ἀνετέον αὐτὸ ἰρίνῳ ἢ βαλσάμῳ, ἤ τινι τοιούτῳ. ἢ προπυριάσας τὰ ἕλκη, σκόρδῳ κατάπλασσε. τοῦτο καὶ ἐσχαροῖ. ξηρὸν ἐσχαρωτικὸν τῶν λυσσοδήκτων, ἁλῶν ὀρυκτῶν < .η. χαλκίτεως < .ιϛ. σκίλλης < .ιϛ. πηγάνου χλωροῦ < .δ. ἰοῦ ξυστοῦ < .δ. πρασίου σπέρματος < .α. χρῶ πρῶτον ξηρὸν ἵνα ἐσχαρωθῇ. εἶτα μετὰ ῥοδίνου, ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. φυλασσέσθω δὲ ἀκατούλωτα τὰ μέρη ἐπὶ ἡμέρας μβ. τὸ ἐλάχιστον. Κατάπλασμα λυσσοδήκτοις, εὔρεα φυλάττον τὰ στόμια. Κρομμύῳ μετὰ ἁλῶν καὶ πηγάνου κατάπλασσε. ἢ σιλφίῳ μετὰ ἁλῶν. ἢ ταρίχει παλαιῷ, ἢ τέφρᾳ κληματίνῃ μετὰ ἐλαίου. ἢ σκόρδα. ἢ ἀκτῆς φύλλα. ἢ ἡδύοσμον. ἢ μελισσόφυλλον. ἕκαστον ἢ μετὰ ἁλῶν. ἢ κάρυα βασιλικὰ σὺν κρομμύῳ, καὶ ἁλσὶ καὶ μέλιτι. ἢ τέφρᾳ σύκων κηρωτῇ ἀναληφθείσῃ. ἀπονίζειν δὲ τὸ ἕλκος ἕψοντας ἐν ὕδατι χαμαίμηλον, καὶ τὴν τοῦ ἀγρίου λαπάθου ῥίζαν. τινὲς δὲ καὶ καυτηρίοις σιδηροῖς τὸ ἕλκος καίουσι. προποτίζειν δὲ αὐτοὺς ἁπλᾶ μὲν, τὸ λύκιον, καὶ τὸ ἀψίνθιον, καὶ τὸν ὀπὸν τοῦ σιλφίου, καὶ χαμαίδρυν, καὶ σκόρδιον, καὶ πόλιον. σύνθετα δὲ ταῦτα. καρκίνων ποταμίων, ἐπικληματίδων λευκῆς ἀμπέλου καυθέντων ἐν κυπρίνῳ ἀγγείῳ ἢ χαλκῷ, κοχλιάρια β. γεντιανῆς τῆς ῥίζης λείας κοχλιάριον α. μετὰ οἴνου ἀκράτου παλαιοῦ κυ. β. πότιζε ἡμέρας δ. τινὲς δὲ καὶ περδικος αἵματος κοχλιάρια β. λάμβανε δὲ τοὺς καρκίνους αὐξανομένης σελήνης, πρὶν ἢ ἥλιον ἀνασχεῖν. τοῖς δὲ μὴ αὐθήμερον ποτισθεῖσι, διπλῆν δίδου τὴν δόσιν. ἔσθ' ὅτε δὲ καὶ τριπλῆν. καὶ ἡ δι' ἐχιδνῶν δὲ θηριακὴ, καλῶς ἂν δοθείη. καθαίρειν δὲ δεῖ διὰ τῆς συκυωνίας, διδόντα καθ' ἡμέραν τοῦ φαρμάκου, μετὰ ἀφεψήματος ἐλελισφάκου, ἢ τῆς σιδηρίτιδος τῆς ἡρακλείας ἣν καὶ διάλυσον καλοῦσι. τινὲς δὲ καὶ τοῦ ἥπατος τοῦ δακόντος κυνὸς ἔδοσαν φαγεῖν. δίαιτα δὲ τοιαύτη παραλαμβανέσθω ἥτις ὁμοῦ μὲν ἀμβλύνει καὶ σβεννύει τὴν τοῦ ἰοῦ δύναμιν, ὁμοῦ δὲ καὶ κωλύει τὴν εἰς τὸ βάθος φοράν. δύναται δὲ τούτων ἑκάτερον, οἴνου γλυκέως ἀκράτου παλαιοῦ ζωροτέρου, γάλακτος πόσις. ὡσαύτως δὲ καὶ σκόρδων καὶ κρομμύων καὶ πράσων ἐδωδή. εἰ δὲ μὴ κατ' ἀρχὰς παραλειφθείη τὰ λεχθέντα βοηθήματα διά τινα ἐμποδισμόν. τὸ μὲν περισχαρίζειν ἢ καὶ σικυάζειν ἢ καίειν τὸ ἕλκος, μὴ παραλειπτέον. φθάσαντος ἤδη τοῦ ἰοῦ χωρῆσαι παρὰ τὸ βάθος. ταῖς εἰρημέναις δὲ με-

τασυγκει-

τας συγκεκλεικαῖς ἀγωγαῖς χρῆσθαι, μὴ προσγεγονότος δηλονότι τοῦ ὑδροφοβικοῦ πάθους. κάθαρσίν τε τὴν διὰ τῆς ἱερᾶς καὶ τὴν διὰ τοῦ χιστοῦ γάλακτος παραληπτέον. ἱδρωτοποιΐας τε καὶ δρωπακισμοὺς, καὶ σιναπισμοὺς, κατὰ μέρος ἐφ' ὅλου τοῦ σώματος. ὀνησιμώτατον δὲ πάντων ἐλλεβορισμὸς ἐγνώσθη πλεονάκις παραλαμβανόμενος.

Πρὸς τὰ τῶν μὴ λυττώντων κυνῶν δήγματα. δʹ.

Τὰ δὲ τῶν μὴ λυττώντων κυνῶν δήγματα, καὶ αὐτὰ τινὸς ἰώδους οὐσίας μετέχοντα. εὐθέως μὲν καταῤῥαίνων ὄξει, πλατείᾳ τῇ χειρὶ τύπτε τὸ δῆγμα. εἶτα δὲ νίτρον μετ' ὄξους ῥίψας, ἄνωθεν κατακρούνιζε. εἶτα σπόγγον καινὸν τῷ ὄξει δεύσας ἢ καὶ αὐτῷ τῷ ὀξυνίτρῳ, ἐπιτίθει ἡμέρας γʹ. καταβρέχων αὐτὸ ὕδατι, εἰς τέλος γὰρ ἀφυγιάζει. ἢ ὀρόβινον ἄλευρον, ἐλαίῳ πεφυραμένον, ἐπιτίθει. ἢ σπόγγον καινὸν, ἢ ἔριον οἰσυπηρὸν, ὄξει καὶ ἐλαίῳ βεβρεγμένον ἐπιτίθει. ἢ βάτου κόψας τὰ φύλλα σὺν ὄξει, κατάπλασσε. ἢ κρόμμυον λεῖον μετὰ μέλιτος. ἢ ὀριγάνου τῆς κόμης, καὶ ἁλὸς, καὶ κρομμύου, ἴσον ἑκάστου μετὰ μέλιτος. ἢ μέλαν πράσιον, ὃ καὶ βαλλώτην καλοῦσι μεθ' ἁλῶν. πρὸς δὲ τὰ ἤδη πεπυρωμένα τῶν δηγμάτων, ὀρόβινον ἄλευρον μέλιτι πεφυραμένον ἐπιτίθει. ἰδίως γὰρ ἐπὶ τούτων ποιεῖ. τὰ δὲ φλεγμαίνοντα, λιθαργύρῳ λείῳ μεθ' ὕδατος κατάχριε.

Περὶ σφηκῶν καὶ μελισσῶν. εʹ.

Τοῖς μὲν ὑπὸ μελιττῶν πληγεῖσι, παρακολουθεῖ τῇ πληγῇ ἀλγεῖν, ἐρυθεῖν, οἰδεῖν, ἐπαίρεσθαι τὰ κύκλῳ, τὸ κέντρον μένειν ἐν τῇ πληγῇ. τοῖς δὲ ὑπὸ σφηκῶν. τὰ ὅμοια μὲν, ἐπιτεταμένα δὲ, πλὴν τὸ κέντρον οὐκ ἐνυπάρχει. βοηθεῖται δὲ ἑκάτερα. πηλῷ ἢ βολβίτῳ καταχριόμενα. ἢ συκῆς ὀπῷ. ἢ συκαμίνου τοῖς φύλλοις λείοις, ἢ μαλάχης. ἢ κριθίνῳ ἀλεύρῳ σὺν ὄξει καταπλασσόμενα. καὶ πυρία δι' ἅλμης, ἢ θαλάσσης.

Περὶ φαλαγγίων. ϛʹ.

Τοῖς ὑπὸ φαλαγγίων δεδηγμένοις. αὐτὸς μὲν ὁ τόπος ἐνερευθὴς φαίνεται, καὶ ὅμοιος κεντήμασιν. οὔτε ὠδηκὼς, οὔτε περίθερμος. ἀλλὰ μετρίως μὲν ὑπέρυθρος, κατεψυγμένος δὲ καὶ κνησμώδης. παρέπεται δὲ τοῖς πληγεῖσι περίψυξις, καὶ τρόμος, τοῦ σώματος βάρος, ἱδρὼς ψυχρὸς, πόνος σύντονος, ὠχρίασις, οὔρων συνεχὴς πρὸς ἔκκρισιν ἐρεθισμός. τισὶ δὲ, δυσουρία καὶ ἔντασις καυλοῦ, ὄμματα ἔνυγρα. σύντασις περὶ βουβῶνας τε καὶ τὰς ἰγνύας, σπασμώδης. δηγμὸς στομάχου ἰσχυρὸς, γλώσσης ἀσάφεια, ἔμετος ὑδάτων, ἢ ἀραχνίοις προσεοικότων. ἔστι δὲ οἷς καὶ δι' οὔρων καὶ γαστρὸς τὰ αὐτὰ φέρεται. καθιέμενοί τε εἰς θερμὸν ὕδωρ ἄπονοι γίνονται. καὶ πάλιν συντόνως ἀλγοῦσι. βοηθοῦνται δὲ, εἰ ἔξωθεν μὲν αὐτοῖς ἐπιθείης τέφραν συκίνην, σὺν ἁλσὶ λείοις μετὰ οἴνου πεφυραμένην. ἢ ῥίζαν ἀγρίας ῥοιᾶς λελειοτριβημένην. ἢ ἀριστολοχίαν σὺν κριθίνῳ ἀλεύρῳ ὄξει δεδευμένην. καταντλεῖν δὲ τὰ ἕλκη, θαλάσσῃ θερμοτέρᾳ, ἢ μελισσοφύλλου ἀφεψήματι. ταύτης δὲ καὶ τὰ φύλλα ἐπιπάσσειν. δεῖ καὶ λουτρὰ παραλαμβάνειν συνεχέστερα. καὶ προποτισμοῖς χρῆσθαι τούτοις. ἀβροτόνου τὸ σπέρμα, ἄνηθον, ἀριστολοχία, ἐρέβινθος ἄγριος, κύμινον αἰθιοπικὸν, κεδρίδες λεῖαι, πλατάνου φλοιὸς, τριφύλλου πόας τὸ σπέρμα, μυρίκης καρπός. τούτων ἑκάστου < βʹ. πότιζε μετ' οἴνου κυ αʹ. καὶ χλωρὸν κυπαρίσσου ἢ σφαιρίων τὸ ἀφέψημα, κιρνάμενον μετ' οἴνου. τινὲς καὶ καρκίνον ποτάμιον χυλωθέντα μετὰ γάλακτος καὶ σελίνου σπέρματος, διδόμενον. φασὶν ἀπαλλάσσειν.

Περὶ ἀράχνης πληγῆς. ζʹ.

Ἔστι δέ τι καὶ ἀραχνῶν γένος. ὃ πλῆξαν συντόνους πόνους περὶ μέσον γεννᾷ τὸ ὑποχόνδριον, ἐρύθημα, δυσουρίαν, ἐνίοτε δὲ καὶ πνιγμός. κουφίζονται δὲ οἱ πληγέντες ὑπὸ τούτων, κύμινον ἄγριον θηβαϊκὸν, ἢ ἄγνου σπέρμα, τῆς λευκῆς τὰ φύλλα ποτιζόμενοι, ἢ σκόροδα μόνα προσφερόμενοι, καὶ οἶνον ἐπιῤῥοφοῦντες ἄκρατον, ὠφελοῦνται.

Περὶ σκορπίου πληγῆς. ηʹ.

Τοῖς δὲ ὑπὸ σκορπίου πληγεῖσιν. ὁ μὲν τόπος εὐθέως ἄρχεται φλεγμαίνειν, σκληρὸς καὶ ἐνερευθὴς καὶ περιτενὴς σὺν ὀδύνῃ γινόμενος. καὶ ἐναλλὰξ, ὅτε μὲν πυρώσεως, ὅτε δὲ ψύξεως ἀντιλαμβανόμενος. καὶ ὁπότε παρέπεται ὁ πόνος. ποτὲ μὲν ῥαΐζει. ποτὲ δὲ ἐπιτείνεται. παρέπεται δὲ αὐτοῖς ἱδρὼς, καὶ φρικώδης συναίσθησις, καὶ τρόμος, περίψυξις ἀκρωτηρίων, καὶ βουβώνων ἔπαρσις, καὶ τοῦ μορίου ἔντασις. πολλάκις δὲ πνευμάτων μετὰ ψόφου διὰ τῆς ἕδρας ἔκδοσις, ὀρθοτριχίασις, δύσχροια ἐπαλγὴς περὶ τὴν ἐπιφάνειαν τῆς αἰσθήσεως καθάπερ ἐπὶ τῶν τῆς βελόνης κεντημάτων ὀδυνωμένης. καὶ τούτοις δὲ βοηθεῖ παραχρῆμα μὲν συκῆς ὀπὸς ἐνσταχθεὶς ἐν τοῖς τραύμασιν. αὐτός τε ὁ πλήξας σκορπίος λειοτριβηθεὶς καὶ ἐπιτιθέμενος τῷ πλήγματι. μετὰ δὲ ταῦτα λεῖον ἅλας

ἐπιτιθέσθω, μετὰ λινοσπέρμου. καὶ τῆς ἀλθαίας βοτάνης τὸ σπέρμα. βοηθεῖ δὲ καὶ θεῖον ἄπυρον ἀναληφθὲν ῥητίνῃ ἢ τερμινθίνῃ. ὁμοίως δὲ καὶ χαλβάνη πλατυνθεῖσα σπληνίου τύπον καὶ ἐπιτεθεῖσα. καλαμίνθη τελεία καταπλασσομένη. καὶ ὠμὴ λύσις ἐν οἴνῳ σκευασθεῖσα, ἐν ἀφεψήματι πηγάνου. βοηθεῖ δὲ οὕτως καὶ τὸ σπέρμα τοῦ τριφύλλου πόας λειαινόμενον καὶ ἐπιρριπτόμενον. προποτιστέον δὲ αὐτοὺς, ἀριστολοχίας δίδραχμον, μάλιστα τοῦ φλοιοῦ σὺν οἴνῳ, γλυκείᾳ κεκομμένῃ. καὶ γλήχων ἐφ' ἱκανὸν καθεψημένη. καὶ δαφνίδες ἀριθμῷ δέκα, λειοτριβούμεναι. καὶ καλαμίνθη ἑψηθεῖσα ἐπὶ πολὺ μετ' ὀξυκράτου. καὶ κύπρις μετ' οἴνου. πήγανον ὡσαύτως καὶ συκῆς ὀπὸς καὶ σίλφιον εἰ παρείη. μὴ παρόντος δὲ, τῷ παρθικῷ χρηστέον ὀπῷ. ποιεῖ δὲ καὶ ὁ τοῦ τριφύλλου καρπὸς πινόμενος. καὶ τὸ τοῦ ὠκίμου σπέρμα. ποιεῖ δὲ καὶ ἄργυρος παραχρῆμα προστιθεὶς τῷ πλήγματι παραδόξως. τούτοις δὲ πᾶσιν ἀντιπαραταττέσθω λουτροῦ τε χρῆσις συνεχὴς μετὰ πολλῆς τῆς ἱδρώσεως, καὶ οἰνοποσία ζωροτέρα τῷ κράματι. σύνθετα προποτιστέον. θείου ἀπύρου ὅσον κυάμου αἰγυπτίου τὸ μέγεθος, μετὰ πεπέρεως κόκκων η. ἐν οἴνῳ ἡμικοτυλίου. ἢ ὀπὸν σιλφίου μετὰ καρκίνου λειωθέντος ἐν οἴνῳ. ἢ μελανθίου, κυμίνου αἰθιοπικοῦ, ἄγνου σπέρ. ἴσα μετ' οἴνου.

ἐπὶ σκορπίων χαλεπῶν καὶ φαλαγγίων πληγῆς.

Τρυγὸς < ιϛ. πυρέθρου < δ. πηγάνου ἀγρίου σπέρματος < γ. καστορίου, εὐζώμου σπέρματος ἀνὰ < β. ἀναλαμβανέσθω αἵματι χελώνης θαλασσίας. ἡ δόσις ὀβολοὶ δ. μετ' οἴνου ἢ ὄξους κυ. γ. ἀκράτου. Ἄλλο. Πυρέθρου, ἀριστολοχίας ἀνὰ ℥ο. δ. πεπέρεως < β. ὀποῦ σιλφίου < α. ἡ δόσις κυάμου αἰγυπτίου μέγεθος.

Περὶ σκολοπένδρας χερσαίας καὶ θαλαττίας. θ.

Τοῖς δὲ ὑπὸ σκολοπένδρας δηχθεῖσι. κοινῶς μὲν ὁ ἐν κύκλῳ τόπος τοῦ δήγματος πελιοῦται καὶ ἐπαίρεται. καίποτε τρυγώδης, ἔστι τὸ σπάνιον δὲ καὶ ἐνερευθὴς φαίνεται. ἑλκοῦται δὲ καὶ ἀπ' αὐτοῦ τοῦ δήγματος λαμβάνων τὴν ἀρχὴν, ἕλκωσίν τινα ἐπίπονον καὶ δυσανθῆ. πρὸς δὲ τούτοις, καὶ περὶ ὅλον τὸ σῶμα συναίσθησις γίνεται κνησμώδης. ἰδίως δὲ τοῖς μὲν ὑπὸ θαλασσίας σκολοπένδρας δηχθεῖσιν, ὑδατώδης καὶ διαφανὴς ὁ ὄγκος ἔσθ' ὅτε γίνεται. τοῖς δὲ ὑπὸ χερσαίας, ἐνερευθής. κατὰ μὲν οὖν τὴν πληγὴν ἐπιτιθέναι δεῖ, λειοτριβημένους ἅλας. ἢ πήγανον λεῖον. ἢ σποδὸν ὄξει πεφυραμένην. ἢ σκίλλαν. καταντλεῖν δὲ ὀξάλμῃ, ὁ δὲ Ἀρχιγένης ἐλαίῳ πολλῷ θερμῷ, καὶ οὕτως ἐπιτιθέναι τὰ λεχθέντα. πότιμα δὲ προσφέρειν, ἀριστολοχίαν μετ' οἴνου. ἢ ἕρπυλλον. ἢ καλαμίνθην. ἢ ἄγριον πήγανον. ἢ τρίφυλλον. ἢ χύλισμα ῥίζης ἀσφοδέλου ὡς ἡμικοτύλιον μετ' οἴνου.

Πρὸς ἀσκαλαβώτου δῆγμα. ι.

Σησάμῳ λείῳ κατάπλασσε.

Περὶ γαλεώτου. ια.

Οἱ δὲ ὑπὸ τοῦ γαλεώτου δακνώμενοι, συντόνως μὲν ἀλγοῦσι καὶ τὸ δῆγμα πελιὸν ἔχουσι. βοηθοῦνται δὲ, παραχρῆμα καταπλασσόμενοι τὴν πληγὴν κρομμύοις, σκορόδοις. ἔτι δέ τινες ἐσθίοντες αὐτὰ, οἶνον ἄκρατον ἐπιρροφοῦντες θεραπεύονται.

Περὶ μυγαλῆς. ιβ.

Τοῖς δὲ ὑπὸ τῆς μυγαλῆς δηχθεῖσι, παρέπονται πόνοι σφυγματώδεις. ἐρυθήματα, καθ' ἕκαστον ὀδόντος κέντημα. φλυκταῖναι περὶ τὸ δῆγμα πλήρεις ἰχωροειδοῦς ὑγροῦ. καὶ τὰ πλησίον πάντα πελιοῦται. καὶ τοῦ δέρματος ὑποδερομένου τῆς φλυκταίνης, λευκὸν φαίνεται τὸ ἕλκος, ἀναξαινομένης εἰς ὑμένας νευρώδεις. πρὸς δὲ τούτοις ἐκπίπτει καὶ μόρια σηπόμενα, νομῆς γινομένης παραπλησίως τῶν ἑρπιστικῶν. ἔτι δὲ καὶ στρόφος παρέπεται περὶ τὰ ἔντερα. καὶ δυσουρίας καὶ ψυχρᾶς νοτίδος περίχυσις. βοηθεῖ δὲ αὐτοῖς, χαλβάνης σπληνίον ἐπιτεθὲν καθ' αὑτὴν, ἢ καὶ μετ' ὄξους λελειοτριβημένη. ἢ κρίθινον ἄλευρον μετ' ὀξυμέλιτος καταπλασθέν. καὶ αὐτὴ ἡ δακοῦσα μυγαλῆ ἀναπτυσσομένη καὶ ἐπιτιθεμένη. καὶ πύρεθρον ἐπιπλασσόμενον. ἢ σίδια γλυκείας ῥοιᾶς ἑφθά. ἢ μαλάχη ἀγρία. ἢ σκόρδα τετριμμένα. ἢ νᾶπυ λεῖον μετ' ὄξους. καὶ ἡ διὰ τῆς θερμῆς ἅλμης κατάντλησις. εἶτα κριθῶν κεκαυμένων δι' ὄξους κατάπλασις. προποτίζειν δὲ ἀβρότονον ἑψηθὲν μετ' οἴνου, ἢ σισύμβριον, ἢ ἕρπυλλον, ἢ εὔζωμον, ἢ χαλβάνην, ἢ ἐλελίσφακον, ἢ κυπαρίσσου τὰ ἁπαλὰ σφαιρία μετ' ὀξυμέλιτος, ἢ πύρεθρον σὺν οἴνῳ, ἢ χαμαιλέοντος ῥίζαν, ἢ πιτύαν ἐρίφου, ἢ ἀρνὸς ἢ γλυκείας ῥίζαν. ἢ περιστερεῶνα. οὗτος δὲ καὶ καταπλάσσεται. καὶ αὐτὴν τὴν δακοῦσαν μυγαλὴν λειοτριβήσαντες μετ' οἴνου ποτίζουσι. ποιεῖ δὲ καὶ τοῦτο. σμύρνης < ϛ. ἀριστολοχίας φλοιοῦ < δ. πρὸς δὲ μυγαλῆς καὶ σκολοπένδρας δῆγμα, ἅλας μεθ' ὑγροπίσσου κατάπλασσε, ἢ κεδρίαν μετὰ μέλιτος. ἢ

σκόρδον

σκόροδον μετὰ συκῆς φύλλων καὶ κυμίνου. ἢ καλαμίνθης φύλλα. ἢ κριθὰς καὶ μετ᾽ ὄξους.

Περὶ ἐχέων καὶ ἐχιδνῶν. ιγ.

Ἐπειδὴ δὲ τῶν ὑπὸ ἐχέων ἢ ἐχίδνης δακνομένων, ἢ τῶν ὁμοίων ἰοβόλων, παρακολουθεῖ πόνος ἐν ἀρχῇ μὲν τοῦ δηχθέντος τόπου, μετὰ ταῦτα δὲ καὶ ὅλου τοῦ σώματος. φαίνεται δὲ κατὰ τὸ δῆγμα δύο τρηματίδια μικρὸν ἀλλήλων διεστηκότα, ῥύσις τε ἐκ τούτων αἵματος καὶ ἰχωροειδοῦς ὑγροῦ, μετὰ δὲ ταῦτα ἐλαιώδους, ἐπὶ πᾶσι δὲ καὶ ἰώδους. ὃ δή φασί τινες εἶναι τὸν ἰὸν τῶν θηρίων. παρακολουθεῖ δὲ καὶ οἰδήματα περὶ τὸ δῆγμα ὑπέρυθρα, καὶ πελιδνά. ἄχροια περὶ τὸ σῶμα. ἴλιγγος. ἀνάλυσις στομάχου. λιποθυμία. τισὶ δὲ καὶ ἔμετος χολώδης, δυσουρία. περὶ δὲ τὸ δῆγμα φλυκταινῶν ἐπανάστασις, καθάπερ ἐπὶ τῶν πυρικαύτων γίνεται. καὶ νομὴ περιλαμβάνει, προχωροῦσα ἐπὶ τὰ παρακείμενα. καὶ τὰ οὖλα αὐτοῖς αἱμάσσεται. προσγίνεται δὲ αὐτοῖς καὶ τρόμος. καὶ καῦσος. καὶ ψυχρὰ περιΐδρωσις. ἀκινδυνώτερον δὲ δοκοῦσιν ἀπαλλάττειν οἱ δηχθέντες ὑπὸ ἐχίδνης μᾶλλον ἢ ἔχεως. ἧττον δὲ καὶ τούτων αὐτῶν κινδυνεύουσιν οἱ προσενηνεγμένοι τροφήν. ἐν δὲ θεραπείαις, ἀνυτικώτατον μὲν βοήθημα σκοροδοφαγία καὶ ἀκρατοποσία. ὥστε εἰ ὑπομένοιέν τις, ἄλλου μὴ δεηθῆναι βοηθήματος. ἐσθιέτωσαν δὲ καὶ πράσα καὶ κρόμμυα καὶ τάριχον δριμύτατον. τινὲς δὲ καὶ βατράχους ζωμιστοὺς ἔδωκαν φαγεῖν. ποιεῖ δὲ καὶ ταῦτα, μετ᾽ οἴνου πιζόμενον ἕκαστον, χελώνης θαλασσίας αἷμα ξηρὸν μετὰ κυμίνου ἀγρίου. πιτυΐα λαγωοῦ ἢ νεβροῦ τριώβολον. ἐλαφείου αἰδοίου ξηροῦ < .α. ἄγχουσα ἡ λεπτόφυλλος ὅλη. ταύτην δέ τινες καὶ περιάπτουσιν. πράσου χυλίσματος ὅσον ἡμικοτύλιον ἐν μελικράτῳ. μελισσοφύλλου τῶν φύλλων ὁ χυλός. ἄγριον πήγανον. ὀρνίθων κατοικιδίων ὁ ἐγκέφαλος. πάνακος ῥίζα ἑφθὴ σὺν οἴνῳ. ἀγαρικοῦ < .α. ἀρκευθίδες, ἀσφοδέλου ῥίζα. πισσάκια λεῖα. ἄγνου σπέρμα. γαλῆς ἐσκελετευμένης < .β. ἐχίου ῥίζα καὶ ὁ χυλός. καρκῖνοι ποτάμιοι ἢ θαλάσσιοι κατ᾽ ἰδίαν, ἢ μετὰ σταφίδος ἀγρίας καὶ ἁλῶν καὶ πολίου. ἀριστολοχίας ῥίζα μετὰ σμύρνης καὶ γλυκάνης καὶ δαφνίδων ἴσων, μέλιτι ἀναληφθέντα. καὶ τὸ περὶ δὲ θαυμαστὸν, Ὀρειβασίου πρὸς ἐχεοδήκτους. ἀνίσου ὀξύβαφον. πεπέρεως ἀνὰ < .δ. ἀριστολοχίας φλοιοῦ, ὀποῦ, κασσίας, σμύρνης ἀνὰ < .α. γλυκεῖ λεάνας πλάσσε κυάμου ἑλληνικοῦ μέγεθος, καὶ δίδου πρὸς δύναμιν μετὰ κεράματος κυ. γ.

Ἄλλο. Ἐκ τῶν λύκου φαρμάκων ἐπιτετυγμένον ἐπὶ τῶν ἐχεοδήκτων. σμύρνης, κασσίου, πεπέρεως, σανδαράχης ἀνὰ < .α. ἀνήθου σπέρματος ὀξύβαφον, λεάνας γλυκεῖ δίδου.

Ἄλλο ἐκ τῶν Ἀρχιγένους. Καρκίνους η μετὰ αὐτάρκους ἀλεύρου πυρίνου κόψας ἐν ὅλμῳ ἐπιμελῶς, καὶ προσμίξας καλαμίνθης, καὶ ἁλὸς ὀλίγον ἀρτίσκους πλάσσον καὶ ξήρανον. χρῶ δὲ καταπλάσσων μετὰ γάλακτος. καὶ ἕνα μετὰ μελικράτου ποτίζων. ἐὰν δὲ μὴ ἔχῃς φησὶ ποταμίους καρκίνους, θαλασσίοις χρῶ. ἔξωθεν δὲ κατὰ τῆς πληγῆς καταπλασθεῖσαι τῶν αἰγῶν αἱ σπύραθοι μετὰ οἴνου, σπουδαίως ἀρήγουσιν. ἢ δάφνης ἑφθὰ φύλλα μετὰ ἐλαίου. ἢ δαφνίδες, ἢ καλαμίνθη, ὀρίκη, πήγανον, σέλινον, ἀβρότονον, χαλβάνη, μετὰ σπληνίου. ὀρίγανος χλωρὰ λεανθεῖσα. τῶν ὀρνίθων οἱ νεοσσοὶ ἀναπτυσσόμενοι, καὶ ἐπιτιθέμενοι θερμοί, καὶ συχνῶς ἐπιπλασσόμενοι. ὀρόβινον ἄλευρον μετ᾽ οἴνου πεφυραμένον. ῥαφανίου φλοιὸς λεῖος. σκίλλα ἑφθή. ὠμὴ λύσις δὲ ὀξυμέλιτος. σικύου ἀγρίου φύλλα μετὰ παιπάλης ἀλφίτου. τρὺξ οἴνου, ὁμοίως μετὰ παιπάλης ἀλφίτου. πήγανον μετὰ ἁλῶν καὶ μέλιτος. πίτυρα ἐν ὄξει ἑφθά. τέφρα μετ᾽ ὄξους. κεδρία μεθ᾽ ἁλῶν. ὑγρὰ πίσσα μεθ᾽ ἁλῶν. καταντλεῖ δὲ τριφύλλου ἀφεψήματι ἢ γλήχωνος, ἢ ὀξάλμῃ. ὅταν δὲ ὕφαιμοι αἱ φλύκταιναι γένωνται, ἀπόσχαζε αὐτὰς μὴ περιδέρων. εἶτα καταντλεῖ πολλῷ ὕδατι καὶ καταπλάττε φακῷ ἑφθῷ μετὰ μέλιτος, ἕως ἀφυγιασθῶσιν. ἡ δὲ διὰ ἐχιδνῶν ἀντίδοτος, ἰδίως ἐπὶ τούτων ἐνεργεῖ, πινομένη, καὶ κατὰ τοῦ δήγματος ἐπιτιθεμένη.

Περὶ ἀμφισβαίνης καὶ σκυτάλης. ιδ.

Παραπλήσια δὲ συμβαίνει καὶ τοῖς ἀπὸ τούτων δήγμασι. καὶ βοηθεῖ τὰ αὐτά. διόπερ ἰδίας τινὸς οὐ τετύχηκε γραφῆς.

Περὶ δρυΐνου. Γαληνοῦ δὲ τὸ προοίμιον. ιε.

Ὁ δὲ δρυΐνος, ἐν ταῖς τῶν δρυῶν ῥίζαις τὸν βίον ποιούμενος, οὕτω πονηρός ἐστι πρὸς τὸ διαφθεῖραι κακῶς, ὡς εἴ τις αὐτῷ φασι καὶ ἐπιβαίη ἐκδέρεσθαι αὐτοῦ τοὺς πόδας, καὶ οἴδημα πολὺ γίνεσθαι καθ᾽ ὅλων τῶν σκελῶν. καὶ ἔτι τὸ θαυμασιώτερον φασίν. ὅτι εἰ καὶ θεραπεύειν τὶς αὐτοὺς ἐθέλοι, τούτου τὰς χεῖρας ἐκδέρεσθαι. εἰ δέ τις καὶ ἀμυνόμενος αὐτὸν, ἀποκτεῖναι βούλοιτο τὸ θηρίον. λέγουσι τούτου μοχθηρὸν ὄζειν πάνυ, καὶ μηδενὸς δὲ ἄλλου ὀσφραίνεσθαι. Τοῖς δὲ ὑπὸ δρυΐνου πληγεῖσιν. ἔπαρμα μὲν γίνεται περὶ τὸν τόπον μετὰ ἐρεύθους. καὶ φλυκταινώσεις τῶν ἐν κύκλῳ μορίων. ἥπτου δὲ καὶ ὑδατώδους ἰχῶρος ἔκκρισις. ἐπακολουθεῖ δὲ καρδιωγμὸς καὶ στρόφος. ἁρμόζει δὲ αὐτοῖς ἀριστολοχία οἴνῳ ποτιζομένη. καὶ ἡ τρίφυλλος πόα. ῥίζα τε

ἀσφοδέλου παραπλησίως παραλαμβανομένη. καὶ δρυὸς πάσης ὁ καρπὸς λεῖος πινόμενος. ὡσαύτως καὶ τῆς πρίνου αἱ ῥίζαι κοπτόμεναι καὶ καταπλασσόμεναι ἐπικῶς, ἀρήγουσιν.

Περὶ αἱμόρρου καὶ τοῦ πρηστῆρος ἤτοι διψάδος. ις.

Τοῖς δὲ ὑπὸ αἱμόρρου δηχθεῖσιν, ἰσχυραὶ περιοδυνίαι ἐμπίπτουσι. βραχέα δὲ παντελῶς, καὶ στενὰ παρέχουσι τὰ ἀραιώματα, ὑπὸ συνεχείας τῶν ἀλγημάτων. ἐκ δὲ τοῦ δήγματος, αἵματος ἔκκρισις γίνεται πολλή. κἂν οὐλὴ καθ᾽ ὅλου τοῦ σώματος ὑπάρχῃ, ῥήγνυται καὶ αἱμορροεῖ. τὰ δὲ διαχωρήματα, αἱματώδη ἐκκρίνεται. καὶ τὸ ἀπορρεόμενον αὐτοῖς αἷμα οὐκ ἔστι θρομβούμενον. βήσσοντες δὲ, ἀπὸ πνεύμονος αἷμα ἀνάγουσι, καὶ τελευτῶσιν ἐξαιμαχθέντες ἀβοηθήτως. Τοῖς δὲ ὑπὸ τῆς διψάδος δηχθεῖσιν. ἄσεκτος ὁ καῦσος γίνεται, καὶ δίψος ἐπιτεταμένον ἰσχυρῶς, ὥστε ἀπλήρωτόν τε καὶ ἀδιάλειπτον εἶναι, καὶ τὸ ποτὸν χανδὸν ἕλκειν, εἰς τὸ αὐτὸ δὲ καθίστασθαι τῷ μηδὲ τὴν ἀρχὴν εἰληφότι τὸ ποτόν. παραπλήσιον τε τοῦ ὅλου συγκρίματος παρακολουθεῖ, διὰ τὴν συνεχῆ τοῦ πόματος εἰσφοράν. ὅθεν πρηστήρ τε καὶ καύσων ἡ διψὰς προσαγορεύεται. παρὰ δὲ τοῖς πλείστοις τῶν παλαιῶν. οἵ τε ὑπὸ τοῦ αἱμόρρου καὶ τῆς διψάδος δηχθέντες ἀπηγορεύθησαν, ὡς ἀβοήθητοι. δεῖ δὲ εἰ τῶν κατ᾽ ἰδιότητα πρὸς τὸ θηρίον ὠφελούντων ἀπορoίημεν, ἀποπειρᾶσθαι τῶν κοινῶν βοηθημάτων. καὶ παραχρῆμα τούς τε κατασχασμοὺς παραλαμβάνειν τήν τε καῦσιν. καὶ εἰ ὁ τόπος ἐγχωροίη, τὸν ἀκρωτηριασμόν. ἐφεξῆς δὲ, τὰς τῶν δριμέων καταπλασμάτων ἐπιθέσεις. χρησιμεύσει δὲ καὶ δριμυφαγία πᾶσα, μάλιστα δὲ ἡ ἀπὸ τῶν ταρίχων. ἀκρατοποσία τε καὶ λουτρόν. ταῦτα δὲ συνεχῶς, καὶ ἐκ μικρῶν διαστημάτων πλεονάκις παραληπτέον, πρὶν ἢ ἐγκατασκῆψαι τὰ νοσήματα. ἐκείνων γὰρ ἐπιφανέντων. οὐδ᾽ ὁποιοῦν τι παρὰ τῶν ἰατρῶν ἐπικουρείας ὄφελος γίνεται. τοπικὰ δὲ εὑρίσκομεν ἀναγεγραμμένα κατὰ τῶν δηγμάτων. ἐπὶ μὲν τῆς διψάδος. ἀνδράχνης φύλλα λεῖα σὺν ὄξει. καὶ ἄλφιτα. καὶ βάτου φύλλα λελειοτριβημένα μετὰ μέλιτος. ἀρνόγλωσσον. ὕσσωπον. σκόρδον λευκόν. πράσον. πήγανον. κνίδην. ἐπὶ δὲ τοῦ αἱμόρρου, καὶ ταῦτα. καὶ πρὸς τούτοις, ἀμπέλου φύλλα ἑφθὰ σὺν μέλιτι λελειωμένα. διὰ στόματος δέ. αὐτοῦ τοῦ θηρίου ἡ κεφαλὴ καυθεῖσα ποτιζέσθω. ἢ σκόρδον μετὰ ἴρεως. ἐσθιέτωσαν δὲ καὶ σταφίδας.

Περὶ ὕδρου. ιζ.

Τοῖς δὲ ὑπὸ ὕδρου δηχθεῖσι, τὸ ἕλκος πλατύνεται καὶ μέγα γίγνεται πελιούμενον. ἰχώρ τε ἐξ αὐτοῦ μέλας καὶ πολὺς καὶ δυσώδης, οἷος ἀπὸ νομῆς, ἐκκρίνεται. ἥ τε ἴασις τοῦ κακοῦ σὺν χρόνῳ καὶ μόλις κατορθοῦται. τούτοις οὖν ὀρίγανος λεία, σὺν ὕδατι φυραθεῖσα, ἐπιτιθέσθω κατὰ τοῦ δήγματος. ἢ κονία δρυὸς ἐλαίῳ δευθεῖσα. ἢ κρίθινον ἄλευρον μετὰ μέλιτος συντετηκότος ποτίζεται. καὶ ἀριστολοχία δίδραχμον ἐν κράματι ἢ ὀξυκράτου κυάθοις δυσίν. ἑξῆς πρασίου χυλὸς ἢ ἀφέψημα σὺν οἴνῳ. ἢ κάρδαμον ἄγριον. ἢ καρπὸς ἀσφοδέλου, ἢ τὸ ἄνθος, ἢ μαράθρου σπέρμα σὺν οἴνῳ. πρόσφατόν τε κρεῖον ἐσθιόμενον μετ᾽ ὄξους.

Περὶ κεγχρίνου. ιη.

Τοῖς δὲ ὑπὸ κεγχρίνου δηχθεῖσι, τὸ μὲν δῆγμα ὅμοιον τῷ ἀπὸ ἐχίδνης. σηπεδὼν παρακολουθεῖ. καὶ παραρρέουσιν αἱ σάρκες, ἐξοιδήσασαι πρότερον ὡς ἐπὶ ὕδρωπος. λιθαργικοί τε γίνονται, καὶ καταφορικοί. Ἐρασίστρατος φησὶν αὐτοῖς πεπονθέναι τὸ ἧπαρ, καὶ τὴν κύστιν, καὶ τὸ κῶλον. ἀνατμηθέντων γὰρ αὐτῶν, διεφθαρμένα πῶς εὑρίσκεται τὰ μέρη. τούτοις οὖν θειλακίνης ὁ καρπὸς μετὰ λινοσπέρμου καταπλασσόμενος βοηθεῖ. καὶ ἡ θύμβρα λεία. καὶ ἄγριον πήγανον. καὶ ἕρπυλλος σὺν ἀσφοδέλῳ λελειωμένος. ποτιζόμενα δὲ παραχρῆμα. κενταυρείου τῆς ῥίζης < β. σὺν οἴνῳ κυάθοις γ. ἢ ἀριστολοχίας ῥίζα ὡσαύτως. κάρδαμόν τε καὶ γεντιανὴ παραπλησίως.

Περὶ κεράστου καὶ ἀσπίδος. ιθ.

Τρία τῆς ἀσπίδος εἴδη φησὶν ὁ Γαληνός. τὰς μὲν χερσαίας καλουμένας. τὰς δὲ χελιδονίας. τὰς δὲ ῥίτης, πτυάδας. ἣ καὶ ὀλεθριωτέρα πασῶν ἐστιν. ἐπανατείνασα γὰρ τὸν τράχηλον, καὶ συμμετρησαμένη τῷ διαστήματι τὸ μῆκος, εὐστόχως ἐμπτύει τοῖς σώμασι τὸν ἰόν. ταύτην φασὶ τὴν βασιλίδα Κλεοπάτραν, ἡνίκα τὸν Ἀντώνιον νικήσας ὁ Αὔγουστος ἐβούλετο λαβεῖν αὐτὴν, ἀνελεῖν αὐτὴν ὑποβαλοῦσαν τῷ θηρίῳ τὸν ἀριστερὸν μαστόν, καὶ δηχθεῖσαν ὑπ᾽ αὐτοῦ, ὀξύτατον γὰρ οὕτως ἐπάγει τὸν θάνατον. Τοῖς μὲν οὖν ὑπὸ κεράστου δηχθεῖσιν, ὁ τόπος ἐπαίρεται μετὰ σκληρίας καὶ φλυκταινώσεως. ῥεῖ δὲ ἀπὸ τοῦ δήγματος ἰχὼρ, ποτὲ μὲν μέλας, ποτὲ δὲ ὕπωχρος καὶ πρασοειδής. κιρσοειδεῖς δὲ γίνονται περὶ τὸ σύγκριμα ὅλον. καὶ τὸ μὲν αἰδοῖον ἐντείνεται. ἡ δὲ διάνοια ἐξίσταται. ὀφθαλμῶν δὲ ἀμαύρωσις ἐπιγίνεται. πέρας δὲ ἀπόλλυνται σπώμενοι τετανικῶς. Τοῖς δὲ ὑπὸ ἀσπίδος δηχθεῖσι. τὸ μὲν δῆγμα ὅμοιον κεντήματι βελόνης, μικρὸν παντελῶς φαίνεται, χωρὶς ἐπάρσεως. αἱμάτιόν τε οὐ πολύ, βραχὺ δὲ

μέλαν

μέλαν ἀποστάζει. ταχεῖα δὲ ἀμαύρωσις ὀμμάτων καταλαμβάνει. πόνος τε τοῦ σώματος πολυειδής, παντάπασιν ἐλαφρός, καὶ οὐκ ἄτερ ἡδονῆς παρακολουθεῖ. διὸ καλῶς ὁ Νίκανδρος ἐπιπεφώνηκε, καμάτου δ᾽ ἄτερ ὄλλυται ἀνήρ. χροιὰ διατρόπιος καὶ χλωανθής. καρδιωγμὸς ὀλίγον. μέτωπον συνεχὲς ἀνασπᾶται. βλέφαρα κινεῖται μετὰ ἀναισθησίας, ὁμοίως ὕπνῳ, κἂν τούτοις ὁ θάνατος συναίρει, μὴ δὲ τρίτην ἡμέραν διαλιπών. τούτοις οὖν ἑκατέροις, συντόμως ἀκρωτηριασμὸς ἐπαμύνει. διόπερ ἀνυπερθέτως ἀποκοπτέον εἰ οἷόν τε εἴη τὸ δηχθὲν μέρος, ἢ περισκαριστέον παραχρῆμα καὶ ἐκτμητέον διὰ βάθους μέχρις ὀστοῦ, ὅπως διεκδράμῃ τὰ δεδηγμένα μέρη, καὶ τὰ τούτοις πλησίον. εἶτα δὲ τὰ λειπόμενα τοῖς καυτηρίοις ἀνικματέον. ὁ γὰρ τούτων ἰός, ὥσπερ καὶ τοῦ βασιλίσκου, ὃν τρόπον γάλα βοός, ὀξυτάτως πήγνυσι τὸ ἐν ταῖς ἀρτηρίαις αἷμα καὶ πνεῦμα.

Περὶ Βασιλίσκου. κ'.

Καὶ τοῦτο τὸ θηρίον σπανίως μὲν ὑπὸ ὀφθαλμῶν ἀνθρώπων γίγνεται. Ἐρασίστρατος δὲ φησίν. ὅταν δὲ ὁ βασιλίσκος δάκῃ, ἡ πληγὴ ὑπόχρυσος γίνεται. καὶ συμφέρειν αὐτοῖς φησι καστορίου < .γ'. πινομένας. ὡσαύτως δὲ καὶ τὸν τῆς μήκωνος ὀπόν. ἡμεῖς δὲ τούτων οὐκ ἐπειράθημεν.

Περὶ θαλασσίων τρυγόνος καὶ μυραίνης. κα'.

Ἐπὶ δὲ τῶν θαλασσίων, οἷον τρυγόνος καὶ μυραίνης, ἡ μὲν διάγνωσις πρόδηλος. γνώριμοι γὰρ οἱ ἰχθύες. βοηθεῖ δὲ τοῖς ὑπ᾽ αὐτῶν δηχθεῖσι συκῆς ὀποῦ σταλαγμοὶ δ', ἢ ὀλίγῳ πλείους μετὰ κλωνίων ἑρπύλλου τριώβολον ἢ δ' ποτιζόμενα. καὶ ὅσα πρὸς ἐχίδνας.

Περὶ δράκοντος θαλασσίου. κβ'.

Θαλασσίου δράκοντος πληγὴν μολίβδῳ παράτριβε. ἢ κατάπλασσε ἑρπύλλῳ λείῳ. ἢ φακῷ ἑφθῷ, ἢ θείῳ σὺν ὄξει, ἢ τῷ δράκοντι αὐτῷ ἀναπτυγέντι. καταιονᾶν δὲ ἀνθρωπίνῳ οὔρῳ. ποτίζειν δὲ ἀψινθίῳ μετὰ κεράσματος. ἢ ἐλελισφάκῳ. ἢ κλάδους συκῆς ἐν οἴνῳ γλυκεῖ ἀποβρέγματι. ἢ τῷ ἐγκεφάλῳ τοῦ ἰχθύος.

Περὶ σκορπίου θαλασσίου. κγ'.

Σκορπίου θαλασσίου πληγὴν ἰᾶται τρίγλα ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, θεῖον ἄπυρον μετ᾽ ὄξους ἀνατριβόμενον. δαφνίδες τρεῖς πινόμεναι λεῖαι.

Σκευὴ χελώνης θαλασσίας αἵματος. κδ'.

Χελώνης θαλασσίας αἷμα σκευαστέον εἰς ἀπόθεσιν τὸν τρόπον τοῦτον. ἐπὶ ξυλίνου ἢ κεραμέου ἀγγείου ὑπτίαν κατακλίνας τὴν χελώνην, ἀπότεμε ταχέως τὴν κεφαλὴν αὐτῆς. παγὲν δὲ τὸ αἷμα εἰς πολλὰ αὐτῷ καλάμῳ διαίρει. ἐπιθείς τε πώματος δίκην τῷ ἀγγείῳ κόσκινον ἐν ἡλίῳ ἀπόθου. ξηρανθὲν δὲ ἀνελόμενος, χρῶ ἐπὶ τῶν ἐχεοδήκτων ὡς εἴρηται < .β'. μετ᾽ ὄξους κυ. β'. τῇ δὲ τρίτῃ < .β'. μετ᾽ ὄξους κυ. γ'.

Περὶ κροκοδειλοδήκτων. κε'.

Ἐπὶ δὲ τῶν κροκοδειλοδήκτων, νίτρον λεῖον μετὰ μέλιτος μέχρι ἀνακαθαρθῇ τὸ ἕλκος ἐπιτίθει. εἶτα ἀναπλήρου μέλιτι, βουτύρῳ, μυελῷ ἐλαφείῳ, στέατι χηνείῳ. ὁ δὲ Γαληνὸς φησὶ τοὺς ὑπὸ τῶν κροκοδείλων δηχθέντας, τοῦ στέατος αὐτῶν ἐπιτιθεμένου τοῖς τραύμασιν ἀκριβῶς βοηθουμένους γινώσκειν.

Περὶ ἀνθρωποδήκτων. κς'.

Οὐκ ἔξω τῆς ὑποθέσεως ἂν εἴη μετὰ τῶν ἰοβόλων καὶ τὰ ἀνθρωπόδηκτα γράφειν. εἴγε κακοηθέστερα πολὺ τῶν ἄλλων ἑλκῶν φαίνεται τὰ τῶν ἀνθρώπων ὑπάρχοντα δήγματα. καὶ μάλιστα εἰ νῆστις ὢν ὁ δάκνων τύχοι. προβεβρωκὼς ὄσπρια, καὶ μάλιστα φακῆν. κοινῶς μὲν οὖν τὰ ἐπὶ τῶν ἄλλων ἰοβόλων λεχθέντα κἀπὶ τούτων ἔξωθεν κατὰ τοῦ δήγματος ἁρμόσει κατ᾽ ἀρχάς. πλὴν τῶν ἄγαν τε δριμέων καὶ τῶν καυστικῶν. ἰδίως δὲ προχρίσας ἐλαίῳ τὸ δῆγμα, μαράθρου ῥίζης μετὰ μέλιτος κατάπλασσε. ἢ κυάμινον ἄλευρον μετ᾽ ὀξυκράτου καὶ ὀξυροδίνου κατάπλασσε συχνὰ ἀλλάσσων. ἐμπλάστρῳ δὲ κέχρησο τῇδε. λεπίδος χαλκοῦ, χαλβάνης, ἰοῦ ἀνὰ γο. α'. κηροῦ λι. α'. μολυβδαίνης λι. β'. ἐλαίου ξε. α'. ἡ μολύβδαινα σὺν τῷ ἐλαίῳ προεψηθεῖσα προσλαμβάνει ἰὸν καὶ λεπίδα. καὶ ὅτε συστραφῇ, λαμβάνει τὰ τηκτά. παυσαμένης δὲ τῆς φλεγμονῆς, ὡς κοινὸν ἕλκος καὶ ταῦτα θεράπευε.

Περὶ δηλητηρίων. κζ'.

Τὴν περὶ τῶν ἰοβόλων ζώων ὡς ἐπίτομον διδασκαλίαν ἀποδόντες, ἀκολούθως ἐπὶ τὸν περὶ τῶν δηλητηρίων μετερχόμεθα λόγον. τὰ μὲν ἁπλᾶ διερχόμενοι. καὶ τούτων τάς τε σημειώσεις καὶ τὰ ἀλεξητήρια κοινῇ τε καὶ καθ᾽ ἕκαστον ἐπιφέροντες. τὰ δὲ σύνθετα, παραλειπτέον ἑκόντι. καὶ γὰρ ποικίλως τινὲς ἀναιρετικῶν φαρμάκων ἐξέθεντο συνθέσεις, βλάπτειν

μᾶλλον ἢ περ ὠφελεῖν τοὺς ἀναγινώσκοντας δυναμένων. οὐδὲ γὰρ ἀκριβῆ τὰ σημεῖα τούτων ἐν τοῖς εἰληφόσιν εὑρίσκεται, ἵνα καὶ τὸ κατάλληλόν τις αὐτοῖς ἐφαρμόσῃ βοήθημα. ποικίλων δὲ τούτων φαινομένων, ἐκ τῆς ἐν αὐτοῖς ἐπικρατείας. ἴσως ἄν τις καὶ τὸ ἐπιδιδόμενον ποικίλον στοχαζόμενος ἐργάσηται, ποτὲ μὲν ἐξ ἴσου, ποτὲ δὲ κατ' ἐπικράτειαν. ἀρκτέον οὖν κἀνταῦθα πάλιν ἀπὸ τῶν προφυλακτικῶν.

Περὶ προφυλακτικῆς τῶν δηλητηρίων. κη.

Τῆς περὶ τῶν δηλητηρίων φαρμάκων διδασκαλίας, τὸ προφυλακτικὸν εἶδος μάλιστα δυσχερέστατόν ἐστι. διὰ τὸ τοὺς λάθρα διδόντας οὕτω μηχανᾶσθαι, ὡς καὶ τοὺς ἐμπειροτάτους ἐξαπατᾷν. τὰς μὲν γὰρ πικρίας τῶν φθαρτικῶν ἀφαιροῦνται φαρμάκων, ταῖς μιγνυμέναις γλυκύτησιν. τὰς δὲ δυσωδίας, ταῖς τῶν ἀρωμάτων καταμίξεσιν. ἐνίοτε δὲ καὶ ὡς ἐπ' ὠφελείᾳ 1
δοκοῦντες προσφέρειν ἐν νοσήμασι τὰ τοιαῦτα, οἷον ἀψίνθιον, ἀβρότονον, ὀποπάνακα, καστόρειον, παραμιγνύουσιν αὐτοῖς τὰ δηλητήρια. ἔν τε τροφαῖς, οἷον, ἢ σκληροτέροις ἢ τῶν ὄψων τοῖς ποικίλοις σύστασιν ποιοῦντες αὐτὰ προσφέρουσιν. ὅθεν τὸν ὑποπτεύοντα δεῖ παραιτεῖσθαι τὰ κατηρτυμένα τῶν ἐδεσμάτων, καὶ πᾶσαν ἐπιτεταμένην ποιότητα, οἷον γλυκεῖαν, ἁλυκὴν, ὀξεῖαν. μάλιστα δὲ ὕδατος προλαμβάνειν αὔταρκες. ἀποπληρωθείσης γὰρ τῆς ὀρέξεως, εὐκατάληπτοι γίνονται τὸ λοιπὸν αἱ ποιότητες. ἑτέρα δέ τις ἐστὶν προφυλακτικὴ δυνατωτέρα. δεῖ γὰρ τοὺς ὑποπτεύοντας τοιοῦτο, προλαμβάνειν τὰ δυνάμενα ἀμβλύνειν καὶ ἀδύνατα κατασκευάζειν τὰ φάρμακα, ὡς τὰς ἰσχάδας μετὰ βασιλικῶν καρύων, καὶ πηγάνου, καὶ χόνδρου ἁλός. καὶ τὰ καλούμενα κεδρόμηλα. βουνιάδος τε σπέρμα ὁλκὴν μετὰ οἴνου πίνειν, ἢ καλαμίνθης τῶν φύλλων, ἢ σφραγῖδος λημνίας, ἢ πηγάνου φύλλα κ̄. καὶ ὑπ' οὐδενὸς βλαβήσονται φαρμάκου. καὶ ἀντίδοτοι δὲ προλαμβανόμεναι μετ' οἴνου καθ' ἡμέραν, ὅσον αἰγυπτίου κυάμου μέγεθος. ἀσφαλῶς πάνυ προφυλάττουσιν. ἐξ ὧν ἐστιν, ἥ τε διὰ σκίγκου, καὶ ἡ διὰ τῶν αἱμάτων. καὶ ἡ μιθριδάτιος. ταύτῃ ποτὲ καὶ αὐτὸς ὁ βασιλεὺς ἐχρήσατο μιθριδάτης καθ' ἡμέραν αὐτὴν λαμβάνων, προφυλακῆς ἕνεκα φαρμάκου θανασίμου. ἡνίκα οὖν ὑπὸ ῥωμαίων ἑάλω, δὶς πιὼν θανάσιμον φάρμακον καὶ μὴ δυνηθεὶς ἀποθανεῖν ἑαυτὸν ξίφει διεχειρήσατο. ἐπειδὴ δὲ καὶ χωρὶς ἐπιβουλῆς διὰ περίστασιν ἔσθ' ὅτε, ἐν ἐρήμοις τόποις βλαβεροῖς περιπίπτουσιν, εἰ τύχοιεν ὑπό τινα δένδρα οἷον πίτυς ἢ πεύκας διαιτώμενοι. προσεχέτωσαν τὰ ἐκ τούτων, ἢ τῶν ὀρόφων ἐκπίπτοντα θανάσιμα ζῶα. καὶ τὰ ἀγγεῖα, τά τε τοῦ οἴνου, καὶ τὰ τοῦ ὕδατος, καὶ ἐν οἷς ἕψωσι τὰ ὄψα πωματιζέτωσαν. ὡς κἂν τῇ τῶν ἰοβόλων ζώων προφυλακῇ λέλεκται. 2

Κοινὴ θεραπεία τῶν ὁποιονοῦν εἰληφότων δηλητηρίων. κθ.

Εἰ δέ τινες φθάσαιεν εἰληφότες θανάσιμον φάρμακον, ἑκουσίᾳ γνώμῃ, διὰ τὸ ἐξαγαγεῖν αὑτοὺς, ὁποῖα πολλὰ γίνεται κατὰ τὸν βίον. ἢ καὶ δι' ἐπιβουλὴν τινῶν. εἰ μὲν κατάδηλον ἡμῖν τὸ πόθεν γίνεται, παραχρῆμα χωρήσομεν ἐπὶ τὸ κατάλληλον βοήθημα, ὡς ἐν τῇ διεξόδῳ τούτων εἰρήσεται. εἰ δὲ τὸ δοθὲν φάρμακον ἀσυμφανὲς ἡμῖν τέως γίνοιτο, δεῖ ταχέως ἐπὶ τὰ κοινῶς ἁρμόζοντα τοῖς ὅ, τι δή ποτε φάρμακον πεπωκόσιν ἰέναι. τὸ γὰρ ἀναμένειν τὰ παρακολουθοῦντα σημεῖα, παντάπασιν ἀνίατόν ἐστι. δυσβοηθήτων αὐτῶν διὰ τὸ βραδύτερον γινομένων. αὐτίκα τοίνυν μηδὲν ἀναβαλλομένους, ἔλαιον θερμὸν καθ' αὑτὸ ἢ καὶ μεθ' ὕδατος προσφέροντας ἐμεῖν ἀναγκάζειν. εἰ δὲ μὴ παρείη ἔλαιον. βούτυρον μεθ' ὕδατος θερμοῦ προσενεκτέον. ἢ μαλάχης, ἢ λινοσπέρμου, ἢ τράγου, ἢ τήλιδος, ἢ κνίδης σπέρματος ἀφέψημα. οὐ μόνον γὰρ κενώσει διὰ τῶν ἐμέτων, ἀλλὰ καὶ ὑπάξει τὴν κοιλίαν, καὶ τῇ κακίᾳ τοῦ φαρμάκου ἐναντιώσεται, ἀμβλυντικὰ τῶν δριμυτάτων καθεστηκότα. καὶ μάλιστα τοὔλαιον. γνωσθήσεται δὲ τοῦτο ἐναργῶς. εἰ γὰρ ἑλκῶσαι τὸ δέρμα προελόμενος διὰ κανθαρίδος ἢ ἀσβέστου ἢ τοιούτου τινὸς δριμέος, ἐλαίῳ προϋποχρίσαις τὸ σῶμα, οὐχ ἑλκωθήσεται τοῦτο. ἀλλ' οὐδὲ σῆψαι τὸ σῶμα δυνηθείης προαληλειμμένον ἐλαίῳ. ἄλλως τε ὁ ἔμετος οὐ μόνον καθ' ὃ κενοῖ τὸ βλάπτον ὠφέλιμός ἐστιν, ἀλλ' ὅτι καὶ δείκνυσιν ἐνίοτε τὸ ληφθὲν φάρμακον, ἔκ τε ὀσμῆς ἢ θραύσματος ἢ χρώματος. ἐκ μὲν γὰρ τῆς ὀσμῆς καὶ πικρίας, κώνειον. ἐκ δὲ χροιᾶς, ψιμύθιον ἢ γύψον. ἀπὸ δὲ θρόμβων, γάλα, ἢ τὸ νεοσφαγὲς αἷμα. ἀπὸ δὲ βρόμου καὶ ποιότητος καὶ ὀσμῆς, λαγωὸν θαλάττιον καὶ φρῦνον. ὥστε διὰ τούτων ἐπὶ τὰ ἑκάστῳ ἁρμόζοντα ἰέναι φάρμακα. παραμικτέον δὲ τῷ ἐλαίῳ, μαλάχης ἀφέψημα, ἢ στέαρ χηνὸς, ἢ ζωμὸν ἐκ λιπαρῶν κρεῶν ἢ ὀρνίθων, ἢ κονίαν τὴν ἀπὸ τῶν ξύλων. ποιεῖ δὲ καὶ τὸ νίτρον, λεῖον σὺν ὑδρομέλιτι. καὶ οἶνος πολὺς καὶ παλαιὸς, καὶ τὰ διὰ στέατος ἢ βουτύρου. κομισάμενοι δὲ διὰ τῶν ἐμέτων τὰ ἐν τῇ κοιλίᾳ. τὸ καταλιφθεῖσαν ἐν τοῖς ἐντέροις κλύσματι δριμυτέρῳ κενώσομεν. μετὰ δὲ ταῦτα, γάλα διδόναι πίνειν. τὸ γὰρ ἀνιαρὸν καὶ φαρμακῶδες ὑπὸ τοῦ

ρυ

του ῥᾳδίως ἀλλοιωθήσεται. δίδοται δὲ καὶ φάρμακα κοινῶς ἁρμόζοντα πᾶσιν, ὧν ἐστὶν λημνία μίλτος, ἀβρότονον, ἀγαρικὸν, ἐρύσιμον, ἠρυγγίου ῥίζα, σταφυλίνου σπέρμα ἢ καλαμίνθης, νάρδος κελτικὴ, κασόρειον, νάρθηκος χλωροῦ ἐντεριώνη. νηρίου τοῦ καλουμένου ῥοδοδένδρου, ἢ ῥοδοδάφνης ἄνθη. πράσου χυλὸν. σίλφιον ἢ ὀπὸς αὐτοῦ. σαγαπηνὸν. ὀποπάναξ. πευκεδάνου ὀπὸς καὶ ἡ ῥίζα. ἀριστολοχίας μακρᾶς. πηγάνου ἀγρίου τὸ σπέρμα. κέδρου τῆς ἰουστινιανῆς καλουμένης τὰ φύλλα. ἑκάστου σὺν οἴνῳ < . πλῆθος. ποιεῖ καὶ πολίου ἀφέψημα. καὶ πίσσα ὑγρὰ ἐκλειχομένη. γενναιότατα δὲ καὶ αἱ προλεχθεῖσαι βοηθοῦσιν ἀντίδοτοι. καὶ μᾶλλον ἡ διὰ ἐχιδνῶν θηριακή. οὐ τὴν αὐτὴν δὲ δύναμιν ἔχουσιν ὑπολαμβανόμεναί τε καὶ προλαμβανόμεναι τῶν ἀναιρούντων φαρμάκων. ὃ γὰρ αὔταρκές ἐστιν αὐτῶν μέγεθος εἰς τὸ μηδὲν παθεῖν προληφθὲν, τοῦτο αὐξηθὲν εἰς τὸ τετραπλάσιον ἢ πενταπλάσιον ὑποδιδόμενον ὀνίνησιν. καὶ οὐχ ἅπαξ γε τῆς ἡμέρας, ἀλλὰ δίς. οὕτω γὰρ καὶ τῷ θαυμασίῳ δοκεῖ Γαληνῷ.

Κατάλογος τῶν ἁπλῶν δηλητηρίων. λ.

Τῶν δηλητηρίων, ζῶα μέν ἐστι φθαρτικὰ τάδε. κανθαρὶς, βούπρηστις, σαλαμάνδρα, πιτυοκάμπη, λαγωὸς θαλάσσιος, φρῦνος, καὶ ὁ ἄφωνος ἕλειος βάτραχος, βδέλλαι καταποθεῖσαι. σπερμάτων δὲ, ὑοσκύαμος, κόριον, ψύλλιον, κώνιον, μελάνθιον. ὀπισμάτων δὲ, μηκώνιον, ὀποκάρπασον, θαψία, ἐλατήριον, μανδραγόρας. ῥιζῶν δὲ, χαμαιλέων, ἀκόνιτον, θαψία, ἰξία, ἐλλέβορος, ἀγαρικὸν τὸ μέλαν, ἐφήμερον ὃ ἔνιοι κολχικὸν καλοῦσι διὰ τὸ ἐν κολχίδι φύεσθαι. ἐρυσιδῶν καὶ λαχάνων, σμῖλαξ, ἣν ἔνιοι θύμιον, ῥωμαῖοι δὲ τάξιον καλοῦσι. στρύχνον τὸ μανικὸν, ὃ καὶ δορύκνιον καλοῦσιν. ἤτε σαρδόνης πόα, εἶδος οὖσα βατραχίου. μήκων κερατῖτις. φαρικὸν. τοξικὸν. πήγανον ἄγριον. μύκητες. ἀπὸ ζώων δὲ, αἷμα ταύρου νεαρὸν, καὶ τὸ ἐμπυκανθὲν δὲ γάλα, μέλι τε τὸ ἐν ἡρακλέᾳ γεννώμενον. μεταλλικὰ δὲ, γύψος, ψιμύθιον, τίτανος, ἀρσενικὸν, σανδαράχη, λιθάργυρος, ἀδάρκη, μόλιβδος. καὶ ἡ καλουμένη δὲ ὑδράργυρος. τῶν δὲ συμφύλων, οἶνος ἄθρους πολὺς ἀπὸ βαλανείου πινόμενος, ἢ γλυκὺς, ἢ ψυχρὸν ὕδωρ ὁμοίως.

Περὶ κανθαρίδος. λα.

Τοῖς τὴν κανθαρίδα προσενεγκαμένοις παρέπεται χαλεπώτατα σημεῖα. σχεδὸν γὰρ ἀπὸ στόματος ἄχρι κύστεως ἅπαντα δάκνεσθαι δοκοῦσι. κατὰ δὲ τὴν γεῦσιν πίσσῃ ἢ κεδρίᾳ ὅμοιόν τι ἐγγίνεται. φλεγμαίνουσί τε τὸ δεξιὸν ὑποχόνδριον, καὶ δυσουροῦσιν. πολλάκις δὲ καὶ αἷμα προΐενται διὰ οὔρων. φέρεται δὲ αὐτοῖς κατὰ κοιλίαν, ὅμοια τοῖς ὑπὸ δυσεντερικῶν. λιποθυμίαις τε καὶ ἄσαις καὶ σκοτοδινίαις περιπίπτουσιν. ἐπὶ τέλει δὲ παραφέρουσι τὴν διάνοιαν. βοηθεῖ δὲ αὐτοῖς ἔμετος δι' ὑδρελαίου. καὶ γάλακτος πόσις. τῆς κιμωλίας < . δ. μετὰ μελικράτου. στροβίλια, σικύου σπέρμα, ζωμὸς λιπαρὸς βοὸς, ἢ χηνὸς, ἢ προβάτου. κρέα τε ὀρνίθια, ἢ ἄρνια, ἢ προβάτεια, ἢ δελφάκια, τακερά τε καὶ λιπαρὰ, ἡψημένα σὺν λίνου σπέρματι. οἶνος γλυκὺς πολύς. λιβανωτοῦ φλοιοῦ < . δ. μετὰ δὲ τὰ ἐμέσματα ἐνιέναι μετὰ κλυστῆρος, χυλοῦ ὀρύζης, ἢ χόνδρου, ἢ τράγου, ἢ πτισάνης, ἢ μαλάχης, ἢ λινοσπέρμου, ἢ ἀλθαίας, ἢ τήλεως. ἐνίοτε δὲ καὶ μελικράτῳ μετὰ νίτρου δεῖ τὸ ἔντερον ἀποσμήχοντα, τούτοις πάλιν ἐνιέναι. ὕστερον δὲ τὰ φλεγμαίνοντα διὰ τῶν διὰ λινοσπέρμου καὶ κριθῶν παραμυθεῖσθαι. κατ' ἀρχὰς γὰρ βλάπτει. εἶτα καὶ λουτροῖς ὑδάτων γλυκέων χρηστέον. ποτιστέον δὲ καὶ μύρῳ τό, τε ἴρινον καὶ τὸ ῥόδινον.

Περὶ βουπρήστεως. λβ.

Τοῖς δὲ βούπρηστιν πεπωκόσι, δοκεῖ κατὰ τὴν γεῦσιν ὅμοιόν τι βρωμώδους συναισθάνεσθαι. παρακολουθεῖ δὲ ἄλγημα τε στομάχου καὶ κοιλίας σφοδρόν. ὄγκος τε τῆς κοιλίας καὶ ὅμοιος ὑδρωπικοῖς. περιτείνεται αὐτοῖς, ἡ ἐπιφάνεια ὅλου τοῦ σώματος. τά τε οὖρα ἐπέχεται. βοηθεῖ δὲ αὐτοῖς ὅσα καὶ τοῖς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ὠφελοῦνται, μετὰ τὸ καὶ διὰ τῶν ἐμέτων καὶ τοῦ κλυστῆρος κενωθῆναι, σῦκα ξηρὰ λαμβανόντων, καὶ τὸ ἀφέψημα αὐτῶν σὺν οἴνῳ ἢ γάλακτι πινόντων, ἢ οἰνομέλιτι. καὶ ἀπίων παντὸς γένους ἐσθιόντων. καὶ γάλα γυναικὸς λαμβανόντων. παρακμάζοντες δὲ τοῦ κατὰ τὴν ὀξύτητα κινδύνου, ὠφελοῦνται θηβαϊκὰς βαλάνους ἐσθίοντες, λελειασμένας σὺν οἴνῳ. ες ε

Περὶ σαλαμάνδρας. λγ.

Τοῖς δὲ σαλαμάνδραν λαβοῦσι. παρέπεται γλώσσης φλεγμονὴ, καὶ λαλιᾶς ἐμποδισμὸς, καὶ τρόμος, μετὰ νάρκης τινὸς καὶ ἑλκύσεως. πελιοῦται δὲ τινὰ μόρια τοῦ σώματος κυκλοτερῶς, ὡς πολλάκις, ἐμμείναντος τοῦ φαρμάκου σηπόμενα ἀπορρεῖν. ἐφ' ὧν ἅπαντα ποιήσομεν ὅσα καὶ ἐπὶ τῶν κανθαρίδων. ἰδιαίτερον δὲ αὐτοῖς προσφέρομεν ῥητίνην πιτυΐνην ἢ στροβιλίνην, ἢ χαλβάνην μετὰ μέλιτος, ἢ στροβίλια μετὰ ἀφεψήματος χαμαιπίτυος. ἢ κνίδης φύλλα συνεψηθέντα κρίνοις μετ' ἐλαίου. χελώνης θαλασσίας ἢ χερσαίας ὠὰ ἀφεψημένα. βατρά-

χων ζωμὸς, συγκαθεψημένης αὐτοῖς ἠρυγγίου ῥίζης.

Περὶ πιτυοκάμπης. λδ.

Πιτυοκάμπης ποθείσης, εὐθέως πόνος περὶ τὸ στόμα καὶ τὸν οὐρανίσκον, γλώττης τε φλεγμονὴ ἰσχυρά. καὶ στομάχου ἄλγημα, καὶ ἐντέρων, μετὰ κνησμώδους περιτάσεως τῆς αἰσθήσεως. πύρωσίς τε καθ᾽ ὅλον τὸ σῶμα. καὶ ἄση. τούτους βοηθητέον, ὁμοίως τοῖς τὰς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ἐπ᾽ αὐτῶν παραληψόμεθα ἀντὶ τοῦ λιτοῦ ἐλαίου τὸ μήλινον.

Περὶ λαγωοῦ θαλαττίου. λε.

Λαγωοῦ θαλαττίου ποθέντος, παρακολουθεῖ γεῦσις ὁμοία ἰχθύος, βρομώδης. χρόνου δὲ ἐπιγιγνομένου, κοιλία τε ἀλγεῖ καὶ οὖρα ἐπέχεται. εἴποτε δὲ ἐκκριθείη, πορφυρίζοντα ὁρᾶται τῇ χροίᾳ. ἀποστρέφουσί τε καὶ μισοῦσιν ἰχθὺν ἅπαντα. ἱδροῦσι δὲ δυσώδη, αἵματι μεμιγμένα. δοτέον αὐτοῖς γάλα ὄνειον, ἢ γλυκὺ συνεχῶς. ἢ μαλάχης ῥίζης καὶ τῶν φύλλων ἀφέψημα. ἢ τοῦ κεδαύου ῥίζαν λείαν μετ᾽ οἴνου. ἢ ἐλλεβόρου μέλανος. ἢ σκαμμωνίας ὀποῦ <.α΄. σὺν μελικράτῳ. χηνός τε αἷμα νεοσφαγοῦς ἔτι θερμόν. καὶ καρκίνους τε ποταμίους μόνον, ἐὰν ἀνέχωνται προσενέγκασθαι. σημεῖον δὲ σωτηρίας, τὸ καὶ ἰχθὺν δυνηθῆναι ἐσθίειν.

Περὶ φρύνου ἢ ἐλείου βατράχου. λϛ.

Φρῦνος δὲ ἢ ἕλειος βάτραχος προσενεχθεὶς, ἐπιφέρει οἴδημα σώματος μετὰ ὠχρότητος ἐπιτεταμένης πυξώδους. δύσπνοιά τε ἐπιγίνεται, καὶ στόματος δυσωδία, καὶ λυγμός. ἐνίοτε δὲ καὶ σπέρματος πρόεσις, μὴ βουλομένοις. εἰσὶ μέντοι εὐβοήθητοι μετὰ τὸν ἔμετον, λαμβανόντων εὔκρατον πολὺ πόμα. καλάμου ῥίζης <.β΄. ἢ κυπέρου τὸ αὐτό. δεῖ δὲ αὐτοὺς ἀναγκάζειν συντόμως περιπατεῖν καὶ τρέχειν, διὰ τὸ ἐν αὐτοῖς ναρκῶδες. λούειν δὲ καθ᾽ ἑκάστην ἡμέραν.

Περὶ βδελλῶν. λζ.

Βδέλλας δὲ τὰς καταποθείσας σὺν τῷ ὕδατι καὶ προσφυομένας τῇ καταπόσει. διαγνώσῃ μὲν ἐκ τοῦ οἷον ἐκμύζεσθαι κοιλίας τὸ στόμα καὶ δάκνεσθαι, ὅπερ καὶ σημεῖόν ἐστι τοῦ βδέλλαν καταπεπόσθαι. ἐνίοτε δὲ καὶ αἷμα πτύουσιν αὐθηρὸν, ἀναχρεμπτόμενοι, τῷ βρόγχῳ προσφυεισῶν τῶν βδελλῶν, ἃς ἐκβάλλει ἅλμη καταρροφουμένη, ἢ τὰ φύλλα τεύτλου σὺν ὄξει. ἢ χιτὼν σὺν ὀξυκράτῳ πινομένη. ἀναγαργαριζέσθωσαν δὲ νίτρῳ σὺν ὕδατι, καὶ χαλκάνθῳ σὺν ὄξει. τὰς δὲ τῷ βρόγχῳ προσφυείσας. ἐμβιβάσας εἰς ἔμβασιν θερμὴν, δούς τε ψυχρὸν τῷ στόματι διακρατεῖν, ἐξελεῖς. ἐξελεύσονται γὰρ ἐπὶ τὸ ψυχρότερον προθυμούμεναι. τινὲς κόρεις ἔδοσαν τοῖς καταπιοῦσι τὰς βδέλλας. ἐγὼ δὲ φησὶν ὁ Γαληνὸς τοῖς σκορόδοις ἐπὶ τούτων χρώμενος ἀεὶ, κόρεων οὐκ ἐδεήθην.

Περὶ χαμαιλέοντος. λη.

Τοῖς δὲ τὸν χαμαιλέοντα τὸν μέλανα προσενεγκαμένοις. δηγμὸς ἔντονος, καὶ πόνος παρέπεται. μετὰ ἀνατροπῆς ὅλου τοῦ σώματος, τρόμος. εἶτα σπασμὸς ἐμπίπτει. καὶ ἐμοῦσι φλεγματώδεις καὶ ἀφρώδεις. εἰσὶ δὲ καὶ λυγμὸς μετὰ ἀφωνίας. καὶ προσώπου διαστροφή. ἁρμόζει δὲ τούτοις χυλὸς πύρινος, λιπαρὸς, θερμὸς πινόμενος. καὶ γλυκὺς οἶνος ὑδαρὴς, θερμός. καὶ ἔμετος. καὶ γαλακτοποσία. καὶ μαλακὸν κλύσμα. καὶ πυρίαι διὰ καταπλασμάτων. πρὸς δὲ τὸν τοιοῦτον πνιγμὸν καὶ πελιδνότητα, ἀψινθίου πόσις ἢ νίτρου, μετ᾽ ὀξυμέλιτος. ἢ ῥαφανίδων. πυρία τε ὑποχονδρίων ἁρμόσει.

Περὶ ὑοσκυάμου. λθ.

Ὑοσκύαμος δὲ ποθεὶς ἢ βρωθεὶς, παρακοπὴν ὁμοίαν τοῖς μεθύουσιν ἐπιφέρει. ἔστι δὲ εὐίατος, βοηθούμενος μελικράτῳ πολλῷ ποτιζομένῳ, καὶ γάλακτι, μάλιστα μὲν τῷ ὀνείῳ. εἰ δὲ μήγε, αἰγείῳ ἢ βοείῳ, καὶ σύκων ξηρῶν ἀφεψήματι. ποιοῦσι δὲ ἐπ᾽ αὐτῶν καὶ στρόβιλοι, καὶ τὸ τοῦ σικύου σπέρμα σὺν γλυκεῖ λαμβανόμενον. καὶ ἁλμυρὸς οἶνος, σὺν στέατι ὑείῳ νεαρῷ, καὶ γλυκεῖ. καὶ κνίδης σπέρμα ὁμοίως, ἢ νίτρον σὺν ὕδατι ἁρμόζει. καὶ κιχώρεια. καὶ νᾶπυ. καὶ κάρδαμον. καὶ ῥέφανος. καὶ κρόμμυα. καὶ σκόρδα. ἕκαστον τούτων σὺν οἴνῳ λαμβανόμενον. ἡσυχάζειν δὲ αὐτοὺς ἀναγκάζειν δεῖ, ἵνα ὥσπερ οἱ τὸν οἶνον πεπωκότες ἐκπέψωσιν.

Περὶ κορίου. μ.

Τὸ δὲ κόριον λαθεῖν μὲν οὐ δύναται διὰ τὴν ὀσμήν. ποθὲν δὲ τὴν φωνὴν δασύνει, καὶ μανίαν ἐπιφέρει ὁμοίαν τοῖς διὰ μέθην. λαλοῦσι γοῦν μετὰ αἰσχρολογίας. καθ᾽ ὅλου τε τοῦ σώματος ἐπ᾽ αὐτῶν ἡ ὀσμὴ διαφαίνει τοῦ κορίου. βοηθεῖ δὲ αὐτοῖς μετὰ τὸ ἐξεραθῆναι μετὰ τοῦ ἐλαίου ἢ ἰρίνου ὡς προείρηται, ἄκρατος οἶνος σὺν ἀψινθίῳ, καὶ καθ᾽ ἑαυτὸν πινόμενος. ᾠά τε κενωθέντα ἐπὶ τὸ αὐτὸ, λειανθέντα, σὺν ἅλμῃ ῥοφούμενα. καὶ ἡ ἅλμη δὲ πινομένη. καὶ ζωμὸς ἁλμυρὸς, ἔκ τε ὄρνιθος καὶ χηνὸς, γλυκύς τε σὺν κονίᾳ λαμβανόμενος.

Περὶ ψυλλίου. μα.

Καὶ τὸ ψύλλιον δὲ ποθὲν, ἐπιφέρει ψύξιν ὅλου τοῦ σώματος, καὶ νάρκην μετὰ ἐκλύσεως καὶ ἀδημονίας. ᾧ βοηθεῖ πάντα ὅσα καὶ τοῖς κόριον πεπωκόσιν.

Περὶ κωνείου. μβ.

Κώνειον δὲ ποθὲν, ἐπιφέρει σκοτώματα καὶ ἀχλὺς, ὥς τε μήκοθεν μηδ' ἐπ' ὀλίγον βλέπειν, λυγμόν τε, καὶ διανοίας παραφορὰν, καὶ ψύξιν ἄκρων. ἐπὶ τέλει τε σπώμενοι πνίγονται, στάσιν λαμβάνοντος τοῦ κατὰ τὴν ἀρτηρίαν πνεύματος. κατ' ἀρχὰς μὲν οὖν ὡς καὶ ἐπὶ τῶν ἄλλων διὰ τῶν ἐμέτων αὐτὸ κομιούμεθα. ἔπειτα κλύσματι χρησάμενοι, τὸ εἰς τὰ ἔντερα παρολισθηκὸς ἐκκρίνωμεν. καὶ τότε δὲ ὡς ἐπὶ τὸ μέγιστον βοήθημα τὴν ἀκρατοποσίαν παραγινέσθω, διδόντας μεταξὺ διαστήματα, ἐν οἷς διδόναι γάλα βόειον, ἢ ὄνειον. ἢ ἀψίνθιον μετὰ πεπέρεως καὶ οἴνου καὶ καστορίου. καὶ πήγανον καὶ ἡδύοσμον σὺν οἴνῳ. καὶ καρδαμώμου ἢ στύρακος < α. ἢ πεπέρεως μετὰ κνίδης σπέρματος σὺν οἴνῳ. ἢ δάφνης τὰ ἁπαλὰ φύλλα. ὁμοίως τε σίλφιον ἢ ὀπὸν αὐτοῦ, σὺν οἴνῳ καὶ γλυκεῖ. καὶ ὁ γλυκὺς οἶνος καθ' ἑαυτὸν πινόμενος ἱκανῶς ἁρμόζει.

Περὶ μήκωνος ὀποῦ. μγ.

Μήκωνος δὲ ποθέντος ὀποῦ, παρακολουθεῖ καταφορὰ μετὰ καταψύξεως καὶ κνησμοῦ ἐπιτεταμένου, ὡς πολλάκις ἐνισχύοντος τοῦ φαρμάκου ἐπιγίνεσθαι τηλικοῦτον κνησμὸν, ὥστε διεγείρεσθαι ὑπ' αὐτοῦ. ὀσμή τε τοῦ φαρμάκου δι' ὅλου τοῦ σώματος ἐκδίδοται. οἷς βοηθεῖ μετὰ τὸ διὰ τοῦ ἐλαίου ἐξεράσαι καὶ κλυσθῆναι δριμεῖ κλύσματι, ὀξύμελι σὺν ἁλσὶ πινόμενον, ἢ μέλι σὺν ῥοδίνῳ θερμῷ. καὶ ἄκρατος πολὺς σὺν ἀψινθίῳ καὶ κινναμώμῳ. καὶ ὄξος θερμὸν κατ' αὐτό. νίτρον τε σὺν ὕδατι καὶ ὀρίγανον σὺν κονίᾳ. πηγάνου τε σπέρμα σὺν πεπέρει διδόμενον μετὰ καστορίου καὶ ὀξυμέλιτος. ἢ θύμβρας, ἢ ὀριγάνου ἀφεψήματος σὺν οἴνῳ. δεῖ δὲ καὶ τούτους διεγείρειν τοῖς ὀσφραντοῖς, καὶ ἐμβιβάζειν εἰς θερμόν. καὶ πυριᾶν διὰ τὸν ἐπιγινόμενον κνησμόν. καὶ μετὰ λουτρὸν χρῆσθαι, τοῖς λιπαροῖς τῶν ζωμῶν μετὰ οἴνου ἢ γλυκέος. καὶ μυελὸς δὲ μετὰ ἐλαίου πινόμενος ὀνίνησιν αὐτούς.

Περὶ καρπησίας ὀποῦ. μδ.

Καὶ ὁ τῆς καρπησίας ὀπὸς ποθεὶς, κάρον ἐπιφέρει καὶ πνιγμὸν ὀξὺν, βοηθοῦνται δὲ οὗτοι, ὑφ' ὧν καὶ οἱ τὸ κώνειον πεπωκότες.

Περὶ μανδραγόρου. με.

Καὶ μανδραγόρου δὲ ποθέντος, εὐθέως κάρος παρακολουθεῖ καὶ ἔκλυσις, καταφορά τε ἰσχυρὰ, ὥστε κατὰ μηδὲν διαφέρειν τὸ πάθος τῆς καλουμένης ληθάργου. οἷς πρὸ τούτων τι συμβῆναι ἁρμόζει ὅ, τε ἔμετος ὁ μετὰ ὕδωρ μελίκρατον, καὶ νίτρον καὶ ἀψίνθιον σὺν γλυκεῖ, ἢ ἐν οἴνῳ γλυκίζοντι λαμβανόμενον. καὶ ἡ τῆς κεφαλῆς ἐμβροχὴ μετὰ ῥοδίνου καὶ ὄξους, διεγέρσεις τε κινουμένου τοῦ σώματος. καὶ δι' ὀσφραντῶν, πεπέρεως, νάπυος, καστορίου, πηγάνου σὺν ὄξει τετριμμένων. πίσσης ὑγρᾶς, καὶ τῶν κεκαυμένων καὶ ἀπεσβεσμένων ἐλλυχνίων. δυσανακλήτως δὲ αὐτῶν ἐχόντων, καὶ πταρμικὰ προσάγειν. καὶ τοῖς ἄλλοις κοινοῖς βοηθήμασι. καὶ ἐπὶ τούτων χρῆσθαι.

Περὶ ἀκονίτου. μς.

Τὸ δὲ ἀκόνιτον εὐθέως ἐν τῷ πίνεσθαι γλυκαίνει τὴν γλῶτταν μετά τινος στύψεως. σκοτόδινός τε, καὶ μάλιστα ἐν τῷ ἐξανίστασθαι γίνεται. καὶ ὑγρότητα ὀφθαλμῶν ἐπιφέρει. βάρος τε θώρακος καὶ ὑποχονδρίου, μετὰ τοῦ πολλὰ πνεύματα ἀποδίδοσθαι. ἐφ' ὧν δι' ἐμέτων κομισθῆναι δεῖ τὸ φάρμακον. καὶ διὰ κλυστῆρος ὑποβιβασθῆναι τὴν κοιλίαν. χρησώμεθα δὲ προποτισμῷ ὀριγάνῳ, καὶ πηγάνῳ, ἢ πρασίῳ μετὰ οἴνου, ἢ ἀψινθίῳ, ἢ εὐζώμῳ, ἢ ἀβροτόνῳ, ἢ χαμαιλαίᾳ, ἢ χαμαιπίτυϊ. ἁρμόσει δὲ αὐτοῖς καὶ ὀποβαλσάμου ὁλκὴ δραχμῆς μιᾶς σὺν οἴνῳ. πιτύα δὲ ἐρίφου ἢ λαγωοῦ ἢ νεβροῦ σὺν ὄξει. καὶ σιδήρου σκωρία. ἢ αὐτὸς ὁ σίδηρος, ἢ χρυσὸς, ἢ ἄργυρος ἐν οἴνῳ σβεσθεὶς, τοῦ ὑγροῦ τε λαμβανομένου. κονία τε σὺν οἴνῳ, καὶ ὄρνιθος καθεφθοῦ ἢ κρεῶν λιπαρῶν ζωμὸς λαμβανόμενος σὺν οἴνῳ. καλεῖται δὲ ἡ χαμαιπίτυς ἡ ἰδίως ἐπ' αὐτῶν ἁρμόζουσα, ἐν μὲν ἡρακλείᾳ τῇ ποντικῇ ᾗ καὶ τὸ ἀκόνιτον γεννᾶται, ὁλόκληρον. ἐν δὲ ἀθήνησι, διδονία. ἐν δὲ εὐβοίᾳ, σιδηρείτης.

Περὶ ἰξίας. μζ.

Ἰξίας δὲ ἥτις καὶ οὐλόφονον καλεῖται, ἐν τῷ πίνεσθαι οἷόν τι ὠκίμου κατὰ τὴν ὀσμὴν καὶ κατὰ τὴν γεῦσιν, ἐμφαίνει. ἐπιφέρει δὲ γλώσσης φλεγμονὴν ἰσχυρὰν καὶ παρακοπήν. καὶ τὰς ἐκκρίσεις ἐπέχει πάσας. βορβορυγμούς τε καὶ ψόφους μετὰ λειποθυμίας ἐπιφέρουσα, δίχα τοῦ προχωρεῖν τι. βοηθεῖ δὲ αὖθις μετὰ τὸ ἐξεράσαι πλεῖον, ἢ μετὰ τὴν κοιλίαν λυθῆναι, πινό-

μένου ἀψινθίου ἀπόβρεγμα σὺν οἴνῳ πολλῷ ἢ ὄξει ἢ ὀξυμέλιτι. πηγάνου τε ἀγρίου σπέρμα. ἢ σιλφίου ῥίζα. ὁμοίως τε τραγοριγάνου ἀπόζεμα σύν τινι τῶν προειρημένων, ἢ γάλακτι, ἢ ῥητίνῃ, ἢ τερμινθίνῃ, ἢ νάρδῳ, ἢ καστορίῳ, ἢ σιλφίῳ. ἑκάστου ὀβολός. ἁρμόζουσιν σὺν οἴνῳ καὶ οἱ τῆς βασιλικῆς καρύας καρποί, λεῖοι σὺν οἴνῳ, ἢ ῥητίνῃ, καὶ καστορίου, καὶ πηγάνου ἑκάστου < α. ὁμοίως χαμαιλαίας < β. ἢ θαψίας χ < β. σὺν μελικράτῳ. καὶ ὄξος θερμὸν πινόμενον.

Περὶ ἐφημέρου. μη.

Τοῖς δὲ ἐφήμερον λαβοῦσιν. ὃ ἔνιοι καλοῦσι κολχικὸν διὰ τὸ ἐν Κολχίδι φύεσθαι, ἢ βολβὸν ἄγριον. ἐπακολουθεῖ κνησμὸς καθ' ὅλον τὸ σῶμα, ὡς ὑπὸ κνίδης καὶ σκίλλης ἐρεθιζομένοις. τά τε ἐντὸς ἀναδάκνονται, καὶ καυσοῦνται τὸν στόμαχον μετὰ βάρους ἱκανοῦ. ἐπισχύοντος δὲ τοῦ πάθους. κατὰ κοιλίαν φέρεται αἱματῶδες, ξύσμασι μεμιγμένον. οἷς βοηθητέον καθάπερ καὶ τοῖς σαλαμάνδραν πεπωκόσι, διά τε ἐμέτων καὶ κλυσμάτων. πρὸ δὲ τοῦ ἐνισχῦσαι τὸ φάρμακον, μεταδοτέον αὐτοῖς δρυὸς ἢ τῶν φύλλων ἢ τῶν βαλάνων. ἢ σιδίων, ἢ ἑρπύλλου ἀφέψημα, σὺν γάλακτι πίνειν. ἢ πολυγόνου χυλόν. ἢ ἀμπέλου ἀκρεμόνων ἢ βάτων. ἢ νάρθηκος ἁπαλοῦ τῆς ἐντεριώνης. ἢ μύρτων μετ' οἴνου. καὶ αὐτὰ δὲ τὰ μύρτα λεῖα κοπέντα καὶ ἐναποβραχέντα ὕδατι, βοηθεῖ, τοῦ ἐξ αὐτῶν ὑγροῦ λαμβανομένου. ποιεῖ δὲ ὡσαύτως καὶ ὁ τῶν σαρδίνων βαλάνων μέσος ὑμήν, λαμβανόμενος μετὰ τῶν προειρημένων χυλῶν. ὀρίγανός τε σὺν κονίᾳ ποθεῖσα. ἀκριβῶς οὖν βοηθοῦνται, τὸ βόειον γάλα θερμὸν πίνοντες καὶ κατέχοντες ἐν τῷ στόματι, ὥστε τοὺς εὐπορήσαντας τούτου ἄλλου μηδενὸς χρῄζειν βοηθήματος.

Περὶ σμίλακος. μθ.

Ἡ δὲ καλουμένη σμῖλαξ. ὑπὸ ἐνίων δὲ θύμιον, παρὰ δὲ Ῥωμαίοις τάξος. ποθεῖσα, ἐπιφέρει ψύξιν τε καθ' ὅλου τοῦ σώματος καὶ πνιγμόν, ὀξύν τε τὸν θάνατον. οἷς βοηθεῖ πάντα ὅσα καὶ τοῖς τὸ κώνειον πεπωκόσιν.

Περὶ στρύχνου μανικοῦ δορυκνίου τε παρ' ἐνίοις. ν.

Δορυκνίου τε ποθέντος ὃ ἔνιοι στρύχνον μανικὸν ἐκάλεσαν. παρακολουθεῖ, ὥσπερ γάλακτος ποιότης ἐν τῇ γεύσει, καὶ λυγμὸς συνεχής, γλώττης τε ὑγρότης. καὶ αἵματος ἀναγωγὴ ἀθρόα. κατὰ κοιλίαν τε αὐτοῖς μυξώδη φέρεται, ὡς ἐπὶ δυσεντερικῶν. οἷς βοηθητέον πρὸ τοῦ τούτων τι παρακολουθῆσαι, διὰ τῶν ἐπὶ τοῦ ἐφημέρου λεχθέντων, ἐμέτου τέ φημι καὶ κλύσματος, καὶ ὅσα δύναται τὸ ποθὲν ἐκκρῖναι φάρμακον. ἰδίως δὲ ἐπ' αὐτῷ βοηθεῖ τὸ μελίκρατον, ἢ ὄνειον ἢ αἴγειον γάλα. καὶ γλυκὺς χλιαρὸς μετὰ ἀνήσου ὀλίγου πινόμενος. καὶ ἀμύγδαλα πικρά. στήθη τε ὀρνίθων καθεψημένα. καὶ πάντα τὰ κογχύλια ὠμὰ καὶ ὀπτὰ ἐσθιόμενα. καὶ κάραβοι καὶ ἀστακοί, καὶ ὁ ἐξ αὐτῶν ζωμὸς πινόμενος.

Περὶ σαρδονίου. να.

Ἡ σαρδόνιος λεγομένη πόα, βατραχίου εἶδός ἐστι. ποθεῖσα δὲ ἢ βρωθεῖσα, παραφορὰν ἐπιφέρει διανοίας. καὶ σπάσματα, μετὰ συνολκῆς χειλῶν, ὥστε γέλωτος φαντασίαν παρέχειν. ἀφ' ἧς διαθέσεως καὶ ὁ σαρδόνιος γέλως οὐκ εὐφήμως ἐν τῷ βίῳ καθωμίληται. ἐφ' ὧν ἰδίως μετὰ τὸν ἔμετον ἁρμόζει μελίκρατον πολὺ διδόμενον, καὶ γάλα. ἐμβροχή τε καὶ λιπασμὸς ὅλου τοῦ σώματος, διὰ θερμαντικῶν φαρμάκων. καὶ ἔμβασις δι' ὑδρελαίου θερμοῦ. ἐπαλείφειν τε ἱκανῶς καὶ ἀνατρίβειν μετὰ τὴν ἔμβασιν αὐτούς. καθ' ὅλου τε ὡς πρὸς σπασμόν, ὅλην τὴν θεραπείαν δεῖ ποιεῖσθαι.

Περὶ μήκωνος κερατίτιδος. νβ.

Ἡ δὲ λεγομένη κερατῖτις μήκων. ἐν τῷ βρωθῆναι ἢ ποθῆναι τὰ αὐτὰ ἐπιφέρουσα τῷ ὀπῷ τῆς μήκωνος συμπτώματα, τοῖς αὐτοῖς ὑποπίπτει βοηθήμασιν.

Περὶ φαρικοῦ. νγ.

Τὸ δὲ καλούμενον φαρικόν, τὴν μὲν γεῦσιν ἅπασαν νάρδῳ ἔοικεν. ἐπιφέρει δὲ ποθὲν παράλυσιν μετὰ παρακοπῆς καὶ σπασμοῦ. δεῖ δὲ μετὰ τὸ ἐξεράσαι αὐτοὺς ποτίζειν μετ' οἴνου ἀψινθίῳ, καὶ κινναμώμῳ, ἢ σμύρνῃ. νάρδῳ κιλικίᾳ, ἣν ἔνιοι ἰσάτιν ἐκάλεσαν. ἢ ναρδοστάχυος ὁλκὴν β. καὶ σμύρνης β. ὀβολούς, μεμιγμένους σὺν γλυκεῖ. ἢ ἴριδι καὶ κροκίνῳ ἄνθει σὺν οἴνῳ. καταπλάσσειν τε τὴν κεφαλὴν αὐτῶν ξυρήσαντας, ἀλεύρῳ κριθίνῳ σὺν πηγάνῳ λείῳ καὶ ὄξει.

Περὶ τοξικοῦ. νδ.

Τὸ δὲ τοξικὸν δοκεῖ μὲν ὀνομάζεσθαι, ἐκ τοῦ τὰ τοξεύματα ὑπὸ τῶν βαρβάρων ἐν αὐτῷ χρίεσθαι. παρακολουθεῖ δὲ τοῖς πεπωκόσι, χειλῶν καὶ γλώσσης φλεγμονή. μανία τε ἀκατάσχετος ποικίλας ὑποβάλλουσα φαντασίας, ὡς καὶ διὰ τοῦτο δυσιάτους εἶναι ἐν ταῖς θεραπείαις. σπανίως δέ, καὶ σώζεσθαι τινὰς τῶν πεπωκότων. δεῖ μέντοι συνέχειν αὐτοὺς δεσμοῖς ἀναγκάζοντας,

τας, καὶ βιαζομένους, γλυκὺν οἶνον σὺν ῥοδίνῳ ποτίζειν, καὶ ἐξεμεῖν. τό, τε τῆς γογγυλίδος σπέρμα σὺν οἴνῳ πινόμενον, ἰδίως ἐπ᾽ αὐτῶν ἁρμόζει. καὶ ἡ τοῦ πενταφύλλου ῥίζα. αἷμά τε τράγου ἢ αἰγὸς λαμβανόμενον. δρυός τε φλοιός, ἢ φηγοῦ, ἢ πρίνου, γάλακτι συνεκλεαινθείς. καὶ μῆλα κυδώνια ἐσθιόμενα, ἢ λεῖα σὺν γλήχωνι μεθ᾽ ὕδατος πινόμενα. ἄμωμόν τε καὶ βαλσάμου καρπὸς σὺν οἴνῳ. πολὺν μέντοι χρόνον, εἰ καί τινες αὐτῶν τὸν κίνδυνον ἐκφύγοιεν, κλινοπετεῖς διαμένουσι καὶ ἀναστάντες ἐπτοημένοι τὸν λοιπὸν χρόνον διάγουσιν.

Περὶ μυκήτων. νε.

Μυκήτων δέ, οἱ μὲν τῷ γένει βλάπτουσιν, οἱ δὲ τῷ πλήθει. ἐπιφέρουσι δὲ παντελῶς ληφθέντες πνιγμοὺς ἐοικότας ταῖς ἀγχόναις. οἷς εὐθέως βοηθεῖν δεῖ κοινῶς, ἀναγκάζοντας ἐμεῖν διὰ τοῦ ἐλαίου. θαυμαστῶς δὲ ὠφελοῦνται κονίαν κληματίνην, ἢ ἐξ ἀχραδίνων ξύλων, μετ᾽ ὀξυκράτου καὶ ἁλῶν ἢ νίτρου πίοντες. καὶ συνεψόμεναι δὲ ἀχράδες ἢ τὰ φύλλα τοῖς μύκησιν, ἀφαιροῦνται τὸ πνιγμῶδες αὐτῶν, ἐσθιόμεναί τε ὠφελοῦσιν. ὠφελεῖ δὲ αὐτοὺς καὶ ἀλεκτορίδων ὠὰ ἀφεψόμενα, καὶ ἐν ὀξυκράτῳ πινόμενα. ἀριστολοχίας < α. ἢ ἀψινθίου σὺν οἴνῳ. καὶ μέλι δὲ ἐκλειχόμενον καὶ πινόμενον σὺν ὕδατι. μελισσόφυλλόν τε σὺν νίτρῳ. ἢ πάνακος ῥίζα καὶ καρπός, σὺν οἴνῳ. τρύξ τε οἴνου κεκαυμένη, μεθ᾽ ὕδατος. καὶ χαλκοῦ ἄνθος σὺν ὄξει. ῥάφανός τε ἢ νᾶπυ ἢ κάρδαμα ἐσθιόμενα. ἐπεὶ δέ τινες μύκητες ὑπὸ θηρίων βρωθέντες, οὐ μόνον πνίγουσιν ἀλλὰ καὶ ἑλκοῦσι τὰ ἔντερα. δοτέον ἀψίνθιον δαψιλές. καὶ σύκων ἀφέψημα, καὶ ὀριγάνου, καὶ μελίκρατον. καὶ ἔμετος. ἔμβασίς τε θερμή, καὶ ὠμὴ λύσις καθ᾽ ὑποχονδρίου, συνοίσει.

Περὶ αἵματος ταυρείου. νς.

Αἷμα δὲ ταύρου νεοσφαγοῦς ποθέν, δύσπνοιαν ἐπιφέρει καὶ πνιγμόν, ἐμφραττόντων τῶν περὶ τὰ παρίσθμια καὶ τὴν κατάποσιν πόρους μετὰ σπασμοῦ ἰσχυροῦ. εὑρίσκεταί τε ἐπ᾽ αὐτῶν ἡ γλῶσσα ἐρυθρά, καὶ οἱ ὀδόντες βεβρωμένοι, καὶ θρομβία μεταξὺ αὐτῶν. ἐφ᾽ ὧν τὸν ἔμετον παραιτούμεθα, τῶν θρόμβων μᾶλλον ἐπὶ τῷ στομάχῳ σφηνουμένων διὰ τὸ μετεωρίζεσθαι αὐτοὺς κατὰ τὴν ὁλκήν. διδόναι δὲ αὐτοῖς ὅσα δύναται τὴν πῆξιν διαλῦσαι τοῦ αἵματος, καὶ τὴν κοιλίαν ὑπάγειν. τούς τε ὀλύνθους πλήρεις ὄντας ὀποῦ σὺν ὀξυκράτῳ ἢ νίτρῳ δοτέον. ποιεῖ καὶ πιτύα πᾶσα σὺν ὄξει. καὶ σιλφίου ῥίζα σὺν τῷ ὀπῷ, ὁμοίως. καὶ κράμβης σπέρμα. κονία τε συκίνη. καὶ κονύζης φύλλα σὺν πεπέρει. καὶ βάτου χυλὸς σὺν ὄξει. δεῖ δὲ τὴν κοιλίαν ὑπάγειν. εἴωθε δὲ τοῖς σωζομένοις ἀποδίδοσθαι διὰ τῆς ἕδρας κοπρώδη καὶ δυσώδη. καὶ καταπλάσσειν αὐτῶν τὸν στόμαχον καὶ τὴν κοιλίαν, ἀλεύρῳ κριθίνῳ μετὰ μελικράτου.

Περὶ γάλακτος ἐμπιτυαθέντος. νζ.

Καὶ τοῖς λαβοῦσι δὲ γάλα ἐμπιτυαθὲν ἄθροον, πολὺς πνιγμὸς ἐγγίνεται, διὰ τὸ θρομβοῦσθαι. οἷς βοηθοῦντες προσφέρειν δεῖ ὥσπερ ἀντίδοτον, πιτύαν σὺν ὄξει, πολλάκις ἀναγκάζοντα πίνειν. καὶ καλαμίνθης τὰ φύλλα ξηρά, ἢ τὸν χυλὸν ὁμοίως. ἢ σιλφίου ῥίζας, ἢ ὀπὸν σὺν ὀξυκράτῳ. θύμον τε σὺν οἴνῳ. καὶ τὴν πλοποιϊκὴν κονίαν. ἁλυκὸν δὲ μηδὲν προσφερέσθωσαν. μᾶλλον γὰρ πήγνυται καὶ τυροῦται τὸ γάλα. οὐδὲ τούτοις μέντοι δεῖ ἐμεῖν. ἐνιστάμενον γὰρ ἐπὶ τοῦ στομάχου τὸ τεθρομβωμένον πνίγει.

Περὶ μέλιτος τοῦ ἐν Ἡρακλείᾳ. νη.

Τὸ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ γενόμενον μέλι φαγοῦσιν ἢ πιοῦσι, τὰ αὐτὰ συμβαίνει τοῖς τὸ ἀκόνιτον πιοῦσιν. ἐφ᾽ ὧν ἁρμόζει τὰ ἐπ᾽ ἐκείνου εἰρημένα. εἰσὶ δὲ εὐβοήθητοι, μάλιστα ὠφελούμενοι ὑπὸ ὑδρομέλιτος, συνεχῶς αὐτὸ πίνοντες, μιγνυμένων αὐτῷ πηγάνου φύλλων.

Περὶ γύψου. νθ.

Γύψος δὲ ποθεῖσα, πνιγμὸν ἐμποιεῖ λιθουμένη. ὅθεν μεταφέρειν δεῖ τὰ πρὸς τοὺς μύκητας ἁρμόζοντα βοηθήματα, διδόντας καὶ ἐπὶ τούτων, τό, τε τῆς μαλάχης ἀφέψημα παραληπτέον ἀντὶ τοῦ ἐλαίου, λιπαρὸν γάρ, ἐν τῷ ἐξεμεῖσθαι ὄλισθον ἐμποιοῦν, οὐκ ἐᾷ καταξύεσθαι τὰ σώματα. λιθουμένη γὰρ ἡ γύψος, ἐργάζεται τοῦτο. ἁρμόζει δὲ καὶ τὸ ἔλαιον ἐν μελικράτῳ. καὶ σύκων ἀφέψημα. καὶ κονία συκίνη ἢ κληματίνη σὺν οἴνῳ πολλῷ· καὶ ὀρίγανος, ἢ θύμος, σὺν κονίᾳ ἢ ὄξει. γλυκεῖ δὲ καὶ τούτους ἀποκλύζειν καὶ τῷ τῆς μαλάχης ἀφεψήματι.

Περὶ ψιμυθίου. ξ.

Τὸ δὲ ψιμύθιον, λαθεῖν οὐ δύναται διὰ τὸ χρῶμα, ἑκουσίως δὲ ληφθέν, λευκαίνει τὸν οὐρανίσκον, καὶ τὴν γλῶτταν, καὶ τὸ μεταξὺ τῶν ὀδόντων. ἐπιφέρει δὲ λυγμοὺς καὶ βῆχα, καὶ γλώσσης ξηρότητα, καὶ ψύξιν ἀκρωτηρίων μετὰ παρακοπῆς καὶ δυσκινησίας. οἷς ἁρμόζει διδόναι μελίκρατον, ἢ σύκων ἢ μαλάχης ἀφέψημα, ἢ γάλα θερμόν. ἢ σήσαμον λεῖον μετ᾽ οἴνου. ἢ κονίαν

κλημματίνην. ἢ ἀμαράκινον ἔλαιον, ἢ ἴρινον. περσικῶν τε ὀστᾶ, σὺν κριθῶν ἀφεψήματι. ἢ λιβανωτόν. ἢ κοκκυμήλων κόμμι. ἢ πτελαίας τὸ ἐν τοῖς θυλακίοις ὑγρόν, μετὰ χλιαροῦ ὕδατος. ἐμείτωσαν δὲ ἐφ' ἑκάστου. ἁρμόζει δὲ ἐπ' αὐτῶν καὶ θαψίας χ̄, ἢ σκαμμωνίας ὀποῦ τριώβολον, σὺν μελικράτῳ πινόμενον.

Περὶ τιτάνου καὶ σανδαράχης καὶ ἀρσενικοῦ. ξα.

Τίτανος δὲ καὶ σανδαράχη καὶ ἀρσενικὸν ποθέντα, κοιλίας ἀλγήματα καὶ ἐντέρων ἐπιφέρει μετὰ δηγμοῦ σφοδροῦ. ὅθεν προσφέρειν αὐτοῖς δεῖ πάντα ὅσα κιρνᾶν καὶ λύσαι δύναται. τό, τε δυσεμὲς καὶ τὸ πρὸς τὴν κοιλίαν ὀλισθηρὸν παρέχειν. οἷόν ἐστιν ὁ τοῦ ἐβίσκου καὶ μαλάχης χ̄. καὶ ἀφέψημα λινοσπέρμου ἢ τράγου ἢ ὀρύζης. γάλα τε πολὺ καὶ μελίκρατον. καὶ ζωμοὶ λιπαροὶ καὶ εὔχυμοι.

Περὶ λιθαργύρου. ξβ.

Λιθάργυρος δὲ ποθεῖσα. βάρος ἐπιφέρει στομάχου, καὶ κοιλίας, καὶ ἐντέρων, μετὰ στρόφων ἐπιτεταμένων. ἐνίοτε δὲ καὶ τιτρώσκει τὰ ἔντερα διὰ βάρος. καὶ ἐπέχει τὰ οὖρα. παροιδεῖ δὲ αὐτῶν τὸ σῶμα, καὶ μολιβδῶδες γίνεται, ἀπρεπὲς δέ τε λαμβάνει. ἐφ' ὧν ἁρμόζει μετὰ τὸν ἔμετον, πινόμενον σὺν οἴνῳ θερμίνου ἀγρίου σπέρμα. σμύρνης < . π̄. ἀψίνθιον. σελίνου σπέρμα. ἢ πέπερι, ἢ κυπέρου ἄνθος σὺν οἴνῳ. περιστερῶν τε ἀγρίων ἄφοδος ξηρὰ μετὰ νάρδου καὶ οἴνου.

Περὶ μολύβδου. ξγ.

Καὶ εἴ τις τὸ τοῦ μολύβδου ῥίνημα, ἢ πλύμα πίοι. συνεδρεύει τε τὰ παραπλήσια καὶ βοηθεῖ, τὰ καὶ ἐπὶ λιθαργύρου.

Περὶ ὑδραργύρου. ξδ.

Καὶ ἡ ὑδράργυρος δὲ ποθεῖσα τὰ αὐτὰ ἐπιφέρει τῇ λιθαργύρῳ. καὶ ἐπὶ τούτων δεῖ τοῖς αὐτοῖς βοηθήμασι χρῆσθαι. δοκεῖ δὲ αὐτοὺς ὠφελεῖν, γάλα πολὺ διδόμενον. ἐμείτωσαν δὲ καὶ οὗτοι.

Περὶ ἐλλεβόρου λευκοῦ, θαψίας, ἐλατηρίου, ἀγαρικοῦ τοῦ μέλανος. πηγάνου ἀγρίου, μελανθίου, πάππων. ξε.

Προνοητέον δὲ καὶ τῶν ἐπ' ὠφελείᾳ διδομένων, ἐπιφερόντων δὲ κίνδυνον πολλάκις οὐχ ἧττον τῶν ἄλλων φαρμάκων, ὁποῖά εἰσιν τὰ προκείμενα. λέγω δή. ἐλλέβορος λευκός, θαψία, ἐλατήριον, ἀγαρικὸν τὸ μέλαν. πνιγμὸν γὰρ ἐπιφέρει ταῦτα ἢ ὑπερκάθαρσιν. ἐφ' ὧν τοὺς μὲν πνιγμοὺς θεραπεύσομεν, ὡς ἐπὶ μυκήτων καὶ τῶν ὁμοίων προείρηται. τὰς δὲ ὑπερκαθάρσεις, τοῖς δυναμένοις ἐπέχειν τὰς ἐκκρίσεις στελοῦμεν. καὶ τῶν ἐπ' ὀλίγον μὲν δοκούντων βλάπτειν, ἐνίοτε δὲ κινδύνους ἐπιφερόντων, οὐκ ἀμελητέον. ὧν ἐστι τό, τε ἄγριον πήγανον, καὶ τὸ μελάνθιον, καὶ οἱ νεαροὶ πάπποι. ἄνθη δὲ ἐστὶν ἀκάνθης τῆς καλουμένης κάκτου. ἐφ' ὧν ἔμετος μόνος παραληφθεὶς ἀποκαθίστησι τοὺς λαβόντας.

Περὶ τῶν συμφύλων ἡμῖν, οἴνου τε, καὶ ψυχροῦ ὕδατος. ξς.

Καὶ ψυχρὸν δὲ ὕδωρ ἄθροον ποθέν, ἢ ἄκρατος πολὺς οἶνος γλυκύς, μάλιστα ἀπὸ βαλανείου, ἢ δρόμου, καὶ τῶν εὐτόνων γυμνασίων. πνιγμούς τε, καὶ ἀλγήματα ἐπιφέρει. ἐφ' ὧν φλεβοτομία ταχέως παραληφθεῖσα, καὶ κένωμα, λύει τὸν ἐπηρτημένον κίνδυνον.

ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΚΤΟΥ ΒΙΒΛΙΟΥ.

περὶ



ΑΡΧΗ ΠΡΟΟΙΜΙΟΥ ΤΩΝ ΧΕΙΡΟΥΡΓΟΥΜΕΝΩΝ.

Α.

ὸν ΠΕΡῚ ΤΩ͂Ν ΧΕΙΡΟΥΡΓΟΥΜΈΝΩΝ ΛΌΓΟΝ διχῇ διελόντες, εἴς τε τὰ κατὰ σάρκα χειριζόμενα, καὶ εἰς τὰ τῶν ὀστῶν ἔν τε κατάγμασι καὶ ἐν ἐξαρθρήμασι θεωρουμένων, ἀπὸ τῶν κατὰ σάρκα νῦν ἀρχόμεθα, τῇ συνήθει κἀνταῦθα κεχρημένοι συντομίᾳ. πάλιν οὖν ἐκ τῶν ὑπερτέρων ἀρχόμενοι τὴν ἐν τῇ κεφαλῇ καὶ ταύτης μάλιστα τὴν ἐν τῇ κορυφῇ γινομένην ἐκθησόμεθα καῦσιν.

Περὶ τῆς κατὰ κεφαλὴν καύσεως, ἐπὶ ὀφθαλμιώντων, δυσπνοϊκῶν καὶ ἐλέφαντος. Β.

Ἐπὶ μὲν ὀφθαλμῶν ἄνωθεν ἐπιρρεομένων, ἐπί τε δυσπνοϊκῶν, τῆς διὰ περιττωματικῆς ὑγρότητος περιουσίαν, πεμπομένης ἐκ τῆς κεφαλῆς κάτω πρὸς θώρακα καὶ λυπούσης τῇ συνεχείᾳ τὰ τῇδε μόρια, καίουσι κατὰ τὸ μέσον τῆς κεφαλῆς ὧδε πως. προξυρήσαντες τὰ περὶ τὴν κορυφὴν μέρη, καυστῆρας πυρηνοειδεῖς ἐμβάλλουσι καίοντες ἕως ὀστοῦ τὸ δέρμα, ξέοντές τε μετὰ τὴν ἔκπτωσιν τῆς ἐσχάρας τὸ ὀστοῦν. τινὲς δὲ, καὶ αὐτὸ τὸ ὀστέον καύσαντες, λεπίδα μικρὰν ποιοῦσιν ἐκπίπτειν, πρὸς τὸ ῥᾳδίαν ἐκεῖθεν τὴν τῶν ὑγρῶν τῶν ἐν τῇ κεφαλῇ γενέσθαι διαπνοήν τε καὶ κένωσιν. φυλάττοντες ἐπὶ χρόνον τὸ ἕλκος. εἶθ' οὕτως αὐτὸ φέροντες εἰς ἀπούλωσιν. Ἐπὶ δὲ τῶν ἐλεφαντιάσεως μελέτην ἐχόντων, πέντε τινὲς ἐμβάλλουσιν ἐσχάρας ἐν τῇ κεφαλῇ. μίαν μὲν κατὰ τῶν ἔμπροσθεν ἀνωτέρω τοῦ καλουμένου βρέγματος. ἑτέραν δὲ ταύτης κατωτέραν, τοῦ δὲ καλουμένου μετώπου μικρὸν ἀνωτέρω πρὸς τῷ πέρατι τῶν τριχῶν. καὶ ἄλλην κατὰ τὸ λεγόμενον ὀπισθοκράνιον. καὶ ἄλλας δύο κατὰ τὰ λεπιδοειδῆ καλούμενα προσκολλήματα ἀνωτέρω τῶν ὤτων. μίαν μὲν πρὸς τῷ δεξιῷ μέρει. ἑτέραν δὲ πρὸς τῷ εὐωνύμῳ. τῇ τῶν πλειόνων λεπίδων ἀφαιρέσει, τὸ πλῆθός τε καὶ πάχος τῶν ὑγρῶν ἐξατμίζοντες καὶ ἐξοχετεύοντες ἐκ τοῦ βάθους τῆς κεφαλῆς, καὶ διὰ τοῦτο τὴν ὄψιν λυμαίνεσθαι κωλύοντες. προσβάλλουσι δὲ καὶ τῷ σπληνὶ ἄλλον καυτῆρα, ἵνα τὸ πρωτουργὸν τοῦ μελαγχολικοῦ περιττώματος μόριον, διὰ τῆς κατὰ τὸ δέρμα γινομένης ἐσχάρας θεραπεύσωσιν.

Περὶ ὑδροκεφάλων. γ.

Τὸ ὑδροκέφαλον πάθος, ὠνόμασται μὲν ἀπὸ τῆς ἰδιότητος τοῦ γινομένου ὑγροῦ, ὑδατώδους τὴν οὐσίαν ὑπάρχοντος. γίνεται δὲ τοῖς παιδίοις κατ' αὐτὴν τὴν ἀπότεξιν ἀφυῶς θλιβομένης ὑπὸ τῶν μαιῶν τῆς κεφαλῆς, ἢ ἐξ ἀδήλου αἰτίας, ἢ κατὰ ῥῆξιν ἀγγείου ἢ ἀγγείων, καὶ εἰς ἀργὴν οὐσίαν τοῦ ἐγχυθέντος αἵματος μεταβεβλημένου. ἢ κατὰ ἀραίωσιν, διιδρουμένης τῆς ὕλης καὶ φερομένης μεταξὺ δέρματος καὶ περικρανίου. ἢ γὰρ μεταξὺ περικρανίου καὶ δέρματος συνίσταται τὸ ὑγρόν, ἢ μεταξὺ περικρανίου καὶ ὀστοῦ. ἢ μεταξὺ ὀστοῦ καὶ μήνιγγος. Τοῖς μὲν οὖν μεταξὺ δέρματος καὶ περικρανίου ὑμένος, παρέπεται ὄγκος εὐαφὴς, ὁμόχρους, ἀναλγὴς, εἰς ὕψος κεκυρτωμένος, δι' ὀλίγου σώματος ὑποπίπτων κατὰ τὴν ἀπέρεισιν τῶν δακτύλων. ῥᾳδίως ὑπείκων καὶ ἀντιμεθιστάμενος. Τοῖς δὲ μεταξὺ περικρανίου καὶ ὀστοῦ. τὰ μὲν ἄλλα ὁμοίως. ὁ δὲ ὄγκος, μᾶλλον σκληρότερός τε, καὶ βραδέως εἴκων, ὡς ἂν καὶ διὰ πλειόνων ὑποπίπτων σωμάτων. ἀλγοῦσί τε μᾶλλον. Τοῖς δὲ μεταξὺ μήνιγγος καὶ ὀστοῦ. ὄγκος μὲν ἐστὶ, ἀλλ' οὐχ ὑπείκων, οὐδὲ ὁμοίως εὐαφής. πλὴν τῇ βιαίᾳ θλίψει ὠθούμενος εἴκει. τὸ γὰρ

ὀστέον

ὀστέον τῶν νηπίων ἔτι νεοπαγὲς ὂν διίενται τέως δεῖ, καὶ μάλιστα ὅταν ἀραιωθεισῶν τῶν ῥαφῶν ἡ πρόοδος τοῦ ὑγροῦ πρὸς τοὐκτὸς γένηται. γινώσκεται δὲ τοῦτο ῥᾳδίως, τῷ δραπετεύειν ἀντιπιεζόμενον εἰς τὸ βάθος ἐν τῇ πιλήσει τοῦ ὑγροῦ. ὀδύνη δὲ μείζων τούτοις γίνεται, ἥτε κεφαλὴ πᾶσα διΐσταται, καὶ τὸ μέτωπον αὐτοῖς ἔξω προσβέβληται, καὶ ἀτενὲς ὁρῶσι, καὶ δακρύουσι συχνότερον. τούτοις μὲν οὖν τὴν χειρουργίαν ἀπαγορεύσομεν. εἰ καὶ μάλιστα τινὲς τῶν χειρουργῶν περιτρυπήσαντες, ἐκομίσαντο τὸ ὀστέον, ὡς ἐν τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων εἰρήσεται. Εἰ δέ γε μεταξὺ δέρματος καὶ περικρανίου συνίσταται τὸ ὑγρόν, μικροῦ μὲν ὄντος τοῦ ὄγκου, μίαν διαίρεσιν κατὰ μέσον ἐγκαρσίαν ἐμβαλοῦμεν. Εἰ δὲ μεταξὺ περικρανίου καὶ ὀστέου, ἢ μείζων ὁ ὄγκος εἴη, δυσὶ κεχρήμεθα διαιρέσεσι τεμνούσαις κατὰ μέσον ἀλλήλας. εἰ δ᾽ ἔτι μείζων, καὶ τρισί, μιμουμέναις τὸ η στοιχεῖον. μετὰ δὲ τὴν χειρουργίαν ἐκκενώσαντες τὸ ὑγρὸν καὶ διαμοτώσαντες προσφόρως ἐπιδήσωμεν, καὶ ἄχρι τῆς τρίτης οἰνελαίῳ ἐπιβρέχομεν. μεθ᾽ ἣν λύσαντες ἐμμότῳ θεραπεύσωμεν ἀγωγῇ. καὶ εἰ χρονίζοι τὸ ὀστέον μὴ σαρκούμενον, ἐλαφρῶς αὐτὸ ξύσωμεν.

Περὶ ἀρτηριοτομίας. δ.

Ἐπί τε ῥεύμασιν ὀφθαλμῶν χρονίοις, ἐπί τε τῶν σκοτωματικῶν πάθει, τὰς ὄπισθεν τῶν ὤτων διατέμνειν ἀρτηρίας εἰώθαμεν. προξυρητέον οὖν τὸ ὄπισθεν τῆς κεφαλῆς μέρος, καὶ σημειωτέον τοῖς δακτύλοις. ἐκ γὰρ τοῦ κατὰ τὸν τόπον σφυγμοῦ, ῥᾷστα καταληφθήσεται τῆς ἀρτηρίας ἡ θέσις. κἄπειτα τέμνειν αὐτὴν ἄχρις ὀστέου. μῆκος ἐχούσης τῆς διαιρέσεως, ὅσον δύο δακτύλων, προσημανθείσης μέλανι γραφικῷ. ταύτης δὲ μὴ ὑποπιπτούσης, μετρεῖν δεῖ ἀπὸ τῶν ὤτων ὡς τριῶν δακτύλων διάστημα, καὶ τότε χειρουργεῖν ἐγκαρσίως διαιροῦντα τὰς ἀρτηρίας, ἄχρις ἂν ἥτε τοῦ αἵματος σφυγματώδης φανῇ ῥύσις, τό, τε ὄργανον ἐγχρίσῃ τῷ ὀστέῳ. μετὰ δὲ τὸ σύμμετρον αἷμα ῥυῆναι, διελόντες τὸ περικράνιον, ὑπὲρ τοῦ μὴ τῇ τάσει φλεγμῆναι, καὶ ξύσαντες τὸ ὀστέον, σφηνίσκον ἐκ ῥάκους ἐμβαλοῦμεν τοῖς τραύμασι, καὶ τῇ ἐμμότῳ θεραπεύσωμεν ἀγωγῇ. εἰ δὲ ἐπιμένοι κἀνταῦθα ψιλὸν τὸ ὀστέον, ὁμοίως καὶ τῇ τούτου ξύσει χρησώμεθα.

Περὶ ἀγγειολογίας καὶ καύσεως. ε.

Ἐπί τε τῶν ἡμικρανικῶν, καὶ τῶν χρονίως ῥευματιζομένων, εἰ καὶ ὀξέως, τοὺς ὀφθαλμοὺς θερμῷ καὶ δριμεῖ ῥεύματι, ὥστε καὶ θέρμην κατὰ τοὺς κροταφίτας σὺν οἰδήματι γίνεσθαι μύας. τὴν ἐν τούτοις ἀγγειολογίαν ἅπαντες ἐδοκίμασαν. προξυρήσαντες οὖν τὰς κατὰ τοῦ κροτάφου τρίχας, σημειωσώμεθα τοῖς δακτύλοις, προπνειάσαντες, ἢ καὶ τῇ διασφίγξει τοῦ τραχήλου χρησάμενοι. τὰ δὲ ἀγγεῖα ὑπ᾽ ὄψιν ἐλθόντα μέλανι σημειωσάμενοι, κουφίσωμεν ἐκ τῶν πλαγίων τὸ δέρμα, διά τε τῶν τῆς ἀριστερᾶς ἡμῶν χειρὸς δακτύλων καὶ τῶν τοῦ ὑπηρέτου, καὶ κατ᾽ αὐτοῦ τοῦ ἀγγείου δῶμεν ἐπιπολαίαν διαίρεσιν. εἶτα τέλεον διελθόντες, ἀγκίστροις τε ἀνατείναντες, καὶ διὰ ἐξυμενιστήρων τὸ ἀγγεῖον γυμνώσαντες, μετεωρήσωμεν ἀπολελημμένον πανταχόθεν. καὶ εἰ μὲν λεπτὸν εἴη, τῷ τυφλαγκίστρῳ τοῦτο ἀνατείναντες καὶ περιστρέψαντες, ὑφ᾽ ἓν ἐκτέμωμεν, ὥστε ἢ μέρος αὐτοῦ λαβεῖν. εἰ δὲ μέγα τυγχάνει, διὰ βελόνης διπλοῦν ὑποβαλόντες βρόχον, ἤτοι ὠμόλινον, ἢ ἄλλον τινὰ ἰσχυρόν. καὶ πρῶτον φλεβοτόμῳ διελόντες ἐπ᾽ ὀρθὸν τὸ ἀγγεῖον, καὶ σύμμετρον τοῦ αἵματος ἀποκενώσαντες, κατὰ τὰ δύο πέρατα τὸ γυμνωθὲν ἀπολινώσωμεν. τὸ δὲ μεταξὺ ἐκτεμόντες, ἢ εὐθέως ἢ κατὰ τὸν καιρὸν τῆς ἐπιλύσεως ἀφέλωμεν. τινὲς δὲ καὶ χωρὶς τοῦ τέμνειν, πυρηνοειδέσι καυτηρίοις τὰ ἀγγεῖα διακαίουσιν ἄχρι συχνοῦ βάθους. μετὰ δὲ τὴν χειρουργίαν διαμοτώσαντες ξηροῖς τίλτοις, καὶ σπλήνιον ἐπιθέντες, ἐπιδήσωμεν. μετὰ δὲ τὴν ἐπίλυσιν, τοῖς σαρκωτικοῖς ξηροῖς τε καὶ ἐμμότοις, καὶ τοῖς ἀπουλωτικοῖς φαρμάκοις, τὴν ἀποθεραπείαν ποιησώμεθα. δηλονότι φθασάντων διασαπῆναι καὶ ἐκπεσεῖν τῶν τῆς ἀπολινώσεως δεσμῶν.

Περὶ ὑποσπαθισμοῦ, ς.

Τοῦ ὀργάνου τὸ εἶδος, ὄνομα τῇ χειρουργίᾳ γεγέννηται. κεχρήμεθα δὲ τῷ ὑποσπαθισμῷ ἐφ᾽ ὧν ῥεῦμα πολὺ καὶ θερμὸν κατὰ τοὺς ὀφθαλμοὺς φέρεται. καὶ τὸ πρόσωπον δὲ αὐτοῖς ἐρευθὲν ὑπάρχει, καὶ περὶ τὸ μέτωπον συναίσθησίς τις καὶ διαδρομὴ καθάπερ σκωλήκων ἢ μυρμήκων γίνεται. προξυρήσαντες τοίνυν τὰς κατὰ τὸ μέτωπον τρίχας ἐπιτρέψωμεν τὴν κάτω γένυν κινεῖν. καὶ φεύγοντες τῶν κροταφιτῶν μυῶν τὴν κίνησιν, διδοῦμεν τρεῖς διαιρέσεις ἐν τῷ μετώπῳ εὐθείας, παραλλήλους. μῆκος μὲν ἐχούσας ἑκάστην δύο δακτύλων, τὸ δὲ βάθος ἕως ὀστέου, διεστηκυίας ἀλλήλων ὅσον τριῶν διάστημα δακτύλων. μετὰ δὲ τὴν τομήν, τὸν ὑποσπαθιστῆρα ὑποβαλόντες, ἀπὸ τῆς πρὸς τῷ ἀριστερῷ κροτάφῳ διαιρέσεως ἐπὶ τὴν μέσην ἐρχόμεθα, ὅλον τὸ μεταξὺ ὑποδέροντες σὺν τῷ περικρανίῳ. εἶτα πάλιν τὸ σπαθίον ἀπὸ τῆς μέσης ἐπὶ τὴν λοιπὴν καθήσομεν. κἄπειτα τοῦ σκολοπομαχαιρίου τὴν ἀκμὴν αὖθις κατὰ τὴν πρώτην ἐμβαλόντες διαίρεσιν, ὡς τὴν μὲν ὀξεῖαν αὐτοῦ πλευρὰν τῇ ἔσωθεν τοῦ δέρματος ὑφηρμόσθαι σαρκί,

τὴν δὲ ἀμβλεῖαν παρ' ὀστέῳ, διωθήσομεν αὐτὸ ἄχρι τῆς μέσης διαιρέσεως. πάντα μὲν τὰ καλούμενα ἀπὸ τῆς κεφαλῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ἀγγεῖα διατέμνοντες, μὴ μέντοι ἄχρι ἐπιφανείας τοῦ δέρματος. καὶ πάλιν ἀπὸ τῆς μέσης ἐπὶ τὴν τελευταίαν αὐτὸ διαγάγωμεν, ὡσαύτως διατέμνοντες τὰ ἀγγεῖα. μετὰ δὲ τὴν σύμμετρον τοῦ αἵματος κένωσιν, ἐκθλίψαντες τοὺς θρόμβους, στρεπτούς τε μοτοὺς τρεῖς ποιήσαντες, εἰς ἑκάστην τῶν διαιρέσεων ἐμβαλοῦμεν. καὶ πτύγμα ὕδατι βεβρεγμένον ἐπιβαλόντες, ἐπιδήσωμεν. τῇ δὲ ὑστεραίᾳ οἰνελαίῳ ἐπιβρέξαντες, μὴ μόνον τὰ ἕλκη, ἀλλὰ καὶ τοὺς κροταφίτας μῦς καὶ τὰ ὦτα, διὰ τὴν φλεγμονήν. τῇ τρίτῃ λύσαντες, ἐπὶ πολὺ τῇ ἀπαντλήσει χρώμεθα, καὶ τῷ βασιλικῷ λυθέντι ῥοδίνῳ διαμοτώσαντες ἀκολούθως ἀποθεραπεύσωμεν.

Περὶ περισκυθισμοῦ. ζ.

Ἐφ' ὧν πολλὰ καὶ διὰ βάθους ἀγγεῖα πλῆθος ἐπιπέμπει ῥεύματος τοῖς ὀφθαλμοῖς, τὸν περισκυθισμὸν παραλαμβάνομεν. τούτοις δὲ συνεδρεύει σημεῖα τοιαῦτα. πρῶτον μὲν εὑρήσεις τοὺς τῶν καμνόντων ὀφθαλμοὺς, ἀτρόφους τε καὶ μικροὺς, καὶ ἀτόνους πρὸς τὴν ὅρασιν, τοὺς δὲ κανθοὺς ἀναβεβρωμένους, καὶ τὰ βλέφαρα ἐξηλκωμένα. καὶ τὰς τρίχας αὐτῶν ἐκπιπτούσας. καὶ δάκρυον λεπτὸν ἰσχυρῶς καὶ δριμὺ μετὰ θερμασίας φερόμενον. καὶ τὸ ἄλγημα ἐν βάθει τῆς κεφαλῆς ὀξὺ καὶ ἐπώδυνον. καὶ πταρμὸς συνεχής. προξυρήσαντες οὖν τὴν κεφαλὴν, καὶ τῶν κροταφιτῶν μυῶν ὡς εἴρηται φυγόντες τὴν κίνησιν, διαίρεσιν ἐγκαρσίαν παρέξομεν, ἀρχόμενοι μὲν ἀπὸ τοῦ ἀριστεροῦ κροτάφου, τελευτῶντες δὲ εἰς τὸν ἕτερον. ἡ δὲ διαίρεσις ἐν τοῖς ἀκινήτοις ἐχέτω τὰ πέρατα, μικρὸν ἀνώτερον τοῦ μετώπου τεταγμένη. φευγόντων ἡμῶν τὴν στεφανιαίαν ἀναρραφήν. ὁ δὲ Λεωνίδης κατὰ μέσου τοῦ μετώπου τάττει τὴν διαίρεσιν. γυμνωθέντος δὲ τοῦ ὀστέου, σφηνίσκοις ἢ μοτοῖς πλείοσι χωρίσωμεν ἀπ' ἀλλήλων. τὰ δὲ τέλη τῆς διαιρέσεως ἐπιδήσωμεν, καὶ ὡς ἔμπροσθεν εἴρηται, ἐπιβρέχοντες παρ' οἰνελαίῳ. μετὰ δὲ τὴν λύσιν παρακμασάσης ἤδη τῆς φλεγμονῆς, ξέσωμεν τὸ ὀστέον ἄχρις ἂν ἄρξηται σαρκοβλαστάνειν, καὶ τῇ κατὰ συνσάρκωσιν ἀγωγῇ θεραπεύσωμεν. χρώμενοι σαρκωτικοῖς ξηρίοις. ἐξ ὧν ἐστὶ τόδε· λαμβάνων ἀλεύρου πυρίνου μ. β̄. κολοφωνίας μ. ᾱ. καὶ τὸ κεφαλικὸν καλούμενον. καὶ τὰ διὰ κισσήρεως σαρκωτικά. τῇ γὰρ οὐλῇ παχυτέρᾳ πυκνωθέντος τοῦ δέρματος, καὶ τὰ τῶν ἀγγείων στόματα στεγόμενα, τὸ πρῶτον ἐπιφέρεσθαι ῥεῦμα τοῖς ὀφθαλμοῖς κωλύουσιν.

Περὶ ἀναρραφῆς καὶ ἑτέρων τρόπων. η.

Ἡ καλουμένη διστιχίασις. ἔστι μὲν ἔκφυσις παρὰ φύσιν τριχῶν, εἰς τὸν κατὰ φύσιν στίχον τοῦ βλεφάρου προσγινομένη τριχῶν. ἥτις ἐκ ῥευματικῆς διαθέσεως ἔχει τὴν γένεσιν, ὅταν πολὺ μὲν, ἄδηκτον δὲ καὶ μὴ δριμὺ τὸ ἐπιρρέον ὑγρὸν τυγχάνῃ. τὸ γὰρ δριμύτερον, ἢ ἁλμυρότερον, ἢ ἄλλως πως δακνῶδες ἐγχρονίζον, καὶ τὰς κατὰ φύσιν τῶν βλεφάρων ἀποφθείρει τρίχας. ποτὲ μὲν οὖν ἐπὶ ταύτης τῆς διαθέσεως, χρώμεθα τῇ ἀναρραφῇ, ποτὲ δὲ ἐπὶ τῆς φαλαγγώσεως, ὅταν ὁ ταρσὸς ἔσω νεύει στρεφομένης αὐτῷ τῆς τῶν τριχῶν φάλαγγος. ἄλλοτε δὲ κἀπὶ τῶν κεχαλασμένων βλεφάρων. ὅταν αἱ κατὰ φύσιν τρίχες τὸν βολβὸν ἐπινύττωσιν. καθέδριον τοίνυν σχηματίσαντες τὸν κάμνοντα, ἤτοι ἔμπροσθεν ἡμῶν ἢ ἐξ εὐωνύμων, ἐκτρέψωμεν τὸ ἄνω βλέφαρον. εἰ μὲν μακρὰς ἔχοι τὰς τρίχας, αὐτῶν ἐκείνων τῷ λιχανῷ καὶ μεγάλῳ δακτύλῳ τῆς ἀριστερᾶς ἐπιλαβόμενοι χειρός. εἰ δὲ πάνυ βραχείας. βελόνην ἔχουσαν ῥάμμα διὰ μέσου τοῦ ταρσοῦ, ἔσωθεν ἐπὶ τὰ ἔξω διαπείραντες. εἶτα διὰ τοῦ ῥάμματος ἀνατείναντες τῇ ἀριστερᾷ τὸ βλέφαρον, τῇ δεξιᾷ παρὰ πυρῆνι τῆς σμίλης ὄπισθεν τοῦ ῥάμματος αὐτὸ κολπώσαντες ἐκτρέψωμεν. καὶ δώσωμεν τὴν ὑποτομὴν ἐσωτέρω τῶν νυττουσῶν κατὰ τοῦ ταρσοῦ ἀπὸ τοῦ μεγάλου κανθοῦ διήκουσαν ἄχρι τοῦ μικροῦ. τὸ δὲ ῥάμμα ὑποβάλλοντες μετὰ τὴν ὑποτομὴν, παρ' ἀντίχειρι τῆς ἀριστερᾶς χειρὸς ἀντιβάλλοντες μικρόν τι πτυγμάτιον, ἀνατείνομεν τὴν ὀφρῦν. καὶ ἕτερα δὲ μικρὰ πτυγμάτια τάξαντες ἐν ἄκροις τοῖς κανθοῖς, κελεύσωμεν τῷ ὄπισθεν ἑστῶτι ὑπηρέτῃ δι' αὐτῶν διατείνειν τὸ βλέφαρον. καὶ τότε, διὰ ἀναρραφικοῦ σμιλίου διδοῦμεν πρῶτον τὴν ὀβελιαίαν καλουμένην διαίρεσιν, μικρὸν ἀνώτερον τῶν κατὰ φύσιν τριχῶν, ἀπὸ κανθοῦ διήκουσαν ἐπὶ κανθόν. βάθος δὲ ὡς μόνον τὸ δέρμα διαιρεθῆναι. καὶ μετ' αὐτὴν, τὴν μηνοειδῆ παράγομεν, ἀρχόμενοι μὲν ὅθεν καὶ ἡ ὀβελιαία ἤρξατο, ἐπὶ τοσοῦτον δὲ ὕψος φερόμενοι, ὡς ὅλον τὸ περιττὸν περιγραφῆναι δέρμα. καὶ τελευτῶντες ὁμοίως ἔνθα κἀκείνη. εἶτα τοῦ περιγραφέντος ἐκ τῶν δύο διαιρέσεων δέρματος μυρσινοειδοῦς τυγχάνοντος, τὴν πρὸς τῇ δεξιᾷ ἡμῶν ἀγκίστρῳ πείραντες γωνίαν, ὅλον τοῦτο τὸ δερμάτιον ἀποδείρωμεν. εἶτα τοὺς μώλωπας ἀποσπογγίσαντες, τρισὶν ἢ τέτρασιν ἀφαῖς, τὰ χείλη τοῦ τραύματος συνάγωμεν ἀπὸ τῆς μέσης ἀρχόμενοι. καταπείραντες δὲ τὴν βελόνην ἐν αὐτῇ ὑποτομῇ. τὸ δὲ ῥάμμα ἐξ ὀφρύος ἔσω. κόψαντες δὲ τὸ περισσὸν ῥάμμα μὴ πλησίον τῶν ῥαφῶν, ἀλλ' ὥστε περιττεύειν ὡς τριῶν δακτύλων αὐτοῖς μῆκος.

τὰ

τὰ περιττὰ διανατείναντες κατὰ τὸ μέτωπον, ἐμπλάστρῳ τινὶ τῶν ἐχεκόλλων κολλήσωμεν. τὰς δὲ τοῦ βλεφάρου τρίχας ἀκμῇ βελόνης ἀπὸ τῶν ῥαφῶν ἐλευθερώσωμεν. οὗτος μὲν οὖν ὁ τρόπος τῆς χειρουργίας, κοινός τε καὶ ἀσφαλής. τινὲς δὲ φεύγουσι τὴν ἀποδοράν. διὸ μετὰ τὴν ὑποτομήν, βλεφαροκατόχῳ μυδίῳ, ὅπερ ἐστὶ πρὸς τὴν περιφέρειαν τοῦ βλεφάρου ἐσχηματισμένῳ ἀνατείναντες, τὸ περιττὸν δέρμα σμιλίῳ ἀποκόπτουσιν. καὶ τὰς ῥαφὰς ὡς ἔφημεν ἐπιφέρουσιν. εἰ δὲ ἐν μέρει τινὶ μόνον τοῦ βλεφάρου ἀπὸ τῶν τριχῶν γίνοιτο νυγμός, κατ᾽ ἐκεῖνο καὶ μόνον ποιεῖσθαι προσήκει τὴν χειρουργίαν. ἔπειτα πτυγμάτια βρέξαντες ἐν ὀξυκράτῳ καὶ ἐπιθέντες, ἐπιδήσωμεν, ἐπιβρέχοντες αὐτὰ τῷ ὀξυκράτῳ ὑδαρεῖ, ἄχρι τῆς τρίτης. καθ᾽ ἣν ἐπιλύσωμεν. καὶ κόψαντες τὰ περιττὰ τῶν ῥαμμάτων περιχρίσωμεν ἢ κρόκῳ ἢ γλαυκίῳ τὰ βλέφαρα, ἢ τινὶ τῶν ἀφλεγμάντων κολλυρίων, οἷον κροκώδει διαρόδῳ τινί. εἰ δὲ φλεγμαίνοιεν αἱ ῥαφαί, καὶ ἐμπλάστριόν τι τῶν ἁπαλῶν αὐταῖς ἐπιθήσωμεν. καὶ ὡς γάλακτι ἐγχύτῳ τὸν ὀφθαλμὸν παραμυθησώμεθα. χαυνωθείσας δὲ τὰς ῥαφὰς κόψαντες διασύρωμεν. οἶδα δέ τινα τὴν μὲν ἀποδορὰν τοῦ βλεφάρου ποιούμενον ὡς εἴρηται. ῥαφαῖς δὲ μὴ χρώμενον, ἀλλὰ δι᾽ ἀφουλωτικοῦ φαρμάκου ἀποθεραπεύοντα. συνουλουμένου γὰρ τοῦ τραύματος, τὸ βλέφαρον κατὰ μέρος ἀνατεινόμενον, τὰς τρίχας ἐκτὸς ἠνάγκαζε νεύειν. ὥσπερ οὖν ἕτερός τις οὐδὲ τῇ ἀποδορᾷ τοῦ βλεφάρου, οὐδὲ ταῖς ἐκτὸς δύο χρώμενος διαιρέσεσιν, ἀλλὰ τὴν ὑποτομὴν μόνον διδούς, ἀνέτεινε τοῖς δακτύλοις ἢ δι᾽ ἀγκίστρου τὴν ῥυτίδα τοῦ βλεφάρου. καὶ δυσὶ καλαμίοις ἢ πεταλίοις τισίν, ἴσην ἔχουσι τοῦ βλεφάρου μῆκος, τὸ δὲ πλάτος ὅσον στενοφλεβοτόμου, περιττὸν ὅλον δέρμα μέσον λαβών, διέσφιγγε δεσμῷ αὐτὰ καθ᾽ ἑκάτερα τὰ πέρατα. καὶ οὕτως ὅλον τὸ ὄπισθεν δέρμα μὴ τρεφόμενον, καὶ διὰ τοῦτο νεκρούμενον, ἔσω δεκάτης ἢ πεντεκαιδεκάτης τὸ πλεῖστον ἡμέρας σὺν τοῖς καλαμίοις ἢ πεταλίοις ἐξέπιπτεν, ὡς μήτε σχεδὸν οὐλήν τινα φαίνεσθαι.

Περὶ τῆς διὰ φαρμάκου τῶν βλεφάρων καύσεως. θ.

Τὴν μὲν διὰ καυστικοῦ φαρμάκου τῶν βλεφάρων καῦσιν, ὡς εἰπεῖν ἑνὶ λόγῳ, πάντες οἱ ἀρχαῖοι παρῃτήσαντο, διά τε τὴν ἐκ τοῦ φαρμάκου δριμύτητα τοῖς ὀφθαλμοῖς ἐπιβουλεύουσαν, καὶ ὅτι τῆς καύσεως ὑπὲρ τὸ μέτρον γινομένης τὸ τῶν λαγοφθάλμων γίνεται πάθος. ἐφ᾽ ᾧ κεχηνότων τῶν βλεφάρων ὑπὸ τῆς προστυχούσης αἰτίας, ἡ ὅρασις παραβλάπτεται. ἀλλ᾽ ἐπειδὴ πολλοὶ νυττόμενοι διαπαντὸς ὑπὸ τῶν τριχῶν, τῆς ἀναρραφῆς οὐδὲ ὄνομα πολλάκις ἀκοῦσαι δυνάμενοι κατέχουσιν ἡμᾶς ἄκοντας πολλάκις, ὡς ἐν ἀπόροις, τὴν διὰ τοῦ φαρμάκου καῦσιν εὐποροῦμεν. ἔστι μὲν σύνθεσις τοῦ φαρμάκου τοιάδε τίς ἐστιν. ἀσβέστου μ΄ β΄. σάπωνος γαλλικοῦ ἢ κοινοῦ μ΄ β΄. τινὲς καὶ ἀφρονίτρου μ΄ δ΄. λεῖα ποιήσαντες στακτῇ κονίᾳ ἢ σαπωναρικῇ, ἢ ἑτέρᾳ συκίνῃ ἢ δρυΐνῃ, οὔρῳ παιδὸς ἀφθόρου ἀναλαβόντες, διὰ πυρηνοσμήλης ἐπιβάλλωμεν τῷ βλεφάρῳ μυρσινοειδεῖ σχήματι, τοσοῦτον μέγεθος ἐπικαίοντες, ὅσον ἂν καὶ ἐν τῇ ἀναρραφῇ περιείλομεν. ἐπιφλεχθέντος δὲ κατὰ τὴν πρώτην ἐπιβολὴν τοῦ δέρματος, τοῦτον ἀφελόντες σπόγγῳ, δεύτερον αὖθις ἐπιβαλοῦμεν ἐάσαντες αὐτῷ μένειν ἄχρι μελάνσεως. εἰ δὲ μὴ μελανθείη, καὶ τρίτον ἐπιβλητέον. μελανθέντος δὲ τοῦ δέρματος, καὶ ἤδη λοιπὸν ἐσχάρας γενομένης, ἀποπλύναντες τὸ φάρμακον, λουτροῖς τε καὶ ἀντλήμασιν ἄχρι τῆς ἀποπτώσεως τῆς ἐσχάρας χρησώμεθα. μεθ᾽ ἣν ξυστοῖς τε μοτταρίοις καὶ κολλυρίοις ἁπαλοῖς τὴν ἀπούλωσιν ποιεῖσθαι προσήκει.

Περὶ λαγοφθάλμων. ι.

Λαγοφθάλμους καλοῦσι τοὺς τὸ ἄνω βλέφαρον ἀνεσπασμένον ἔχοντας. τοῦτο δὲ γίνεται τὸ πάθος, ἢ φυσικῶς, ἢ ἐξ οὐλῆς τραύματος. καὶ τούτου ἢ αὐτομάτως ἢ ὑπὸ ἀναρραφῆς ἢ καύσεως, ὡς ἀρτίως ἐλέγομεν, ἀφυῶς γεγενημένης. ἐφ᾽ ἧς καὶ μόνον μετρία δύναται γενέσθαι διόρθωσις, πάχος ἱκανὸν ἔχον τὸ βλέφαρον. δεῖ γὰρ αὐτὴν τὴν οὐλὴν ἐπιδιελόντα, καὶ διαστήσαντα τὰ χείλη διὰ μοτοῦ, καὶ δεσμῷ πάντως ἄχρι τελείας ἀποθεραπείας χρῆσθαι, μὴ τοῖς ἄγαν ξηραίνουσι χρώμενον. ἀλλὰ τοῖς χαλαστικωτέροις λιπάσμασιν. οἷός ἐστιν ὅ, τε τοῦ τήλεως χυλὸς προσαντλούμενος, καὶ τὸ βασιλικὸν τετραφάρμακον ἔμμοτον ἀναλελημμένον.

Περὶ καταρραφῆς καὶ τῆς διὰ φαρμάκου καύσεως. ια.

Ὅσοις τῶν τριχῶν τὸ ἄνω βλέφαρον ὑποπέπτωκεν πάθεσι, τούτοις καὶ τὸ κάτω. καὶ γὰρ μεῖζον ἑαυτοῦ γινόμενον ἐκτρέπεται, καὶ φαλάγγωσιν ὑπομένει, καὶ δυστυχίαν. τῷ οὖν αὐτῷ κἀνταῦθα τῇ ἀναρραφῇ χρηστέον τρόπῳ, κατὰ τὴν ἀντίστροφον τάξιν. πρῶτον διδόντα τὴν μηνοειδῆ τομήν, διὰ τὸν ἐκ τοῦ αἵματος παραποδισμόν. εἶτα τὴν ὀβελιαίαν. τὴν δὲ ὑποτομὴν παραιτητέον. ὅτι τῷ συμφύτῳ βάρει τὸ κάτω βλέφαρον ἑτοίμως ἐκτρέπεται. καὶ τὴν ἄλλην δὲ θεραπείαν ὡς ἐπ᾽ ἀναρραφῆς, πλὴν οὐ τῶν ῥαμμάτων τὰς ὑπεροχὰς ἐν τῷ μετώπῳ κολλητέον. εἰ δὲ κἀνταῦθα τὴν χειρουργίαν φεύγοντες τὴν διὰ φαρμάκου μᾶλλον αἱροῦνται καῦσιν, καὶ ταύτην ἤδη παρειλήφας.

Περὶ ἐκτροπίων. ιβʹ.

Ὥσπερ ἐπὶ τοῦ ἄνω βλεφάρου τὸ λαγόφθαλμον πάθος, οὕτως ἐπὶ τοῦ κάτω τὸ ἐκτρόπιον γίνεται, πλὴν οὐκ ἐκ φύσεως. ἀλλὰ ποτὲ μὲν διὰ χάλασιν, ὑπὸ τῶν ταύτην ἐργάζεσθαι πεφυκότων φαρμάκων, φλεγμονῆς προηγησαμένης. ποτὲ δὲ διὰ καταρραφὴν ἢ καῦσιν ἄτεχνον ἐκτρέπεται τὸ βλέφαρον. βελόνην τοίνυν λαβόντες λίνον διπλοῦν ἔχουσαν, διαπείρωμεν τὸ σάρκωμα ἀπὸ τοῦ ἀριστεροῦ κανθοῦ, ἐπὶ τὸν δεξιὸν αὐτὴν παράγοντες, εἶτα τοῖς πέρασιν αὐτοῦ ἀμφοτέροις τὸ λίνον προσάψαντες ἀνατείνωμεν τὸ σάρκωμα διὰ τῆς βελόνης, καὶ οὕτως αὐτὸ σμιλίῳ ἐκτέμωμεν, συναφαιροῦντες αὐτῷ καὶ τὴν βελόνην. καὶ εἰ μὲν ἀναλάβοι τὸ σχῆμα τὸ βλέφαρον καὶ ἔσω τραπείη, ἀρκούμεθα τῇ χειρουργίᾳ. εἰ δὲ ἔτι ἐκτρέποιτο μετὰ τὴν ἀφαίρεσιν τῆς σαρκός, τὸν κυαθίσκον τῆς σμίλης ἤτοι τὸ ὀξὺ ὑποβάλλομεν τῷ τμηθέντι βλεφάρῳ, καὶ κατὰ τὸ ἔσωθεν μέρος τοῦ βλεφάρου δόντες δύο διαιρέσεις, τὰς ἀρχὰς ἐχούσας ἀπὸ τῶν δύο γωνιῶν τῆς γενομένης τομῆς, εἰς ὀξύ τι φέρομεν. καὶ ταύτας εἰς ἓν ἀγαγόντες τῷ λάβδα στοιχείῳ παραπλήσιον ἀφαιροῦμεν σωμάτιον, ὡς εἶναι τὸ μὲν ὀξὺ αὐτοῦ κάτω πρὸς τῷ ὀφθαλμῷ, τὸ δὲ πλατὺ ἄνω πρὸς τῷ λεγομένῳ ταρσῷ. καὶ μετὰ τοῦτο, τὰ διεστῶτα βελόνῃ συναγάγωμεν ὀρίου ἐχούσῃ ῥάμμα, δύο ῥαφαῖς ἀρκούμενοι. Εἰ δὲ διὰ καταρραφὴν ἢ καῦσιν τὸ ἐκτρόπιον εἴη γεγονός, καὶ ὑπὸ κάτω τῶν τριχῶν τοῦ βλεφάρου κατ' αὐτὴν τὴν πρώτην οὐλήν, ἁπλῆν δώσωμεν τομήν. καὶ τὰ χείλη διαστήσαντες, διαμοτώσωμεν. καὶ τοῖς λοιποῖς ὡς ἐπὶ λαγοφθάλμων χρησόμεθα, πλὴν πυρειῶν, ἄχρις οὗ κολληθῇ τὸ ῥαφέν.

Περὶ ἀναβροχισμοῦ καὶ τῆς διὰ σιδήρου καύσεως. ιγʹ.

Ἐφ' ὧν οὐκ εἰσὶν ἐν τῷ βλεφάρῳ πολλαὶ τρίχες νύττουσαι τὸν ὀφθαλμόν, ἀλλ' ἄχρι μιᾶς ἢ δυοῖν, ἢ τό γε πλεῖστον τριῶν, σύνεγγυς ἀλλήλων, τὸν ἀναβροχισμὸν δοκιμάζομεν. βελόνην οὖν λαβόντες ἰσχνοτάτην, διείρομεν διὰ τοῦ ὠτὸς αὐτῆς τριχὸς γυναικείας ἢ ἁπλουστάτου κλωνὸς βύσσου, τὰ δύο ὁμοῦ πέρατα συναγαγόντες, ὥστε διπλῆν ἔχειν τὸ ἐνειρόμενον ἀγκύλην. ἕτερόν τε κλῶνα τοιοῦτον ἢ τρίχα διὰ τῆς ἀγκύλης ἐμβάλωμεν. διείραντές τε τὴν βελόνην κατὰ τοῦ ταρσοῦ ἔνθα φαίνονται αἱ παραπεφυκυῖαι τρίχες, καὶ διὰ μηλωτίδος τὴν τρίχα ἢ τὰς τρίχας ἐνθέντες εἰς τὴν ἀγκύλην ἀνέλξομεν. καὶ ἐὰν μὲν ἡ τοῦ βλεφάρου θρὶξ εἰρχθῇ, ἀνασπῶμεν τὴν ἀγκύλην. ἐὰν δὲ ἐκπέσῃ ἡ μία ἢ πλείους διὰ τῆς ἐμβεβλημένης ἀρχῆς, αὖθις κατασπῶμεν τὴν ἀγκύλην, καὶ πάλιν ἐνθέντες τὴν τρίχα ἢ τὰς τρίχας, ἀνέλκωμεν. εἰ δὲ μία μόνον εἴη θρὶξ ἡ νύττουσα τὸν ὀφθαλμόν, ἰσχνή, καὶ ἑτέραν αὐτῇ τῶν βλεφαρίδων συναναπῶμεν, χρίσαντες αὐτὰ ἢ κόμμι ἢ ἕτερόν τι κολλῶδες. καὶ ἐπιδήσωμεν ἄχρι συμφύσεως τῆς τριχός. τινὲς δὲ τὴν καῦσιν μᾶλλον τοῦ ἀναβροχισμοῦ προτιμῶντες, ἐκτρέπουσι τὸ βλέφαρον. καὶ ἀνασπάσαντες τριχολαβίῳ τὴν νύττουσαν τρίχα, εἴτε μίαν εἴτε δύο ἢ καὶ γʹ. διὰ πυρήνου ἢ μηλωτίδος, ἤ τινος τοιούτου λεπτοῦ ὀργάνου πεπυρωμένου ἔργουσι τῷ τόπῳ, ὅθεν ἡ θρὶξ ἢ αἱ τρίχες ἐκομίσθησαν. οὕτω γὰρ πυκνωθέντος τοῦ δέρματος, οὐδ' ἑτέρα θρὶξ ἐκφύεται.

Περὶ ὑδατίδων. ιδʹ.

Ἡ μὲν ὑδατίς, οὐσία τίς ἐστι πιμελώδης ὑπεστρωμμένη τῷ τοῦ βλεφάρου δέρματι κατὰ φύσιν. ἐπί τινων δὲ καὶ μάλιστα παιδίων ὡς ὑγροτέρων αὐξανομένη, συμπτωμάτων αἰτία γίνεται, φορτίζουσα τὸν ὀφθαλμὸν καὶ διὰ τοῦτο ῥευματίζουσα. τὰ βλέφαρα γοῦν αὐτοῖς ὑπὸ τὰς ὀφρῦς ὑδαλέα φαίνεται, μὴ δυνάμενα κατὰ τὸ πρέπον ἄνω ἐπαίρεσθαι. αὐτε τοῖς δακτύλοις ἐπιθλίψαντες αὐτὰ διαστήσομεν τοὺς δακτύλους, ἐμφυσᾶται τὸ μεταξύ. κατὰ δὲ τὸν ὄρθρον μάλιστα ῥευματίζονται, μηδὲ κατὰ τὰς ἡλιακὰς αὐγὰς ἀντιβλέπειν δυνάμενοι, ἀλλ' ὅμως δακρύοντες. καὶ συνεχέσι δὲ περιπίπτουσιν ὀφθαλμίαις. σχηματίσαντες τοίνυν οἰκείως τὸν κάμνοντα, τοῖς δυσὶ δακτύλοις λιχανῷ τε καὶ τῷ μέσῳ, μικρὸν ἀποδιεστῶσι τὸ βλέφαρον πιλήσωμεν, συναγωγήν τινα τῆς ὑδατίδος πρὸς τὴν μεσότητα τῶν δακτύλων ποιούμενοι. τῷ δὲ ὄπισθεν ἑστῶτι καὶ τὴν κεφαλὴν στηρίζοντι κελεύσωμεν ὑπηρέτει, κατὰ τὸ μέσον τῆς ὀφρύος ἀνατείνειν μετρίως τὸ βλέφαρον. καὶ λαβόντες αὐτοὶ φλεβότομον, διέλωμεν αὐτὸ κατὰ μέσον ἐγκαρσίως, μὴ μείζονα τῶν ἐν ταῖς φλεβοτομίαις ποιούμενοι τὴν διαίρεσιν. τὸ δὲ βάθος, ὡς ὅλον τὸ δέρμα διελεῖν ἢ καὶ αὐτῆς τῆς ὑδατίδος ἅψασθαι. προσέχοντες ἀκριβῶς τοῦτο. πολλοὶ γὰρ βαθύτερον πήξαντες, ἢ τὸν κερατοειδῆ διεῖλον χιτῶνα, ἢ πάντως γε μυότρωτον εἰργάσαντο τὸ βλέφαρον. καὶ δὴ εἰ μὲν εὐθὺς ἡ ὑδατὶς προφανῇ, ταύτην ἐξελκύσωμεν. εἰ δὲ μή, καὶ αὖθις ἐπιδιέλωμεν ἠρεμαίως. ταύτην δὲ προφανεῖσαν δι' ὀθονίου μαλθακοῦ τοῖς δακτύλοις ἐπιλαβόμενοι, τῇδε κἀκεῖσε, καὶ ποτὲ καὶ κατὰ περιαγωγήν, κινοῦντες ἐξελκύσωμεν. καὶ μετὰ τὴν κομιδὴν πτύγμα δεύσαντες ὀξυκράτῳ, καὶ ἐπιθέντες, ἐπιδήσωμεν. τινὲς δὲ καὶ λείους ἅλας διὰ

τοῦ πυρῆνος τῆς σμίλης ἐπενεχθέασιν ἐν τῇ διαιρέσει, διὰ τὸ ἔτι περιλελεῖφθαι τῆς ὑδατίδος ἐκτήκειν αὐτό. μετὰ δὲ τὴν ἐπίλυσιν, ἀφλεγμάντους μὲν ὄντας αὐτοὺς κολλουρίοις περιχρίσοις ἢ λυκίῳ, ἢ γλαυκίῳ, ἢ κρόκῳ, ἀποθεραπεύσωμεν. φλεγμαίνοντας δὲ, τοῖς πρὸς τοῦτο καταπλάσμασιν καὶ ἄλλοις βοηθήμασιν, ἰασώμεθα.

Περὶ συμφυῶν βλεφάρων. ιε.

Σύμφυσιν ὑπομένει τὸ ἄνω βλέφαρον, ποτὲ μὲν πρὸς τὸν κάτω ταρσόν. ποτὲ δὲ πρὸς τὸν ἐπιπεφυκότα. ποτὲ δὲ καὶ πρὸς αὐτὸν τὸν κερατοειδῆ. δυσεργῇ τε τὸν ὀφθαλμὸν ἀποτελεῖ τὸ νόσημα. δεῖ οὖν ἢ μηλωτίδα ὑποβαλόντα τῇ εὐρυχωρίᾳ τοῦ βλεφάρου, ἢ ἀγκίστρῳ ἀνατείναντα πτερυγοτόμῳ, τὴν πρόσφυσιν ἀπολύειν. φυλαττόμενον μὴ τρωθῇ ὁ κερατοειδής. ἵνα μὴ προπτώσεως ἐκ τούτου πρόφασις γένηται. μετὰ δὲ τὴν ἐκτομὴν, τὸν ὀφθαλμὸν ἐγχυματίσαντες μοτηρίοις, τὰ βλέφαρα διαστήσωμεν ὑπὲρ τοῦ μὴ πάλιν γίνεσθαι τὴν σύγχυσιν. καὶ ὠοβραχὲς ἔριον ἐπιθέντες, μετὰ τὴν τρίτην τοῖς λεπτῶσι καὶ ἀφλοῦσι χρησώμεθα κολλουρίοις.

Περὶ χαλαζίων. ιϛ.

Τὸ χαλάζιον σύστασίς ἐστιν ἀργοῦ ὑγροῦ κατὰ τὸ βλέφαρον. ὅπερ εἰ μὲν πρὸς τῇ ἐκτὸς ἐπιφανείας τοῦ βλεφάρου ὑποπίπτει. διελόντες ἐγκαρσίως ἔξωθεν σμηλίῳ τὸ βλέφαρον, ἔπειτα μηλωτίδι ἢ τοιούτῳ τινὶ, κομισώμεθα τὸ χαλάζιον. καὶ μεγάλης μὲν οὔσης ἢ καὶ σεσηρείας τῆς διαιρέσεως, ῥαφῇ τὰ χείλη συνάγωμεν, καὶ ἐμπλαστρίῳ χρησώμεθα. μικρᾶς δὲ, τὴν ῥαφὴν ὑπερθέμενοι ὁμοίως ἀποθεραπεύσωμεν. εἰ δὲ ἔνδοθεν εἴη τὸ χαλάζιον, ὥστε διὰ τοῦ χονδρώδους αὐτὸ διαυγάζεσθαι, ἐκστρέψαντες τὸ βλέφαρον καὶ διελόντες ἐγκαρσίως ἔσωθεν, αὐτὸ κομισάμενοι τῷ διὰ ἅλμης ἐγχύματι χρησώμεθα.

Περὶ ἀκροχορδόνων καὶ ἐγκανθίδων. ιζ.

Τὰς δὲ περὶ τὸ βλέφαρον ἀκροχορδόνας, καὶ περὶ τὸν μέγαν κανθὸν ἐγκανθίδας λεγομένας, τῷ κολάβῳ κρατήσαντες, σμηλίῳ τε ἀποτεμόντες, ἐπιθῶμεν λειωθεῖσαν τὴν χαλκῖτιν.

Περὶ πτερυγίων. ιη.

Ὑμένος μέν ἐστι νευρώδους, ἀπὸ τοῦ μεγάλου κανθοῦ τὸ ἐπίπαν τὴν ἀρχὴν δεξαμένου, καὶ κατὰ μικρὸν ἐπὶ τὰ εἴσω ἕρποντος, τοῦτο συμβαίνει τὸ πάθημα. βλάπτει δὲ τὸν ὀφθαλμόν. τῷ τε κωλύειν τῇ συνολκῇ, τοῦ βολβοῦ τὴν κίνησιν. καὶ τῷ, προκόπτον ὅλην ἐπικαλύπτειν τὴν κόρην. εὐιατώτερα οὖν ὄντα τὰ λεπτομερῆ καὶ λευκανθίζοντα, χειρουργοῦμεν οὕτως. διαστείλαντες τὰ βλέφαρα, τὸ πτερύγιον ἀγκίστρῳ μικροκαμπεῖ ἀναδεξάμενοι, ἀνατείνομεν. βελόνην δὲ λαβόντες ἔχουσαν κατὰ τὸ οὖς ἱππίαν τρίχα καὶ λίνον ἰσχυρὸν, ἐπικαμφθεῖσάν τε μικρὸν, κατὰ τὸ ἄκρον ὡδὶ τὸ μέσον τοῦ πτερυγίου καταπείρωμεν. καὶ τῷ μὲν λίνῳ τὸ πτερύγιον ἐκδήσαντες, μετέωρον ἀνατείνωμεν. τῇ δὲ θριχὶ, τὸ πρὸς τῇ κόρῃ μέρος αὐτοῦ ὥσπερ διαπρίζοντες, ὑποδείρωμεν ἄχρι περάτος. τὸ δὲ λοιπὸν αὐτοῦ τὸ πρὸς τῷ μεγάλῳ κανθῷ, ἀναρραφίσκῳ σμηλίῳ ἐκτέμωμεν ἐκ βάσεως, καταλιμπάνοντες τὸ φυσικὸν τοῦ κανθοῦ σαρκίον. ἵνα μὴ ῥοιὰς ἐπαρθέντος αὐτοῦ γένηται. τινὲς δὲ τῷ λίνῳ ἀνατείναντες ὡς εἴρηται, πτερυγοτόμῳ, τὸ ὅλον ἀποδέρουσι πτερύγιον, φυλαττόμενοι τοῦ κερατοειδοῦς ἅψασθαι χιτῶνος. μετὰ δὲ τὴν χειρουργίαν ὀλίγους ἅλας λείους ἐμβαλόντες εἰς τὸν τόπον, ὠοβραχὲς ἔριον ἐπιδήσωμεν. μετὰ δὲ τὴν ἐπίλυσιν, ἐπὶ πολὺ τὴν ἅλμην αὐτοῖς ἐνστάξομεν. εἰ δὲ φλεγμονὴ παρακολουθήσῃ, τοῖς πρὸς ταύτην ἀναγεγραμμένοις χρησώμεθα βοηθήμασιν.

Περὶ σταφυλωμάτων. ιθ.

Τὸ μὲν σταφύλωμα. κύρτωσίς ἐστι τοῦ κερατοειδοῦς χιτῶνος ἀνιόντος σὺν τῷ ῥαγοειδεῖ, ποτὲ μὲν διὰ ῥευματισμὸν, ποτὲ δὲ δι' ἕλκωσιν. χειρουργοῦμεν δὲ αὐτό. οὐχ ἵνα τὴν ὅρασιν ἀπολωλυῖαν ἀνακαλεσώμεθα, τοῦτο γὰρ ἀδύνατον. ἀλλ' ἵνα μετρίαν εὐπρέπειαν τῷ πάσχοντι χαρισώμεθα. δεῖ οὖν βελόνην κάτωθεν ἐπὶ τὰ ἄνω διὰ τῆς βάσεως τοῦ σταφυλώματος καταπείραντα, ἑτέραν βελόνην, διπλοῦν ἔχουσαν λίνον, ἀπὸ τοῦ κατὰ τὴν χεῖρα κανθοῦ, ὡδὶ τὸν ἕτερον διὰ τῆς βάσεως τοῦ σταφυλώματος, διενεγκεῖν. καὶ μενούσης τῆς πρώτης βελόνης, κόψαντα τὴν διπλόην τοῦ λίνου, τοῦ σταφυλώματος τὸ μὲν ἐπὶ τὰ ἄνω, τὸ δὲ ὡδὶ τὰ κάτω τοῖς ῥάμμασιν ἐκδῆσαι. καὶ τότε τὴν βελόνην ἀφελόντα, ὠοβραχὲς ἔριον ἐπιθεῖναι. μετὰ δὲ τὴν ἐπίλυσιν, προσηνέσιν ἐγχυματισμοῖς παραμυθεῖσθαι τὸν ὀφθαλμὸν, ἄχρις ἂν ἀποπτώσεως τῶν ῥαμμάτων ἅμα τῷ σταφυλώματι.

Περὶ ὑποπύου ὀφθαλμοῦ. κ.

Περὶ δὲ τῶν ὑποπύων ὀφθαλμῶν, ἀρκέσει τοῦ Γαληνοῦ παραθέσθαι τὴν λέξιν ὧδέ πως ἔχουσαν. τῶν καθ' ἡμᾶς δέ τις ὀφθαλμικῶν ἴσος ὄνομα, καὶ διὰ κατασείσεως τῆς κεφαλῆς, πολλοὺς

τῶν ὑποπύων ἐθεραπεύσαμεν. καθίζων μὲν αὐτοὺς ὀρθίους ἐπὶ δίφρου, περιλαμβάνων τὴν κεφαλὴν ἑκατέρωθεν ἐκ τῶν πλαγίων. εἶτα διασείων οὕτως, ὥστε ὁρᾶν ἡμᾶς ἐναργῶς κάτω χωροῦν τὸ πύον. ἔμενε δὲ κάτω, καίτοι τῶν ὑποχυμάτων μὴ μενόντων, εἰ μὴ πάνυ τις ἀκριβῶς αὐτὰ σφηνώσειε διὰ τὸ βαρὺ τῆς οὐσίας. καὶ παρακαλῶν πάλιν ὁ αὐτός φησι. πολλάκις δὲ πύον ἀθρόως ἐκενώσαμεν, διελόντες τὸν κερατοειδῆ μικρὸν ὑπεράνω τοῦ χωρίου καθ' ὃ συμφύονται πρὸς ἀλλήλους ἅπαντες οἱ χιτῶνες. ὀνομάζουσι δὲ ἔνιοι μὲν ἶριν. ἔνιοι δὲ στεφάνην τὸ χωρίον. ταῦτα μὲν ὁ Γαληνὸς ἐν τῷ τῆς θεραπευτικῆς μεθόδου φησὶ γράμματι. μετὰ δὲ τοῦ πύου τὴν ἀπόκρισιν, τοῖς διὰ μελικράτου ἢ τηλομέλιτος ἀνακαθαίροντες τὸ ἕλκος ἐγχυματισμοῖς, ἀκολούθως τὴν λοιπὴν ἐφαρμόσωμεν θεραπείαν.

Περὶ ὑποχυμάτων. κα.

Ὑπόχυμά ἐστιν ἀργοῦ ὑγροῦ σύστασις ἐπὶ τὸν κερατοειδῆ χιτῶνα κατὰ τὴν κόρην, ἐμποδίζουσα τὸ ὁρᾶν, ἢ τὸ τρανῶς ὁρᾶν. γίνεται δὲ μάλιστα διὰ ψύξιν τε καὶ ἀσθένειαν τοῦ ὀπτικοῦ πνεύματος. καὶ διὰ τοῦτο γέρουσι μᾶλλον καὶ τοῖς μακρὰν νόσον νοσήσασι. συμβαίνει δὲ καὶ διὰ βίαιον ἔμετον, καὶ διὰ πληγὴν, καὶ δι' ἄλλας πλείονας αἰτίας. ἀλλὰ περὶ μὲν τῶν ἔτι μελετωμένων ὑποχυμάτων, μηδὲν τῇ χειρουργίᾳ προσηκόντων, ἐν τῷ τρίτῳ λέλεκται βιβλίῳ. νῦν δὲ τὰ τελείαν σύστασίν τε καὶ πῆξιν εἰληφότα χαρακτηρίσομεν. ἅπαντες μὲν οὖν οἱ ὑποχυθέντες, αὐγὴν ὁρῶσιν ἢ πολλὴν ἢ ὀλίγην. ταύτῃ τοι καὶ τῆς ἀμαυρώσεώς τε καὶ γλαυκώσεως τὰ ὑποχύματα χωρίζομεν, οὐδὲ τὴν αὐγὴν τὸ σύνολον ὁρόντων τῶν ἀμαυρωθέντων τε καὶ ἀπογλαυκωμένων. οὐκοῦν πάλιν ὁ Γαληνὸς διδάξει τήν τε πῆξιν καὶ τὴν διαφορὰν τῶν ὑποχυμάτων, καὶ ποῖα τούτων ἐστὶ χειρουργητέα. συγκλείσαντες τὸν ὀφθαλμὸν τὸν ὑποκεχυμένον, καὶ τῷ μεγάλῳ δακτύλῳ θλίβοντες τὸ βλέφαρον πρὸς τὸν ὀφθαλμὸν, καὶ παράγοντες αὐτὸ μετὰ περιπιεσμοῦ τῇδε κἀκεῖσε. ἔπειτα ἀνοίγοντες καὶ κατανοοῦντες τῷ ὀφθαλμῷ θεωρήσωμεν τὸ ὑπόχυμα. ἐπὶ μὲν γὰρ τῶν μηδέπω πεπηγότων, χύσις τὶς ἐκ τῆς θλίψεως τοῦ δακτύλου προσγίνεται. καὶ κατὰ μὲν τὸ πρῶτον πλατύτερον φαίνεται, αὖθις δὲ εἰς τὸ οἰκεῖον ἀνατρέχει σχῆμα καὶ μέγεθος. ἐπὶ δὲ τῶν πεπηγότων, οὐδὲ μία παραλλαγὴ οὔτε κατὰ πλατύτητα οὔτε κατὰ σχῆμα ἐκ τῆς παραθλίψεως ἀπαντᾷ. ἐπειδὴ δὲ κοινόν ἐστιν τοῦτο τεκμήριον τῶν τε μετρίως πεπηγότων καὶ ὑπερπεπηγότων, τῇ χροιᾷ διακρινοῦμεν ταῦτα. τὰ μὲν γὰρ σιδηρίζοντα, ἢ κυανόχροια, ἢ μολυβδώδη ἐμφαίνοντα χρῶμα, τῶν συμμέτρως πεπηγότων ἐστὶ, καὶ πρὸς καταγωγὴν ἐπιτήδεια γίνεται. τὰ δὲ γυψοειδῆ καὶ χαλαζώδη, τῶν ὑπερπεπηγότων ὑπάρχουσιν. ἐπεὶ οὖν ταῦτα μεμαθήκαμεν παρὰ τοῦ Γαληνοῦ. καθίσαντες τὸν ἄνθρωπον πρὸς αὐγὴν χωρὶς ἡλίου, καταδήσωμεν ἐπιμελῶς τὸν ἀπαθῆ ὀφθαλμόν. καὶ διαστείλαντες τοῦ ἑτέρου τὰ βλέφαρα, διϊστῶμεν ἀπὸ τῆς καλουμένης ἴριδος πρὸς τῷ μικρῷ κανθῷ ὅσον πυρῆνος μήλης τὸ μέτρον, καὶ τότε προτυποῦμεν τῷ τοῦ παρακεντητηρίου πυρῆνι τὸν μέλλοντα παρακεντεῖσθαι τόπον. ἐπὶ μὲν τοῦ εὐωνύμου ὀφθαλμοῦ, τῇ δεξιᾷ χειρὶ ἐνεργοῦντες. ἐπὶ δὲ τοῦ δεξιοῦ, τῇ εὐωνύμῳ. καὶ ἀναστρέψαντες τὴν ἀκμὴν, στρογγύλην κατὰ τὸ πέρας ὑπάρχουσαν τοῦ κεντητηρίου, ὠθοῦμεν εὐτόνως διὰ τοῦ προτετυπωμένου μέρους, ἄχρι κενεμβατήσεως φθάνωμεν. μέτρον δέ σοι γινέσθω τῆς ἐπὶ τὸ βάθος φορᾶς, ὅσον ἀπὸ τῆς κόρης ἐπὶ τὴν ἶριν ὑπάρχει διάστημα. ἄνωθεν οὖν κατὰ κορυφὴν τοῦ ὑποχύματος τὸ παρακεντητήριον ἄγοντες, ὁρᾶται δὲ ὁ χαλκὸς προφανῶς διὰ τὴν διαφάνειαν τοῦ κερατοειδοῦς χιτῶνος, καταγάγωμεν δὴ αὐτοῦ εἰς τοὺς ὑποκειμένους τόπους τὸ ὑπόχυμα. καὶ εἰ μὲν εὐθὺς κατενεχθείη, ἐπιμένωμεν ἠρεμοῦντες ὀλίγον. εἰ δὲ ἀναπλεύσει, πάλιν αὐτὸ καταγάγωμεν. μετὰ δὲ τὴν καταγωγὴν τοῦ ὑποχύματος, κομίζομεν τὸ παρακεντητήριον κατὰ περιστροφὴν ἠρεμαίως. καὶ μετὰ τοῦτο λύσαντες ὕδατι βραχὺ καππαδοκικῶν ἁλῶν, τὸν ὀφθαλμὸν ἐγχυματίσωμεν. καὶ ἐπιθέντες ἔξωθεν ἔριον λευκῷ ᾠοῦ σὺν ῥοδίνῳ δευθὲν, ἐπιδήσωμεν. συνεπιδέοντες καὶ τὸν ὑγιῆ, διὰ τὸ μὴ συγκινεῖσθαι. καὶ κατακλίναντές τε ἐν οἰκίσκῳ κατωγείῳ τὸν κάμνοντα, κελεύσωμεν παντοίως ἠρεμεῖν. λεπτῶς διαιτῶντες, ἄχρις ἑβδόμης ἐπιδεδεμένον, εἰ μή τι κωλύοι. μεθ' ἣν λύσαντες, ἀποπειραθῶμεν τῆς ὁράσεως, παραδεικνύντες αὐτῷ τινὰ τῶν ὁρατῶν. ὅπερ ἐν τῇ χειρουργίᾳ, ἢ μετὰ τὴν χειρουργίαν εὐθέως ποιεῖν παραιτησώμεθα, διὰ τὸ ἐκ τῆς βιαίας ἀτενίσεως ἑτοίμως αὖθις ἀναπλεῖν τὸ ὑπόχυμα. εἰ δὲ φλεγμονή τις κατεπείγοι, καὶ πρὸ τῆς ἑβδόμης λύσαντες, πρὸς ταύτην ἀγωνισώμεθα.

Περὶ αἰγίλωπος. κβ.

Ὁ μὲν αἰγίλωψ, ὄγκος ἐστὶν ἀποστηματώδης, μεταξὺ τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινός. δυσίατον δὲ τὸ πάθος, διά τε τῶν σωμάτων τὴν λεπτότητα, καὶ τὴν τῆς πρὸς τὸν ὀφθαλμὸν συμπα

θείας

θείας φόβον. εἰ μὲν οὖν πρὸς τὴν ἐπιφάνειαν ἐῤῥάγη τὸ ἀπόστημα, περιελοῦμεν πᾶν τὸ ἐπανεστηκὸς ἄχρι ὀστοῦ. καὶ εἰ πρὸς μῆλον ὑποπίπτοι ἡ ὑποφορὰ, πᾶσαν αὐτὴν ἐξαπλώσωμεν. καὶ ἀδιάφθορον μὲν ἔτι μένον τὸ ὀστοῦν ξέσωμεν. διεφθορότος δὲ, πυρηνοειδέσι καυτηρίοις διακαύσωμεν, σπόγγον ψυχρῷ διάβροχον ἐπιθέντες τῷ ὀφθαλμῷ. τινὲς δὲ μετὰ τὴν ἐκτομὴν τῶν σαρκῶν, τρυπάνῳ χρησάμενοι, τὸ ὑγρὸν ἢ τὸ πῦον εἰς τὴν ῥῖνα μετήγαγον. ἡμεῖς δὲ τῇ καύσει μόνον ἠρκέσθημεν, ἐπὶ τοσοῦτον καιόντων τοῖς αἰγιλωπικοῖς καυτηρίοις, ὥστε λεπίδα ἀποστῆναι. καὶ μετὰ τὴν καῦσιν, τῷ φακομέλιτι ἢ τῷ σιδιωτῷ, καὶ τοῖς λοιποῖς ξηραίνουσι τῶν βοηθημάτων χρησώμεθα. εἰ δὲ πρὸς τὸν κανθὸν ὁ αἰγίλωψ ῥέπει, καὶ πρὸς τὴν ἐπιφάνειαν μηδὲ ὅλως. τηνικαῦτα πτερυγοτόμῳ ἢ φλεβοτόμῳ τὸ μεταξὺ τοῦ κανθοῦ σῶμα πρὸς τὸ ἀπόστημα ἀπολύσαντες, σάρκας ἐκ τοῦ βάθους ἀναγάγωμεν, καὶ τότε μετρίως ὑποξηραίνωμεν. ὕαλος δὲ χνοώδης ἐπιπαττομένη τούτοις θαυμασίως ξηραίνει. καὶ ἀλόη μετὰ μάννης ὁμοίως. τὴν δὲ λοιπὴν τῶν αἰγιλώπων φαρμακείαν ἐν τῷ τρίτῳ βιβλίῳ παραδεδώκαμεν.

Περὶ ἀκουστικῶν πόρων ἀτρίτων. κγ.

Τοῦτο τὸ πάθος ἐκ γενετῆς συνίσταται, ὑμένος τινὸς τὸν ἀκουστικὸν ἐμφράττοντος πόρον, ποτὲ μὲν κατὰ τὴν ἐπιφάνειαν, ποτὲ δὲ καὶ ἐν βάθει. καὶ ὕστερον ἐπιγίνεται προηγησαμένης κατὰ τὸν πόρον ἑλκώσεως. ὑπερσάρκωμα γὰρ ἐπιφυὲν ἐμφράττει αὐτόν. εἰ μὲν οὖν διὰ βάθους ὁ ἐμποδίζων ὑμὴν εἴη, δυσχερὴς ἡ ἐγχείρησις. πειρατέον δὲ ὅμως λεπτῷ τινὶ ὀργάνῳ τοῦτον διατέμνειν. εἰ δὲ περὶ τὴν ἐπιφάνειαν, τῷ σκολοπομαχαιρίῳ τοῦτον διελόντες, εἰ χρεία, καὶ περιέλωμεν. εἰ δέ γε σαρκὸς ἐπίφυσις εἴη, καὶ ταύτην πτερυγοτόμῳ ἢ τῷ πολυπικῷ σπαθίῳ περιέλωμεν. εἶτα στρεπτὸν ἐκ ῥάκους πρὸς τὴν εὐρυχωρίαν τοῦ πόρου ποιήσαντες, βρέξωμεν ἐν ὕδατι, καὶ περικυλίσαντες λείᾳ χαλκίτιδι ἢ τοιούτῳ τινὶ ξηρῷ, καθήσωμεν εἰς τὸν πόρον, ὑπὲρ τοῦ μὴ πάλιν γενέσθαι τὴν σάρκωσιν. εἰ δὲ φλεγμαίνοιεν, ταχέως αὐτὸ λάβομεν. αἱμοῤῥαγοῦντος δὲ τοῦ πόρου, σπόγγον ὕδατι ψυχρῷ δεύσαντες ἐπιθήσωμεν. καὶ τοῖς ἄλλοις προσφόρως χρησώμεθα.

Περὶ τῶν ἐμπιπτόντων εἰς τὸν ἀκουστικὸν πόρον. κδ.

Ἐμπίπτει τοῖς ὠσὶν, οὐ μόνον λιθίδια, ἀλλὰ καὶ ὕαλος, καὶ κύαμοι. καὶ τὰ τῶν κερατίων ὀστέα. ὕαλος μὲν οὖν καὶ λιθίδια, ἐν τῷ οἰκείῳ μεγέθει φυλάττονται μένοντα. κύαμοι δὲ καὶ τὰ τῶν κερατίων ὀστέα, καὶ ὅσα τοιαῦτα, τῇ φυσικῇ νοτίᾳ τοῦ σώματος ἐκφυσώμενα μεγίστας ὀδύνας ἐπιφέρει. δεῖ οὖν ἢ μηλωτίδι ἢ ἀγκίστρῳ ἢ τριχολάβῳ ταῦτα ἐκβάλλειν. ἢ κατατάσει βιαίᾳ τῆς κεφαλῆς, ἐπί τινος κύκλου τοῦ ὠτὸς ἐντιθεμένου. καὶ διὰ καλαμίσκου δὲ ταῦτα πολλάκις ἐξειλκύσαμεν ἐκμυζώντων, καὶ τὸ ἐμπεσὸν κατὰ τὴν ἀκοὴν ὕδωρ ὁμοίως, κηρῷ τὸ πέριξ τοῦ καλαμίσκου τὸ πρὸς τῷ ὠτὶ περιφράξαντες, πρὸς τὸ μηδαμόθεν γίνεσθαι πάροδον τῷ πνεύματι. τὰ δὲ λιθάρια καὶ τοὺς τοιούτους ὄγκους ἐξειλκύσαμεν, εἰλίσαντες ἔριον περὶ μηλωτίδα, καὶ βάψαντες ῥητίνῃ τερεβινθίνῃ, ἢ τινι τῶν ἐχεκόλλων, καὶ καθέντες ἠρεμαίως εἰς τὸν ἀκουστικὸν πόρον. εἰ δὲ μὴ ὑπακούοι, πταρμικὸν ἐνθεὶς ταῖς ῥισὶ, τὸ στόμα καὶ τοὺς ῥώθωνας ἔμφραττε. εἰ δὲ μηδενὶ τούτων ὑπακούοι, πρὶν ἢ φλεγμονὰς καὶ σπασμοὺς καὶ κίνδυνον ἁπλῶς ἐπακολουθῆσαι, διὰ χειρουργίας αὐτὰ κομισώμεθα. σχηματίσαντες τοίνυν τὸν πάσχοντα, τοῦ ὠτὸς ἀπεστραμμένου, πρὸς τῇ βάσει αὐτοῦ ὄπισθεν τοῦ καλουμένου λοβοῦ διαιρέσει μηνοειδεῖ μικρᾷ χρησώμεθα. καὶ τῷ κυαθίσκῳ τῆς μηλωτίδος ἐξέλωμεν τὸν ἐγκείμενον ὄγκον. μετὰ δὲ τὴν ἐξαίρεσιν ῥαπτέσθω τὸ τραῦμα. καὶ τῇ ἐναίμῳ ἀγωγῇ θεραπευέσθω.

Περὶ πολύπων. κε.

Ὁ πολύπους, ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ταῖς ῥισὶ συνιστάμενος, ὠνομασμένος ἀπὸ τῆς τοῦ θαλαττίου πολύποδος ἐμφερείας, ὅτι τε τῇ ἐκείνου προσέοικε σαρκί. καὶ ὅτι ταῖς ἰδίαις πλεκτάναις ὥσπερ ἐκεῖνος ἀμύνεται τοὺς θηρεύοντας, ἀπολαμβάνων τὰς χεῖρας αὐτῶν. οὕτω καὶ τὸ πάθος τοῦτο τῶν νοσούντων ἐμφράττει μυκτῆρας, δυσεργίαν παρέχων κατά τε τὴν ἀναπνοὴν καὶ τὴν διάλεκτον. τοὺς μὲν οὖν σκληροὺς καὶ ἀντιτύπους καὶ ὑποπελίους καὶ κακοήθεις πολύπας, ὡς ἂν ἤδη τὸ καρκινῶδες ῥέψαντας, παραιτητέον. τοὺς δὲ ψαφαρωτέρους τε καὶ χαύνους καὶ ναρκώδεις καὶ μὴ κακοήθεις, ὑπακτέον τῇ χειρουργίᾳ. καθέδριον τοίνυν τὸν ἄνθρωπον πρὸς ἡλιακὴν ἀκτῖνα σχηματίσαντες, καὶ τοῦ ῥινὸς τὸν πόρον διὰ τῆς ἀριστερᾶς χειρὸς ἐκπετάσαντες, τῇ δεξιᾷ χειρὶ πολυπικῷ σπαθίῳ τῷ μυρσινοειδεῖ ἀκμαίῳ, κατὰ κύκλον τὸν πόλυπα ἄχρι τὸ σάρκωμα περιτέμωμεν, καθ' ἃ μέρη προσπέφυκε τῇ ῥινὶ κατ' ἐκεῖνα τὴν ἀκμὴν ἐνθέντες τοῦ σιδήρου. μετὰ δὲ ταῦτα τὸ ὄργανον ἀντιστρέψαντες, τῷ κυαθίσκῳ αὐτοῦ, τὸ ἀποτετμημένον σαρκίον ἔξω κομισώμεθα. καὶ εἰ μὲν καθαρὸν τῆς ῥινὸς τὸν πόρον γενόμενον ἴδοιμεν, ἤδη τὴν θεραπείαν ἀρχώμεθα. εἰ δὲ ὑπολίποι τό τι σῶμα τοῦ πολύποδος, λα-

βόντος ἑτέρου πολυποξύστῃ διὰ τοῦ ἐπάκμου αὐτοῦ ξυστηρίου τὸ περιλελειμμένον σῶμα μετὰ τάσεως καὶ στροφῆς καὶ ξύσεως εὐτόνως κομισώμεθα. τοὺς δὲ κακοήθεις διακαίομεν πυρηνοειδέσι καυτηρίοις. καὶ μετὰ τὴν καῦσιν, τῇ πρὸς τὰ διακεκαυμένα θεραπείᾳ χρώμεθα. μετὰ δὲ τὴν χειρουργίαν σπογγίσαντες ἀκριβῶς, ὀξύκρατον ἢ οἶνον εἰς τὰς ῥῖνας ἐγχέομεν. καὶ εἰ μὲν διαβαίνοι τὸ ὑγρὸν διὰ τῆς ὑπερῴας παρὰ τὴν φάρυγγα, καλῶς ἔχει τὰ τῆς χειρουργίας. εἰ δὲ μὴ διαβαίνοι, δῆλον ὡς ὅτι περὶ τὰ ἠθμοειδῆ ὀστᾶ, ἢ ἐν τοῖς ἀνωτάτω τῆς ῥινὸς εἰσὶ σαρκώματα, μὴ καταλαμβανόμενα τοῖς πολυπικοῖς ὀργάνοις. λίνον οὖν παχὺ μετρίως ὅσον σφήκωμα, ὡς ἀπὸ δυοῖν ἢ τριῶν δακτύλων κονδύλοις καταδήσαντες ἐνείρωμεν διαπυρείνου τρήματι. καὶ τὸ ἕτερον πέρας τοῦ διαπυρείνου διὰ τῆς ῥινὸς ἐμβάλωμεν ἄνω πρὸς τοὺς ἠθμοειδεῖς πόρους. καὶ διὰ τῆς ὑπερῴας αὐτὸ καὶ τοῦ στόματος διεκβάλλοντες, διασύρομεν ταῖς δύο χερσὶν ὥσπερ διαπρίζοντες τοῖς κονδύλοις τὰ σαρκώματα. καὶ μετὰ τὴν χειρουργίαν ἐλλυχνιωτῷ μοτῷ, τὸν πόρον ἐν διαστάσει φυλάξαντες, μετὰ τὴν τρίτην διὰ μυσῶ τροχίσκῳ, καὶ τοῖς παραπλησίοις, τὰ ἐγκαταλειφθέντα δαπανήσωμεν. ἅμα τε καὶ τὸν τόπον ξηραίνοντες. ὕστερον δὲ καὶ τοῖς ἀφυλωτικοῖς χρησώμεθα τροχίσκοις, μολίβδινα σωληνάρια ταῖς ῥισὶν εἰ δεήσει παρὰ πᾶσαν τὴν θεραπείαν ἐφαρμόζοντες.

Περὶ κολοβωμάτων. κϛ.

Τὰ δὲ κολοβώματα τὰ περὶ τὸ οὖς ἢ τὰ χείλη, μεθοδεύεται πρῶτον μὲν ὑποδερόντων ἡμῶν κάτωθεν τὸ δέρμα. μετὰ δὲ τοῦτο συναγόντων ἀλλήλοις τὰ χείλη τῶν τραυμάτων, ἀφαιρούντων τε τὸ τετυλωμένον, ἔπειτα ῥαπτόντων τε καὶ κολλώντων.

Περὶ ἐπουλίδων καὶ παρουλίδων. κζ.

Ἡ μὲν ἐπουλὶς σαρκός ἐστιν ὑπεροχὴ κατά τινα τῶν ὀδόντων ἐπὶ τοῖς οὔλοις γινομένη. ἡ δὲ παρουλίς, ἀποστημάτιον κατὰ τὰ οὖλα γινόμενον. τὴν μὲν οὖν ἐπουλίδα, σαρκολάβῳ ἢ ἀγκίστρῳ ἐκκρεμάσαντες ἀποτέμωμεν. τὴν δὲ παρουλίδα, κατὰ περιγραφὴν ἐκτεμόντες διαμοτώσωμεν. οἶδα δὲ πολλάκις καὶ φλεβοτόμῳ νύξας αὐτὴν μόνον, καὶ τοῦ πύου κενωθέντος ἀπαυσαμένην. μετὰ δὲ τὴν χειρουργίαν οἴνῳ κελεύσαντες διακλύζεσθαι, τῇ ἑξῆς μελικράτῳ, καὶ μετὰ ταύτην διὰ ἀνθηρῷ ξηρίῳ τὸ τραῦμα καταπλάσσωμεν, ἕως τελείας ἀποθεραπείας. εἰ δὲ σηπεδὼν ἐπιγινομένη τοῖς οὔλοις διὰ τῶν προσφόρων φαρμάκων μὴ θεραπεύηται, πυρηνοειδέσι καυτηρίοις ταύτην διακαύσωμεν.

Περὶ ἐξαιρέσεως ὀδόντων. κη.

Περιχαράξαντες ἕως φατνίου τὸν ὀδόντα, τῇ τε ὀδοντάγρᾳ κατὰ μικρὸν διασείσαντες ἐξελκύσωμεν. εἰ δὲ βεβρωμένος εἴη, λεπτῷ μοταρίῳ πρότερον δεῖ τὸ βρῶμα αὐτοῦ ἀποσφηνοῦν, ἵνα μὴ θραύηται ὑπὸ τοῦ ὀργάνου σφιγγόμενος. μετὰ δὲ τὴν ἀφαίρεσιν, ἁλσὶ λεπτοτάτοις τὰ περιλειφθέντα σαρκία ἐμπάσαντες ἀποτήξωμεν. ὕστερον δὲ οἴνῳ, ἢ ὀξυκράτῳ διακλυζέσθωσαν, ἄχρις ἀποθεραπείας. ἐπειδὴ δὲ καὶ περιττοί τινες ὀδόντες παραφύονται. τοὺς μὲν προσπεφυκότας τῷ φατνίῳ, διὰ τῶν σμιλιωτῶν ἐκκόψωμεν. τοὺς δὲ μὴ προσπεφυκότας, διὰ τῆς ὀδοντάγρας κομισώμεθα. εἰ δὲ ὑπεραυξηθείη τις τῶν ὀδόντων, ἢ καὶ ἀποθραυσθείη ποτέ, ῥιναρίῳ τὸ ἔξοχον ἢ τὸ περιττὸν αὐτοῦ δαπανήσωμεν. καὶ τὰς προσκειμένας αὐτοῖς, ὡς εἰκός, λεπίδας, διὰ κυαθίσκῳ τῆς σμίλης ἢ ξυστηρίῳ ἢ τῷ ῥιναρίῳ διακαθάρωμεν.

Περὶ ἀγκυλίων ἐν γλώσσῃ. κθ.

Τὸ ἀγκυλόγλωσσον πάθος. ποτὲ μὲν ἐκ φύσεως γίνεται, τῶν κατεχόντων τὴν γλῶσσαν ὑμένων σκληροτέρων καὶ κολοβωτέρων ἐξ ἀρχῆς γενομένων. ποτὲ δὲ ἐξ ἐπικτήτου, διά τινα οὐλὴν σκληροτέραν ὑπ' αὐτῆς ἐξελκώσεως γενομένην. οἱ μὲν οὖν ἐκ φύσεως τὸ πάθος ἔχοντες, τῷ τε βραδέως ἄρξασθαι τοῦ διαλέκτου καὶ διὰ τοῦ ὑπὸ τῇ γλώσσῃ δεσμὸν πλείονα τοῦ συμμέτρου φαίνεσθαι μὴ προηγησαμένης ἑλκώσεως διαγινώσκονται. οἱ δὲ ἐξ ἐπικτήτου τὴν οὐλήν, σαφῶς φαινομένην ἔχουσι. καθέδριος οὖν ὁ πάσχων σχηματιζέσθω, καὶ τὴν γλῶτταν ὡς τὴν ὑπερῴαν μετεωριζέτω, καὶ τεμνέσθω ὁ νευρώδης ἐκεῖνος δεσμὸς ἐγκαρσίως. εἰ δὲ δι' οὐλήν τινα τὸ ἀγκύλιον γέγονεν, ἀγκίστρῳ καταπείραντες ἐξελκύσωμεν ἄνω τὸν τύλον. καὶ δῶμεν πλαγίαν διαίρεσιν, ἀπολύοντες τὴν ἀγκύλην. φεύγοντες δὲ τὴν διὰ βάθους τῶν σωμάτων τομήν, αἱμορραγίας γὰρ δυσεπισχέτους ἤνεγκε πολλάκις. μετὰ δὲ τὴν χειρουργίαν, ὕδατι ψυχρῷ ἢ ὀξυκράτῳ διακλυζέσθωσαν. καὶ μετὰ ταῦτα τῇ χαλαστικῇ τε καὶ συσαρκωτικῇ θεραπευέσθωσαν ἀγωγῇ.

Περὶ ἀντιάδων. λ.

Καθάπερ οἱ ἀποσκιρρωθέντες ἀδένες, χοιράδες προσαγορεύονται, οὕτως καὶ τὰ παρίσθμια φλεγμήναντα καὶ ὑπεραυξηθέντα, καὶ οἷον ἀποξηρανθέντα, δυσχρησίαν τε παρέχοντα τῇ

τε

τε καταπόσει καὶ τῷ πνεύματι ἐξ ἐναντίας ἀλλήλων τεταγμένα, ἀντιάδες ἐκλήθησαν. φλεγμαινούσας μὲν οὖν ταύτας χειρουργεῖν παραιτησώμεθα. παυσαμένας δὲ μετρίως τοῦ φλεγμαίνειν, χειρουργήσωμεν. καὶ μάλιστα τὰς λευκάς τε καὶ συνεστραμμένας καὶ στενὴν τὴν βάσιν ἐχούσας. ὡς αἵγε πλαδαραὶ καὶ ὑπερυθεῖς, καὶ τὴν βάσιν ἔχουσαι πλατεῖαν, δυσαιμόρραγητοι καθεστᾶσι. καθισάντων τοίνυν τὸν ἄνθρωπον πρὸς αὐγὴν ἡλίου, καὶ χαίνειν κελευσάντων, ὑπηρέτου διακρατοῦντος τὴν κεφαλήν. ἑτέρου τε τῷ γλωσσοκατόχῳ τὴν γλῶσσαν πρὸς τὴν κάτω πιέζοντος γένυν, αὐτοὶ λαβόντες ἄγκιστρον καταπείρωμεν εἰς τὴν ἀντιάδα, καὶ ἐξέλκωμεν αὐτὴν ἐφ' ὅσον δυνάμεθα, χωρὶς τοῦ συνεφελκύσαι τοὺς ὑμένας. ἔπειτα τέμωμεν αὐτὴν ὅλην ἐκ βάσεως τῷ κατὰ χεῖρα ἀγκυλοτόμῳ. δύο γάρ εἰσιν ὄργανα τοιαῦτα, ἀντιτόμους ἔχοντα τὰς ἐπικάμψεις. μετὰ δὲ τὴν ἐκτομὴν τῆς μιᾶς, καὶ ἐπὶ τῆς ἑτέρας τὸν αὐτὸν τρόπον ἀντιστρόφως ἐνεργήσομεν. μετὰ δὲ τὴν χειρουργίαν, ὕδατι ψυχρῷ ἢ ὀξυκράτῳ ἀναγαργαριζέσθω ὁ πάσχων. εἰ δέ τις αἱμορραγία προσγίνοιτο, καὶ βάτου ἢ ῥόδων καὶ μυρσίνων ἀποζέματι χλιαρῷ χρήσθωσαν. εἰ δὲ πλῆθος αἵματος φέρει, καὶ ἀρνογλώσσου καὶ συμφύτου χυλόν, καὶ τὸν διὰ ἠλέκτρου τροχίσκον, καὶ τὴν λημνίαν λύσαντες σφραγίδα ὀξυκράτῳ παραλαμβάνωμεν διακλύζεσθαι. παυσαμένης δὲ τῆς αἱμορραγίας, τῇ ἑξῆς ῥοδίων ἄνθει καὶ κρόκῳ καὶ ἀμύλῳ σὺν γάλακτι διαχριέσθωσαν σὺν ὕδατι ἢ ὠοῦ τῷ λευκῷ, ἢ ὑδρορροσάτῳ. ῥύπου δὲ προσγινομένου τοῖς ἕλκεσι, καὶ τοῖς διὰ μέλιτος διακλύσμασί τε καὶ διαχρίσμασι χρήσθωσαν.

Περὶ σταφυλῆς. λα.

Ὁ γαργαρεὼν ὥσπερ τι πλῆκτρον τῆς φωνῆς ὑπάρχων, δέχεται πολλάκις ἀπὸ τῆς κεφαλῆς ῥεῦμα. καὶ παρὰ φύσιν αὐξηθείς, ἐπιμήκης μὲν καὶ λεπτὸς γεγονώς, κίων προσαγορεύεται. παχὺς δὲ κάτωθεν καὶ περιφερής, σταφυλή. ἑκάτερον δὲ ἀπὸ τῆς ὁμοιότητος. ἐὰν οὖν μὴ δυνηθῇ ταῖς καθολικαῖς, λέγω δὴ ταῖς διὰ φλεβοτομίας τε καὶ καθάρσεως ὑπαγούσαις κενώσεσι, μηδὲ μὴν τοῖς τοπικοῖς, στυπτικοῖς τε καὶ ἀποκρουστικοῖς, ἢ καὶ διαφορεῖν δυναμένοις ὑπεῖξαι βοηθήμασιν, ἤδη τῇ χειρουργίᾳ ἀφικνούμεθα. διὰ τὸ μὴ τοῖς συνεχέσιν ἐρεθισμοῖς, βῆχάς τε καὶ ἀγρυπνίας, ἔσθ' ὅτε δὲ καὶ πνιγμὸν, ἐπακολουθῆσαι. τὰς μὲν οὖν συνεσταλμένας τε καὶ περιφερεῖς, καὶ οὐκ ἐπιμήκεις καὶ διαίμους, ἢ ὑπομελαίνας, χειρουργῆσαι παραιτησώμεθα. τὰς δὲ λεπτὰς καὶ ἐπιμήκεις καὶ μειούρους κατὰ τὸ ἄκρον καὶ περιττωμένας, καὶ αἱματώδεις οὐκ ἄγαν ἀλλ' ὑπολευκαινομένας, χειρουργητέον. εὐθὺς γὰρ συμβαίνει ταύτας εἶναι καὶ ἀφλεγμάντους, τοσοῦτον δὲ μόνον τῆς σταφυλῆς ἀφαιρετέον ὅσον ὑπερέχει τοῦ κατὰ φύσιν. καὶ γὰρ αἱ εἰς τέλος αὐτοῦ ἀποκοπαί, βλάπτουσιν ἐσχάτως τὰ περὶ τὸν θώρακα πάντα χωρία, καὶ ἀφώνους ἀπεργάζονται. καθέδριον τοίνυν σχηματίσαντες τὸν κάμνοντα πρὸς ἡλιακὴν ἀκτῖνα, κελεύσαντές τε μέγα χαίνειν, σταφυλάγρᾳ ἢ μυδίῳ τὸ περιττὸν ἐκπιάσαντες καὶ πρὸς τὸ κάτω μέρος ἑλξαντες, ἀποκόψωμεν σταφυλοτόμῳ, ἢ ἀναρραφικῷ σμιλίῳ. τὰ δὲ μετὰ τὴν χειρουργίαν ὡς ἤδη τῆς ἀγγειοτομίας εἴρηται πραττέσθω. πολλάκις δὲ ἢ διὰ τὴν τοῦ κάμνοντος δειλίαν, ἢ διὰ δέος αἱμορραγίας, ἢ διὰ τὸ ξηρὸν τοῦ φαρμάκου τὸν σίδηρον παραιτούμενοι, καυστικῷ μᾶλλον φαρμάκῳ ταύτην ἐκτήκομεν. δεῖ τοίνυν τὸ ἐν τῇ καύσει τῶν βλεφάρων εἰρημένον, ἢ ἕτερον τοιούτων τρόπων λαβόντα καυστικὸν φάρμακον, πληρῶσαι τούτου τοῦ σταφυλοκαύστου τὰς κοιλότητας, καὶ μεγάλα χαίνειν τῷ ἀνθρώπῳ κελεύσαντες. τήν τε γλῶσσαν διὰ ὑπηρέτου τῷ γλωσσοκατόχῳ πιλήσαντος, ἐφ' ἱκανὸν διηνοιγμένῳ τῷ ὀργάνῳ τοσοῦτον μέρος τῆς σταφυλῆς περιλάβωμεν, ὅσον ἂν καὶ ἀποτέμωμεν. σύστασιν δὲ τὸ φάρμακον ἐχέτω. μήτε ὑγράν, ἵνα μὴ διαρρέον τῆς μὲν σταφυλῆς διαμάρτοι, τὰ δὲ ὑποκείμενα μόρια καταφλέξῃ. διὸ παραγγείλωμεν τῷ ἀνθρώπῳ μὴ καταπίνειν παρ' ὅλον τὸν τῆς καύσεως χρόνον. μήτε παντάπασι σκληράν, ἵνα ῥᾳδίως προσϊζάνοι τῇ σταφυλῇ. καὶ εἰ μὲν ἐκ μιᾶς ἐπιβολῆς μελανθῇ τὸ τῆς σταφυλῆς ἄκρον, ἀρκεσθῶμεν. εἰ δὲ μή, καὶ δὶς χρησόμεθα. δι' ὅλου τοῦ τῆς ἐνεργείας χρόνου κεκυφότος τοῦ κάμνοντος, ὅπως ἔξω τοῦ στόματος ἐκρέοι τὸ ἀποτηκόμενον σίελον, ἅμα τοῖς τοῦ φαρμάκου μορίοις. νεκροῦται μὲν γὰρ ἐν ὥρᾳ μιᾷ. ἐκπίπτει δὲ περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν. μετὰ δὲ τὴν καῦσιν ἐρείῳ μαλακῷ, ἢ στυπείῳ, τὸν λιχανὸν περιελίξαντες δάκτυλον, ἐκμάξωμεν τὰ περὶ τὸν γαργαρεῶνα. ἢ καὶ ὕδατι κελεύσωμεν ἀποκλύσασθαι. τὰ δὲ περὶ τὸν τράχηλον, ταῖς διὰ χαμαιμήλου ἐμβροχαῖς ἐπί τε τούτων καὶ τῶν τὰς ἀντιάδας ἀφῃρημένων διὰ τὴν συμπάθειαν περιθάλψωμεν. καὶ τοῖς ἀναγαργαρίσμασι καὶ διαχρίσμασιν ὁμοίως χρησώμεθα.

Περὶ τῶν καταπαρθεισῶν ἀκανθῶν τῇ φάρυγγι. λβ.

Καταπίνονται πολλάκις ἐν τῷ ἐσθίειν ἄκανθαι ἢ ἰχθύων ἢ ἑτέρων τινῶν, ἐν διαφόροις μέρεσιν. τὰς μὲν οὖν ὑπ' ὄψιν γινομένας, τοῖς ἰδίως ἀκανθοβόλοις προσαγορευομένοις ἐξέλκωμεν. τὰς δὲ κατωτέρω πρὸς αὐτὴν τὴν καταπότραν ἑτέρῳ τρόπῳ. τινὲς μέν φασιν χελώνας

μείζονας ὄγκους καταπίνειν αὐτούς, οἷον καυλὸν θριδάκων, ἢ ψωμοὺς ἄρτων. ἕτεροι δὲ σπογγίου καθαροῦ καὶ ἁπαλοῦ μικρόν τι μέγεθος ἐκδήσαντα λίνῳ κελεύουσι, καταπίνειν. καὶ τοῦ λίνου λαβόμενον αὖθις, ἀνασπᾶν. καὶ τοῦτο ποιεῖν πολλάκις ὅπως ἡ ἄκανθα πρὸς τὸ σπόγγιον ἐμπαρεῖσα ἀνενεχθῇ. ὁ δὲ Λεωνίδης κελεύει καταπλάσμασιν ἔξωθεν χρῆσθαι συμπεπτικοῖς ὁποῖα τὰ διὰ ὠμῆς λύσεως, ἵνα πυοποιηθεῖσα ἡ ἄκανθα, αὐτομάτως ἐκπέσοι. εἰ δὲ παρ' αὐτὴν τὴν ὥραν ἢ καὶ πρὸ τῆς κατὰ γαστέρα πέψεως ἐντύχοιμεν τῷ πεπονθότι, τοῦ καταποθέντος ἀφανοῦς ἡμῖν τυγχάνοντος, ἐμεῖν ἐπιτρέψωμεν ἤτοι δακτύλων ἢ πτερῶν καθέσει. συνανενεχθήσεται γὰρ ἐνίοτε τοῖς ἐμουμένοις τὸ καταποθέν.

Περὶ λαρυγγοτομίας. λγ.

Οἱ τῶν χειρουργῶν ἄριστοι, καὶ ταύτην ἀνέγραψαν τὴν χειρουργίαν. φησὶ γοῦν Ἄντυλλος ὧδε. ἐπὶ μὲν τῶν συναγχικῶν ὡς κατὰ τὸν διαιτητικὸν παραιτώσωμεν τρόπον, ἀποδοκιμάσωμεν τὴν χειρουργίαν, ἀνωφελοῦς γινομένης τῆς διακοπῆς ἐφ' ὧν πᾶσαι αἱ ἀρτηρίαι καὶ ὁ πνεύμων πέπονθεν. ἐπὶ δὲ τῶν περὶ στόμα, καὶ ἀνθερεῶνα τὴν φλεγμονὴν ἐχόντων, ἢ καὶ ἀντιάδων ἐπιπωμαζουσῶν, τὸ τοῦ βρόγχου στόμα. ἀπαθοῦς μὲν οὔσης τῆς ἀρτηρίας εὔλογον χρῆσθαι τῇ φαρυγγοτομίᾳ πρὸς τὸ ἐκφυγεῖν τὸν τοῦ πνιγμοῦ κίνδυνον. ἔπειτα ὅταν ἐν ἔργῳ ὦμεν, κατωτέρω τῆς κεφαλῆς τοῦ βρόγχου, ὅσον ἀπὸ τριῶν αὐτοῦ κύκλων ἢ δ΄ διακόψομεν μέρος τι τῆς ἀρτηρίας, πᾶσαν γὰρ ἐπισφαλὲς διαιρεῖν. ἐπιτήδειον δέ ἐστι τὸ χωρίον τοῦτο διὰ τὸ ἄσαρκον εἶναι, καὶ διὰ τὸ τὰ ἀγγεῖα πόρρω τοῦ διῃρημένου τόπου τεταγμένα ἔχειν. ἀνακλάσαντες οὖν ἐκ τοὐπίσω τὴν κεφαλὴν τοῦ πεπονθότος, ὥστε προφανέστερον γίνεσθαι τὸν βρόγχον, ἐγκαρσίᾳ χρησόμεθα τῇ διαιρέσει μετὰ δύο κύκλων τάσσοντες αὐτήν, ὥστε μὴ χόνδρον ἀλλ' ὑμένα διακόπτεσθαι τὸν συνέχοντα τοὺς χόνδρους. εἰ δέ τις δειλότερος εἴη περὶ τὸ ἐνεργεῖν, ἀγκίστρῳ προανατείνας τὸ δέρμα διαιρείτω. ἔπειτα οὕτως αὐτῷ τῷ φάρυγγι ἐντυγχάνων, καὶ παραστέλλων τὰ ἀγγεῖα, εἰ ἄρα ὑποπίπτει, τὴν τομὴν ἐμβαλλέτω. ταῦτα μὲν ὁ Ἄντυλλος. στοχαζόμενος δὲ τῆς διακοπῆς τοῦ βρόγχου, ἔκ τε τοῦ δι' αὐτοῦ ἐξιόντος πνεύματος μετά τινος ῥωγμοῦ, καὶ τοῦ διακοπῆναι τὴν φωνήν. μετὰ δὲ τὸ παρελθεῖν τοῦ πνιγμοῦ τὴν περίστασιν, τὰ χείλη τοῦ τραύματος νεαροποιήσαντες, ῥαφαῖς χρησώμεθα, τὸ δέρμα μόνον δίχα τοῦ χόνδρου ῥάπτοντες. καὶ ἐναίμῳ χρησώμεθα φαρμάκῳ. εἰ δὲ μὴ κολλήσει, τῇ σαρκωτικῇ χρηστέον ἀγωγῇ. ὁμοίως δὲ τῇ θεραπείᾳ χρησώμεθα, καὶ εἴ τις ἡμῖν περιπέσει, διὰ τὸ ἐπιθυμεῖν θανάτου ἑαυτὸν λαρυγγοτομήσας.

Περὶ ἀποστήματος. λδ.

Ὅτι μὲν τὸ ἀπόστημα φθορὰ καὶ μεταβολὴ σαρκῶν ἤτοι σαρκωδῶν ἐστί, καὶ τίνες οἱ τῆς γενέσεως αὐτοῦ τρόποι, καὶ πόσαι διαφοραὶ τῶν ἀποστημάτων, κατὰ τὸ τέταρτον βιβλίον αὐτάρκως εἴρηται. νυνὶ δὲ τὰ πρὸς χειρουργίαν μόνον περὶ αὐτοῦ λεκτέον. ἐπειδὰν εἰς πύον τελεία γένηται μεταβολή. ταύτην δὲ γινώσκομεν, ἔκ τε τοῦ τὰς ὀδύνας, καὶ τὸν πυρετὸν εἰ προϋπῆρχε, καὶ τὸ ἔρευθος, καὶ τὸν σφυγμόν, καὶ τὰ λοιπὰ τῆς φλεγμονῆς ἐλαττοῦσθαι τὰ σημεῖα. καὶ εἰς ὀξὺ τὸν ὄγκον ἀποκορυφοῦσθαι, καὶ πρὸς τὴν τῶν δακτύλων ἐπέρεισιν τὸ πύον ὑποπίπτειν, ἐπιπολῆς ὄντος μάλιστα τοῦ ἀποστήματος. τηνικαῦτα πρὸς χειρουργίαν τρεπώμεθα. εἰ δὲ μήτε πρὸς τὴν ἀφὴν ὑποπίπτοι, μήτε ἀποκορυφοῖτο διὰ τὸ ἐν βάθει συνίστασθαι, τοῖς ἄλλοις τῆς μεταβολῆς σημείοις προσέχοντες χειρουργήσωμεν. ἰστέον δὲ ὅτι καὶ πρὸ τελείας εἰς πύον μεταβολῆς ἐνίοτε ὠμοτεμοῦμεν αὐτά, διὰ τὸ πλησιάζειν, ἢ ἄρθροις ἢ κυρίοις μορίοις. ἵνα μὴ τῇ ἐπιμονῇ σήψει συνδιαφθείρηται σύνδεσμος ἤ τι τῶν ἀναγκαίων. καὶ τὰ πλησίον δὲ τοῦ δακτύλου ἀποστήματα πρὸ τῆς τελείας πεπάνσεως ὠμοτομεῖν Ἱπποκράτης παρακελεύεται, τὸν εἰς διάτρισιν ὑπολυόμενος φόβον. τέμνωμεν τοίνυν οὐκ ἐπὶ πάντων ὁμοίως διαιροῦντες. ἀλλὰ γραμμαῖς μὲν φυσικαῖς, ὡς ἐπὶ μετώπου. καὶ τριχῶν φυαῖς, ὡς ἐπὶ κεφαλῆς κατακολουθοῦντες, τῆς εὐπρεπείας ὡς ἐνὶ φροντίσωμεν. εὐθυτενῶς δὲ τοῖς κώλοις τέμνοντες, ὡς ἐπὶ μυῶν καὶ τενόντων. νεῦρα τε καὶ ἀρτηρίας καὶ τὰ τῶν μορίων κύρια διαφεύγοντες, τῆς ἀσφαλείας ποιησώμεθα πρόνοιαν, ποτὲ μὲν εὐθυτομοῦντες, ποτὲ δὲ καὶ ἐγκαρσίως διαιροῦντες τὸ ἀπόστημα πρὸς τὴν ἑκάστου χρείαν. ἐπὶ μὲν οὖν τῶν μικροτέρων ἀποστημάτων, μίαν παράγωμεν διαίρεσιν. ἐπὶ δὲ τῶν μεγάλων, πλείονας πρὸς τὸ μέγεθος, πανταχοῦ τὰ λεπτότερα, καὶ πρὸς ὑπόρρυσιν ἐπιτήδεια τέμνοντες. καὶ τὰ μὲν ἐπὶ πλεῖστον ἀποκορυφοῦντα καὶ ἄπεπτα καὶ λεπτὰ καὶ νενεκρωμένα περιέλωμεν, κατὰ τρίγωνον ἢ μυρσινοειδὲς ἢ ἄλλο γωνιωτὸν σχῆμα ποιούμενοι τὴν περιαίρεσιν, τοῦ κυκλοτεροῦς ἀνεπιτηδείου πρὸς ἀφύλωσιν ὑπάρχοντος. τὰ δὲ μὴ ἀποκορυφούμενα, μόνον ἁπλοτομήσωμεν. μέγαν δὲ

τὸν

τὸν κόλπον εὐείσηκοντες. εἰ μὲν σαρκώδες εἴη καὶ οἷόν τε κολληθῆναι τὸ ἐπικείμενον δέρμα, ταῖς κατ᾽ ἀπόῤῥυσιν μόνον χρησόμεθα πρὸς τὸν τόπον διαιρέσεσιν. εἰ δὲ λεπτὸν καὶ λίαν ἄσαρκον, ὅλον κατὰ μῆκος, ἁπλοτομήσωμεν. καὶ μετὰ τὴν ἁπλῆν διαίρεσιν, ἐὰν ἰσχνὰ πάνυ καὶ οὐ σαρκώδη τὰ παρ᾽ ἑκάτερα φαίνοιτο σώματα, περιαιρῶμεν αὐτά. μετὰ δὲ τὴν χειρουργίαν περισπογγίσαντες, μικροῦ μὲν ὄντος τοῦ ἀποστήματος καὶ μιᾶς διαιρέσεως, ἁπλῇ διαμοτώσει χρησώμεθα. μεγάλου δὲ καὶ πλειόνων διαιρέσεων, καὶ διὰ συρτόν τινα λημνίσκον δι᾽ αὐτῶν ἀγάγωμεν. τὰ δὲ περὶ περιαίρεσιν, ὁμοίως μοτῶν πληρώσωμεν. εἰ δὲ αἱμοῤῥαγοῖεν, ὕδατι ψυχρῷ ἢ ὀξυκράτῳ χρηστέον. μενούσης δὲ τῆς αἱμοῤῥαγίας, χαλκῖτιν ἐπιπάσωμεν χνοώδη. καὶ διὰ πλάδαρον δὲ πολλάκις σηπεδόνα, ταύτῃ χρησώμεθα. τὰ δὲ σπλήνια χειμῶνος μὲν ὄντος καὶ νευρωδῶν σωμάτων, οἰνελαίῳ δεύσαντες ἐπιθήσωμεν. θέρους δὲ καὶ σαρκωδῶν σωμάτων, ὑδρελαίῳ ἢ καὶ αὐτῷ τῷ οἰνελαίῳ ψυχρῷ, καὶ ἐπιδήσαντες τῇ ἑξῆς τούτοις τοῖς ὑγροῖς ἐπιβρέξωμεν. περὶ δὲ τὴν τρίτην λύσαντες καὶ περισπογγίσαντες, ἐμμότῳ τετραφαρμάκῳ χρησώμεθα. καὶ εἰ μὲν ἀφλέγμαντον εἴη, τὴν αὐτὴν ἐμβροχὴν μονοφυλάκιον φάρμακον ἐπιθώμεθα. εἰ δὲ φλεγμαίνοι, συμπεπτικὸν ἐπιβάλλωμεν κατάπλασμα, καταντλήμασι πρότερον χρώμενοι. παυσαμένης δὲ τῆς φλεγμονῆς, τῇ πυοποιῷ, εἶτα σαρκωτικῇ θεραπεύσωμεν ἀγωγῇ. καὶ τοὺς κόλπους δὲ, τοῖς κολλητικοῖς ἰασώμεθα φαρμάκοις. ὡς ἐν τῷ τετάρτῳ περὶ κόλπων εἴρηται.

Περὶ χοιράδων. λε.

Αἱ χοιράδες ἀδήν ἐστιν ἐσκιῤῥωμένος, κατά τε τράχηλον καὶ μασχάλας καὶ βουβῶνας ὡς μάλιστα συνισταμένη. τοὔνομα λαβοῦσα ἢ ἀπὸ τῶν χοιράδων πετρῶν, ἢ ἀπὸ τῶν συῶν, ὅτι πολυτόκον ζῶον, ἢ ὅτι πιστώδεις οἱ χοῖροι τραχήλους ἔχουσι. γίνονται δὲ χοιράδες, ἢ κατὰ τὰ ἔμπροσθεν τοῦ τραχήλου, ἢ κατὰ θάτερον αὐτοῦ μέρος, ἢ κατ᾽ ἀμφότερα. καὶ α΄ ἢ δύο, ἢ πλείους. ἅπασαι δὲ ἐν ὑμέσιν ἰδίοις περιέχονται, καθάπερ στεατώματα καὶ ἀθερώματα καὶ μελικηρίδες. αἱ μὲν οὖν ἐπώδυνοί τε καὶ πρὸς ἁφὴν καὶ πρὸς ἐπίθεσιν φαρμάκου χείρους γινόμεναι, κακοήθεις εἰσὶν, ἃς δὴ καὶ καρκινώδεις τινὲς εἰρήκασι. καὶ δῆλον ὡς οὐ πάνυ χειρουργίαις ὑπείκουσι. τὰς οὖν εὐήθεις καὶ πρὸς ἁφὴν καὶ τὴν τῶν φαρμάκων εὔκαιρον χρῆσιν, χειρουργητέον τόνδε τὸν τρόπον. τὰς μὲν ἐπιπολαίους καὶ πρὸς τὸ δέρμα ἑρπούσας, ἁπλῇ διαιρέσει χρησάμενοι, τῶν ἐπικειμένων ἀπολύσωμεν σωμάτων. τά τε χείλη τὸ δέρμα τοῖς ἀγκίστροις διατείναντες ἐξυμενίσωμεν, ὡς ἐπὶ τῆς ἀγγειολογίας ἐλέγομεν, καὶ κατὰ μικρὸν ἀφελώμεθα. τὰς δὲ μείζονας ἀγκίστροις καταπείραντες μετεωρίσωμεν, καὶ ὁμοίως ὑποδέροντες, πανταχόθεν τῶν κατεχόντων αὐτὰς σωμάτων ἐλευθερώσωμεν, φεύγοντες πανταχοῦ τάς τε καρωτίδας ἀρτηρίας καὶ τὰ παλινδρομοῦντα νεῦρα. εἰ δέ τι διαιρεθὲν ἀγγεῖον ἐπισκοτίζοι τῷ ἔργῳ, βρόχῳ διαλάβωμεν αὐτό, ἢ διαπὰξ ἀποτέμωμεν, εἰ μὴ μεγάλα εἴη. καὶ ὅτε εἰς στενὸν ἡ βάσις τῆς χοιράδος ἔλθῃ, ἀποτέμωμεν αὐτὴν εὐφυῶς, καὶ παραπέμψαντες τὸν λιχανὸν δάκτυλον, ἐρευνήσωμεν εἴπου καὶ ἄλλαι παρακείμεναι χοιράδες, καὶ κατὰ τὸν αὐτὸν τρόπον ἀφέλωμεν αὐτάς. εἰ δὲ μέγα τι πολλάκις ἀγγεῖον ἢ καὶ πλείονα περὶ τὸν πυθμένα τῆς χοιράδος ὑποπτεύοιμεν, μὴ ἐκτέμωμεν αὐτὴν ἐκ βάσεως, ἀλλὰ βρόχῳ διαναλάβωμεν, ἵνα τὸ μέρος ἀκινδύνως αὐτόματον ἐκπέσοι. τότε δὴ τῇ ἐμμότῳ θεραπευτέον αὐτοὺς ἀγωγῇ. εἰ δὲ αὐτόθεν ἐκτέμνοιτο, συναγάγωμεν τὰ χείλη. πάντως δὲ τὰς διαιρέσεις ἐπ᾽ ὀρθὸν χρὴ δίδοσθαι. καὶ εἰ μὲν μηδὲν ἔχοιεν περιττὸν, ῥάψωμεν αὐτόθεν. εἰ δὲ ἐκ τοῦ τῆς χοιράδος ὄγκου πλεονάζοι τὸ τοῦ δέρματος, μυρσινοειδὲς αὐτοῦ μέρος ἀφελόντες, χρησώμεθα ταῖς ῥαφαῖς, καὶ φάρμακον ἔναιμον ἐπιβάλλωμεν.

Περὶ στεατωμάτων, καὶ ἀθερωμάτων καὶ μελικηρίδων. λϛ.

Τοῦ γένους ὄντα καὶ ταῦτα τῶν ἀποστημάτων, τούτῳ διαφέρουσιν, ὅτι τὰ μὲν ἰδίως ἀποστήματα καλούμενα, φλεγματώδη τέ ἐστιν καὶ ἐπώδυνα, καὶ δριμέως ὑγροῦ καὶ διαβρωτικοῦ περιεκτικά. καὶ οὐκ ἐν ἰδίῳ ὑμένι περιέχεται ἤτοι χιτῶνι. διαφέρουσι δὲ ἀλλήλων. ὅτι τὸ μὲν ἐν τῷ στεατώματι περιεχόμενον, προσφόρως τῇ ὀνομασίᾳ στέατι παραπλήσιόν ἐστι. τὸ δὲ ἐν τῷ ἀθερώματι, τῇ ἀπὸ τοῦ σίτου ἀθήρᾳ. μέλιτι δὲ παρεοικὸς, ὑγρὸν ἐν τῇ μελικηρίδι. διαγνώσει δὲ αὐτὰ οὕτως. τὸ μὲν στεάτωμα σκληρότερόν ἐστι τῶν ἄλλων, καὶ ἀντιμεθιστάμενον τῇ ἁφῇ. καὶ τὴν βάσιν στενωτέραν ἔχον. ἡ δὲ μελικηρὶς ἁπτομένοις ὥσπερ τι σῶμα χλιαρὸν ὑποπίπτει, καὶ βραδέως μὲν χεῖται, ταχέως δὲ αὖθις στρέφεται. χειρουργοῦμεν δὲ καὶ ταῦτα τὸν ὅμοιον ταῖς χοιράσι τρόπον, ἔν τε τομῇ καὶ ὑποδορᾷ, καὶ ῥαφαῖς, καὶ τῇ λοιπῇ θεραπείᾳ, παραφυλαττόμενοι μόνον τὸ τιτρῶσαι τὸν ὑμένα, διὰ τὸ μή τε τὸ περιεχόμενον ὑγρὸν περιχυθὲν παραποδίζειν τῇ χειρουργίᾳ, καὶ τὸ μοῖραν αὐτοῦ καταλιπεῖν, ὅτι παλιγγενεσίας, πολλὰ μὲν κατὰ καρποὺς καὶ σφυρὰ καὶ τὰ κινούμενα κατάρθρον αἴτια γίνε-

ται. ὥσπερ καὶ χοιρὰς ἢ ὅλη, ἢ μέρος αὐτῆς ἀπολιμπανόμενον. εἰ δέ τι τοιοῦτο καταλειφθείη, κάλλιον μὴ ῥάπτειν, ἀλλὰ σηπτικοῖς φαρμάκοις ἐκδαπανᾶν τὸ ἐγκατάλειμμα.

Περὶ ἀνευρύσματος. λζ.

Τὸ ἀνεύρυσμα, ὄγκος εὐαφής ἐστι καὶ τοῖς δακτύλοις ὑπείκων, ἐξ αἵματός τε καὶ πνεύματος ἔχων τὴν γένεσιν. φησί τε ὁ Γαληνὸς περὶ αὐτοῦ, ἀρτηρίας ἀναστομωθείσης, τὸ πάθος ἀνεύρυσμα καλεῖται. γίνεται δὲ καὶ τρωθείσης, ἐπειδὰν εἰς οὐλὴν μὲν ἀφίκηται τὸ ἐπικείμενον αὐτῇ δέρμα. μένη δὲ τὸ τῆς ἀρτηρίας, μήτε συμφυείσης, μήτε σαρκὶ φραχθείσης. διαγινώσκεται δὲ τὰ τοιαῦτα παθήματα τῷ σφυγμῷ τῶν ἀρτηριῶν. ἀλλὰ καὶ θλιβόντων, ἀφανίζεται πᾶς ὁ ὄγκος, παλινδρομούσης εἰς τὰς ἀρτηρίας τῆς ἐργαζομένης αὐτὸν οὐσίας. ταῦτα μὲν ὁ Γαληνός. ἡμεῖς δὲ διακρίνομεν αὐτὰ ἀπ' ἀλλήλων οὕτως. τὰ μὲν διὰ ἀναστόμωσιν ἀρτηρίας γινόμενα, προμηκέστερα φαίνεται, καὶ ἐν βάθει τὴν σύστασιν ἔχει, καὶ ἐπὶ τὴν τῶν δακτύλων ἐπέρεισιν ὥσπερ ψόφος τις ἀκούεται. οὐδενὸς ἦχου ἐν τοῖς κατὰ ῥῆξιν ἀκουομένου, ἐκεῖνα δὲ περιφερῆ μᾶλλόν εἰσι, καὶ ἐπιπολῆς ὑποπίπτοντα. τὰ μὲν οὖν ἐν μασχάλαις καὶ βουβῶσι καὶ τραχήλῳ γινόμενα, καὶ τῶν ἐν ἄλλοις δὲ τόποις τὰ ὑπερμεγέθη, παραιτησώμεθα χειρουργεῖν, διὰ τὸ μέγεθος τῶν ἀγγείων. τὰ δὲ ἐν τοῖς ἄκροις καὶ τοῖς κώλοις ἢ ἐν κεφαλῇ, χειρουργητέον οὕτως. εἰ μὲν κατ' ἀνευρισμὸν ὁ ὄγκος ἐγένετο, διαίρεσιν εὐθεῖαν ἐμβαλοῦμεν τῷ δέρματι κατὰ μῆκος. ἔπειτα διαστείλαντες ἀγκίστροις τὰ χείλη, καθάπερ ἐπὶ τῆς ἀγγειολογίας ἐλέγομεν, περιδέροντες, καὶ διὰ ὑμενοστηρῶν διακαθαίροντες, γυμνώσομεν τὴν ἀρτηρίαν. καὶ τῇ τῆς βελόνης διαγωγῇ, τῇ τε διὰ τῶν δύο βρόχων ἀπολινώσει χρησάμενοι, νύξαντες πρότερον φλεβοτόμῳ μεταξὺ τῆς ἀρτηρίας, καὶ ἐκκενώσαντες τὸ περιεχόμενον, τῇ πυοποιῷ χρησώμεθα θεραπείᾳ, ἄχρις ἀποπτώσεως τῶν βρόχων. εἰ δὲ κατὰ ῥῆξιν ἀρτηρίας γένοιτο τὸ ἀνεύρυσμα, ἀπολαβεῖν χρὴ τοῖς δακτύλοις σὺν τῷ δέρματι, πᾶν ὅσον δυνατὸν εἴη τοῦ ἀνευρύσματος. ἔπειτα βελόνην διείρειν κατωτέρω τοῦ ἀποληφθέντος, διπλοῦν ἔχουσαν λίνον, καὶ μετὰ τὴν διεκβολὴν ψαλίσαι τὴν ἀγκύλην. καὶ οὕτω τοῖς δυσὶ ῥάμμασιν ἀπολινῶσαι τῇ δὲ κἀκεῖσε τὸν ὄγκον, ὡς ἐπὶ τοῦ σταφυλώματος ἐλέγομεν. εἰ δὲ φόβος εἴη, τῆς τῶν ῥαμμάτων περιολισθήσεως, καὶ ἄλλην διεμβλητέον βελόνην, διὰ τοῦ ὅλου πείρουσαν τὴν πρώτην, ἔχουσαν ὁμοίως ῥάμμα διπλοῦν. καὶ κόψαντες τὴν ἀγκύλην ἐκ τεσσάρων, οὕτω τὸν ὄγκον ἀπολινώσωμεν. ἢ κατὰ μέσον στομώσαντες τὸν ὄγκον μετὰ τὴν ἔκκρισιν τοῦ αἵματος, περιέλωμεν, καταλιπόντες τὸ δεδεμένον. καὶ σπλήνιον ἐπιθέντες ἐξ οἰνελαίου, τῇ ἐμμότῳ χρησώμεθα θεραπείᾳ.

Περὶ βρογχοκήλης. λη.

Ὄγκος ἐπὶ τῷ τραχήλῳ γίνεται μέγας καὶ περιφερὴς ἐκ τῶν ἔνδοθεν μερῶν, ταύτης τῆς προσηγορίας τετυχηκώς. διαφοραὶ δὲ βρογχοκήλης δύο. αἱ μὲν γὰρ αὐτῶν στεατώδεις. αἱ δὲ εὐρυσματώδεις εἰσί. τὰς μὲν οὖν εὐρυσματώδεις, σημειωσώμεθα οὕτω καὶ τὰ ἀνευρύσματα. καὶ ἀπαγορεύομεν παραπλησίως μὲν ἁπάντων ἀνευρυσμάτων, ἐπικίνδυνον ἐχόντων τὴν ἐγχείρησιν. ἐξόχως δὲ τὸν περιτράχηλον. διὰ τὸ τῶν ἀρτηριῶν μέγεθος. τὰς δὲ στεατώδεις, ὁμοίως στεατώμασι χειρουργητέον. διακρίνοντάς τε καὶ ὑπερβαίνοντας τὰ ἀγγεῖα, τὸν αὐτὸν τρόπον ὅνπερ καὶ ἐπὶ χοιράδων ἐλέγομεν.

Περὶ γαγγλίου. λθ.

Συστροφὴ νεύρου τὸ γάγγλιόν ἐστιν, ἐκ πληγῆς ἢ κόπου γινόμενον. τὰ πολλὰ μὲν κατὰ καρποὺς καὶ σφυρά. καὶ τὰ κινούμενα κατ' ἄρθρον σώματα ἀποτελούμενον. γινόμενον δὲ κἂν τοῖς ἄλλοις μέρεσι. παρέπεται δὲ αὐτῷ ὄγκος ὁμόχρους, ἀντίτυπος, ἀναλγής. εἰ δέ τις βιαίως θλίβει, ναρκώδη παρέχει τὴν αἴσθησιν. οὐκ ἐν βάθει τὴν σύστασιν, ἀλλ' ὑπ' αὐτῷ τῷ δέρματι λαμβάνον καὶ ἐπὶ τὰ πλάγια μὲν μεταφερόμενον. εἰ δέ τις βιάζοιτο ἐμπρός τε καὶ ὀπίσω, οὐδαμῶς. τὰ μὲν οὖν ἐν σκέλεσι ἢ βραχίοσιν ἢ τοῖς ἄκροις ἐκτέμνειν οὐκ ἀσφαλές. κίνδυνος γὰρ κυλλὸν γενέσθαι τὸ μόριον. τὰ δὲ κατὰ κεφαλὴν, ἢ μέτωπον, χειρουργοῦμεν διαιροῦντες τὸ δέρμα σμίλῃ. καὶ εἰ μὲν μικρὰ εἴη, σαρκολάβῳ διακρατοῦντες αὐτὰ καὶ ἐκ βάσεως ἀποτέμνοντες. εἰ δὲ μείζονα, ἀγκίστροις καταπείραντες, καὶ κατὰ περιδορὰν ἀφαιρούμενοι, καὶ ῥαφαῖς τὰ χείλη συνάγοντες, καὶ ἐναίμῳ θεραπεύοντες φαρμάκῳ.

Περὶ φλεβοτομίας. μ.

Ὁ τῆς φλεβοτομίας τρόπος, εἰ καὶ πᾶσι ἐστὶν εὔδηλος. ἀλλά γε διὰ τὸ τῆς χειρουργίας ἀνελλιπὲς καὶ τοὺς τεχνικοὺς αὐτοῦ διορισμοὺς, οὐ παρόπτιος ἡμῖν ἔσται. πρῶτος τοίνυν τῆς φλεβοτομίας ἐστὶ σκοπὸς, ἡ τοῦ πλεονάζοντος αἵματος κένωσις. δεῖ τὸν δὲ τὸ πλῆθος τοῦ αἵματος ἀποδέδεικται. ποτὲ μὲν πρὸς τὴν δύναμιν, κἂν μὴ πλήρεις αἱ φλέβες φαίνονται. ἐφ' ὧν ταχέως

ἀσθενεῖς

ἀσθενεῖς τε καὶ ἄτονοι γίνονται, μὴ δυναμένης τῆς φύσεως φέρειν τὸ βάρος, ὥσπερ τι φορτίον.
ποτὲ δὲ πρὸς τὰ περιέχοντα αὐτὸ ἀγγεῖα, ἐν αὐτῷ τῷ παρεγχύματι θεωρούμενον. κἂν ἡ δύ-
μις ἀλύπως αὐτὸ φέροι. ἐφ' ὧν ῥηγνυμένων ἐνίοτε τῶν φλεβῶν, αἵματος πτύσεις ἢ ἕτεραι συμ-
βαίνουσι ῥεύσεις. Τὸ μὲν οὖν πρὸς τὴν δύναμιν πλῆθος, ἐκ τοῦ περὶ τὸ σῶμα διαγνώσῃ βάρους.
τὸ δὲ κατὰ τὰς φλέβας, ἔκ τε τῆς τάσεως καὶ τοῦ φαίνεσθαι πεπληρωμένας αὐτάς. ἄμφω δὲ τὴν
κένωσιν δείκνυται. οὐκοῦν καὶ κατὰ τὴν πρώτην τοῦ νοσήματος ἐνίοτε φλεβοτομήσεις, ἀνάγ-
κης ὑπούσης, μόνην τὴν ἐν τῇ γαστρὶ τῶν σιτίων πέψιν ἢ καὶ τὴν ἐν ἥπατι τελείαν ἐξαιμα-
τωσιν ἐκδεξάμενος. εἰ δὲ δι' ἰδίαν κατ' ἀρχὰς ἡ φλεβοτομία μὴ παραληφθείη, καὶ προσωτέρω
τῆς ἑβδομάδος οὐδὲν ἄτοπον φλεβοτομεῖν, τῆς τε χρείας ἀπαιτούσης καὶ τῆς δυνάμεως οὐκ ἐναν-
τιουμένης. ἐπισκοπεῖσθαι δὲ χρὴ μέλλοντα φλεβοτομεῖν. μὴ πρότερον πολλή τις ἐπίσχεσις ἐν
τοῖς ἐντέροις ἐστί, καὶ κενοῦμεν αὐτὴν πρότερον διὰ μαλθακοῦ κλύσματος, ἵνα μὴ αἱ φλέβες
ἀπὸ τῶν ἐντέρων ἕλξωσι τινὰ σηπεδονώδη τῶν περιττωμάτων οὐσίαν. τοὺς μὲν οὖν διὰ νόσον πα-
ροῦσαν χρῄζοντας τῆς τοῦ αἵματος ἀφαιρέσεως, ἐν ἅπαντι καιρῷ φλεβοτομήσωμεν, τὴν ἀκ-
μὴν μόνον ἐν πυρετοῖς τῶν μερικῶν φυλαττόμενοι παροξυσμῶν. εἰ δὲ συνεχὴς πυρετὸς εἴη,
πάντως ἑωθινὸς καιρὸς ἐστὶν ἐπιτηδειότερος. ὅσοι δὲ μὴ νόσου παρούσης, ἀλλὰ προφυλακῆς
ἕνεκα τὴν τοῦ αἵματος ἐπιζητοῦσι κένωσιν. τούτοις τὸ ἔαρ ἐπιτήδειον. ἐν δὲ ταῖς ἡλικίαις
ἄχρι τεσσαρεσκαίδεκα ἐτῶν ἡ κένωσις παραιτητέα. ὥσπερ αὖ καὶ μετὰ τὸν ἑξηκοστὸν ἐνιαυ-
τόν. εἰ μή τις ἀπαραίτητος ἀνάγκη ἡμᾶς βιάζοιτο. καὶ καθόλου τοὺς ἀσθενεστέραν ἔχοντας
τὴν δύναμιν παραφυλακτέον. ἐπὶ μὲν οὖν τῶν προσφάτως φλεγμαινόντων μορίων, ἐκ τῶν
ἀντικειμένων δεῖ ποιεῖσθαι τὴν κένωσιν. ἐπὶ δὲ τῶν χρονιωτέρων, ἐκ τῶν πλησίων. πολλαχοῦ
μὲν γὰρ τοῦ σώματος φλεβοτομοῦμεν. ὡς ἐπίπολυ δὲ τοῦ ἀγκῶνος ἔνδοθεν. ἀλλὰ προσε-
κτέον, ὅτι τῇ μὲν ἔσω καὶ μασχαλιαίᾳ καλουμένῃ φλεβί, καθόλου μὲν ἡ ἀρτηρία ὑπόκει-
ται. τῇ δὲ μέσῃ, νεῦρον. ἡ δὲ ἄνω καὶ ὠμιαία προσαγορευομένη, παντελῶς ἄφοβος. καὶ ἐπὶ
μὲν τῶν περὶ τὴν κεφαλὴν νοσημάτων, τὴν ὠμιαίαν τέμωμεν. ἐπὶ δὲ τῶν κάτω τοῦ τραχή-
λου, τὴν μασχαλιαίαν. ἐπαμφοτερίζει δὲ ἡ μέση. δεῖ οὖν ταινιδίῳ στενῷ διαδῆσαί τι περὶ
τοὺς μύας τοῦ βραχίονος μέρος, καὶ τῇ πρὸς ἀλλήλας τῶν χειρῶν τρίψει πληρωθεῖσαν τὴν
φλέβα τὴν ἐπιτηδείαν τῇ χρείᾳ διελεῖν ἐπικαρσίως, καθ' ὅλον αὐτῆς τὸ πλάτος μόνον. καὶ
γὰρ αἱ μείζους τούτου, δυσαφούλωτοι. καὶ αἱ στεναὶ λίαν, φλεγμονώδεις, πρὸς τῷ τὴν τοῦ πα-
χυτέρου χυμοῦ κωλύσειν διέξοδον. ἐφ' ὧν δὲ καὶ κατὰ τὴν δευτέραν ἡμέραν καὶ τὴν τρί-
την, ἐνίοτε δὲ καὶ κατὰ τὴν τετάρτην ἐπαφελεῖν ἐλπίζομεν. λοξοτέρως δεῖ τὴν φλέβα διαι-
ρεῖν, ἵνα ἐν τῇ κάμψει τῆς χειρὸς σεσηρυῖα μὴ ταχέως ἀφουλωθῇ, οὕτω γὰρ ἔδοξεν ἀντύλλῳ.
τὸ δὲ ποσὸν τοῦ κενουμένου, τῇ τε ῥώμῃ τῆς δυνάμεως καὶ τῷ μεγέθει μετρείσθω τοῦ νοσή-
ματος. πλήθους οὖν ὑποκειμένου χυμοῦ, καὶ ζεούσης ὕλης, πρὸς ἅπαξ ἄχρι λειποθυμίας κενοῦ-
μεν. ἐρρωμένης δηλονότι τῆς δυνάμεως, λειποθυμοῦντος τοῦ κάμνοντος οὐ διὰ τὸν χυμὸν
ἐν τῷ στομάχῳ παραῤῥυῆναι. διὸ καὶ πρὸ τῆς αὐταρκοῦς κενώσεως πολλοὶ κατ' ἀρχὰς εὐ-
θὺς λειποθυμοῦσιν. ἀλλὰ δεῖ τῷ λόγῳ τῆς κενώσεως γίνεσθαι τέως τὴν λειποθυμίαν. εἰ δὲ πολλῆς
μὲν χρεία κενώσεως, ἡ δὲ δύναμις ἀσθενὴς τυγχάνῃ, ταμιεύεσθαι δεῖ τὴν κένωσιν. καὶ τὴν πρώτην
ἀφαίρεσιν ἐλλιπεστέραν ποιησάμενον, ἀφαιρεῖν αὖθις εἰ δέοι καὶ γ. κενοῦμεν δὲ ὅλον οὐ μό-
νον ἐν πληθωρικῇ διαθέσει γινόμενον, ὥς φησι καὶ ὁ Γαληνός, ἀλλὰ καὶ διὰ μέγεθος τοῦ πά-
θους, ἐν συμμετρίᾳ χυμῶν καθεστηκότος τοῦ παντὸς σώματος. ὥσπερ ἐπὶ τῆς ἐκ ῥινῶν ἢ
ἄλλοθεν αἱμοῤῥαγίας, ὅτι μὴ πλῆθος εἴη ῥεῦσαν. καὶ κενοῦμεν ἀντισπαστικῶς ἐκ τῶν ἀντικειμέ-
νων. οὐ μὴν ἀλλὰ κἀπὶ τῶν ἰσχυρῶς φλεγμαινόντων, καθάπερ ἐπὶ κωλικῶν τε καὶ νεφρῶν
λιθιώντων, ὀφθαλμιῶν τε καὶ τῶν οὕτως ὀξέως κατεπειγόντων. ἡ γὰρ ὀδύνη, καὶ θερμασία
τοῦ φλεγμαίνοντος μέλους, αἰτίαι ῥεύματος γίνονται, κἂν ἀπέριττον ᾖ τὸ σύμπαν σῶ-
μα. χρὴ τοίνυν ἐνδεέστερον αὐτὸ ποιεῖν τηνικαῦτα, κενοῦντα κένωσιν ἥτις ἁρμόττειν φαί-
νηται μάλιστα τῇ τε ἡλικίᾳ, καὶ τῇ φύσει τοῦ κάμνοντος, ἐπισκοποῦντα καὶ τὴν ὥραν καὶ
τὴν χώραν, καὶ τὰ ἔθη τοῦ νοσοῦντος. ἐφ' ὧν δὲ ἐγγὺς τῆς διαιρουμένης φλεβός ἐστί τις φλεγμονὴ
μεγάλη, καθάπερ ἐπὶ πλευριτικῶν τε καὶ ἡπατικῶν, κάλλιστον ἀναμένειν τὴν μεταβολὴν
τοῦ αἵματος ἐν τῇ χροιᾷ καὶ τῇ συστάσει. ἕτερον δέ ἐστι τὸ κατὰ τὴν φλεγμονὴν αἷμα τοῦ κατὰ
φύσιν. ἐπειδὴ θερμαινόμενον ἐπιπλεῖον, εἰ μὲν ἦν ἔμπροσθεν ὠμότερον, ἐρυθρότερόν τε καὶ
ξανθότερον γίνεται. εἰ δὲ τοιοῦτον εἴη ἔμπροσθεν, ἐπὶ τὸ μέλαν ἐκτρέπεται κατοπτώμε-
νον. οὐ μὴν ἐκ παντὸς τρόπου περιμένειν χρὴ τὴν μεταβολήν. ἀλλ' ἔσθ' ὅτε καὶ πρὸ τοῦ
γίνεσθαι παύεσθαι προσήκει διὰ διττὴν τὴν αἰτίαν, ἤτοι δυνάμεως ἀῤῥωστίαν, γνώσῃ δὲ

μάλιστα λυομένην ταύτην τὸν σφυγμὸν ἁπτόμενος, εὑρήσεις γὰρ αὐτοὺς ἀνωμάλους κατὰ σφοδρότητα καὶ μέγεθος, ἢ καὶ ἀμυδρούς. καὶ ὁ τόνος δὲ τῆς ῥύσεως ὀκλάζων, ἀσθενοῦσαν δὲ ἤδη τὴν δύναμιν ἐνδείκνυται. ἢ καὶ διὰ φλεγμονῆς κακοήθειαν. ἐνίοτε γὰρ οὐδὲν μεθίησιν, ἀλλ' ἐσφίγκται σφοδρῶς. εἰ δὲ μηδὲν κωλύει τούτων, ὅ, τε κάμνων ἀκμάζων εἴη, περιμένειν δεῖ τὴν μεταβολὴν, καὶ μᾶλλον εἰ τὸ περιέχον εὔκρατον εἴη. εἰ δὲ τὸ αἷμα πρὸ τῆς αὐταρκοῦς κενώσεως ἐπισχεθείη. τοῦτο δὲ γίνεται ἢ διὰ δειλίαν καὶ λειποθυμίαν, ἢ διὰ θρόμβον, ἢ διὰ βιαίαν τε σφίγξιν, πρὸς ἕκαστον τούτων ἁρμοσώμεθα. τὴν μὲν λειποθυμίαν τοῖς ὀσφραντοῖς ἀνακτώμενοι, τὴν δὲ σφίγξιν, ἀνιέντες τὸν δεσμόν. τὸν δὲ θρόμβον, ἢ ἐλαίου ἐπιχύσει, ἢ τῇ τῶν δακτύλων ἐπιθλίψει διαλύοντες. ἡ δὲ λοιπὴ τῆς φλεβοτομίας παρασκευὴ, πᾶσι γνώριμος. ἀλλὰ ταῦτα μὲν ἐπὶ τοῖς κατ' ἀγκῶνα. ἡ δὲ ἀπὸ μετώπου ἡ ἀφαίρεσις, ὡς ἐπὶ κεφαλαλγιῶν, γίνοιτο. προαπαντλήσαντες αὐτοὺς ἐπιδήσωμεν ταινιδίῳ κατὰ τὸν τράχηλον, παρενθέσει δακτύλου κατὰ τὸν βρόγχον τὸν πνιγμὸν ἀποφεύγοντες. καὶ πληρωθεῖσαν τὴν φλέβα τὴν ἐν μετώπῳ διέλωμεν, ἀκμῇ φλεβοτόμου ἢ σμιλίου. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰς ἐπὶ πολλῆς σφαγίτιδας διὰ ὀφθαλμίαν χρονίαν τεμοῦμεν διὰ κυαθίσκου μήλης, τὴν τοῦ αἵματος ἔκροιαν ποιούμενοι. καὶ τὰς ὑπὸ τῇ γλώττῃ δὲ φλέβας ὡς ἐπὶ συνάγχικοῦ πάθους ἐγκαρσίους ἐκτέμνωμεν, φυλαττόμενοι τὴν σφίγξιν. τινὲς δὲ καὶ τὰς ἐν τοῖς μεγάλοις κανθοῖς διαφανεῖς φλέβας, ὡς ἐπὶ τῶν ἐν τῇ κεφαλῇ ἢ τοῖς ὀφθαλμοῖς χρονίων νοσημάτων ὁμοιοτρόπως διαιροῦσιν. ἐφ' ὧν καὶ τὰς ἔνδον τῶν μυκτήρων, ἤτοι παραθλίψει διὰ σμήλης πυρῆνος, ἢ διὰ τινῶν τραχειῶν ὀρεθίζοντες ῥηγνύουσι. καὶ τὰς ὄπισθεν δὲ τῶν ὤτων διὰ τὰ περὶ κεφαλὴν πάθη διαιροῦσι. τὰς δὲ κατ' ἰγνύαν, ὡς ἐπὶ νεφρῶν, καὶ τὰς ἐν τοῖς ἄκροις τοῖς τῶν ὑποκειμένων δεσμοῖς μορίων, τῇ τε τῶν χειρῶν ἀνατρίψει, καὶ τῇ τῶν ποδῶν βαδίσει πληρώσαντες διαιροῦσιν. ἐν μὲν τῇ εὐωνύμῳ χειρὶ, ἐπὶ σπληνικῶν, τὴν μεταξὺ μάλιστα μικροῦ τε καὶ παραμέσου δακτύλου. ἐπὶ δὲ ἡπατικῶν, ἐν τῇ δεξιᾷ. ἡ γὰρ τῶν ἄκρων κένωσις ἐκ μακροῦ μᾶλλον γινομένη πρακτικωτέραν τὴν ἀντίσπασιν ἐργάζεται. ἐν δὲ τῷ ποδὶ καθάπερ ἐπὶ ἰσχιαδικῶν ἢ τῶν κατὰ τὴν ὑστέραν τῇ ἀνωτέρῳ τοῦ ἔνδοθεν ἀστραγάλου τέμνουσιν.

Περὶ σικυάσεως. μα.

Οὔτε ἐν ἀρχαῖς τῶν παθῶν, οὔτε πληθωρικῶν ὄντων τῶν σωμάτων, σικύαις χρησόμεθα. ἀλλ' ὅταν προκενωθῇ πᾶν τὸ σῶμα, καὶ μηκέτι ἐπιρρέει μηδὲν. κἂν τῷ μορίῳ χρεία γένηται κινῆσαί τι καὶ μοχλεῦσαι καὶ πρὸς τοὐκτὸς ἑλκύσαι. ἡ μὲν οὖν κούφη σικύα πνευματώσεις τε λύει, καὶ στόμαχον ῥευματιζόμενον ἵστησι, καὶ αἷμα ἐπισπᾶται, καὶ φερόμενον αὖ πάλιν ἵστησιν, ἐν τοῖς ἀντικειμένοις προσφερομένη, καὶ τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἀντιμετάγει, καὶ τὸ ὅλον μετάστασιν μὲν τῶν ὑγρῶν, κένωσιν δὲ τῶν πνευμάτων ἐργάζεται. ἡ δὲ μετὰ καταχασμὸν, ἐμπρακτότερον δίδωσι τοῖς αἰτίοις τὴν διαπνοὴν, αἰσθητῶς ἐκ τοῦ βάθους κομιζομένη τὰ λυποῦντα. οὐ μόνον γὰρ αἵματος ἀλλὰ καὶ τῶν ἄλλων χυμῶν ἐργάζεται κένωσιν, καὶ μάλιστα μετὰ πλείονος προσφερομένη τῆς φλογός. ἀλλ' εἰ μὲν ἀπὸ εὐσάρκων μορίων βουλόμεθα ποιήσασθαι τὴν ἀφαίρεσιν, πρῶτον ἐγχαράττοντες ἔπειτα τὴν σικύαν ἐπιτίθεμεν. εἰ δὲ ἀσαρκότερον εἴη τὸ μέρος, κούφην πρότερον τὴν σικύαν κολλήσωμεν. εἰς ὄγκον δὲ τοῦ μορίου ἐπαρθέντος ἐγχαράξαντες, αὖθις αὐτὴν ἐπιθῶμεν. καὶ εἰ μὲν ὀλίγον κενῶσαι βουλόμεθα, μιᾷ διαιρέσει ἀρκεσθῶμεν. εἰ δὲ πλέον, πλείοσι. καὶ εἰ μὲν λεπτότερον τὸ περιεχόμενον ἀπολαβοιμεν αἷμα, ἐπιπολῆς ἐγχαράξομεν. εἰ δὲ παχύτερον, διὰ βάθους. ὅτε καὶ θρόμβους αἵματος ἐκ πληγῆς κενῶσαι θέλοιμεν. ὅρος δὲ τῆς συμμέτρου τῆς διαιρέσεως ἐστὶ βάθους, τὸ πάχος μόνον τοῦ δέρματος. τινὲς ἐπενόησαν ὄργανον πρὸς τοῦτο, τρία σμιλία ἴσα ζεύξαντες ὁμοῦ, ὅπως τῇ μιᾷ ἐπιβολῇ τρεῖς γίνοιντο διαιρέσεις. ἀλλ' ἡμεῖς τοῦτο δύσχρηστον ἡγούμενοι, ἁπλῇ σμίλῃ χρησώμεθα. ἕτεροι δὲ σικύαις ὑαλίναις ἐχρήσαντο διά τε τὸ ποσὸν τοῦ κενουμένου αἵματος ἐν τῇ ὁλκῇ δι' αὐτὰς ὁρᾶσθαι. ἀλλ' ὁλκιμώτεραι μᾶλλον εἰσὶν αἱ χαλκαῖ, πλείονος ἀνεχόμεναι φλογὸς, τῶν ὑαλίνων εὐθύμως καταρρηγνυμένων. ἀλλὰ καὶ ὅσοι διὰ κεράτων τῷ στόματι μυζῶντες ἕλκουσι, κενοῦσι μὲν ἧττον, οὐ ξηραίνουσι δὲ, καθάπερ αἱ μετὰ φλογὸς, εἴπου δέοι. μέλλοντες δὲ προσφέρειν τὴν σικύαν, ὄρθιον σχηματίσαντες μόριον, ἐκ πλευροῦ ταύτην κολλήσωμεν. εἰ γὰρ κειμένοις αὐτοῖς ἄνωθεν ἐπάγωμεν τὸ ἐλλύχνιον, ἅμα τῇ φλογὶ κατὰ τοῦ δέρματος ἐκπίπτον ἀνιαρῶς καίει, μὴ τούτου τῆς χρείας ἀπαιτούσης. ἔστι δ' ὅτε καὶ τὸ τῆς σικύας μέγεθος πρὸς τὸ ὑποκείμενον ἔσω μόριον. διὰ τοῦτο γὰρ καὶ πολλαὶ τῶν σικυῶν εἰσὶν ἐν σμικρότητι καὶ μεγέθει διαφοραί. ὥσπερ καὶ τὰς μακροτραχήλους τε καὶ τὸ κύτος εὐρυτέρας, ὁλκιμωτέρας τῶν ἄλλων ποιητέον. φυλάττεσθαι δὲ δεῖ σικύαν προσάγειν πλησίον μαστῶν. ἐκπίπτοντες γὰρ εἰς

αὐτὰς

αὐτὰς ἐνίοτε καὶ οἰδοῦντες σφόδρα, δυσχερῆ τὴν ἄρσιν ποιοῦνται. καὶ τότε δὴ σπόγγοις ἐκ θερμοῦ περιλαμβάνειν τὰς σικύας, ἀνίενται γάρ. εἰ δὲ μὴ δι' οὕτως ἀνεθεῖεν, ῥυπᾶν αὐτὰς δεῖ.

Περὶ καύσεως μασχάλης. μβ.

Ἐν τῇ κατ' ὦμον διαρθρώσει γινομένης ἐξαρθρώσεως, ἐπί τινων ἡ κεφαλὴ τοῦ βραχίονος πολλάκις τε καὶ συχνῶς ἐκπίπτει, ἢ δι' ὑγρότητα πλεονάζουσαν, ἢ διὰ τὸ τῇ συνεχεῖ ἐξολισθήσει ὁδοποιηθῆναι τὸν τόπον. τηνικαῦτα οὖν ἐπὶ τὴν καῦσιν ἀφικνούμεθα. δεῖ τοίνυν ἢ ὑπτίου ἢ ἐπὶ τὸ ὑγιὲς πλευρὸν ἀνακλιθέντος τοῦ κάμνοντος, τὸ ἐνδοτέρω τῆς μασχάλης δέρμα καθ' ὃ μάλιστα τὸ ἄρθρον ἐκπίπτει, τοῖς δυσὶ δακτύλοις τῆς χειρὸς τῆς ἀριστερᾶς, ἢ ἀγκίστροις ἀνατείνοντα λεπτοῖς καὶ ἐπιμήκεσι, πεπυρακτωμένοις καυτηρίοις διακαῦσαι, ἄχρις οὗ τὸ καυτήριον, ἀντιπερείσασον ἐπὶ τὴν μίαν ἐπιβολὴν δύο ἐσχάρας γενέσθαι. καὶ εἰ πολὺ τὸ μεταξὺ τούτων εἴη διάστημα, πυρίνῃ σμίλῃ διεκβαλόντες δι' αὐτῶν, ἑτέραν ἐν τῷ μέσῳ ποιήσωμεν ἐσχάραν, καίοντες ἄχρις οὗ τὸ καυτήριον ἐπιτύχῃ τῇ σμίλῃ. καὶ ἑτέρας δὲ δύο βούλεται Ἱπποκράτης ἐσχάρας γίνεσθαι, παρ' ἑκατέρου τῆς μέσης, τῶν εἰρημένων ἴσον ἐκείναις ἀπεχούσαις διάστημα ἐπὶ τετράγωνον σχῆμα. βάθος δὲ καύσωμεν μὴ πλέον τοῦ δέρματος, ὅτι νεῦρα καὶ ἀδένες, καὶ ἕτερα δυνάμενα φλεγμονὴν ἐγγεννῆσαι καὶ δυσεργίαν, ὑπόκειται. θεραπεύειν δὲ διὰ τῆς τοῦ πράσου μετὰ τῶν ἁλῶν τετριμμένων ἐπιθέσεως, καὶ τῆς ἄλλης τῆς ἐπὶ τῶν ἐσχαρῶν ἐπιμελείας. καὶ τὸ μετὰ ταῦτα πεφυλαγμένως ἐνεργεῖν τῇ χειρί.

Περὶ παραφυῶν δακτύλων καὶ ἑξαδακτύλων. μγ.

Παραφύονται δάκτυλοι παρὰ τὴν χεῖρα. ποτὲ μὲν ἐγγὺς τῶν μεγάλων δακτύλων. ποτὲ δὲ ἐν τοῖς μικροῖς. σπανίως δὲ ὤφθη καὶ παρὰ τῶν ἄλλων τινά. τῶν δὲ παραφυομένων, οἱ μὲν δι' ὅλου σαρκώδεις εἰσίν. οἱ δὲ καὶ ὀστέα ἔχουσιν ἐν ἑαυτοῖς, ἐνίοτε δὲ καὶ ὄνυχας. τῶν δὲ ἐχόντων ὀστᾶ, οἱ μὲν ἀπὸ ἄρθρου τὴν ἔκφυσιν ἔχουσι, κοινωνοῦντες ἑτέρῳ δακτύλῳ τῆς πρὸς ἄρθρον συμβολῆς. οἱ δὲ ἀπὸ σκυτάλης, ἐκπεφύκασιν. οὗτοι μὲν οὖν οἱ ἀπὸ σκυτάλης, διαπαντὸς ἀκινητοῦσιν, οἱ δὲ ἄλλοι κινοῦνται ποτέ. ἀλλὰ τῶν μὲν σαρκωδῶν, εὔκολος ἡ ἀποκοπή. τέμνομεν γὰρ σμίλῃ τὸ περιττὸν διαμπάξ. τῶν δὲ ἀπ' ἄρθρου, περισκελεστέρα ἡ ἐγχείρησις. τῶν οὖν ἀπὸ σκυτάλης ἐκπεφυκότων, πρῶτον τὴν σάρκα κατὰ κύκλον ἐκτέμωμεν μέχρις ὀστοῦ. αὐτό τε τὸ ὀστέον τῷ ἐκκοπεῖ διακόπτοντες ἢ πρίονι αὐτὸ ἀφαιροῦντες. ἐν δὲ τῇ θεραπείᾳ ξέοντες καὶ ἀφυλοῦντες αὐτά, ὥσπερ κἀπὶ τῶν ἐν τοῖς ὀστοῖς τραυμάτων ἐλέγομεν.

Περὶ χειρουργίας καύσεως ἐμπύου. μδ.

Πρακτικώτατον βοήθημα τοῖς ἐμπύοις ἡ καῦσις εὕρηται. δεῖ οὖν τῆς μακρᾶς ἀριστολοχίας τὴν ῥίζαν ἐλαίῳ δεύσαντας ἐντιθέναι αὐτοῖς πεπυρακτωμένας τὰς ἐσχάρας, μίαν μεταξὺ τῆς τῶν κλειδῶν ἐμβάλλοντα συμβολῆς, ἀνατεθέντος ἄνω τοῦ δέρματος. δύο δὲ μικράς, ὀλίγον πρὸς ἀνθερεῶνα ἀναχωρῆσαι τῶν καρωτίδων. δύο δὲ ὑπομαζίους εὐμεγεθεστέρας μεταξὺ γ' καὶ δ' πλευρᾶς. ἑτέρας δὲ δύο μεταξὺ ε' καὶ ς'. μικρὸν ἀνανευούσας εἰς τοὐπίσω. καὶ ἄλλην ἐπὶ μέσον τοῦ στέρνου. καὶ ἑτέραν ὑπεράνω τοῦ στόματος τῆς γαστρός. τρεῖς δὲ ὄπισθεν. κατὰ μὲν τὸ μέσον τοῦ μεταφρένου μίαν. ἑκατέρωθεν δὲ τῆς ῥάχεως δύο, ὑποβεβηκυίας, τὴν ἐν τῷ μεταφρένῳ ἐσχάραν μὴ πάνυ ἐπιπολαίους. ἕτεροι δέ, ὥς φησι καὶ ὁ Λεωνίδης, καυτήριον πυρηνοειδὲς πεπυρακτωμένον διὰ μεσοπλευρίου τοῦ κατὰ τὸ ἀπόστημα σημειωσάμενοι, ἕως τοῦ πύου τὴν καῦσιν εἰργάσαντο. τινὲς δὲ καὶ χειρουργῆσαι τούτους ἐτόλμησαν, διὰ μέσου ε' καὶ ς' πλευρᾶς ἐγκαρσίᾳ τομῇ διελόντες μικρὸν ὑπολόξως τὸ δέρμα, κἄπειθ' οὕτω, σκολοπομαχαιρίῳ τὸν ὑπεζωκότα συντρήσαντες ὑμένα, καὶ τὸ πύον ἐκκενώσαντες. καὶ οὗτοι δὲ καὶ οἱ διὰ σιδήρου καίοντες ἄχρι βάθους, ἢ παραυτίκα τὸν θάνατον ἐπιφέρουσι, τοῦ ζωτικοῦ πνεύματος ἀθρόως ἅμα τῷ πύῳ κενωθέντος. ἢ σύριγγας ἀνιάτους ἐργάζονται.

Περὶ καρκίνου. με.

Ὁ καρκίνος ὄγκος ἐστὶν ἀνώμαλος, ὀχθώδης, εἰδεχθής, ὑποπέλιδνος, ἐπώδυνος, ποτὲ μὲν ἀνέλκωτος ὤν, ὃν καὶ κρυπτὸν Ἱπποκράτης ὠνόμασεν. ὅς γε καὶ χειρουργούμενος, χεῖρον διατίθεται. ποτὲ δὲ ἑλκούμενος. ἐκ μελαίνης γοῦν χολῆς ἔχων τὴν γένεσιν, ὡς ἐπίπαν ἀναβιβρώσκεται. συνιστάμενος ἐν πλείοσι μὲν τοῦ σώματος μέρεσιν, ὡς μάλιστα δὲ κατὰ τὴν μήτραν καὶ τοὺς μαστοὺς τῶν γυναικῶν. ἔχει τε τὰς φλέβας πανταχόθεν περιτεταμένας, ὥσπερ τὸ ζῷον ὁ καρκίνος τοὺς πόδας, ὅθεν αὐτῷ καὶ τοὔνομα τέθειται. τὴν μὲν οὖν διὰ φαρμάκων ἐπιμέλειαν αὐτοῦ κατὰ τὸ τέταρτον αὐτάρκως εἰρήκαμεν. τοῦ δὲ κατὰ τὴν μήτραν ἐν τῷ τρίτῳ. ἐπειδὴ τὰ διασαπέντα ἢ τοῦ κατὰ φύσιν ἁπλῶς ἐξεστηκότα σώματα τὴν ἀφαίρεσιν ἀπαιτεῖ. τοὺς μὲν ἐν τῇ μήτρᾳ καρκίνους, οὔτε δυνατόν, οὔτε συμφέρον ἐστὶ χειρουργεῖν. τῶν δὲ ἐπὶ τὰ ἐκτὸς

καὶ

καὶ οὐχ ἥκιστά γε τοῦ μαστοῦ, τὴν χειρουργίαν ἐκθησώμεθα. τινὲς μὲν οὖν καυτηρίοις ὅλον τὸ πεπονθὸς ἐδαπάνησαν. ἕτεροι δὲ τὸν ὅλον μαστὸν ἐκτεμόντες ἔκαυσαν. ὁ δὲ Γαληνός, τὴν διὰ τομῆς μόνον παραλαμβάνει χειρουργίαν γράφων ὧδε. εἴγε μὴν ἐπεχείρησας ποτὲ διὰ χειρουργίας ἰᾶσθαι καρκῖνον, ἄρξαι μὲν κενοῦν, ἀπὸ καθάρσεως τοῦ μελαγχολικοῦ χυμοῦ. περικόψας δ' ἅπαν ἀκριβῶς τὸ πεπονθὸς ὡς μηδεμίαν ἀπολείπεσθαι ῥίζαν, ἔασον ἐκχυθῆναι τὸ αἷμα. καὶ μὴ ταχέως ἐπίσχῃς ἀλλὰ καὶ θλίβε τὰς πέριξ φλέβας ἐκπιέζων αὐτοῦ τὸ παχὺ τοῦ αἵματος. εἶτα θεράπευε τοῖς ἄλλοις ἕλκεσι παραπλησίως. ταῦτα μὲν ὁ Γαληνός. καὶ τὰ λοιπὰ τῶν κακοήθων καὶ σηπεδονωδῶν ἑλκῶν, οἷον φαγεδαίνας τε καὶ γαγγραίνας, καὶ τὰ παραπλήσια, τὸν αὐτὸν χειρουργητέον τρόπον.

Περὶ γυναικομάστων. μς.

Ὥσπερ ταῖς θηλείαις οὕτω καὶ τοῖς ἄρρεσι περὶ τὸν τῆς ἥβης χρόνον, οἱ μαστοὶ φυσῶνται κατά ποσόν. ἀλλὰ τοῖς μὲν πλείστοις ἀποκαθίστανται πάλιν. ἐπ' ἐνίων δὲ ἀρχὴν λαβόντες αὔξονται, πιμελῆς ὑποτρεφομένης. τῆς γοῦν ἀπρεπείας ἐχούσης ὄνειδος τὸ κατὰ τὴν θηλύτητα, χειρουργεῖν ἄξιον. μηνοειδῆ τοίνυν τομὴν εἰς τὸ κάτω τοῦ μαστοῦ διόντες καὶ ὑποδείραντες, ἀφελόντες τὴν πιμελήν, ῥαφαῖς συνάγωμεν. εἰ δὲ καὶ ἀποκλίνειν τύχοι διὰ μέγεθος εἰς τὰ κάτω καθάπερ ἐπὶ γυναικῶν ὁ μαστός. αὐτοῦ μέρεσι δύο μηνοειδεῖς ἐμβαλοῦμεν διαιρέσεις συμβαλούσας ἀλλήλαις κατὰ πέρατα, ὥστε τὴν μικροτέραν ὑπὸ τῆς μείζονος περιέχεσθαι. καὶ τὸ μεταξὺ δέρμα ὑποδείραντες, ἀφελόντες τὴν πιμελήν, ὁμοίως ταῖς ῥαφαῖς χρησόμεθα. εἰ δὲ διαμαρτόντες, ἔλαττον ἐκκόψωμεν, τὸ τενήδιον τὸ περιττεῦον πάλιν περιελόντες ῥάψομεν, καὶ ἔναιμον ἐπιθήσομεν φάρμακον.

Περὶ καύσεως ἥπατος. μζ.

Εἰ μετὰ βάρους ἡ ὀδύνη γίνοιτο τοῖς τὸ ἧπαρ ἀποστάμενον ἔχουσι. δηλοῦται τὸ σαρκῶδες αὐτοῦ πεπονθός. εἰ δὲ ὀξὺς ὁ πόνος, μᾶλλον ἐν τῷ χιτῶνι τὸ πῦον. καὶ δεῖ καίειν οὕτως. καυτήρια λεπτὰ πυρηνοειδῆ καύσαντες ἀκριβῶς, ἐμβάλλωμεν ἀνωτέρω τοῦ βουβῶνος ὀλίγον, πρὸς τῷ πέρατι τοῦ ἥπατος, μίαν ἐσχάραν τιθέντες. καύσαντες δὲ ὅλον τὸ δέρμα, καὶ φθάσαντες ἕως τοῦ χιτῶνος, ἐκκενώσωμεν τὸ πῦον. μετὰ δὲ τὴν κένωσιν, τῷ φακομέλιτι χρησάμενοι. τοῖς τε διὰ μελικράτου καὶ τῶν σαρκωτικῶν εἰδῶν. εἰς ὕστερον δὲ καὶ ἀπουλωτικῶν χρησόμεθα.

Περὶ καύσεως σπληνός. μη.

Ἀγκίστροις ἀνατείναντες τὸ δέρμα τὸ ἐπικείμενον τῷ σπληνί, μακροῖς καυτηρίοις πεπυρακτωμένοις, διαμπὰξ αὐτὸ καύσωμεν ὥστε τῇ μιᾷ προσβολῇ β. γίνεσθαι ἐσχάρας. καὶ τοῦτο πράξομεν τριχῶς, ὥστε τὰς πάσας ς ἐσχάρας γίνεσθαι. ὁ δὲ Μάρκελλος τῷ λεγομένῳ τριαίνῃ, ἢ τριαινοειδεῖ καυτηρίῳ χρώμενος, τῇ μιᾷ προσβολῇ τὰς ἐσχάρας ἐργάζεται.

Περὶ καύσεως στομάχου. μθ.

Ἐπὶ τῶν χρονίως ῥευματιζομένων στομάχων, οἱ νεώτεροι, καύσει ἐπεχείρησαν. οἱ μὲν πυρηνοειδέσι καυτηρίοις, τρεῖς ἐμβάλλοντες ἐσχάρας. μίαν μὲν ὑπὸ τὸν ξιφοειδῆ χόνδρον. ἑτέρας δὲ δύο, κατωτέρω, κατὰ τρίγωνον σχῆμα. τὸ δὲ βάθος, ὅλον τὸ δέρμα διακαίοντες. οἱ δὲ μίαν μόνην παρέχουσι μείζονα κατ' αὐτὸ τὸ στόμα τῆς γαστρός, ἐσχάραν. ἕτεροι δὲ οὐδὲ σιδήρῳ καίουσιν, ἀλλὰ ταῖς καλουμέναις ἴσκαις. εἰσὶ δὲ σπογγώδη τινὰ σώματα αἱ ἴσκαι, ἐν ταῖς δρυσὶ καὶ ταῖς καρύαις γινόμεναι, τοῖς βαρβάροις μᾶλλον ἐν χρήσει καθεστῶτα. συγχωροῦσι δὲ μένειν ἐπὶ χρόνου ἀνούλωτα τὰ ἕλκη. μᾶλλον δὲ καὶ προσαναξαίνουσι, ἵνα τῇ πολλῇ δι' αὐτῶν διαφορήσει τὸ στόμα τῆς γαστρὸς ἀρρευματιστότερον διαμένοι.

Περὶ ὑδρώπων. ν.

Τὴν τῶν ὑδρώπων ἢ ὑδέρων σύστασιν, καὶ πόσαι τούτων διαφοραί, τίνα τε τὰ αἴτια, πῶς τε διαγνωστέον καὶ τὰς κατὰ φαρμακείαν αὐτῶν θεραπείας ἐν τῷ γ παραδεδωκότες βιβλίῳ. προαποδεδειγμένοις τε κατ' ἐκεῖνον, τοῦ τὸν ἀσκίτην μόνον ὑποπίπτειν χειρουργίᾳ. ταύτην νῦν παραδώσοντες ἥκομεν. ὄρθιον τοίνυν στήσομεν τὸν ἄνθρωπον. εἰ δὲ μὴ δύναιτο, καθίσωμεν. εἰ δὲ μὴ τοῦτο, παραιτητέον ἡμῖν ἐστι τὴν χειρουργίαν εἰ τοσοῦτον κατάκεινται. ἑστῶτος οὖν ὀρθοῦ τοῦ ἀνθρώπου, κελεύσωμεν ὑπηρέτας ἐξόπισθεν ἑστῶσι θλίβειν διὰ τῶν χειρῶν καὶ ἀπωθεῖν τὸν ὄγκον κάτω ὡς πρὸς τὸ ἦτρον. αὐτοὶ δὲ λαβόντες τὸ σκολόπιον ἢ φλεβότομον, εἰ μὲν ἀπὸ τῶν περὶ τὰ ἔντερα μορίων ὁ ὕδρωψ ἐγένετο, κατὰ κάθετον τοῦ ὀμφαλοῦ ὅσον τρισὶν αὐτοῦ δακτύλοις ἀποστάντες διαιροῦμεν τὸ ὑπογάστριον ἄχρι περιτοναίου. εἰ δὲ προηγησαμένου τοῦ ἥπατος, ἐξ ἀριστερῶν τοῦ ὀμφαλοῦ διέλωμεν. εἰ δὲ ἀπὸ σπληνός, ἐν τοῖς δεξιοῖς. οὐ τμητέον γὰρ ἐπ' ἐκεῖνο τὸ μέρος ἐφ' ὃ μέλλουσι κατακλίνεσθαι. καὶ διαδείροντες τῇ ἀκμῇ τοῦ ὀργάνου

τὸ ὑποκείμενον δέρμα, μικρὸν ἀνωτέρω τῆς πρώτης τομῆς διέλωμεν τὸ περιτόναιον ἄχρι κενεμβατήσεως τοῦ ὀργάνου. μετὰ δὲ τοῦτο, χαλκοῦν καλαμίσκον διά τε τῆς τοῦ ἐπιγαστρίου καὶ τῆς τοῦ περιτοναίου διαιρέσεως καθήσωμεν, ἔχοντα τὴν ἐκτομὴν παραπλησίαν τοῖς γραφικοῖς καλάμοις. καὶ δι' αὐτοῦ τὸ ὑγρὸν κομισώμεθα, σύμμετρον πρὸς τὴν δύναμιν, ἁπτόμενοι τοῦ σφυγμοῦ, εἶτα τὸν καλαμίσκον κομισάμενοι στήσωμεν τὸ ὑγρόν. ἵσταται γὰρ εὐθὺς ἐναλλὰξ δοθείσης αὐτῆς τῆς διαιρέσεως. καὶ ἡμεῖς δὲ διὰ τὸ ἀσφαλὲς μοτὸν στρεπτάριον διὰ μόνης τῆς τοῦ ἐπιγαστρίου καθίεμεν διαιρέσεως, ἀνακλίναντές τε καὶ ἀνακτησάμενοι τὸν ἄνθρωπον τῇ ἑξῆς πάλιν ὀλίγον τοῦ ὑγροῦ πρὸς τὴν δύναμιν διὰ τοῦ καλαμίσκου κενώσωμεν. καὶ οὕτως ἑξῆς, ἄχρις ἐλάχιστον περιλειφθῇ, πανταχοῦ τὴν ἀθρόαν φυλαττόμενοι κένωσιν. πολλοὶ γὰρ ἀπειραγαθήσαντες, ἅμα τῷ ὑγρῷ καὶ τὸ ζωτικὸν πνεῦμα κενώσαντες, ἀθρόως ἀπέκτειναν τὸν ἄνθρωπον. ὅσοι δὲ τῆς ἀσφαλείας μᾶλλον φροντίζουσιν, ὀλίγον διὰ τῆς χειρουργίας κενώσαντες ὅσον κουφισθῆναι τοῦ πολλοῦ βάρους τὴν δύναμιν, τὸ λοιπὸν ὑδραγωγοῖς φαρμάκοις καὶ ψάμμῳ καὶ ἡλίῳ καὶ δίψει καὶ ξηραινούσαις τροφαῖς ἐδαπάνησαν. καὶ τῇ καύσει δὲ κέχρηνται, κατά τε τοῦ στομάχου καὶ ἥπατος, σπληνός τε καὶ ὑπογαστρίου, καὶ περὶ τοῦ ὀμφαλοῦ ε̄ παρέχοντες ἐσχάρας. οἱ μὲν σιδηροῖς λεπτοῖς καυτηρίοις, οἱ δὲ διὰ τῶν καιομένων ἰσκῶν, ἤ τινος ἑτέρας τοιαύτης ὕλης. καὶ πολλοί γε ταύτῃ τῇ μεθόδῳ μᾶλλον ἰάθησαν. ἐνίοτε μὴ παρακεντηθέντες τὸ σύνολον.

Περὶ ἐξομφάλων. να΄.

Τὸ ἐξόμφαλον γίνεται πάθος ὅτε μὲν ῥαγέντος κατ' ἐκεῖνο τοῦ περιτοναίου καὶ προπεσόντος, ἢ τοῦ ἐπίπλου, ἢ ἐντέρου. ὅτε δὲ ἀργοῦ ὑγροῦ ὑποδραμόντος τὸν ὀμφαλόν. ἄλλοτε δὲ σαρκὸς ὑποτραφείσης. καὶ ἄλλοτε δὲ αἵματος συλλεχθέντος διὰ φλεβὸς ἢ ἀρτηρίας ῥῆξιν, ὡς ἐπὶ τῶν ἀνευρισμάτων. ἐνίοτε οὐχ αἵματος, ἀλλὰ πνεύματος μόνου. εἰ μὲν οὖν ἐπίπλους ἐξωθεν εἴη, περὶ τὸν ὀμφαλὸν ὄγκος ὁμόχρους τε καὶ εὐαφὴς καὶ ἀναλγὴς καὶ ἀνώμαλος φαίνεται. εἰ δὲ ἔντερον, πρὸς τοῖς εἰρημένοις, καὶ ἀνώμαλος πλέον, καὶ κατὰ τὴν τῶν δακτύλων ἀπέρεισιν ἀφανιζόμενος. ἔσθ' ὅτε δὲ καὶ βορβορύζων, βαλανείοις τε καὶ διατάσεσι μᾶλλον αὐξόμενος. εἰ δὲ ὑγρόν, εὐαφὴς μὲν ὁμοίως ὁ ὄγκος, οὐχ ὑπείκων δὲ κατὰ τὴν θλίψιν, οὐδὲ μειούμενος, οὐδὲ μὴν αὐξόμενος. εἰ δ' ἅμα πρὸς τοῖς εἰρημένοις σημείοις καὶ πελιδνότερος ὁ ὄγκος, σαρκός τε ὑποτροφαῖς σκληρότερος καὶ ἀντίτυπος ὁ ὄγκος ἔσται, καὶ μένων ἐπὶ τοῦ αὐτοῦ μεγέθους. τοῖς δὲ διὰ πνευμάτωσιν, εὐάφεια παρακολουθήσει, καί τις ἦχος κατὰ τὴν ἐπίκρουσιν, καὶ ἀφανισμὸς πρὸς τὴν θλίψιν. χειρουργήσωμεν οὖν τοῦτον τὸν τρόπον. ἀναστήσαντες τὸν ἄνθρωπον ὀρθόν, κελεύσωμεν αὐτῷ συνταθῆναι τῇ τοῦ πνεύματος ἀπολήψει, κἄπειτα μέλανι γραφικῷ περιγράψαντες κατὰ κύκλον, πᾶσαν τοῦ ὀμφαλοῦ τὴν ἐπανάστασιν, σχηματίσωμεν ὕπτιον. καὶ σμιλίῳ περιχαράξωμεν τὸν ὄγκον, κατὰ τὴν σημείωσιν. ἔπειτα τὸ μέσον ἀνατείναντες ἀγκίστρῳ, λίνον ἢ νεῦρον περιβάλλωμεν περὶ τὴν ἐγχάραξιν, οὕτω γὰρ κρατηθήσεται μὴ ἀπολισθαῖνον, ἀγκύλην κατὰ τῆς ἐφάψεως τάττοντες. ἔπειτα κατὰ τὴν κορυφὴν στομώσαντες τὸν ὄγκον τὸν ἐσφιγμένον, καθίεμεν δάκτυλον λιχανόν. ἐρευνήσωμέν τε ἀκριβῶς, μήπως ἐκ τοῦ ἐντέρου ἕλιξ, ἢ τοῦ ἐπίπλου μέρος συναποσφιγγόμενον εἴη. κἂν μὲν ἔντερον εἴη τὸ ἀπειλημμένον, χαλάσαντες τὴν ἀγκύλην τοῦ βρόχου ὠθῶμεν αὐτὸ εἰς τὰ ἐντός. εἰ δὲ ἐπίπλους εἴη, τοῦτον ἐπισπασάμενοι τὸ περιττὸν αὐτοῦ ἀποτέμωμεν. ἀπολινώσαντες τὸ παρεμπίπτον ὡς εἰκὸς ἀγγεῖον, ἔπειτα λαβόντες δύο βελόνας ἐχούσας λίνον ἁπλοῦν, κατὰ χιασμὸν αὐτὰς διὰ τῆς γινομένης περιχαράξεως διάγωμεν. καὶ κόψαντες τὰς ἀγκύλας τοῦ λίνου, ὥσπερ ἐπὶ ἀνευρύσματος ἐλέγομεν, ἐκ τεσσάρων ἀρχῶν ποιησώμεθα τὴν ἀπόσφιγξιν. μετὰ δὲ τὸ ἀποσαπῆναι καὶ ἐκπεσεῖν τὰ ἀπολινωθέντα σώματα, τῇ ἐμμότῳ θεραπεύσωμεν ἀγωγῇ. κοιλοτέραν δὲ τὴν οὐλὴν ἀεὶ γίνεσθαι σπουδάζοντες. ταῦτα μὲν ἐπίπλου ἢ ἐντέρου τὸ πάθος ἐργαζομένων. εἰ δὲ σὰρξ ἢ ὑγρὸν ἢ αἷμα τοῦ πάθους αἴτιον γίνοιτο, περιελόντες κατὰ κύκλον τοῦ ὄγκου μεσότητα, ἔπειτα κομισάμενοι τὸ ἐγκείμενον ἔξωθεν τοῦ περιτοναίου κατὰ τὸν ὀμφαλόν, κατὰ συσσάρκωσιν τὴν θεραπείαν ποιησώμεθα. τοῦ δὲ περὶ ἀνεύρυσιν ἢ παρένθεσιν πνεύματος ἐξομφάλου, ἀπαγορεύσωμεν. ὥσπερ καὶ τὰ ἀνευρύσματα.

Περὶ τῶν κατὰ τὸ περιτόναιον τρώσεων. καὶ περὶ προπτώσεως ἐντέρου ἢ ἐπίπλου. ἐν ᾧ καὶ τρόπος γαστρορραφίας ἐκ τῶν Γαληνοῦ. νβ΄.

Ὡς δ' ἄν τις ἄριστα μεταχειρίζοιτο ταῖς τοῦ περιτοναίου τρώσεσιν, ἐφεξῆς σκεπτέον. εἰ μὲν οὖν μικρὸν εἴη τὸ τραῦμα, ὡς τὸ προπεσὸν ἔντερον ἐμφυσηθὲν μηκέτι οἷόν τε εἶναι καταστεῖλαι. ἀναγκαῖον ἤτοι τὴν φῦσαν ἐκκενοῦν ἢ τὸ τραῦμα μεῖζον ἐργάζεσθαι. βέλτιον δὲ οἶμαι τὸ πρότερον, ἐάνπερ οἷόν τε ᾖ τυχεῖν αὐτοῦ. πῶς δ' ἄν τις τύχοι μᾶλλον εἰ τὴν αἰτίαν ὑφ' ἧς ἐμφυσᾶται

τὸ ἔντερον ἐκποδὼν ποιῆσαι. τίς οὖν ἐστιν αὕτη; ἡ ἐκ τοῦ περιέχοντος ἀέρος ψύξις. ἔστι καὶ ἴασις τῷ θερμῆναι. σπόγγον οὖν μαλακὸν χρὴ ὕδατι θερμῷ βρέξαντας, εἶτα ἐκπιάσαντας, ἐκθερμαίνειν τοῦτο τὸ ἔντερον. εὐτρεπιζέσθω δὲ ἐν τῷ τέως οἶνος αὐστηρὸς θερμός. οὗτος γὰρ καὶ θερμαίνει μᾶλλον ὕδατος, καὶ ῥώμην ἐντίθησι τοῖς ἐντέροις. εἰ δὲ καὶ τούτοις χρησαμένων ἔτι διαμένοι τὸ ἔντερον ἐμπεφυσημένον, τέμνειν τοῦ περιτοναίου τοσοῦτον χρὴ, ὅσον δεῖται τὸ προπεπτωκός. ἐπιτήδεια δὲ εἰς τὴν τοιαύτην τομήν ἐστι, τὰ καλούμενα ὀρθὰ συριγγώματα. ἐπιτήδειον δὲ καὶ τῷ κάμνοντι, πρὸς μὲν τοῖς κάτω μέρεσι τῆς τρώσεως γεγενημένης, τὸ ἀνάῤῥοπον. καὶ κατὰ μὲν τὰ δεξιὰ μόρια, ἐπὶ τὰ ἀριστερά. κατὰ δὲ τὰ ἀριστερὰ, ἐπὶ τὰ δεξιὰ κλίνεσθαι. τοῦτο μὲν δὴ καὶ τοῖς μεγάλοις καὶ τοῖς μικροῖς ἕλκεσι κοινόν. αἱ δὲ ἀποθέσεις τῶν ἐντέρων εἰς τὴν οἰκείαν χώραν, ἐπὶ τοῖς μεγάλοις γινόμεναι τραύμασιν, ὑπηρέτου δεξιοῦ δέονται. χρὴ γὰρ αὐτὸν οἷον ἔξωθεν καταλαβόντα τὸ τραῦμα ταῖς ἑαυτοῦ χερσὶν, εἴσω προστέλλειν τε καὶ σφίγγειν ὀλίγον, ἑκάστοτε τῷ ῥάπτοντι παραγυμνοῦντα. καὶ μέντοι καὶ τὸ ῥαφὲν αὐτὸ μετρίως προστέλλειν, ἄχρι περ ἀκριβῶς ῥαφῇ. τίς δ' ἂν εἴη τρόπος ἐπιτήδειος εἰς τὰ τοιάδε τῆς καλουμένης γαστροῤῥαφίας, ἐφεξῆς λέγωμεν. ἐπειδὴ συμφῦναι χρὴ τῷ περιτοναίῳ τὸ ἐπιγάστριον. ἀρκτέον ἀπὸ τοῦ δέρματος, ἔξωθεν ἔσω διείραντα βελόνην. ἐπειδὰν δὲ τὸ δέρμα καὶ τὸν μῦν ὄρθιον ὅλον διεξέλθῃ, τὸ παρακείμενον ὑπερβαίνοντα περιτόναιον, ὠθεῖν αὐτὴν ἔσωθεν διὰ τοῦ λοιποῦ περιτοναίου. κἄπειτα ἐντεῦθεν ἔσωθεν ἔξω διαπείρειν τὸ ἕτερον ἐπιγάστριον. διεξελθούσης δὲ τελέως αὖθις ἔξωθεν ἔσω, τὸ ἐπιγάστριον τοῦτο διείραντας. εἶτα τὸ παρακείμενον αὐτῷ περιτόναιον ὑπερβαίνοντας ἐπὶ τὸ τοῦ ἀντικειμένου ἐλθόντας, ἔσωθεν ἔξω, τοῦτο διακεντεῖν. ἅμα δὲ αὐτῷ καὶ τὸ πλησίον ἐπιγάστριον ἅπαν. εἶτ' αὖθις καὶ αὖθις κατεργάζεσθαι, μέχρι περ ἂν ὅλον ὁμοίως ῥάψωμεν τὸ τραῦμα. διάστημα δὲ τῶν ῥαφῶν ὅσον μὲν ἐπὶ τὸ σφίγγεσθαι τὰ ὑποκείμενα βραχύτατον εἶναι χρεών. ὅσον δὲ ἐπὶ τῷ τὸ μεταξὺ τῶν ῥαφῶν δέρμα διαμένειν ἀσύῤῥηκτον, οὐ χρηστὸν τὸ βραχύ. φεύγων οὖν ἑκατέρου τὴν ὑπερβολὴν, ἀμφοῖν αἱρεῖσθαι τὸ μέτριον. ὥσπερ γε καὶ αὐτοῦ τοῦ ῥάμματος ἡ σύστασις. τὸ μὲν γὰρ σκληρότερον ἐκρήσσει τὸ δέρμα, τὸ δὲ μαλακώτερον αὐτὸ φθάνει ῥηγνύμενον. οὕτω δὲ καὶ τῷ μὴ ἐγγυτάτω τῶν ἄκρων χειλῶν διαπείρειν τὴν βελόνην, τὸ λοιπὸν τοῦ δέρματος ὀλιγοστὸν ὂν, ἀναγκάζεται, καὶ βιάζεται δὲ ῥήγνυσθαι τὸ πλεῖστον. τὸ δὲ, πολὺ τοῦ δέρματος ἀκόλλητον ἀπολείπει. ταῦτα μὲν οὖν εἰ καὶ πάντων ἑλκῶν ἐστι κοινὰ, μάλιστα φυλακτέον αὐτὰ ἐν ταῖς γαστροῤῥαφίαις. ἤτοι δὲ, ὡς προείρηται ποιητέον, ἐστοχασμένους τοῦ συμφῦναι τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἐπειδὴ μόγις αὐτῷ συμφύεται νευρώδει ὑπάρχων. ἢ ὡς ἔνιοι συνάγοντες ἀλλήλοις τὰ κατὰ φύσιν οἰκεῖα, περιτοναίῳ μὲν, ὡς περιτόναιον, ἐπιγαστρίῳ δὲ ἐπιγάστριον. ἔσω δὲ τοῦτο κάτω. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ πλησίον ἡμῶν ἐπιγαστρίου διεκβάλλειν χρὴ τὴν βελόνην, ἔξωθεν ἔσω, δι' αὐτοῦ μόνου. κἄπειθ' ὑπερβαίνοντος ἄμφω τὰ χείλη τοῦ περιτοναίου, πάλιν ἀναστρέφειν τὴν βελόνην ἔξωθεν ἔσω δι' ἀμφοτέρων τῶν χειλῶν τοῦ περιτοναίου. κἄπειτ' αὖθις ἀντεπιστρέφοντας ἔσωθεν ἔξω διεκβάλλειν κατὰ τὸ ἀντικείμενον ἐπιγάστριον. οὗτος ὁ τρόπος τοῦ κοινοῦ καὶ προχείρου, καθ' ὃν διὰ τῶν τεττάρων χειλῶν ἐπιβολῇ μιᾷ διεκβάλλουσι τὴν βελόνην, διαφέρει, τῷ κατακρύπτειν ἔνδον ἀκριβῶς τοῦ ἐπιγαστρίου τὸ περιτόναιον. ἐπιτήδεια δὲ φάρμακα τῆς αὐτῆς ὕλης τοῖς ἐναίμοις ὀνομαζομένοις. ὅπως δὲ μὴ συμπαθῇ τι τῶν κυριωτέρων. ἐλαίῳ χρὴ συμμέτρως θερμῷ ἔριον ἁπαλὸν δεύσαντας, ὅλον ἐν κύκλῳ περιλαμβάνειν τὸ μεταξὺ βουβώνων τε καὶ μασχαλῶν. ἄμεινον δὲ καὶ διὰ κλυστῆρος ἐνιέναι τοῖς ἐντέροις. εἰ δέ τι καὶ αὐτῶν τῶν ἐντέρων τρωθείη. οἶνος ἔσω τὸ ἐνιέμενον αὐστηρὸς ὁ μέλας χλιαρός. καὶ μᾶλλον εἰ διατρωθείη σύμπαν. εὐίατα μὲν οὖν τὰ παχέα τῶν ἐντέρων. δυσίατα δὲ τὰ λεπτά. πᾶσι δὲ ἀνίατος ἡ νῆστις διά τε τὸ πλῆθος, καὶ τὸ μέγεθος τῶν ἀγγείων, καὶ τὸ λεπτὸν καὶ νευρῶδες τοῦ χιτῶνος. ἀλλὰ καὶ τὴν χολὴν ἀκραιφνῆ πᾶσαν ἐκδέχεται. καὶ πάντων ἐστὶν ἐγγυτάτω τοῦ ἥπατος. γαστρὸς δὲ τὰ κάτω τὰ σαρκώδη θεραπεύειν τολμᾷν. ἐγχωρεῖ γὰρ καὶ τυχεῖν οὐ μόνον ὅτι παχύτερα ταῦτά ἐστιν, ἀλλὰ καὶ τοῖς ἰωμένοις φαρμάκοις εὐπετὴς ἡ ἕδρα κατὰ τήνδε τὴν χώραν. τὰ δὲ ἐν τῷ στόματι αὐτοῦ καὶ στομάχου, τῇ προσόδῳ μόνον ψαύει τῶν πεπονθότων. τοῖς δὲ ἐν τῷ στόματι ἔστι τὸ περιττὸν τῆς αἰσθήσεως ἐναντιοῦται πρὸς τὰς ἰάσεις. ὅταν δὲ περιτοναίου ῥαγέντος ἐπίπλους προπέσῃ, καὶ ἤτοι πελιδνωθῇ ἢ μελανθῇ, βρόχῳ διαλαμβάνοντας πρὸ τοῦ μελανθέντος, διὰ τὸν ἀπὸ τῆς αἱμοῤῥαγίας κίνδυνον, ἀποτέμνειν χρὴ τὸ μετὰ τὸν βρόχον, ἐν τῷ κάτω πέρατι τῆς γαστροῤῥαφίας ἐκκρεμεῖς τοῦ βρόχου τὰς ἀπαρχὰς ποιησαμένους, πρὸς τὸ κομίσασθαι ῥαδίως αὐτὰς ὅταν ἀποπτυσθῶσιν ἐκ πυήσαντος τοῦ τραύματος.

Περὶ ποσθῆς λειποδέρμου. νγ.

Ἐφ' ὧν ὀλίγον ἐνδεῖ τῷ δέρματι τοῦ αἰδοίου, τινὲς διὰ τὴν ἀπρέπειαν διττὴν ἐπενόησαν χει-

ρουργίας

ρουργίας τρόπον. ποτὲ μὲν ἄνω κατὰ τὴν ἀρχὴν τοῦ αἰδοίου τὸ δέρμα τέμνοντες κυκλοτερῶς, ἕνεκα τοῦ λυθείσης τῆς συνεχείας ἕλκεσθαι κάτω τὸ δέρμα, μέχρι τοῦ ἐσκεπάσθαι τὴν καλουμένην βάλανον. ἐνίοτε δὲ ὑποδέροντες σμίλῃ κατὰ τὸ ἔνδον μέρος τῆς κατὰ τὴν βαλάνου ῥίζης. εἶτα ἑλκοῦντες κάτω. κἄπειτα δεσμοῦντες μαλακῷ τινὶ ὀθονίῳ πέριξ τὴν πόσθην, δηλονότι μεταλαβουμένου τινὸς ὀθονίου κατὰ τὴν γεγονυῖαν ὑποδοράν, ὑπὲρ τοῦ μὴ συμφυῆναι τὴν πόσθην τῇ βαλάνῳ. τοῦτον μᾶλλον Ἄντυλλος ἀποδέχεται τὸν τρόπον, πλατυκώτερον αὐτὸν ἐξηγούμενος. ἡμεῖς δὲ κεφαλαιωδῶς μόνον εἰπεῖν ἠρκέσθημεν. ὅτι κατὰ τὸ σπάνιον ἐν τοῖς ἔργοις τῆς τέχνης ἡ τοιαύτη ἐπιζητεῖται χειρουργία. διὰ τὸ μήτε δυσεργίαν τινὰ τὸ πάθος ἐμποιεῖν, μήτε τοσαύτην ἀπρέπειαν ὡς ταύτης μᾶλλον τινὰ τῆς διὰ τῆς χειρουργίας αἱρεῖσθαι βάσανον.

Περὶ ὑποσπαδιαίων. νδ.

Πολλοῖς ἐκ γενετῆς ἡ βάλανος οὐ τέτρηται. ἀλλ' ὑπὸ τῷ κυνὶ καλουμένῳ κατὰ τὸν ἀπαρτισμὸν τῆς βαλάνου, τὸ τρῆμα ἐστίν. ἐντεῦθεν οὔτε οὐρεῖν εἰς τοὔμπροσθεν δύνανται, ἂν μὴ πάνυ τὸ μόριον ἀνακλάσωσιν ὡς πρὸς τὸ ἦτρον. οὔτε τεκνοποιεῖν, τοῦ σπέρματος αὐτοῖς εἰς τὴν μήτραν ἐπ' εὐθείας ἐξακοντίζεσθαι μὴ δυναμένου. πρὸς δὲ τούτοις, καὶ ἀπρέπειαν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ τὸ πάθος. πάντων οὖν ἁπλούστατός τε καὶ ἀκινδυνότατός ἐστιν ὁ κατὰ ἀποκοπὴν τῆς χειρουργίας τρόπος. δεῖ τοίνυν σχηματίσαι τὸν κάμνοντα ὕπτιον. ἔπειτα ἀνατείνειν τὴν βάλανον διὰ τῶν δακτύλων τῆς ἀριστερᾶς χειρὸς ἰσχυρῶς. εἶτα ἀκμῇ σμιλίου τῆς βαλάνου κατὰ τὴν στεφάνην ἀποτέμνειν, οὐ λοξὴν ποιοῦντας τὴν ἀποτομήν, ἀλλὰ περιγλυφῇ ὁμοίαν, ὥστε ἐκ τοῦ μέσου τινὰ ἐξοχὴν φαίνεσθαι βαλανοειδῆ. ἐπειδὴ πολλάκις αἱμορραγία γίνεται. εἰ μὲν οἷόν τε, διὰ τῶν ἰσχαίμων αὐτὴν στήσωμεν. εἰ δὲ μή, τῇ διὰ τῶν λεπτῶν καυτηρίων χρησώμεθα καύσει.

Περὶ φιμοῦ. νε.

Διττὸν τῆς φιμώσεως αἴτιον γίνεται. ποτὲ μὲν γὰρ ἡ πόσθη καλύψασα τὴν βάλανον, ἀποσύρεσθαι πάλιν ἀδυνατεῖ. ποτὲ δὲ ἀπαχθεῖσα ὀπίσω, οὐκέτι ἐπάγεται. τοῦτο τὸ εἶδος ἰδίως παραφίμωσις προσαγορεύεται. ἡ μὲν οὖν πρώτη διαφορὰ γίνεται, ἤτοι δι' οὐλὴν ἐν τῇ πόσθῃ γενομένην. ἢ διὰ σαρκὸς πρόσφυσιν. ἡ δὲ δευτέρα ἐν ταῖς τῶν αἰδοίων φλεγμοναῖς ἀποτελεῖται. ὁπότ' ἂν ἀπαχθέντος τοῦ δέρματος ὀπίσω, ἡ βάλανος ἀνοιδήσασα μηκέτι ὑποδέχηται τὴν πόσθην. Εἰ μὲν οὖν τὸ πρῶτον εἶδος τῆς φιμώσεως αἴτιον γίνοιτο. χειρουργήσωμεν αὐτοὺς τόνδε τὸν τρόπον. μετὰ τὸ σχηματίσαι τὸν πάσχοντα, οἰκείως ὑπασπασάμενοι τὴν πόσθην εἰς τοὔμπροσθεν, καθίσωμεν ἄγκιστρα τρία ἢ τέσσαρα, εἰς αὐτὴν τὴν ἄκραν. καὶ δόντες ὑπηρέταις διακρατεῖν, ὑποτρέψωμεν ἐφ' ὅσον οἷόν τε διατείνειν καὶ ἀνοίγειν αὐτήν, ἔπειτα ἐὰν ἐξ οὐλῆς ἡ ἔξω συνδρομὴ γένοιτο, φλεβοτόμῳ ἢ σκολοπίῳ ἐκ τῶν ἔνδοθεν μερῶν διαιροῦμεν τὴν πόσθην ἐν τρισὶν ἢ τέσσαρσι τόποις ποιούμενοι τὰς διαιρέσεις κατὰ τὰ ἔνδοθεν μέρη, εὐθυτενεῖς τε καὶ ἴσον ἀπ' ἀλλήλων διεστώσας. ἔστι δὲ διπλῆ κατὰ τὴν βάλανον ἡ πόσθη. τὸ οὖν ἐν αὐτῇ στόμα ἔνδοθεν μέρους διελοῦμεν. οὕτω γὰρ τὸ ἀγκύλιον, τὸ ἐκ τῆς οὐλῆς γεγονὸς διαλύσαντες, ἐπάξωμεν τὴν πόσθην. εἰ δὲ σὰρξ προσπεφυκυῖα ἐκ τῶν ἔνδοθεν μερῶν ἐργάζοιτο τὴν φίμωσιν. κατὰ τῆς σαρκὸς πάσης τὰς ἐγχαράξεις τάξωμεν, ἀποσύραντες τὴν πόσθην. τὰς δὲ μεταξὺ τῶν διαιρέσεων ὑπεροχὰς τῆς σαρκὸς ξύσωμεν. μετὰ δὲ τοῦτο μολίβδου σωλῆνα περιβαλοῦμεν τῇ βαλάνῳ πάσῃ, κατειλίσαντες αὐτὴν ἐξηρασμένῃ παπύρῳ. ἐχέτω δὲ ταύτῃ ἴσον τὸ ἄνοιγμα ὁ σωλήν. οὕτω γὰρ διὰ τὴν τοῦ σωλῆνος περίθεσιν κωλυθήσεται συμφυῆναι πάλιν ἐπαχθεῖσα ἡ πόσθη, ἐν διαστάσει φυλασσομένη ὑπό τε τοῦ μολίβδου καὶ τῆς κατειλιμένης παπύρου. ἀνοιδοῦσα γὰρ ἐκ τῆς διαβροχῆς ἔτι μᾶλλον διΐστησι τὸ δέρμα. τοῦτο οὖν ποιοῦμεν, εἴτε δι' οὐλὴν εἴτε δι' ἔκφυσιν σαρκὸς φιμώσεως γεγενημένης χειρουργήσαιμεν. εἰ δὲ ἡ λεγομένη παραφίμωσις γένοιτο. εἰ μὲν ἐγχρονίσοιεν, συμφύεται καὶ ἀνίατός ἐστιν, εἰ μή τις θέλοι χρήζειν ὥσπερ λιπόδερμον. εἰ δὲ μήπω συμπεφυκυῖαι τύχοι, καταχαλάσαντες αὐτὴν εὐθυτενέσιν ἀμυχαῖς τρισὶν ἢ τέσσαρσιν ἢ καὶ πλείοσι κύκλῳ, καταντλήσαντες χλιαρῷ ἐλαίῳ πολλῷ, ὑποσπασώμεθα πρὸς τοὐκτός.

Περὶ προσφυοῦς πόσθης. νϛ.

Ἑλκώσεως προηγησαμένης περὶ τὴν βάλανον ἢ τὴν πόσθην, περὶ ἀμφότερα γίνεται πρόσφυσις. δεῖ οὖν ὑποδείραντας ἐφ' ὅσον οἷόν τε ἐστίν, ἀκμῇ σμιλίου ἢ πολυπικοῦ σπαθίου τὰς αὐτοχὰς ἀπολύειν πειρωμένους, μάλιστα μὲν καθαρῶς τὴν βάλανον ἀπὸ τῆς προσπεφυκυίας πόσθης διακρίνειν. εἰ δὲ δυσχερὲς εἴη τοῦτο. προσλαμβάνειν τι μᾶλλον τῆς βαλάνου πρὸς τὴν πόσθην ἤπερ τοὐναντίον. λεπτὴ γὰρ οὖσα ἡ πόσθη διατιτρᾶται ῥᾳδίως. μετὰ δὲ τὴν ἀπόλυσιν τῆς προσφύσεως, ὀθόνιον λεπτὸν ὕδατι ψυχρῷ διάβροχον μεταξὺ θετέον τῆς βαλάνου καὶ τῆς πόσθης, ἵνα μὴ πάλιν πρόσφυσις γένηται. στύφοντι οἴνῳ ἐπιβρέχοντας αὐτά.

Περὶ τῶν περιτεμνομένων. νζ.

Οὐ περὶ τῶν διὰ σέβας ἐθνικὸν περιτεμνομένων νῦν ὁ λόγος ἡμῖν. ἀλλὰ περὶ τούτων, οἷς διαθέσεως αἰδοιικῆς γενομένης ἡ πόσθη μελαίνεται. χρὴ τοίνυν ἐπ' αὐτῶν τὸ μεμελασμένον ἅπαν διαιρεῖν κατὰ κύκλον. καὶ μετὰ τοῦτο, τῇ λεπίδι σὺν μέλιτι χρηστέον, ἢ καὶ σιδίοις καὶ ὀρόβου δίκην ἐμμότου. εἰ δ' αἱμορραγήσει ποτέ, τοῖς μηνοειδέσι καυτηρίοις χρηστέον, πρὸς ἀμφότερα συμβαλλομένοις, αὐτήν τε φημὶ τὴν αἱμορραγίαν καὶ τὴν νομὴν τοῦ τραύματος. εἰ δὲ ὅλη ποτὲ δαπανηθείη ἡ βάλανος, σωληνάριον μολιβδοῦν ἐνθέντος τῷ πόρῳ, δι' αὐτοῦ κελεύομεν ἀπουρεῖν τοὺς κάμνοντας.

Περὶ θύμων τῶν ἐν αἰδοίοις. νη.

Οἱ θύμοι σαρκώδεις εἰσὶν ὑπεροχαί, ποτὲ μὲν ἐπὶ τῆς βαλάνου, ποτὲ δὲ ἐπὶ τῆς πόσθης συνιστάμεναι. τούτων δὲ οἱ μέν εἰσι κακοήθεις, οἱ δὲ οὔ. τοὺς μὲν οὖν εὐήθεις ἀποξέειν ἀκμῇ σμιλίου προσήκει. καὶ τὴν χαλκῖτιν ἐπιπάττειν. ἐπὶ δὲ τῶν κακοήθων, μετὰ τὴν ἀφαίρεσιν, καύσει χρηστέον. εἰ δὲ καταλλήλων ἐν τῇ πόσθῃ γένωνται θύμοι, οἱ μὲν ἔνδον αὐτῆς, οἱ δὲ ἐκτός, χρὴ μὴ πᾶσιν αὐτοῖς ἀθρόως ἐπιχειρεῖν, ὅπως μὴ λάθωμεν τὴν πόσθην διατέμνοντες λεπτὴν οὖσαν. ἀλλὰ πρῶτον ἀφαιρεῖν τοὺς ἔνδον, καὶ μετὰ τὴν ἀπούλωσιν αὐτῶν, τότε καὶ τοὺς ἐκτὸς ἐπιχειρεῖν. τινὲς δὲ τῶν νεωτέρων ψαλίδι αὐτοὺς ἀποκείραντες, ἱππίᾳ τριχὶ ἀποδήσαντες ἐθεράπευον, ὥσπερ ἄλλοι ψυχροκαυτηρίῳ τούτους ἀποκαίουσιν.

Περὶ καθετηρισμοῦ καὶ κλυσμοῦ κύστεως. νθ.

Ἀπολειφθέντος οὔρου κατὰ τὴν κύστιν διά τινα ἔμφραξιν, οἷον ἀπὸ θρόμβων ἢ λίθων, ἢ ἄλλην αἰτίαν τινά, χρησώμεθα καθετηρισμῷ πρὸς κομιδὴν τοῦ περιττοῦ. λαβόντες οὖν πρὸς ἡλικίαν καὶ γένος ἁρμόζοντα καθετῆρα, εὐωδιάσωμεν αὐτόν. ὁ δὲ τοῦ εὐωδιασμοῦ τρόπος τοιοῦτός ἐστιν. ἔριον σμικρὸν λίνῳ δήσαντες κατὰ τὴν μεσότητα, τὸ λίνον τε διὰ ὀξυσχοίνου διαγαγόντες διὰ τῆς τοῦ καθετῆρος σύριγγος, τὸ ἔριον ἐφαρμόσωμεν τῷ τρήματι τῷ πρὸς τῷ πυθμένι τοῦ καθετῆρος. καὶ ψαλίσαντες τὰ ἐξέχοντα τοῦ ἐρίου, καθίσωμεν εἰς ἔλαιον τὸν καθετῆρα. τὸν δὲ κάμνοντα σχηματίσαντες εἰς καθέδριον, προκαταιονήσαντες, εἰ μή τι κωλύοι, λαβόντες τε τὸν καθετῆρα, καθήσωμεν ἐπ' εὐθείας πρῶτον ἄχρι βάσεως τοῦ καυλοῦ. κἄπειτα τὸ αἰδοῖον ἀνακλάσωμεν, ὡς πρὸς τὸν ὀμφαλόν. καὶ γὰρ ἀπὸ τούτου τοῦ μέρους σκολιὸς ὑπάρχει τῆς κύστεως ὁ πόρος. κἄπειθ' οὕτως τὸν καθετῆρα προσοίσωμεν. ἐπειδὰν δὲ κατὰ τὸν περίναιον πλησίον τῆς ἕδρας γένηται, πάλιν τὸ αἰδοῖον ἐγκειμένου τοῦ ὀργάνου κατακάμψωμεν εἰς τὸ κατὰ φύσιν ἐπάγοντες σχῆμα. ἀπὸ γὰρ περιναίου τῆς κύστεως ὁ πόρος ἄνω τείνει. προσβιβάσωμέν τε τὸν καθετῆρα, ἕως τὴν κύστιν κενεμβατήσῃ. μετὰ δὲ τοῦτο ἐπισπασώμεθα τὸ ἐγκείμενον τῷ καθετῆρι λίνον, ἵνα τῷ ἐρίῳ συνεφελκόμενον τὸ οὖρον ἐπακολουθήσῃ, καθάπερ ἐπὶ τῶν σιφώνων γίνεται. οὗτος μὲν ὁ τῆς καθέσεως τρόπος. ἐπειδὴ δὲ πολλάκις ἑλκωθεῖσαν κύστιν δεόμεθα κλύσαι. εἰ μὲν ὠτικοὶ κλυστῆρες δύναιντο παραπέμπειν τὸ ἔνεμα, ἐκείνοις χρησώμεθα κατὰ τὸν εἰρημένον τρόπον παραπέμποντες αὐτούς. εἰ δὲ μὴ δυνατὸν εἴη, τῷ καθετῆρι προσαρμόσαντες τὸ δέρμα, ἢ κύστιν βοείαν, διὰ τῆς τοῦ καθετῆρος ἐνέσεως ἐγκλύσωμεν.

Περὶ λιθιάσεως. ξ.

Τῆς τῶν λίθων γενέσεως τὴν αἰτίαν, καὶ ὅτι τοῖς μὲν παισὶν ἐν τῇ κύστει μᾶλλον, τοῖς δὲ προήκουσιν ἐν τοῖς νεφροῖς οἱ λίθοι γεννῶνται, δι' ἑτέρων ὑποδείξαντες, ἐπὶ τὸν τῆς λιθοτομίας χωρήσωμεν τρόπον. τὰ σημεῖα πρότερον τῶν ἐν τῇ κύστει προτάξαντες λίθων. οὐρούντων μὲν οὖν, ἔκκρισις ὑδατώδης αὐτοῖς γίνεται, ὑπόστασίς τε ψαμμώδης ἐν αὐτοῖς, καὶ κνηθομένοις συνεχῶς τὸ αἰδοῖον, χαλώμενόν τε καὶ αὖθις ἐντεινόμενον ἀλόγως, ὅτι δὴ καὶ ψηλαφῶσιν αὐτὸ συχνῶς, ὀρθιαζόμενοι καὶ μάλιστα τὰ παιδία. ἐν δὲ τῷ τραχήλῳ τῆς κύστεως ἐμπίπτοντος τοῦ λίθου, καὶ ἰσχουρία ἐξαίφνης γίνεται. τῶν δὲ λιθοτομουμένων, παῖδες μέν, ἄχρι τεσσαρεσκαίδεκα ἐτῶν εὐθεράπευτοι, διὰ τὴν τῶν σωμάτων μαλακότητα. γέροντες δὲ δυσθεράπευτοι, διὰ τὸ δυσελκὲς τοῦ σώματος. αἱ δὲ μεταξὺ τούτων ἡλικίαι, καὶ κατὰ τοῦτο μέσως πως ἔχουσι. καὶ πάλιν εὐθεράπευτοι μὲν οἱ μείζονας ἔχοντες λίθους, ὅτι τὰς φλεγμονὰς ἠθίσθησαν. δυσθεράπευτοι δὲ οἱ μικροτέρους, διὰ τὰ ἐναντία. τούτων οὕτως ἐχόντων ἐπὶ τὴν χειρουργίαν ἐρχόμενοι, τῇ διασείσει χρησώμεθα πρότερον. ποτὲ μὲν διὰ ὑπηρετῶν, ποτὲ δὲ καὶ αὐτοῦ τοῦ κάμνοντος πηδῶντος ἀφ' ὑψηλοῦ τινός. ἵν' ὁ λίθος ὑποβιβασθείη πρὸς τὸν τράχηλον τῆς κύστεως. ἔπειτα σχηματίσωμεν αὐτὸν ὥσπερ ὀρθοκαθήμενον, τὰς χεῖρας ὑπὸ τοὺς ἰδίους ἔχοντα μηρούς, ὅπως εἰς ὀλίγον χωρίον ἡ κύστις ὑποδράμῃ. εἰ μὲν οὖν ἁπτομένοις ἡμῖν ἔξωθεν, ὁ λίθος ὑποπίπτει κατὰ τὸν περίναιον ὑπὸ τῆς διασείσεως ἐκπεσών, πρὸς τὴν χειρουργίαν αὐ-

τόθεν τρεπόμεθα. εἰ δὲ μὴ ὑποπίπτοι, τὸν λιχανὸν τῆς ἀριστερᾶς χειρὸς δάκτυλον εἰ παιδίον τὸ νοσοῦν ἦ, καὶ τὸν μέσον ἐὰν τελειότερον, ἀναλείψαντες ἐλαίῳ καθίσωμεν εἰς τὴν ἕδραν. καὶ ὑπτίοις τοῖς δακτύλοις διερευνῶντες, ὑποπεσόντα τε τὸν λίθον κατὰ μικρὸν μετάγοντες εἰς τὸν τράχηλον τῆς κύστεως σφηνώσωμεν, καὶ τῷ δακτύλῳ ἢ τοῖς δακτύλοις ὠθοῦντες αὐτὸν πρὸς τὸ ἐκτὸς εὐσφηνωμένον, ὑπηρέτῃ τε προστάξαντες θλίβειν ταῖς χερσὶν τὴν κύστιν, ἑτέρῳ κελεύσωμεν ὑπηρέτῃ διὰ μὲν τῆς δεξιᾶς χειρὸς ἔχειν ἄνω τοὺς διδύμους, τῇ ἑτέρᾳ δὲ τὸν περίναιον ἀποτείνειν ἐπὶ θάτερα τῆς διαθησομένης τομῆς. αὐτοί τε λαβόντες τὸ καλούμενον λιθότομον, μεταξὺ μὲν τῆς ἕδρας καὶ τῶν διδύμων, μὴ κατὰ μέσου δὲ τοῦ περιναίου, ἀλλ' ἐπὶ θάτερα πρὸς τῷ ἀριστερῷ πυγαίῳ λοξὴν τὴν διαίρεσιν ἐμβαλοῦμεν κατ' ἐπικόπου τοῦ λίθου τέμνοντες, ὥστε τὴν τομὴν ἔξωθεν εὐρυχωρίαν ἔχειν, ἔνδοθεν δὲ μὴ πλέον ἢ ὥστε τὸν λίθον δυνηθῆναι δι' αὐτῆς ἐκπεσεῖν. ἔσθ' ὅτε γὰρ διὰ τῆς ἐπερείσεως τῶν κατὰ τὴν ἕδραν δακτύλων ἢ δακτύλου ἅμα τῇ τομῇ καὶ χωρὶς ἀναβολῆς χαριέντως ὁ λίθος ἐκπηδᾷ. εἰ δὲ μὴ ἐκπηδήσοι, τῇ διὰ τοῦ λιθουλκοῦ ἀναβολῇ τοῦτον ἐξελῶμεν. μετὰ δὲ τὴν τοῦ λίθου κομιδὴν τοῖς διὰ μάννης, λιβάνου καὶ ἀλόης, καὶ συμφύτου, ἢ καὶ μύσιος, καὶ τῶν ὁμοίων ἰσχαίμοις ξηροῖς τὴν αἱμορραγίαν στήσαντες, ἔρια ἢ πτύγματα οἰνελαίῳ δεύσαντες ἐπιθήσομεν, καὶ τοῖς λιθικοῖς ἤγουν ἐξαστελέσιν ἐπιδέσμοις χρησώμεθα. εἰ δέ τι δέος αἱμορραγίας εἴη, πτύγμα ἐπιβλητέον ἀπὸ ὀξυκράτου ἢ ὑδροροδίνου. καὶ ἀνακλίναντες τὸν κάμνοντα συχνότερον ἐπιβρέχομεν. κατὰ δὲ τὴν τρίτην λύσαντες ὑδρελαίῳ τε πολλῷ καταιονήσαντες, ἐμμότῳ τῇ τετραφαρμάκῳ χρησώμεθα, συχνότερον αὐτοὺς ἐπιλύοντες καὶ θεραπεύοντες, διὰ τὴν ἐκ τοῦ οὔρου δριμύτητα. εἰ δὲ φλεγμονή τις ἐπιγένηται, τοῖς πρὸς ταύτην καταπλάσμασί τε καὶ καταντλήμασιν χρησώμεθα. καὶ εἰς τὴν κύστιν ἐνιῶμεν ῥόδινον ἢ χαμαιμήλινον ἢ βούτυρον, εἰ μή τις ἡμᾶς φλεγμονὴ κωλύοι. ὁμοίως δὲ καὶ εἰ νομῶδες ἢ ἄλλως πως ἢ κακόηθες γένηται τὸ ἕλκος, πρὸς ἕκαστα καταλλήλως ἁρμοσώμεθα. ἀφλεγμάντου δὲ γενομένου τοῦ ἕλκους. λύσαντες αὐτούς, τῇ διὰ χυλῶν ἐμπλάστρῳ χρησώμεθα κατά τε τῶν ψοῶν καὶ τοῦ ὑπογαστρίου. παρ' ὅλον δὲ τὸν τῆς θεραπείας καιρὸν τοὺς μηροὺς ἅμα χρὴ δεσμεῖν, πρὸς τὸ τοῖς βοηθήμασιν ὑπηρετεῖν. εἰ δὲ μικρὸς ὑπάρχων ὁ λίθος ἐμπέσοι τῷ καυλῷ, καὶ μὴ δύναιτο ἐξουρηθῆναι. τὴν πόσθην ἰσχυρῶς εἰς τοὔμπροσθεν ἐπισπασάμενοι, ἐπιδήσωμεν αὐτὴν κατὰ τὸ ἄκρον τῆς βαλάνου. διαδήσωμεν δὲ καὶ ὄπισθεν τοῦ αἰδοίου τὸν καυλόν, πρὸς τὸ πέρας τὸ πρὸς τῇ κύστει τὴν διάσφιγξιν ἐπιβάλλοντες, κἄπειτα διέλωμεν κάτω τὸν λίθον κατ' ἐπικόπου αὐτοῦ τοῦ λίθου. κάμψαντες δὲ τὸν καυλὸν διεκβαλοῦμεν τὸ λιθίδιον. καὶ λύσαντες τοὺς δεσμοὺς ἐκθρομβώσωμεν τὸ ἕλκος. ὁ μὲν οὖν ὄπισθεν ἐπιβέβληται δεσμός, διὰ τὸ μὴ παλινδρομῆσαι τὸν λίθον ὀπίσω. ὁ δὲ ἔμπροσθεν, ἵνα μετὰ τὴν τοῦ λίθου κομιδὴν λυομένοις τῆς πόσθης ἀνταναβρέχων τὸ δέρμα καλύψῃ τὴν διαίρεσιν.

Περὶ τῶν περὶ τοὺς διδύμους σωμάτων. ξα.

Εἰς τὴν περὶ τῶν κηλοτόμων διδασκαλίαν συμβαλλομένους τῶν περὶ τοὺς διδύμους σωμάτων τοὺς ὅρους πρότερον ὑπογράφομεν. αὐτὸς μὲν οὖν ὁ δίδυμος, οὐσία ἐστὶν ἀδενώδης καὶ ψαφαρά, πεποιημένη εἰς τὴν τοῦ σπέρματος γόνιμον δύναμιν. οἱ δὲ παραστάται καὶ κρεμαστῆρες ὀνομαζόμενοι, ἐκφύσεις εἰσὶ τῆς τοῦ νωτιαίου μυελοῦ μήνιγγος σὺν φλεψὶν ἀρτηριώδεσιν ἐν τοῖς διδύμοις καθήκουσαι, δι' ὧν ἡ τοῦ σπέρματος εἰς τὸ αἰδοῖον γίνεται πρόεσις. τὰ σπερματικὰ δὲ ἀγγεῖα, φλέβες εἰσὶν ἀπὸ τῆς κοίλης φλεβὸς εἰς τοὺς ὄρχεις ἑλικοειδῶς φερόμενα, δι' ὧν οἱ δίδυμοι τρέφονται. ἑλικοειδής τε ἐστὶ χιτὼν νευρώδης τὴν φύσιν. κατὰ μὲν τὰ κυρτὰ καὶ ἔμπροσθεν τοῦ διδύμου ἀπόλυτος. κατὰ δὲ τὰ κοῖλα καὶ ὄπισθεν προσπεφυκὼς αὐτῷ, ἐκ τοῦ περιτοναίου τὴν γένεσιν ἔχων χιτών. τὸ δὲ μέρος τοῦτο καθὸ προσπέφυκε τῷ διδύμῳ, ὀπισθίαν πρόσφυσιν ὀνομάζουσι. δαρτοὶ δέ, εἰσιν οἱ κολλῶντες ὑμένες τὸ ἔξωθεν δέρμα πρὸς τὸν ἐρυθροειδῆ χιτῶνα προσφυόμενοι αὐτῷ, καθ' ἃ μέρη κἀκεῖνος ὄπισθεν τοῦ διδύμου προσφύεται. τοῦτο δὲ αὐτὸ τὸ ἔξωθεν ῥυσσὸν δέρμα περιβεβλημένον τοῖς ὄρχεσιν, ὄσχεος προσαγορεύεται.

Περὶ ὑδροκήλης. ξβ.

Ἀργὸν ὑγρὸν συλλεγόμενον περὶ τὸ μέρος τῶν τὸν ὄσχεον διαπλεκόντων σωμάτων, ὄγκον τε ἀπεργαζόμενον αἰσθητόν, ταύτης τῆς ὀνομασίας τετύχηκεν. συνίσταται μὲν οὖν ὡς τὰ πολλὰ τὸ ὑγρόν, ἐν ἐρυθροειδεῖ περὶ τὸν δίδυμον εἰς τοὔμπροσθεν μέρος. καθ' ὃ μάλιστα χωρίζεται τοῦ διδύμου ὁ ἐρυθροειδής. σπανίως δὲ καὶ ἐν τοῖς ἐξωτέρω τοῦ ἐρυθροειδοῦς ὑμένος τὸ πάθος συνίσταται. πολλάκις δὲ ἐν ἰδίῳ χιτῶνι περιέχεται τὸ ὑγρόν. καὶ καλοῦσιν οἱ χειρουργοὶ τοῦτο τὸ πάθος ἐπιγεννητῷ. εἰ μὲν οὖν διὰ προηγουμένην αἰτίαν, οἷον ἀσθένειαν τῶν μορίων τὸ πάθος συστῇ, τὸ λόγῳ τροφῆς προσφερόμενον αἷμα εἰς ὑδατώδη ἢ ὀρρώδη ἀργὴν οὐσίαν

μεταβάλλεται. εἰ δὲ διὰ πληγὴν, αἱματώδης ἢ τρυγώδης οὐσία περιέχεται. κοινὸν μὲν οὖν σημεῖον ὄγκος ἐστὶν ἀνώδυνος μόνιμος κατὰ τὸν ὄσχεον. καθ' οἵαν δήποτε περίστασιν οὐκ ἀφανιζόμενος. ἀλλ' εἴκων μὲν ἐπὶ τῶν ὀλίγον ἐχόντων τὸ ὑγρόν. οὐκ εἴκων δὲ ἐπὶ τῶν πολύ. καὶ ἐφ' ὧν μὲν ἐν ἐρυθροειδεῖ συνέστη τὸ ὑγρὸν, ὁ ὄγκος περιφερής ἐστι μικρὸν ὑπομήκης καθάπερ ᾠόν. καὶ τούτοις ὁ δίδυμος ἄδηλός ἐστι, οἷά τε πανταχόθεν περιπλεόμενος. εἰ δὲ ἐκτὸς τοῦ ἐρυθροειδοῦς ὑπὸ τοῖς δαρτοῖς εἴη, δι' ὀλίγον ὑποπίπτει σωμάτων. ἐν ἐπιγεννητῷ δὲ τοῦ ὑγροῦ συστάντος. διὰ τὴν ἁπανταχόθεν συστροφὴν καὶ σφαίρωσιν, ὁ ὄγκος ἑτέρου διδύμου παρέχει φαντασίαν. καὶ εἰ μὲν ὑδατῶδες εἴη τὸ ὑγρὸν, ὁμόχρους ὁ ὄγκος διαυγάζεται. εἰ δὲ τρυγῶδες ἢ αἱματῶδες, ἢ ἐνερευθὴς ἢ πελιδνὸς φαίνεται. εἰ δὲ ἐν ἀμφοτέροις τοῖς μέρεσι τοῦ ὀσχέου τὰ σημεῖα ταῦτα φανείη, δικήλους τούτους εἶναι ἱστέον. χειρουργοῦμεν δὲ τοῦτον τὸν τρόπον. ψιλώσαντες τὴν ἥβην καὶ τὸν ὄσχεον, εἰ μὴ παῖς ᾖ. κατακλίνωμεν αὐτὸν ὕπτιον ἐπὶ βάθρου, ὑποβάλλοντες τοῖς μὲν πυγαίοις, πολύπτυχον ῥάκος. τῷ δὲ ὀσχέῳ σπόγγον εὐμεγέθη. καὶ καθέντες ἐξ εὐωνύμων τοῦ κάμνοντος, ὑπηρέτῃ κελεύσωμεν ἐκ δεξιῶν αὐτοῦ τοῦ κάμνοντος καθεσθέντι, τό, τε αἰδοῖον ἀνατείνειν ἐπὶ θάτερα, καὶ τὸ δέρμα τοῦ ὀσχέου πρὸς τὸ ἐπιγάστριον ἐπιτείνειν. αὐτοὶ δὲ λαβόντες σμίλην, διέλωμεν τὸ ὄσχεον ἀπὸ τοῦ μέσου κατὰ μῆκος ἄχρι πλησίον τῆς ἥβης, εὐθυτενῆ τὴν διαίρεσιν παρέχοντες, παράλληλον τῇ διχοτομούσῃ τὸν ὄσχεον γραμμῇ. διαιροῦντες τέως τὸν ἐρυθροειδῆ. ἐν ἐπιγεννητῷ δὲ τοῦ ὑγροῦ ὄντος. καθ' ἃ ἡ κορυφὴ τοῦ ἐπιγεννητοῦ διασημαίνει χιτῶνος, κατεκεῖνα τὴν διαίρεσιν ἐμβαλοῦμεν. ἀγκίστροις δὲ τὰ χείλη τῆς τομῆς διαστήσαντες, τῷ τε ὑδροκηλικῷ κοπαρίῳ καὶ τῷ σμηλίῳ τοὺς δαρτοὺς ἐξυμενίσαντες, γυμνώσαντες δὲ τὸν ἐρυθροειδῆ, φλεβοτόμῳ μέσον αὐτὸν διέλωμεν κατεκεῖνα μάλιστα τὰ μέρη, καθ' ἃ τοῦ διδύμου ἀφέστηκε. καὶ τὸ ὑγρὸν ὅλον ἢ τὸ πλέον αὐτοῦ ἐν ἀγγείῳ τινὶ ἐκκενώσαντες, ἀγκίστροις τὸν ἐρυθροειδῆ περιέλωμεν, οἷον μάλιστα τὸ λεπτότατον αὐτοῦ μέρος. τοῦ ἐντεῦθεν δὲ, ὁ μὲν Ἄντυλλος ῥαφαῖς καὶ τῇ ἐναίμῳ θεραπείᾳ χρῆται. οἱ δὲ νεώτεροι, τῇ συσσαρκωτικῇ καλουμένῃ ἀγωγῇ. εἰ δὲ ὁ δίδυμος σῆψιν ἢ ἑτέραν τινὰ κάκωσιν ἔχων εὑρεθείη. τὰ ἀγγεῖα τὰ σὺν τῷ κρεμαστῆρι βρόχῳ διαλαβόντες, αὐτὸν τὸν κρεμαστῆρα διατέμνοντας ἐξελεῖν τὸν δίδυμον. καὶ ἐπὶ τῶν δικήλων τὸν αὐτὸν τρόπον διττῶς ἐνεργήσωμεν. τὰς διαιρέσεις ἑκατέρωθεν τὰ πρὸς βουβῶνας μέρη τοῦ ὀσχέου τέμνοντες. μετὰ δὲ ταῦτα καθέντες πυρῆνα σμίλης διὰ τῆς διαιρέσεως κάτω πρὸς τὸ πέρας τοῦ ὀσχέου, δι' αὐτοῦ τε τὸν ὄσχεον κυρτώσαντες, ἐπάκμῳ σμηλίῳ τὴν καθ' ὑπόρρυσιν παράγωμεν τομὴν, ἵνα καὶ οἱ θρόμβοι τοῦ αἵματος καὶ τὸ πῦον δι' αὐτῆς ἐκκενοῖντο. δι' αὐτοῦ δὲ τοῦ πυρῆνος τῆς σμίλης τὸν λημνίσκον πρὸς τὴν ἄνω διαίρεσιν διεκβάλλωμεν, καὶ παρασπογγίσαντες τοὺς μώλωπας, ἔρια ἐλαιοβραχῆ διὰ τῆς τομῆς κάτω πρὸς τὸν δίδυμον ἐμβαλοῦμεν. ἔξωθέν τε, ἄλλα ἔρια οἰνελαίῳ βραχέντα τῷ ὀσχέῳ ὑπογαστρίῳ καὶ βουβῶσι περιναίῳ τε καὶ ταῖς ψόαις ἐπεμβάλωμεν. καὶ πτύγμα τριπλοῦν ἐπὶ τούτοις ἁπλώσαντες. ἐπιδήσαντές τε τῷ ἐξασκελεῖ, καὶ τοῖς ἁρμοδίοις ἐπιδέσμοις. ἀνακλίνομεν τὸν ἄνθρωπον, ὑποβαλόντες ἔρια τῷ ὀσχέῳ, διὰ τὸ ἀναπαύεσθαι, καὶ τὸ δέρμα αὐτοῖς ἐφαπλώσαντες μαλακὸν εἰς ὑποδοχὴν τῶν ἐπιβρόχων. ἐπιβρέχωμεν δὲ ἐλαίῳ θερμῷ ἄχρι τῆς τρίτης ἡμέρας. μεθ' ἣν λύσαντα δεῖ ἐν μὲν τῷ τραύματι τῷ τετραφαρμάκῳ ἐμμότῳ χρῆσθαι τὸν λημνίσκον διὰ τῆς γύρεως ἀλλάττοντα. ἔξωθεν δὲ πάλιν τὰς ἐμβροχὰς ἐπιβλητέον διὰ τὴν φλεγμονὴν, ἄχρι τῆς ζ. μεθ' ἣν μοτοφυλακίῳ φαρμάκῳ χρησώμεθα. μετὰ δὲ τὴν τοῦ ἕλκους ἀνακάθαρσιν, καὶ μετρίαν σάρκωσιν, ἤδη λοιπὸν καὶ λουομένων αὐτῶν, τὸν λημνίσκον ἀφαιρετέον, καὶ τῇ λοιπῇ τῆς θεραπείας ἀκολουθίᾳ, καθ' ὡς ἔμπροσθεν εἴρηται χρηστέον. εἰ δὲ φλεγμονή τις εἴη ἢ αἱμορραγία ἤ τι τῶν τοιούτων ἐπιγένηται μεταξὺ, κατάλληλον δεῖ πρὸς ἕκαστον ἀπαντᾶν, ἵνα μὴ παλιλογοῦμεν. εἰ δὲ καῦσιν μᾶλλον ἐπὶ τῶν ὑδροκηλικῶν ὡς τοῖς νεωτέροις δοκεῖ παραλαμβάνοιμεν, πάντα τὰ πρὸ τῆς χειρουργίας καὶ μετὰ τὴν χειρουργίαν εἰρημένα πρακτέον. καὶ τὰ ἐν αὐτῇ δὲ τῇ χειρουργίᾳ. χωρὶς μόνου τοῦ σιδήρου τέμνειν, καὶ τῆς καθ' ὑπόρρυσιν διαιρέσεως. πυρώσαντες τοίνυν δέκα ἢ δώδεκα τῶν γαμμοειδῶν καυτήρων. καὶ μαχαιρωτοὺς δύο, πρῶτον μὲν τὸν ὄσχεον, τοῖς γαμμοειδέσι κατὰ μέσον διακαύσωμεν. κοπαρίῳ δὲ ἢ τυφλαγκίστρῳ τοὺς ὑμένας διαδέροντες, τῷ μαχαιρωτῷ καυτῆρι ὥσπερ διατέμνοντες καύσωμεν. γυμνωθέντα δὲ τὸν ἐρυθροειδῆ χιτῶνα. λευκὸς δὲ καὶ στεγανὸς ὢν ῥᾷστα γινώσκεται. τῷ ἄκρῳ τοῦ γαμμοειδοῦς διακαύ- τὸ ὑγρὸν ἐκκενώσωμεν. καὶ μετὰ ταῦτα γυμνωθὲν αὐτοῦ πᾶν ἀγκίστροις ἀνατείναντες τῷ μαχαιρωτῷ καυτῆρι ἕλωμεν.

Περὶ σαρκοκήλης καὶ πωροκήλης. ξγ.

Σὰρξ κατά τι μέρος γινομένη τῶν τὸν ὄσχεον καταπλεκόντων σωμάτων, τὸ σαρκοκηλικὸν ἐργάζεται

γαλίζεται πάθος. γίνεται δὲ ποτὲ κατὰ ἄδηλον αἰτίαν, ῥευματισθέντος τοῦ διδύμου καὶ σκιρρωθέντος. ἢ ἐκ πληγῆς, ἢ ἐξ ἀπείρου μετὰ κηλοτομίαν θεραπείας. παρέπεται δὲ καὶ τούτοις ὁμόχροια ἅμα σκληρότητι, σκιρρώδους μὲν ὄντος τοῦ ὄγκου, ἀχροιά τε καὶ ἀναισθησία. κακοήθους δὲ, πόνοι νυγματώδεις. χειρουργοῦντες τοίνυν σχηματίσωμεν ὡς καὶ πρώτην τὸν πάσχοντα. καὶ διέλωμεν ὡσαύτως. καὶ εἰ μὲν κατὰ συσσάρκωσιν διδύμου τὸ πάθος ὑπέστη, καὶ δαρτὸν καὶ ἐρυθρὸν ὁμοίως διέλωμεν. ἔπειτα τὸν δίδυμον ἀνατείναντες, καὶ τὸν ἐρυθρὸν ἔσω ἔξω κομίσαντες, διακρίναντες τὸν κρεμαστῆρα τῶν ἀγγείων, τὰ μὲν ἀγγεῖα διασφίγξωμεν, τὸν δὲ κρεμαστῆρα διακόψωμεν. τὸν δὲ συσσαρκωθέντα δίδυμον ὡς ἀλλότριον ἐκβάλλωμεν. εἰ δὲ περί τινα τῶν χιτώνων ἢ τῶν ἀγγείων ἡ συσσάρκωσις γίνεται, διελόντες τὸν ὄσχεον καὶ τοὺς ὑποκειμένους ὑμένας τῇ σαρκὶ, πᾶν τὸ σεσαρκωμένον περιέλωμεν. εἰ δὲ ἡ ὀπισθία πρόσφυσις σαρκωθείη, περιελόντες τὰ πέριξ αὐτοῦ, καὶ τὸν δίδυμον αὐτῇ συνεξέλωμεν. ἀδύνατον γὰρ χωρὶς αὐτοῦ μεῖναι τὸν δίδυμον. οἱ δὲ πῶροι κατά τε τὸν δίδυμον καὶ κατὰ τὸν ἐρυθροειδῆ συνίστανται, τῇ τε ἀντιτυπίᾳ τῇ πολλῇ καὶ σκληρότητι καὶ τῇ ἀνωμαλίᾳ σαρκοκήλης τε καὶ ὑδροκήλης διακρινόμενοι. καὶ τούτους οὖν χειρουργητέον, ὡς καὶ τὴν σαρκοκήλην.

Περὶ κιρσοκήλης καὶ πνευματοκήλης. ξδ.

Τὰ μὲν κατὰ τὸν ὄσχεον ἢ τοὺς δαρτοὺς ἀγγεῖα κιρσούμενα, κιρσοὺς ἁπλῶς ὀνομάζουσι. τὰ δ᾽ ἄλλα τὰ τρέφοντα τὸν δίδυμον ἐὰν ἀποκιρσωθῇ, κιρσοκήλην τὸ πάθος προσαγορεύουσι. τὰ δὲ σημεῖα τούτων εὔδηλα. σύστασις γὰρ ὀγκωδεστέρα, καὶ σκολιὰ κατὰ ποσὸν, βοτρυοειδὴς, καὶ χάλασμα τοῦ διδύμου προφαίνεται. καὶ ἄλλαι τινὲς δυσεργίαι, μάλιστα ἐν δρόμοις καὶ γυμνασίοις καὶ ὁδοιπορίαις. χειρουργοῦμεν δὲ αὐτοὺς, οὕτως. μετὰ τὸν οἰκεῖον σχηματισμὸν διαψηλαφήσαντες τὸν ὄσχεον, τὸν μὲν κρεμαστῆρα εἰς τὸ κάτω μέρος ἀπωσώμεθα. εὔγνωστος δὲ ἐστι λεπτότερός τε τῶν ἀγγείων καὶ στερρότερος καὶ ἀντιτυπῶν, οἷα δυνατὸς ὢν καὶ ἰσχυρός. καὶ ὁ κάμνων δὲ ἀλγεῖ κατὰ τὴν θλῖψιν αὐτοῦ. καὶ πρὸς τὸν καυλὸν τεταραγμένος. τὰ δὲ ἀγγεῖα διὰ τῶν δακτύλων, ἡμῶν τε καὶ ὑπηρέτου ἀπολαβόντος ἐν τῷ ὀσχέῳ, καὶ ἰσχυρῶς διατείναντος, λοξὴν ἐπισύρωμεν τὴν ἀκμὴν τοῦ σμιλίου, κατ᾽ ἐπικόπου τῶν ἀγγείων. εἶτα δι᾽ ἀγκίστρων καταπάρσεως ὑποδείραντες τὰ ὑποκείμενα τῷ δέρματι, τά τε ἀγγεῖα γυμνώσαντες, ὡς ἐν τῷ περὶ τῆς ἀγγειολογίας καὶ περὶ τῶν ἀνευρυσμάτων ἐλέγομεν. βελόνην διπλῆν ἔχουσαν λίνον διείραντες, καὶ κόψαντες τὴν ἀγκύλην τοῦ λίνου, κατά τε πρώτην αὐτῶν ἀποκίρσωσιν καὶ τὸ κάτω πέρας τὰ ἀγγεῖα βροχίσωμεν, μέσην δόντες ἐπ᾽ ὀρθὸν διαίρεσιν. καὶ τὸ συναχθὲν αἷμα κενώσαντες, τῇ τε πυοποιῷ θεραπεύσωμεν αὐτοὺς ἀγωγῇ, ὅπως καὶ οἱ βρόχοι σὺν τοῖς ἀγγείοις αὐτομάτως ἐκπέσωσιν. ὁ δὲ Λεωνίδης φησίν. ὡς ἐὰν μὲν τινὰ τῶν τρεφόντων τὸν δίδυμον ἀγγείων ἀποκιρσωθείη, οὕτω δὴ πράττειν. εἰ δὲ πάντα, σὺν αὐτοῖς καὶ τὸν δίδυμον χρὴ λαμβάνειν, ἵνα μὴ τῶν τρεφόντων ἐστερημένος ἀγγείων ἀπομαρανθείη. τὴν δὲ πνευματοκήλην, κατὰ γένος ἀνεύρυσμα τυγχάνουσαν. ὁ μὲν Λεωνίδης παντάπασιν ἀπαγορεύει χειρουργεῖν, διὰ τὸν ἐν χερσὶν ὑπὸ τῆς ἀνυποχέτου αἱμορραγίας κίνδυνον. οἱ δὲ νεώτεροι διττῆς οὔσης τῆς γενέσεως αὐτοῦ. τῆς μὲν ἀπὸ τῶν τεσσάρων ἀγγείων τῶν τρεφόντων τὸν δίδυμον γινομένης. τῆς δὲ ἀπὸ τῶν ἐν τοῖς δαρτοῖς καὶ περὶ ὄσχεον ἀρτηριῶν. ταύτην μὲν ἀπαγορεύουσι. τὴν δὲ προτέραν χειρουργοῦσι. διακρίνομεν δὲ αὐτὰς οὕτω, τὴν μὲν ἀπὸ τῶν ἀρτηριῶν γινομένην ῥᾳδίως πρὸς τὴν τῶν δακτύλων θλῖψιν ἀφανίζεσθαι. τὴν δὲ ἀπὸ τῶν τρεφουσῶν τὸν δίδυμον φλεβῶν, ἢ μηδ᾽ ὅλως ἢ μετὰ πολλῆς εὐλαβείας. χειρουργοῦμεν δὲ, ὡς ἐπὶ τῶν κιρσοκηλῶν εἴρηται, τῶν φλεβῶν ἑκάστην ἐκλαμβάνοντές τε καὶ ἀπολινοῦντες.

Περὶ ἐντεροκήλης. ξε.

Ἐντεροκήλη ἐστὶν, εἰς ὄσχεον ἐντέρου κατολίσθησις. γίνεται δὲ, ἢ διὰ ῥῆξιν τοῦ περιτοναίου ῥαγέντος κατὰ τὸν τοῦ κτενὸς τόπον. ἢ δι᾽ ἔκτασιν αὐτοῦ τοῦ περιτοναίου. ἀμφότερα μὲν οὖν ἥ τε ῥῆξις φημὶ καὶ ἡ ἔκτασις, γίνονται βίας τινὸς προηγησαμένης, οἷον πληγῆς, ἢ πηδήματος, ἢ κραυγῆς. ἡ δὲ κατ᾽ ἐπέκτασιν, ἰδίως, καὶ διὰ πάρεσιν, καὶ ἑτέρας τοῦ σώματος ἀσθενείας γίνεται. σημεῖα δὲ κοινὰ μὲν ἀμφοῖν ὅ, τε προφανὴς κατὰ τὸν ὄσχεον ὄγκος. καὶ τὸ, ἐν γυμνασίοις τε καὶ ἀλέαις καὶ κατοχῇ πνεύματος καὶ ταῖς ἄλλαις περιστάσεσι, μείζονα τὸν ὄγκον αὐτὸν ἑαυτοῦ γίνεσθαι. ἐν δὲ τῇ σημειώσει, βραδέως μὲν ἀνατρέχειν θλιβόμενον. ταχέως δὲ πάλιν αὐτίκα καταλισθαίνειν. ἄνωθεν δὲ τὸ ἔντερον κατὰ τοὺς ὑπτίους σχηματισμοὺς μένει κατὰ χώραν, ἕως ἂν ὀρθοὶ ἱστῶσι. καὶ ἡ τῆς κόπρου δὲ εἰς ὄσχεον ἀπόληψις, κίνδυνον αὐτοῖς πολλάκις ἐπήνεγκεν. ὀδυνῶνται γὰρ, ἔσθ᾽ ὅτε καὶ βορβορύζουσι πρὸς τὴν ἐπίθλιψιν. ἴδια δὲ σημεῖα τῶν μὲν κατ᾽ ἐπέκτασιν, τὸ μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος ἐν χρόνῳ, καὶ ἐπὶ τοῖς τυχοῦσιν αἰτίοις ἔσθ᾽ ὅτε τὴν κατολίσθησιν γίνεσθαι. καὶ τὸν ὄγκον, ὁμαλὸν καὶ βύθιον φαίνεσθαι, τοῦ κατολισθήσαντος ἐντέρου

τοῦ περιτοναίου περισφιγγομένου. τοῖς δὲ κατὰ ῥῆξιν, τὸ ἀθρόως ἐξ ἀρχῆς γίνεσθαι τὴν κατόλισθησιν, καὶ ἐπὶ βεβαίοις αἰτίαις μόνον. καὶ τὸν ὄγκον ὑπερμεγέθη ἀνώμαλόν τε καὶ ἐπὶ πολλῆς εὐθὺς ἐπὶ τοῦ δέρματι φαίνεσθαι, διὰ τὸ ἔξωθεν ἐκπίπτειν τοῦ περιτοναίου τὰ ἔντερα. εἰ μὲν οὖν τοῦ περιτοναίου ῥαγέντος ἐπίπλους μόνον ἐκπέσῃ κατὰ τὸν ὄσχεον, ἐπιπλοκήλη προσαγορεύεται τὸ πάθος. εἰ δὲ τὸ ἔντερον, ἐπιπλοεντεροκήλη. εἰ δὲ καὶ ὕδωρ ἐν ἐρύτρῳ φανείη, σύνθετος ἐκ τῶν τριῶν καὶ ἡ ὀνομασία γίνεται. ὅτι δὲ ταύτας, ὅτε τὰς κατὰ ῥῆξιν ἐντεροκήλην χειρουργίας ἀποβάλλομεν, μόνην δὲ τὴν κατ' ἐπέκτασιν ἐντεροκήλην χειρουργοῦμεν, τὸν δὲ τρόπον. μετὰ τὸν ὕπτιον σχηματισμόν, ἀνατείναντες σὺν τῷ ὑπηρέτῃ τὸ πρὸς τῷ βουβῶνι δέρμα, ἐγκαρσίως διέλωμεν. τέμνοντες ὅλον ὡς ἐπὶ τῆς ἀγγειολογίας. τινὲς δὲ οὐκ ἐγκαρσίως ἀλλ' ἐπ' ὀρθὸν τέμνουσιν. ἀγκίστρῳ τε καταπείραντες ἐξαπλώσωμεν τὴν διαίρεσιν, μέτρον ἔχουσαν ὅσον ὁ ἀναβαλλόμενος δίδυμος. εἶτα πάλιν ἄγκιστρα καταπείραντες ἐν τῷ τετάρτῳ δέρματι τῷ πλῆθος πρὸς τὸ τοῦ τραύματος μέγεθος, τυφλαγκίστρῳ ἢ κοπαρίῳ τοὺς ὑμένας καὶ τὴν πιμελὴν ὑποδέροντες, σμίλῃ διατέμνωμεν. γυμνωθέντος δὲ πανταχόθεν τοῦ περιτοναίου, καθέντες τὸν λιχανὸν δάκτυλον πρὸς τὰ ὄπισθεν τοῦ ὀσχέου, μεταξὺ περιτοναίου καὶ δαρτοῦ, τὴν ὀπισθίαν ἀπολύσωμεν πρόσφυσιν. κἄπειτα τῇ δεξιᾷ χειρὶ τὸ πέρας ἐνδιπλοῦντες ἐπὶ τὰ ἔνδον τοῦ ὀσχέου, ὁμοῦ τε τῇ ἀριστερᾷ τὸν περιτόναιον ἀνέλκοντες, πρὸς τὴν διαίρεσιν ἀναλάβωμεν τὸν δίδυμον ἅμα τῷ ἐρύτρῳ. καὶ τῷ ἑνὶ ὑπηρέτῃ κελεύσωμεν, ἀνατείνειν τὸν δίδυμον. αὖθι δὲ τὴν ὀπισθίαν πρόσφυσιν τέλεον ἀπολύσαντες κατανοήσωμεν τοῖς δακτύλοις, μή τι ἕλιξ ἐντέρου συναπείληπται κατὰ τὸν ἐρυτροειδῆ, καὶ κάτω πρὸς τὴν γαστέρα ταύτην ὠθήσωμεν. εἶτα λαβόντες βελόνην εὐμεγέθη λίνον ἔχουσαν διπλοῦν δεκάπλοκον, πρὸς τὸ πέρας τοῦ περιτοναίου τὸ πρὸς τῇ διαιρέσει κατὰ μέσον διείρωμεν. κόψαντες δὲ τὴν διπλόην, τέσσαρας ἀρχὰς ποιήσωμεν. καὶ ταύτας κατὰ χῖ δεσμὸν ἀντεμπλέξαντες ἐξ ἀμφοτέρων, τὸν περιτόναιον, ἰσχυρῶς ἀποσφίγξωμεν. καὶ πάλιν τὰς ἀρχὰς περιειλίσαντες, ἐπισφίγξαντες μὲν γενναίως ὡς μηδὲν τῶν τρεφόντων ἀγγείων, ἔτι χορηγεῖν δύνασθαι, ἵνα μὴ ἐντεῦθεν φλεγμονὴ γένηται, τὸν δεύτερον ἐξωτέρω δεσμὸν ἐμβάλλομεν ἧττον ἢ δύο δακτύλους ἀπέχοντα τοῦ προτέρου. μετὰ δὲ τούτους τοὺς δεσμούς, ὅσον δακτύλου μέγεθος ἐάσαντες τοῦ περιτοναίου, ὅλον αὐτὸν κατὰ κύκλον ἀποτέμωμεν. συναφαιροῦντες δηλαδὴ καὶ τὸν δίδυμον. καὶ πάλιν τὴν καθυπόρρυσιν τοῦ ὀσχέου παραχόντες διαίρεσιν, τόν τε λημνίσκον διεκβάλλοντες, τάς τε ἐλαιοβραχεῖς ἐμβροχὰς καὶ τοὺς ἐπιδέσμους ὡς ἐπὶ τῶν ὑδροκηλικῶν ἐπιβαλόντες. ἅπαντα τὰ λοιπὰ καθάπερ ἐκεῖσε λέλεκται διαπραξώμεθα. τινὰς δὲ τῶν οὐκ ἀφυῶν χειρουργῶν οἶδα μετὰ τὴν ἐκτομὴν τοῦ ἐρυθροειδοῦς καυτῆρσι διαπύροις τὸ πέρας αὐτοῦ ἐπικαίοντας διὰ φόβον αἱμορραγίας ὡς ἔοικεν. οὗτοι δὲ αὐτοὶ μετὰ τὴν χειρουργίαν ἔλουον εὐθὺς τοὺς κάμνοντας ἐν πυέλῳ μακρᾷ ξυλίνῃ, θερμὸν ὕδωρ ἐχούσῃ μέχρι τῶν ζ ἡμερῶν, ἕως πεντάκις τοῦ νυχθημέρου τοῦτο πράττοντες. καὶ μάλιστα ἐπὶ τῶν παιδίων. καὶ θαυμασίως ἐξέβαινεν, ἀφλεγμάντων τε μενόντων αὐτῶν καὶ τῶν βρόχων ἅμα τοῖς σώμασι ταχέως ἀποπιπτόντων. ἐν δὲ τῷ μεταξὺ τοῦ λούεσθαι χρόνῳ, τὰς εἰρημένας ἐπιβροχὰς ἐπέβαλλον. ἕτερος δέ τις πρὸς τοῖς εἰρημένοις, καὶ πέπερι λείῳ σὺν ἐλαίῳ τὴν ῥάχιν αὐτῶν κατὰ τὸν χρόνον τοῦτον ἀνέτριβεν.

Περὶ βουβωνοκήλης. ξϛ.

Τῆς γινομένης κατ' ἐπέκτασιν ἐντεροκήλης, βουβωνοκηλικὸν προηγεῖται νόσημα. τὸ πρῶτον γὰρ ἐπεκτεινομένου περιτοναίου χαλώμενον τὸ ἔντερον, τέως μὲν ἀφίσταται κατὰ τὸν βουβῶνα, καὶ ποιεῖ τὴν βουβωνοκήλην. ἥν τινα χειρουργοῦσιν οἱ ἀρχαιότεροι τόνδε τὸν τρόπον. μετὰ τὸ δοθῆναι τὴν διαίρεσιν, ὅσον δακτύλων τὸ μῆκος τριῶν ἐγκαρσίων κατὰ τὸ ἐξογκούμενον τοῦ βουβῶνος, τοὺς ὑμένας τε καὶ τὴν πιμελὴν ἐκλαβεῖν. κατὰ τὸ μέσον τοῦ περιτοναίου γυμνωθέντος καθ' ὃ κορυφοῦται, πυρῆνα ταττέσθω σμίλης. ἀπωθεῖται γὰρ οὕτως εἰς τὸ βάθος τὰ ἔντερα. τὰς οὖν ἐπαναστάσεις τοῦ περιτοναίου τὰς ἑκατέρωθεν γινομένας τοῦ διὰ πυρηνοσμίλης, ῥαφαῖς πρὸς ἀλλήλας ζυγώσομεν. ἔπειτα τὸν πυρῆνα ἐξελκύσωμεν. οὔτε τὸν περιτόναιον ἀποκόπτοντες, οὔτε τὸν δίδυμον ἀναβάλλοντες, οὔτε ἄλλο οὐδέν. ἀλλ' ἐναίμῳ θεραπεύοντες ἀγωγῇ. ἐπειδὴ δὲ τοῖς νεωτέροις ἡ καῦσις μᾶλλον ἐπὶ τῶν βουβωνοκηλικῶν προκέκειται, καὶ ταύτην εἰκότως παραδώσωμεν. τοίνυν ἔσω τῷ ἀνθρώπῳ μετὰ σύμμετρον κίνησιν, βιαιότερον βήττειν καὶ ἐντείνεσθαι μετὰ κατοχῆς τοῦ πνεύματος. τοῦ δὲ ὄγκου κατὰ τὸν βουβῶνα φανέντος, μέλανι γραφικῷ ἢ κολλουρίῳ τὸ χωρίον τὸ μέλλον καίεσθαι περιγράψωμεν κατὰ τρίγωνον σχῆμα, πρὸς τὴν βουβῶνος θέσιν ἄνω τὴν ἐγκαρσίαν γραμμὴν τάττοντες. ἐμβάλλωμέν τε καὶ σημεῖον κατὰ μέσον τοῦ τριγώνου. ἀνακλιθέντος δὲ τοῦ κάμνοντος, πυρώσαντες καὶ καυτῆρας ἐμβάλλομεν

κατὰ

κατὰ τοῦ μέσου σημείου πρῶτον τοὺς ἥλους, εἶτα κατὰ τὰς πλευρὰς τοῦ τριγώνου τοὺς γαμμοειδεῖς. καὶ τρίτον, τοῖς πλινθωτοῖς ἢ φακωτοῖς, ὅλον τὸ τρίγωνον ἐξομαλίσωμεν. ὑπηρέτου παρ' ὅλην τὴν καῦσιν ῥάκει τοὺς ἰχῶρας ἐκμάσσοντος. ἕως τὸ τε κατὰ βάθος καίοντες, ἕως οὗ πιμελὴν φθάσαντες ἐπὶ τῶν συμμέτρων τὴν ἕξιν. ὅτε γὰρ ἐπὶ τῶν ἀπιμέλων διὰ ξηρότητα τοῦ σημείου πρὸς ἐκτέον, ἵνα μὴ λάθωμεν αὐτοὺς τὸ περιτόναιον καίοντες. οὐ μὴν ἐπὶ τῶν παχυτέρων τε καὶ πιμελωδεστέρων, ἐφ' ὧν καὶ πρὸ τῆς αὐτάρκους καύσεως ἡ πιμελὴ φαίνεται. μᾶλλον δὲ τῶν τεχνικῶν τὴν συμμετρίαν ἐξευρωμεν στοχασμῷ. μετὰ δὲ τὴν καῦσιν, ἅλας ἅμα πράσῳ λειώσαντες, ἐμβάλωμεν τῇ ἐσχάρᾳ, καὶ τῷ Βυβωνικῷ χιοειδεῖ ἐπιδέσμῳ χρησώμεθα. ταῖς δ' ἑξῆς ἡμέραις, τοῖς ἀπεσχαρωτικοῖς φαρμάκοις οἷον φακωμέλιτι καὶ τοῖς ὁμοίοις ἀνθεραπεύσωμεν.

Περὶ ῥακώσεως ὄσχεου. ξζ.

Χαλωμένου τοῦ κατὰ τὸν ὄσχεον δέρματος χωρὶς τῶν ἔνδον αὐτοῦ σωμάτων, ἡ ῥάκωσις γίνεται, πάθος ἀπρεπὲς ὄν. ὁ μὲν οὖν Λεωνίδης ὕπτιον ἀνακλίνας τὸν ἄνθρωπον. σμίλῃ κατ' ἐπικόπου σανιδίου τινὸς ἢ σκληροῦ δέρματος, τὸ περιττὸν ἐξέτεμνε, καὶ ῥαφαῖς ἐζεύγνυε τὰ χείλη. ὁ δὲ Ἀντύλλος καὶ ῥαφαῖς πρότερον τρισὶν, ἢ τέτρασι τὸ περιττὸν διακεντήσας δέρμα, ψαλίδι ἐπάκμῳ ἢ σμίλῃ. τοῦτο μετὰ τὰς ῥαφὰς ἐξέτεμνε. καὶ ῥαφαῖς ἐπασφαλισάμενος, ἐναίμως ἐθεράπευε.

Περὶ εὐνουχισμοῦ. ξη.

Σκοπὸν ἐχούσης τῆς ἡμετέρας τέχνης, τὰ παρὰ φύσιν ἐπὶ τὸ κατὰ φύσιν ἐπανάγειν τὰ σώματα, τῆς ἐναντίας ὁ εὐνουχισμὸς ἐπαγγελίας τετύχηκεν. ἀλλ' ἐπειδὴ καὶ ἄκοντες πολλάκις ὑπό τινων ὑπερεχόντων εὐνουχίζειν ἀναγκαζόμεθα. λεκτέον ὡς ἐν ἐπιτόμῳ τὸν τρόπον τῆς ἐγχειρήσεως. διττὸς δέ ἐστιν οὗτος. ὁ μὲν περὶ θλάσιν, ὁ δὲ κατ' ἐκτομήν. ὁ μὲν κατὰ θλάσιν οὕτως ἐπιτελεῖται. ἔτι νήπια ὄντα τὰ παιδία ἐπικαθέζεται εἰς λεκάνην θερμοῦ ὕδατος. ἔπειτα ὅταν χαλασθῇ τὰ σώματα ἐν αὐτῇ τῇ λεκάνῃ, τοῖς δακτύλοις θλᾶς τὰ διδύμια, ἕως οὗ ἀφανισθῇ, καὶ διαλυθέντα, μηκέτι τῇ ἁφῇ συνεστῶτα ὑποπέσῃ. ὁ δὲ κατ' ἐκτομὴν τρόπος τοιοῦτός ἐστιν. ὕπτιος σχηματιζέσθω ἐπὶ βάθρου ὁ εὐνουχιζόμενος, καὶ τοῖς δακτύλοις τῆς ἀριστερᾶς χειρὸς πιεζέσθω ὁ ὄσχεος σὺν τοῖς διδύμοις. καὶ διαταθεὶς, ἐπ' ὀρθὸν τεμνέσθω σμίλῃ δύο τομαῖς, μιᾷ καθ' ἕτερον δίδυμον. ἐκπηδήσαντες δὲ οἱ δίδυμοι ἐκτεμνέσθωσαν διαδερόμενοι, λεπτοτάτης μόνον συνεχείας τῆς κατὰ τὴν φύσιν τῶν ἀγγείων καταλιμπανομένης. οὗτος ὁ τρόπος τοῦ κατὰ θλάσιν προκέκειται. οἱ γὰρ τεθλασμένοι ποτὲ καὶ συνουσίας ὀρέγονται, μέρους τινὸς, ὡς ἔοικε, τῶν διδύμων ἐν τῇ θλάσει διαλανθάνοντος.

Περὶ ἑρμαφροδίτων. ξθ.

Τὸ ἑρμαφρόδιτον πάθος κατὰ σύνθεσιν ἀπό τε ἑρμοῦ καὶ ἀφροδίτης ὠνόμασται, πολλὴν παρέχον ἀπρέπειαν ἀμφοτέροις τοῖς γένεσιν. τεσσάρων γὰρ οὐσῶν κατὰ Λεωνίδην τῶν διαφορῶν αὐτοῦ. αἱ μὲν τρεῖς ἐπὶ τῶν ἀνδρῶν συνίστανται. ἡ δὲ μία ἐπὶ τῶν γυναικῶν. ἐπὶ μὲν γὰρ τῶν ἀνδρῶν. ποτὲ μὲν περὶ τὸν περίναιον, ποτὲ δὲ περὶ τὸ μέσον ὄσχεον, θέσις αἰδοίου γυναικείου τετριχωμένου φαίνεται. τρίτη δὲ πρὸς ταύτης, καθ' ἣν ἐπί τινων διὰ τοῦ περὶ τὸν ὄσχεον οἷον αἰδοίου τὰ οὖρα προχεῖται. ἐπὶ δὲ τῶν γυναικῶν, ἀνωτέρω τοῦ αἰδοίου κατὰ τὸ ἐφήβαιον ἀνδρείου πολλάκις αἰδοίου θέσις εὑρίσκεται. τριῶν τινῶν ἐξεχόντων σωματίων, ἑνὸς μὲν ὥσπερ καυλοῦ, δυοῖν δὲ καθάπερ διδύμων. ἡ μὲν οὖν τρίτη τῶν ἀνδρῶν, καθ' ἣν τὸ οὖρον διὰ τοῦ ὀσχέου ἐκκρίνεται, ἀνίατός ἐστιν. αἱ λοιπαὶ δὲ τρεῖς θεραπεύονται, τῶν περιττῶν ἀφαιρουμένων σωματίων, καὶ ὡς ἑλκῶν θεραπευομένων.

Περὶ νυμφοτομίας καὶ κερκώσεως. ο.

Ὑπερμεγέθης ἐνίαις γίνεται νύμφη, καὶ εἰς ἀπρέπειαν αἰσχύνης ἀπαντᾷ. καθ' ὡς δέ τινες ἱστοροῦσι. ἔνιαι διὰ τοῦ μέρους καὶ ὀρθιάζουσιν ἀνδράσιν ὁμοίως καὶ πρὸς συνουσίαν ὁρμῶσι. διόπερ ὑπτίας ἐσχηματισμένης τῆς γυναικὸς, μυδίῳ κατασχόντες τὸ περιττὸν τῆς νύμφης ἐτέμνομεν σμίλῃ. φυλαττόμενοι τὸ ἐκ βάθους αὐτὴν ἐκτέμνειν. ἵνα μὴ ῥυαδικὸν ἐκ τούτου γένηται πάθος. καὶ τὴν κέρκωσιν δὲ, σαρκώδη ἔκφυσιν οὖσαν ἀπὸ τοῦ στομίου τῆς μήτρας, ἀναπληροῦσαν τὸ γυναικεῖον αἰδοῖον, ποτὲ δὲ καὶ εἰς τὰ ἔξω δίκην κέρκου προπίπτουσαν, παραπλησίως ἀφαιρετέον τῇ νύμφῃ.

Περὶ τῶν ἐν τοῖς γυναικείοις τόποις θύμων καὶ κονδυλωμάτων καὶ αἱμορροΐδων. οα.

Ὁ μὲν θύμος ὑπεροχή τίς ἐστιν, ποτὲ μὲν ἐνερευθὴς, ποτὲ δὲ λευκή. κατὰ τὸ πλεῖστον ἄπονος, ἐμφερὴς τοῖς τοῦ θύμου κορύμβοις. τὰ δὲ κονδυλώματα, στολιδώδεις ἐπαναστάσεις εἰσὶν, ὥσπερ οὖν αἱμορροΐδες, παραπλήσιοι ταῖς περὶ τὴν ἕδραν, ποτὲ δὲ καὶ αἱμορραγοῦσι. πάσας οὖν τὰς

φιαί-

τοιαύτας ἐν ταῖς γυναιξὶν ὑπεροχὰς ὑπ' ὄψιν γινομένας, ἐν τῷ γυμνάσαι, μυδίῳ διακρατήσαντες, ἡμισπαθίῳ τῇ ἀκμῇ ἐκτέμωμεν. καὶ χρησώμεθα κικίδι λείᾳ ἢ ξυστῇ συνηθείᾳ. τὴν γὰρ ἀγκαλίνωσιν ἐπὶ τούτων οἱ μείζονες τῶν χειρουργῶν οὐ προσίενται.

Περὶ ἀτρήτων καὶ φίμου, οβ.

Ἀτρητοὶ κατὰ τὰ γεννητικὰ μόρια γίνονται γυναῖκες, ὅτε μὲν ἐκ φύσεως, ὅτε δὲ διὰ ἐπιγεννήματος, νόσου τινὸς προηγησαμένης. καὶ ποτὲ μὲν ἐν βάθει, ποτὲ δὲ ἐν τοῖς πτερυγώμασι, ἢ ἐν τοῖς μεταξὺ χωρίοις. καὶ ἢ κατὰ φύσιν ἢ δι' ἔμφραξιν. τὸ δὲ διαφράττον, ἢ σὰρξ ἐστὶν ἢ ὑμήν. παραποδισμὸν δὲ οὐ πολὺν ἐργάζεται τὸ πάθος, ὅτε μὲν ἐν τῇ συνουσίᾳ, ὅτε δὲ ἐν τῇ συλλήψει ἢ τῇ ἀποτέξει, ἐνίοτε δὲ καὶ κατὰ τὴν ἔμμηνον κάθαρσιν. εἰ δὴ διὰ παντὸς εἴη διαφράττων ὑμὴν ἢ σάρξ. ἐπὶ τινῶν γὰρ ἐν τῷ μέσῳ τέτρηται. τὴν αἰτίαν τοίνυν εὑρηκότες ἢ κατὰ τὸ πρόχειρον ἢ καὶ καθέσει διόπτρας. εἰ μὲν σύμφυσις μόνον εἴη, ταύτην ὀρθῇ διαιρέσει διὰ συριγγοτόμου ἀπολύσωμεν. εἰ δὲ διάτασις, ἀγκίστρῳ καταπείρσει τὸ μεταξὺ σῶμα εἴτε ὑμὴν εἴτε σὰρξ εἴη τείναντες, τῷ συριγγοτόμῳ διέλωμεν. καὶ στήσαντες τὴν αἱμορραγίαν, ἀδήκτοις ξηραίνουσι φαρμάκοις. ἔπειτα τοῖς ἀπουλωτικοῖς χρησώμεθα, πριαπίσκον τινὶ τῶν ἀπουλωτικῶν χρισθέντα φαρμάκων ὑποτιθέντες, ἐφ' ὧν μάλιστα μὴ πάνυ διὰ βάθους ἡ χειρουργία γέγονεν, ὑπὲρ τοῦ μὴ πάλιν φυῆναι τὰ μόρια. καὶ ὁ φίμος δὲ κατὰ τὸ στόμα συνιστάμενος τῆς ὑστέρας, ὡσαύτως χειρουργεῖται.

Περὶ ἀποστήματος ὑστέρας. ογ.

Περὶ τὸ στόμιον τῆς ὑστέρας συστάντος ἀποστήματος, δυναμένου ἀχθῆναι ὑπὸ χειρουργίαν, οὐ προχείρως ἐπὶ τὴν τομὴν σπευστέον. ἀλλὰ τελειωθείσης μετὰ τῆς διαθέσεως, αὐξηθείσης δὲ ἐπὶ τὸ πλεῖστον τῆς φλεγμονῆς, λεπτοποιηθέντων δὲ τῶν ἐπικειμένων ὑγρῶν σωμάτων διὰ τὴν κενότητα τῆς ὑστέρας. ἐν δὲ τῷ ἐνεργεῖν, σχηματιζέσθω ἡ γυνὴ ἐπὶ δίφρου ὑπτία, συνηγμένα ἔχουσα τὰ σκέλη πρὸς τὸ ὑπογάστριον, καὶ τοὺς μηροὺς ἀπ' ἀλλήλων διεστῶτας. ὑποβεβλήσθωσαν δὲ αὐτῆς αἱ χεῖρες ὑπὸ τὰς ἰγνύας, καὶ βρόχοις τοῖς καταλλήλοις ἀνειλήφθωσαν πρὸς τὸν αὐχένα. ὁ δὲ ἐνεργῶν ἐκ τῶν δεξιῶν μερῶν καθεζόμενος, διοπτριζέτω τῇ πρὸς τὴν ἡλικίαν καταλλήλῳ διόπτρᾳ. δεῖ δὲ διοπτρίζοντα διὰ μήλης ἀναμετρεῖσθαι τὸ τοῦ κόλπου τοῦ γυναικείου βάθος, ἵνα μὴ μείζονος ὄντος τοῦ τῆς διόπτρας λωτοῦ, θλίβεσθαι συμβαίνῃ τὴν ὑστέραν. κἂν εὑρεθῇ τοῦ κόλπου μείζων ὁ λωτός, τὰ πτύγματα ἐπιτιθέσθω κατὰ τῶν πτερυγωμάτων, ἵνα κατ' αὐτῶν ἡ διόπτρα ἑδράζηται. δεῖ δὲ καθιέναι τὸν λωτὸν εἰς τὸ ἄνω μέρος τὸν κοχλίαν ἔχοντα, καὶ κρατεῖσθαι μὲν τὴν διόπτραν ὑπὸ τοῦ ἐνεργοῦντος, στρέφεσθαι δὲ τὸν κοχλίαν διὰ ὑπηρέτου, ἵνα διισταμένων τῶν ἐλασμάτων τοῦ λωτοῦ, διαστέλληται ὁ κόλπος. ὑποπεσὸν δὲ τὸ ἀπόστημα, εἰ εὐαφὲς καὶ λεπτὸν ὑπάρχοι, ὅπερ ὑπὸ ἀφῆς δακτύλου ὑποπίπτει, διαιρείσθω κατὰ τὴν κορυφὴν σπαθίῳ ἢ κατιάδι. καὶ διὰ τοῦ τομίου μετὰ τὴν ἔκκρισιν τοῦ πύου λημνίσκος τρυφερώτατος δι' ἐλαίου ῥοδίνου τιθέσθω. ἢ μᾶλλον ἔξω τῆς διαιρέσεως εἰς τὸν γυναικεῖον κόλπον χωρὶς συνώσεως. ἔξωθεν δὲ τῶν πτερυγωμάτων καὶ κατὰ τοῦ ἤτρου καὶ ὀσφύος, ἔρια οἰσυπηρὰ ἢ καθαρὰ ἐλαίῳ δεδευμένα ἐπιτιθέσθω. τῇ δὲ τρίτῃ, ἐγκαθίζειν ὑδρέλαιον θερμὸν ἢ μαλάχης ἀφέψημα. καὶ ἀπομάξαντας ἐνθεῖναι τὸν λημνίσκον πράως εἰς τὴν διαίρεσιν, κεχρισμένον τῇ τετραφαρμάκῳ καθ' αὐτήν, ἢ σὺν ἀπέφθῳ μέλιτι. ἔσω δὲ ἀνιεμένῃ διὰ βουτύρου ἢ ῥοδίνου. καταπλάσμασί τε τὸ ἔξωθεν σκέπειν, ἕως ἀφλέγμαντα γένηται καὶ καθαρά. εἰ δὲ δυσκόλως ἀνακαθαίροιτο, ἐκκλυστέον δι' ὠτικοῦ, ἴρεως ἀφεψήματι, ἢ ἀριστολοχίας, ἢ μέλιτι. ἐπουλοῦν δέ, τῇ διὰ καδμίας ἀνιεμένῃ οἴνῳ διὰ μοτοῦ βρεχομένου. εἰ δὲ ἐντὸς τοῦ στομίου τῆς ὑστέρας ἡ ἀπόστασις εἴη, τὴν χειρουργίαν παραιτητέον.

Περὶ ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας. οδ.

Τὴν τῶν δυστοκουσῶν ἐπιμέλειαν ἐν τῷ τρίτῳ παραδεδωκότες βιβλίῳ, εἰ μὴ πρὸς ἐκείνην ὁ τόκος κατορθοῖτο, ἐπὶ τὴν χειρουργίαν εἰκότως τρεπώμεθα, σημειούμενοι πρότερον εἴτε περιεκτικῶς ἔχει ἡ γυνή, εἴτε μή. καὶ εἰ μὲν σώζοιτο, τηνικαῦτα ἐγχειρήσωμεν. εἰ δὲ μή, τὴν ἐγχείρησιν παραιτητέον. αἱ μὲν οὖν ὀλεθρίως διακείμεναι, καταφέρονται ληθαργικῶς καὶ παρετοί εἰσιν, καὶ δυσανάκλητοι. κἂν ἀνακληθῶσι πρὸς τὰς ἐμβοήσεις, ἀσθενῶς ἀποκρινάμεναι πάλιν καταφέρονται. τινὲς δὲ καὶ συνέλκονται σπασμωδῶς, ἢ δονοῦνται τὸ νευρῶδες, ἢ ἀφροφοῦσιν. ὁ σφυγμὸς δὲ διογκωμένος ἰσχυρῶς καταλαμβάνεται. ἀμυδρὸς δὲ καὶ ἀσθενής. αἱ δὲ σωθησόμεναι, οὐδὲν τούτων πάσχουσιν. κατακλιθείσης τοίνυν ἐπὶ κλίνης ὑπτίας τῆς γυναικός, καὶ μᾶλλον καταρρόπου, τὰ σκέλη ἐπηρμένα διακρατήτωσαν ἑκατέρωθεν γυναῖκες, ἢ ὑπηρέται τινές. εἰ δὲ μὴ παρείησαν, διά τινων δεσμῶν τῷ κλινιδίῳ τὸν θώρακα προσκαταλαμβανέτω τῆς γυναικός.

γυναικός. ὥστε μὴ πρὸς τοὺς ἐπισπασμοὺς ἀκολουθεῖν τὸ σῶμα, διὰ ὁλκῆς τὸν τόνον ὑπεκλύειν. καὶ περιστελλομένων τῶν πτερυγωμάτων διὰ ὑπηρέτου, τὴν εὐώνυμον χεῖρα συνηγμένων μετ' εὐρώστων δακτύλων λελεπτυσμένην καθιέναι πρὸς τὸ στόμα τῆς μήτρας, καὶ διευρύνειν αὐτό, ἐλαιοχυτουμένων δὲ τούτων, περιχαλᾶν καὶ ζητεῖν ποῦ καταπαρτέον τὸν ἐμβρυουλκόν. ἐπιτήδειοι δὲ πρὸς κατάπαρσιν τόποι, τῶν μὲν ἐπὶ κεφαλὴν καταφερομένων, ὀφθαλμοὶ καὶ ἰνίον καὶ στόμα πρὸς οὐρανίσκον, ἀνθερεών τε καὶ κλεῖδες καὶ οἱ παρὰ τὰς πλευρὰς καὶ ὑποχόνδριοι τόποι. τῶν δὲ ἐπὶ τοὺς πόδας, τὰ ὑπὲρ τῆς ἥβης ὀστᾶ καὶ μεσοπλεύρια, καὶ κλεῖδες πάλιν. καὶ ἔπειτα τὸν ἐμβρυουλκὸν τῇ δεξιᾷ χειρὶ κατέχειν, τὴν καμπὴν δὲ αὐτοῦ τοῖς δακτύλοις ἐγκρύψαντα, τῇ εὐωνύμῳ χειρὶ πρᾴως συνεισφέρειν. καὶ καταπείρειν ἔν τινι τῶν εἰρημένων τόπων ἄχρι κενεμβατήσεως. καὶ ἀντιθεῖναι τοῦτον δεύτερον, ὅπως ἰσόρροπος ᾖ μὴ ἑτεροκλινὴς ὁ ἐπισπασμὸς ἐπιτελοῖτο. εἶτα ἑλκύειν ὁμαλῶς, μὴ μόνον ἐπ' εὐθείας ἀλλὰ καὶ εἰς τὰ πλάγια. καθάπερ ἐπὶ τῆς κομιδῆς τῶν ὀδόντων γίνεται. καὶ μὴ αὖθις ἀνεῖναι τὴν τάσιν ἐν τῷ μεταξύ. κἄπειτα τὸν λιχανὸν δάκτυλον λελεπισμένον ἢ καὶ πλείονας καθιέντα, μεταξὺ τοῦ τε στόματος τῆς ὑστέρας καὶ τοῦ σφηνωθέντος σώματος, περιάγειν κυκλοτερῶς οἱονεὶ περιδέροντα. ἐπακολουθοῦντος δὲ κατὰ λόγον τοῦ ἐμβρυουλκοῦ, εἰς τὰ ὑπερκείμενα μεταφέρειν δεήσει, καὶ οὕτω πράττειν ἕως τελείας ἐξολκῆς τοῦ ἐμβρύου. περιβεβλημένου δὲ χειρὸς καὶ ἀνατρέπεσθαι μὴ δυναμένου διὰ τὴν σφήνωσιν, περιβαλόντας δεῖ ῥάκος εἰς τὸ μὴ διολισθαίνειν, πρᾴως ἐπισπᾶσθαι, καὶ προπεσὸν ὅλον ἀποκόπτειν ἀπὸ τοῦ ὤμου. τὸ αὐτὸ δὲ ποιεῖν, καὶ εἰ τὰ δύο χεῖρα προπέσοι. ὁμοίως δὲ καὶ τοὺς πόδας προπίπτοντας μὴ συνακολουθοῦντος τοῦ λοιποῦ σώματος, ἀπὸ τῶν βουβώνων ἀποκοπτέον. ἔπειτα πειρᾶσθαι τὸ λοιπὸν σῶμα διαστρέφειν. εἰ δὲ μείζονος τοῦ κεφαλαίου τυγχάνοντος, ἡ σφήνωσις γίνοιτο, ὑδροκεφάλου μὲν ὄντος τοῦ ἐμβρύου, πολυπικῷ σπαθίῳ ἢ καλαμίδι ἢ σκολοπομαχαιρίῳ, κρυπτομένῳ κατὰ τοὺς δακτύλους. τὸ κρανίδιον διελεῖν, ἵνα κενωθὲν συμπέσοι. εἰ δὲ φυσικῶς ἀδροκέφαλον, ἐνδιελόντα ὁμοίως τὸ κρανίον συνθλᾶν, διὰ ὀδοντάγρας ἢ ὀστάγρας. καὶ εἰ ὑπερέχει τὰ ὀστᾶ, κομίζεσθαι ταῦτα. εἰ δὲ περιβιβασθείσης τῆς κεφαλῆς κατὰ τὸν θώρακα σφήνωσις γένηται, ὑπὸ αὐτῷ ὀργάνῳ διαιρείσθωσαν οἱ περὶ τὰς κλεῖς τόποι μέχρι κενεμβατήσεως. ἵνα τοῦ ὑγροῦ κενωθέντος, ὁ θώραξ συμπέσοι. εἰ δὲ μὴ συμπίπτοι, διελόντα καὶ τὰς κλεῖς α[illegible]ας ἀφαιρεῖν δεῖ. τηνικαῦτα γὰρ συμπεσεῖται. εἰ δὲ τὸ ὑπογάστριον ἐμπεφυσημένον εἴη, τεθνηκότος τοῦ ἐμβρύου ἢ ὑδρωπικοῦ τυγχάνοντος, τῇ αὐτῇ μεθόδῳ, κενοῦν αὐτὸ σὺν αὐτοῖς τοῖς ἐντοσθιδίοις. τῶν δὲ ἐπὶ πόδας ἐπιφερομένων. ἡ μὲν παρέγκλισις ῥᾳδίως ἀπευθύνεται πρὸς τὸ στόμα τῆς ὑστέρας. εἰ δὲ κατὰ τὸν θώρακα ἢ τὸ ἐπιγάστριον σφηνωθῇ, διὰ ῥάκους ἐπισπαστέον αὐτό, καὶ κατὰ τὸν αὐτὸν τρόπον διαιρεῖν τὰ περιεχόμενα. εἰ δὲ τῶν λοιπῶν ἀφῃρημένων τὸ κεφάλαιον προσαναδραμὸν ἐγκατασχεθείη, καθιέναι τὴν ἀριστερὰν χεῖρα, κἂν μὲν διεστηκὸς ᾖ τὸ στόμα τῆς ὑστέρας, ἐπιχαλᾶν τὴν χεῖρα κατὰ τὸ βάθος, καὶ τὸ κεφάλαιον ἀναζητηθέν, μετακυλῆσαι τοῖς δακτύλοις πρὸς τὸ στόμιον. ἔπειτα ἐμβρυουλκὸν ἕνα ἢ δεύτερον καταπείραντες διὰ φλεγμονὴν τοῦ στομίου μὴ βιάζεσθαι, ἀλλ' ἐγχυματισμοῖς λιπαροῖς καὶ δαψιλέσι χρῆσθαι, ἐγκαθίσμασί τε καὶ ἐμβροχαῖς, καὶ καταπλάσμασιν. ὅπως διαστάντος τοῦ στομίου κομισθῇ καθὰ προείρηται. τὰ δὲ πλάγια τῶν ἐμβρύων. εἰ μὲν ἀπευθύνοιτο, ταῖς εἰρημέναις χρῆσθαι μεθόδοις. εἰ δὲ μή, ἔνδον ὅλον αὐτὸ κατατέμνοντα κομίζεσθαι κατὰ μέρος, φυλαττόμενον μή τι τῶν μορίων αὐτοῦ διαλαθὸν ἔνδον καταλειφθείη. μετὰ δὲ τὴν χειρουργίαν. ταῖς πρὸς τὰς φλεγμονὰς τῆς ὑστέρας ἐπιμελείαις χρηστέον. εἰ δὲ καὶ αἱμορραγία γένοιτο, καὶ ταύτης ἔχεις τὴν θεραπείαν.

Περὶ χορίου ἐκλείψεως. οε'.

Πολλάκις μετὰ τὴν τοῦ ἐμβρύου κομιδὴν ἐγκατέχεται κατὰ τὴν ὑστέραν τὸ χορίον. ὃ δὴ καὶ δεύτερον καλεῖται. διεστῶτος μὲν οὖν τοῦ στομίου τῆς μήτρας, καὶ αὐτοῦ τοῦ χορίου ἀπολελυμένου, καὶ παρά τι μέρος τῆς ὑστέρας σφαιροειδῶς συνεστραμμένου. ῥᾴστη οὖν ἡ κομιδή. τὴν γοῦν χεῖρα τὴν ἀριστερὰν θερμὴν ᾖ λελεπισμένην εἰς τὸ βάθος δεῖ καθιέναι, καὶ ὑποπεσὸν τὸ δεύτερον ἐκβαλεῖν. εἰ δὲ προσπεφυκὸς εἴη τῷ τῆς ὑστέρας πυθμένι, καθιέναι μὲν ὁμοίως τὴν χεῖρα. συλλαμβάνοντα δὲ τὸ χορίον τείνειν. μὴ δι' ἐπ' εὐθείας, διὰ τὸν τῆς προπτώσεως φόβον. μὴ δὲ μετὰ βίας ἰσχυρᾶς, ἀλλὰ πεθινίως τὸ πρῶτον μετάγειν εἰς τὰ πλάγια, τῇ καὶ τῇ παραφέροντα. εἶτα κατὰ τὸ πλέον εὐτονώτερον. ἐπακούει γὰρ οὕτω, καὶ ἀπολύεται τῆς προσφύσεως. εἰ δὲ μεμυκὸς εὑρεθείη τὸ στόμιον τῆς ὑστέρας, ταῖς εἰρημέναις πρὸς τοῦτο χρηστέον θεραπείαις. εἰ δὲ μὴ ἀσθενὴς ἡ δύναμις εἴη, καὶ πταρμικοῖς χρῆσθαι καὶ ὑπατμοῖς ἐν χύτρᾳ διὰ τῶν ἀρωμάτων. καὶ εἰ διαστείη τὸ στόμιον τῆς ὑστέρας, καθιέντα τὴν χεῖρα πειρατέον ἐξέλκειν ὡς εἴρηται. εἰ δὲ μὴ δι' οὕτω κομισθείη, οὐ προσήκει ταράττεσθαι. μεθ' ἡμέρας γὰρ ὀλίγας μυδῆσαν καὶ διαλυό-

διαλυόμενον εἰς ἰχῶρας ἐκπίπτῃ. ἀλλ᾽ ἐπεὶ τῇ δυσωδίᾳ κεφαλήν τε σφόδρα καὶ στόμαχον ἀνατρέπει, θυμιατέον τὰ κατάλληλα. δεδοκίμασται δὲ τὸ καρδάμωμον καὶ ξηρὰ σῦκα.

Περὶ καύσεως ἰσχιάδων. οϛ.

Ὥσπερ ὁ ὦμος, οὕτως καὶ τὸ ἰσχίον διὰ πλῆθος ὑγρότητος κλίσιν δεξάμενον τὴν καῦσιν ἀπαιτεῖ. οὕτως οὖν Ἱπποκράτης φησίν, ὁκόσοισιν ὑπὸ ἰσχιάδος χρονίης τὸ ἰσχίον ἐξίσταται, φθίνει τὸ σκέλος, καὶ χωλοῦνται εἰ μὴ καυθῶσι. δεῖ τοίνυν κἀνταῦθα κατ᾽ ἐκεῖνον μάλιστα τὸν τόπον καίειν ἔνθα τὸ ἄρθρον ἐξίσταται. οὕτως γὰρ ἂν τὸ πλεονάζον ὑγρὸν ξηρανθείη. καὶ ὁ τόπος ἐκ τῆς οὐλῆς πυκνούμενος, οὐκέτι τὸ ὀστοῦν ὑποδέξεται. διὸ καὶ ἄχρι συχνοῦ βάθους ἐνταῦθα δεῖ τὴν καῦσιν ἐργάζεσθαι. οἱ δὲ νεώτεροι τρεῖς ἐσχάρας παρέχουσι καίοντες. μίαν μὲν ὀπίσω κατὰ τὴν κοιλότητα τοῦ σφαιρώματος. ἑτέραν δὲ ἀνωτέρω τοῦ γόνατος κατὰ τὸ ἐκτός. καὶ τρίτην ἀνωτέρω τοῦ ἐκτὸς ἀστραγάλου κατὰ τὸ σαρκωδέστερον.

Περὶ συρίγγων καὶ κηρίων. οζ.

Περὶ τῶν ἐν ἕδρᾳ συρίγγων, ἀπαιτοῦντος τοῦ τόπου διαλαβεῖν, οὐδὲν ἂν εἴη χεῖρον διαλεχθῆναι πρότερον περὶ τῶν καθόλου συρίγγων. ἡ τοίνυν σῦριγξ, κόλπος ἐστὶ τετυλωμένος, ποσῶς ἀνώδυνος, ἐν τοῖς πλείστοις τῶν μορίων συνιστάμενος. γίνεται δὲ τὰ πολλὰ ἐξ ἀποστημάτων μὴ καλῶς θεραπευθέντων. ὁ δὲ τύλος ναστή τίς ἐστι καὶ λευκὴ καὶ ἄναιμος σάρξ, διὸ καὶ ἀνώδυνος, μήτε φλεβὸς μήτε νεύρου διατείνοντος εἰς αὐτήν. καὶ ποτὲ μὲν ξηρὸς ὁ κόλπος, ποτὲ δὲ καθυγραινόμενος. τὸ δ᾽ ὑγρὸν ὅτε μὲν ἀδιαλείπτως φέρεται, ὅτε δὲ καὶ ἐνδίδωσι, κατά τινας καιροὺς ἀποφραττομένου τοῦ στομίου, καὶ αὖθις ἀναστομουμένου. καὶ ποτὲ μὲν εἰς ὀστοῦν αἱ σύριγγες ἀποπερατοῦνται. ποτὲ δὲ εἰς νεῦρον ἢ ἄλλο τι τῶν κυρίων. ἢ εὐθυτενεῖς οὖσαι, ἢ σκολιαί. καὶ ἢ μονόστομοι ἢ πολύστομοι. τὰς μὲν οὖν εἰς ἀρτηρίας μεγάλας ἢ νεῦρα ἢ τένοντας ἀξιολόγους ἢ ὑπεζωκότα ἤ τι τῶν κυρίων κινδυνωδῶν μορίων, ἢ οὐ δι᾽ ὅλως ἢ καὶ μετὰ πολλῆς καὶ τεχνικῆς χειρουργητέον εὐλαβείας. ταῖς δὲ λοιπαῖς, τόνδε τὸν τρόπον ἐγχειρησόμεθα. σημειωσώμεθα πρότερον. εἰ μὲν εὐθυτενὴς εἴη, κοπαρίῳ. εἰ δὲ σκολιά, διαπυρήνῳ εὐκαμπεῖ. τοιαῦτα δέ εἰσι τὰ κασσιτέρινα, καὶ τῶν χαλκῶν τὰ λεπτότατα. ἐφ᾽ ὧν δὲ δύο ἢ πλείονα στόμια εἰσί, τῇ διὰ τοῦ πυρήνου σημειώσει μὴ πειθόμενα. κλύσαντες τὸν κόλπον δι᾽ ἑνὸς τῶν στομίων, ἐκ τῆς εἰς τὰ λοιπὰ στόμια τοῦ κλύσματος διόδου εὑρήσομεν. εἴτε μία πολύστομός ἐστιν εἴτε πλείονες σύριγγες. καὶ μετὰ τὴν σημείωσιν, εἰ μὲν ἐπιπολῆς ὁ κόλπος εἴη, καὶ στενός, καθέσει μήλης αὐτὸν ἀπλώσαντες. σμίλῃ κατὰ τὸ οἰκεῖον σχῆμα τὸν τύλον περιέλωμεν, ἢ τοῖς ὄνυξιν ἢ τῇ ἀκμῇ τοῦ σμιλίου ἀποξύοντες. εἰ δὲ καὶ πλάτος ἔχει, τὰ περιττὰ τῶν σωμάτων περιαιρετέον. εἰ δέ γε μὴ ἐπιπολῆς, ἀλλὰ διὰ βάθους ἐπ᾽ ὀρθὸν χωρεῖ, ἄχρις οὗ δυνάμεθα κατὰ βάθος αὐτὸν διελόντες, κατὰ κύκλον περιέλωμεν ὅλον τὸν τύλον. εἰ δέ τι αὐτοῦ περιλίποιτο, φαρμάκῳ καυστικῷ αὐτὸν δαπανήσωμεν. εἰ δὲ πολὺς ὢν φαρμάκῳ μὴ πείθοιτο, καυστηρίοις σιδηροῖς αὐτὸν ἐσχαρώσωμεν. εἰ δὲ εἰς ὀστοῦν ἡ σῦριγξ καταλήγει, ἀπαθὲς μὲν ὂν αὐτὸ μόνον ξύσωμεν. τερηδονισμένου δὲ ἢ ἄλλως πως διεφθορότος αὐτοῦ, τὸ πεπονθὸς ὅλον διὰ ἐκκοπέων ἀντιθέτων περιέλωμεν, εἰ δέοι, πρότερον τρυπάνῳ περιτρυπήσαντες. εἴτε ἄχρι διαπνοῆς μόνον, εἴτε ἄχρι μυελοῦ εἴη πεπονθός. εἰ δὲ καὶ ὀστοῦν ὑπερέχοι καθάπερ ἀποκαυλισθέν, ἀποπρίσωμεν αὐτό. λαβόντες οὖν δύο τελαμῶνας, τοῦ μὲν ἑνὸς τὴν μεσότητα τῷ ἐξέχοντι ὑποβαλοῦμεν ὀστέῳ ἀνατεινόμενοί τε αὐτῷ διὰ ὑπηρέτου. τοῦ δὲ λοιποῦ παχυτέρου ὄντος ἢ καὶ ἐξ ἐρεοῦ πεποιημένου, ὁμοίως τὴν μεσότητα τῇ ὑπὸ τὸ ὀστέον ἐφαρμόσαντες σαρκί. καὶ τὰς ἀρχὰς κάτω λαβόντες, διὰ αὐτοῦ τοῦ τελαμῶνος τὴν σάρκα κάτω κελεύσωμεν ἕλκεσθαι, ἵνα μὴ τοῖς ὀδοῦσι τοῦ πρίονος ἡ σὰρξ διαξαίνοιτο, καὶ οὕτως ἡμεῖς τὴν ἀπόπρισιν ποιούμεθα. ὅπου δὲ μόριόν τι τῶν κυρίων ὑπόκειται, οἷον ὑπεζωκὼς ἢ νωτιαῖος μυελὸς ἤ τι τοιοῦτον. ἐν τῷ ἐκκόπτειν ἢ πρίζειν ὀστοῦν, μηνιγγοφύλακα ὑποβαλοῦμεν. μὴ πεπονθότος δὲ τοῦ ὀστέου, ὅλου δὲ κατὰ κύκλον γυμνοῦ εἴη σαρκός, ἀποπριστέον αὐτὸ κατὰ τὸν ὅμοιον τρόπον. ἀδύνατον γὰρ κατὰ κύκλον περιπλεόμενα ὀστᾶ σαρκωθῆναι. ὁμοίως δὲ εἰ ἀποπεράτωσις ὀστέου πλησίον ἄρθρου πεπόνθοι, ἀποπριστέον αὐτήν. καὶ εἰ ὅλον δὲ πολλάκις ὀστοῦν, οἷον πῆχυς ἢ κερκὶς ἢ κνήμη ἤ τι τοιοῦτον ἐφθορὸς εἴη, ὅλον ἀφαιρετέον. μηροῦ δὲ κεφαλὴν ἢ ἰσχίον ἢ νωτιαῖον σπόνδυλον πεπονθότα, ἐγχειρίζειν παραιτητέον διὰ τὸν ἐκ τῶν παρακειμένων ἀρτηριῶν κίνδυνον. δεῖ οὖν τὴν μέθοδον οὕτω πράττειν, ἐν τοῖς καθ᾽ ἕκαστα, πανταχοῦ θέσιν τε καὶ γειτνίασιν καὶ συγγένειαν τῶν πεπονθότων ἐπισκοπουμένους μορίων. μέγεθός τε τοῦ νοσήματος, καὶ ῥώμην τὴν τοῦ κάμνοντος δυνάμεως. Καὶ τὸ κηρίον δέ, κόλπος ὂν συριγγώδης μελιτώδει περιρρεόμενος ὑγρασίᾳ, τῇ τῶν συρίγγων καὶ τῶν ἄλλων κόλπων ὑπαγέ-

ὑπαγέσθω χειρουργίᾳ τε καὶ ἀκροθεραπείᾳ.

Περὶ τῶν ἐν ἕδρᾳ συρίγγων. οη.

Τὰς κατὰ τὴν ἕδραν σημειωτέον σύριγγας. τὰς μὲν κρυπτὰς, ἐκ τοῦ μὴ φαινομένου στομίου πόνον αὐταῖς γίνεσθαι. καὶ ὑγρασίαν πυώδη διὰ τῆς ἕδρας προχεῖσθαι. τοῖς πλείστοις δὲ, καὶ ἀποστήματος σημεῖα φθάνει προηγησάμενα. τὰς δὲ φανερὰς, ἐκ τῆς τοῦ κοπαρίου ἢ τῆς τριχὸς τῆς χοιρείας καθέσεως. κενεμβατεῖ γὰρ πρὸς τὸ βάθος τὸ ὄργανον, καὶ τῷ λιχανῷ δακτύλῳ παραπεμφθέντι κατὰ τὴν ἕδραν ὑποπίπτει συντετρημένης δηλονότι τῆς σύριγγος ἐπὶ τὰ ἐντός. ἐπὶ δὲ τῶν ἀσυντρήτων οὐκ ἀμέσως ὁμιλεῖ τῷ δακτύλῳ τὸ ὄργανον, ἀλλὰ διὰ μέσου τοῦ μένοντος ἀσυντρήτου σώματος. τὰς δὲ σκολιὰς καὶ λαβυρινθώδεις, ἐκ τοῦ τὸ μὲν ὄργανον ἐπ᾽ ὀλίγον χωρεῖν. τὸ δὲ πύον πρὸς τὴν ἀναλογίαν πολὺ φέρεσθαι. τὰς δὲ πλησίον τοῦ ἐντέρου γινώσκομεν, ἐκ τοῦ ποτὲ καὶ ἑλμίνθια καὶ κόπρον διὰ τοῦ στομίου φέρεσθαι. σχεδὸν δὲ ἐπὶ πάντων τύλος τις κατὰ τὸ στόμιον προφαίνεται. ἀθεράπευτος μὲν οὖν ἐστι σύριγξ ἡ τράχηλον συντρήσασα τῆς κύστεως, ἢ πρὸς τὸ ἄρθρον τοῦ μηροῦ, ἢ πρὸς αὐτὸ τὸ ἀπευθυσμένον χωρήσασα. δυσίατος δὲ ἡ ἀστόμοτος καὶ κρυπτὴ καὶ εἰς ὀστέον λήγουσα, καὶ πολυσχιδής. αἱ δὲ λοιπαὶ τοὐπίπαν εὐίατοι. χειρουργοῦμεν δὲ αὐτὰς οὕτως. ὑπτίου τοῦ κάμνοντος ἐσχηματισμένου, καὶ τὰ σκέλη ἄνω ἔχοντος, ὥστε τοὺς μηροὺς ἐπὶ τὴν γαστέρα νεύειν, καθάπερ ἐπὶ τῶν κλυζομένων τὴν κοιλίαν. εἰ μὲν οὖν ἐπιπολῆς ὑποπίπτοι τὸ πέρας τῆς σύριγγος, ὑποβαλόντες κοπάριον ἢ μηλωτίδα διὰ τοῦ στομίου, ἐκτέμνομεν ἁπλῇ διαιρέσει τὸ ὑποκείμενον δέρμα. εἰ δὲ εἰς τὸ βάθος τῆς ἕδρας λήγοι τὸ πέρας τῆς σύριγγος, καθέντες κοπάριον διὰ τοῦ στομίου, εἰ μὲν συντετρημένην αὐτὴν εὕροιμεν, τῇ καθέσει τοῦ κατὰ τὴν ἀντικειμένην τῷ πεπονθότι σφαιρώματι χεῖρα λιχανοῦ δακτύλου ἐπιβαλλόμενοι τῆς ἀρχῆς τοῦ κοπαρίου, καὶ κατακάμπτοντες, ἀνάγωμεν αὐτὸ πρὸς τὸ ἐκτός. καὶ διαιρέσει ἁπλῇ τὰ ἐπικείμενα τῷ κοπαρίῳ ἀπολύσωμεν σώματα. εἰ δὲ μήπω συντετρημένη ἡ σύριγξ εὑρίσκοιτο, περατοῖτο δὲ μόνον πρὸς τὸ βάθος τῆς ἕδρας, καὶ σημειουμένοις ἡμῖν ὑποπίπτοι διὰ τοῦ λιχανοῦ δακτύλου τὸ τοῦ κοπαρίου πέρας, λεπτοῦ δηλονότι τινὸς καὶ ὑμενώδους ὄντος ἐν τῷ μεταξὺ σώματος, τοῦτο βιαιότερον ἐκτρήσωμεν τῇ τοῦ κοπαρίου ἀρχῇ, καὶ διαγαγόντες διὰ τῆς ἕδρας τὸ κοπάριον, τῷ σμιλίῳ, πάλιν τὰ ἐπικείμενα αὐτῷ ἀπολύσωμεν σώματα καθὼς ἔμπροσθεν εἴπομεν. ἢ γοῦν τοῦ δρεπάνου τοῦ συριγγοτόμου τῷ ὀξεῖ τὸν πρὸς τῇ ἕδρᾳ πυθμένα τοῦ κόλπου ἐκτρήσαντες, αὐτό τε τὸ ὄργανον διὰ τῆς ἕδρας διεμβαλόντες, αὐτόθεν ὅλον τὸ μεταξὺ τῇ ἀκμῇ τοῦ δρεπάνου διατέμωμεν. καὶ μετὰ τὴν ἐκτομὴν, μυδίῳ ἢ σταφυλάγρᾳ τὰ περὶξ τῆς διαιρέσεως σώματα διακρατήσαντες, τύλοι δέ εἰσιν ὡς ἐπίπαν, περιέλωμεν αὐτὰ, φυλαττόμενοι πανταχοῦ τὸν σφιγκτῆρα μῦν. τινὲς γὰρ ἀτεχνότερον ἐν βάθει τεμόντες, ἔτρωσαν αὐτόν. κἀντεῦθεν ἀκούσιος ἔκκρισις κόπρου τῷ ἀνθρώπῳ συνέβαινεν. εἰ δέ τινες ὑπὸ δειλίας τὴν χειρουργίαν φεύγοιεν, τῇ Ἱπποκρατείῳ χρηστέον ἀπολινώσει. παρακελεύεται γὰρ Ἱπποκράτης λίνον πεντάπλοκον ὠμὸν, διὰ τετρημένου κοπαρίου ἢ διαπυρήνου διαγαγεῖν διὰ τῆς σύριγγος, καὶ συνάψαι τὰς ἀρχὰς τοῦ λίνου, καὶ καθ᾽ ἡμέραν ἐπισφίγγειν, ἕως ὅλον τὸ μεταξὺ τῶν δύο στομίων σῶμα διατμηθὲν ἀποπτύσῃ τὸ λίνον. εἰ δὲ χρονίζοι, πρὸς τὴν ἀπόλυσιν καὶ τοῦ ψαροῦ ἤ τινος τριώτου ξυρείου δεῖ παρεμπλάττοντα τὸ λίνον διασύρειν. τινὲς δὲ ἐν τῷ τρήματι τοῦ συριγγιακοῦ δρεπάνου τὸ λίνον ἐνείραντες, κατὰ τὸν εἰρημένον διαβιβάζουσι τρόπον. ὅπερ οἶμαι μὴ χρῆναι. φεύγοντες γὰρ τὴν χειρουργίαν, πρὸς ταύτῃ καὶ τὸ βραδὺ τῆς θεραπείας προσκτῶνται. περὶ δὲ τῶν κρυπτῶν συρίγγων, ὁ μὲν Λεωνίδης ταυτά φησιν. ὅταν δὲ βαθεῖα τυγχάνῃ τὸν σφιγκτῆρα συνεσυριγγωκυῖα, ἤτοι ἀπὸ τοῦ δακτυλίου ἀρξαμένη, ἢ καὶ ἐπὶ πολὺ κεχωρηκυῖα μὲν τῷ σφιγκτῆρι, κατασκευασμένη μετὰ τὴν δεδηλωμένην σημείωσιν, τῷ ἑδροδιαστολεῖ, τῷ μικρῷ διοπτρίῳ, λέγω διαστεῖλαι τὴν ἕδραν ὡς γυναικεῖον κόλπον. ὅταν δὲ φανερὸν γένηται τὸ τῆς σύριγγος στόμιον, δι᾽ αὐτοῦ καθιέσθω ὁ τῆς μηλωτίδος πυρὴν. καὶ διωθείσθω εἰς τὸ βάθος. ἐπικόπου τε ὄντος τοῦ ἐλάσματος, ὅλη διαιρείσθω ἡ σύριγξ τῷ ἡμισπαθίῳ ἢ σπαθίῳ συριγγοτόμῳ. ἡμεῖς δὲ τοιαύτῃ περιτυχόντες διαθέσει. τούτῳ μὲν τῷ τρόπῳ, τῆς χειρουργίας οὐκ ἠδυνήθημεν χρήσασθαι, διὰ τὸ μὴ ὑποπίπτειν τῇ ὁράσει τὴν ὑποφορὰν τῆς σύριγγος. μεταξὺ γὰρ ἦν δακτυλίου τε καὶ σφιγκτῆρος, κατὰ τὸ δεξιὸν τεταγμένη μέρος. καὶ ὁ διαστολεὺς μᾶλλον ἐπεσκότιζε τῇ ἐνεργείᾳ. ἐπεὶ δὲ διὰ τῶν δακτύλων διαστέλλουσιν ἡμῖν ῥαγάς τις ὑπεφαίνετο κατὰ μίαν τινὰ τῶν τοῦ δακτυλίου ῥυτίδων, ὥσπερ ἀπόρροια τῆς σύριγγος ὑπάρχουσα. καὶ γὰρ τὸ πύον δι᾽ αὐτῆς ὑπέρρει. ἐθεωρήσαμεν δὲ διὰ ταύτης τοῦ κοπαρίου τὸν πυρῆνα παραπέμψαι πρὸς τὴν σύριγγα, καθάπερ ποδηγούμενοι πρὸς αὐτῆς. κἄπειτα τὸν λιχανὸν τῆς δε-

ξιᾶς χειρὸς πρὸς τὸν σφιγκτῆρα καθέντες δάκτυλον, εὑρηκότες τι τὸ μεταξὺ σῶμα τοῦ τε δακτύλου, καὶ τοῦ ὀργάνου λεπτὸν πως ὑπάρχον, βιαιότερον ὠθήσαντες τὸ κοπάριον πρὸς τὸν δάκτυλον, διετρήσαμεν τὸν πυθμένα τῆς σύριγγος ἄνω τετραμμένον. διαβαλόντες δὲ τῷ δακτύλῳ τὸν πυρῆνα τοῦ ὀργάνου πρὸς τοὐκτός, ὑπόψιν ἡμῖν γεγονὸς ὅλον τὸ μεταξὺ τῶν στομίων τῆς σύριγγος σῶμα, λέγω δὲ τοῦ τε ἐξ ἀρχῆς καθ᾽ ὑποφορὰν τεταγμένου, καὶ τοῦ νῦν ὑφ᾽ ἡμῶν γεγενημένου, σμιλίῳ διατέμνοντες ἀπελύσαμεν τὸ κοπάριον.

Περὶ αἱμοῤῥοΐδων. οθ.

Τῆς τῶν αἱμοῤῥοΐδων σημειώσεως, δήλης ἡμῖν ἐξ αὐτοῦ τοῦ κεκοινωμένου καθεστηκυίας. πρὸ τῆς ἐνεργείας κλύσματι χρησόμεθα πλείστῳ, ἅμα μὲν τὰ περιττὰ τοῦ ἐντέρου κενοῦντες, ἅμα δὲ καὶ τὴν ἕδραν ἐρεθίζοντες ἑτοιμοτέραν γίνεσθαι πρὸς τὴν ἐκτροπὴν καὶ τὴν τοῦ δακτυλίου ἔξοδον. σχηματίσαντες οὖν ὕπτιον τὸν κάμνοντα πρὸς αὐγὴν λαμπράν. εἰ μὲν ἀποσφίγξει κεχρήμεθα, λίνον πεντάπλοκον τῇ αἱμοῤῥοϊδοκαύσῃ ἢ τῇ σταφυλοκαύσῃ πρὸς τὰ χείλη περιθέντες, ἑκάστην αἱμοῤῥοΐδα διὰ τούτου τοῦ βρόχου ἀποσφίγξομεν. καταλείψαντες μίαν, διὰ τὴν τοῦ περιττοῦ αἵματος ἐξοχέτευσιν. ὅτι καὶ ὁ Ἱπποκράτης τοῦτο παρακελεύεται. μετὰ δὲ τὴν ἀπόσφιγξιν. πτύγματι ἐλαίου καὶ τῷ ἑδρικῷ ἐπιδέσμῳ χρησάμενοι, ἐφησυχάσαι τὸν κάμνοντα κελεύσωμεν, ἐλαίῳ χλιαρῷ μελικράτῳ τὴν γαστέρα θεραπεύοντες. εἶθ᾽ ὕστερον τῷ διὰ ψιχῶν καὶ κρόκου καταπλάσματι χρώμενοι. καὶ μετὰ τὴν τῶν αἱμοῤῥοΐδων ἀπόπτωσιν, οἴνῳ ἀπουλοῦντες. ὁ δὲ Λεωνίδης οὐκ ἀπολινοῖ. ἀλλὰ τῇ σταφυλάγρᾳ διακρατήσας ἐπιπολὺ τὰς αἱμοῤῥοΐδας, σμίλῃ ἐκτέμνει. μετὰ δὲ τὴν χειρουργίαν, μάννῃ καὶ ἀμύλῳ τῇ χαλκίτιδι, ἢ τῷ διὰ κεκαυμένου σπόγγου ἅμα πίττῃ. χρηστέον δὲ καὶ τῷ φαυσίνῳ βοχίσκῳ πρὸς τελείαν ἀπόκαυσιν. ἐχρήσαντο δὲ ἕτεροι, τὰς κοιλίας τοῦ σταφυλοκαύστου πληρώσαντες τοῦ καυστικοῦ φαρμάκου, καθάπερ τὴν σταφυλήν, οὕτω καὶ τὰς αἱμοῤῥοΐδας ἔκαιον.

Περὶ κονδυλωμάτων ἢ ἐξοχιῶν καὶ ῥαγάδων. π.

Τὸ ἐν τῷ δακτυλίῳ κονδύλωμα, κατὰ τὸν τόπον μόνον τοῦ ἐν τοῖς γυναικείοις διενήνοχε, σολιδώδης ὂν καὶ αὐτὸ τῆς ἕδρας ἐπανάστασις, ἢ φλεγμονῆς ἢ ῥαγάδος προηγησαμένης. τὸ μὲν οὖν πρῶτον, ἐξοχὰς προσαγορεύεται. τυλούμενον δέ, κονδύλωμα. δεῖ οὖν ὥσπερ ἐκεῖνα καὶ ταῦτα μυδίῳ κρατήσαντας ἐκτέμνειν, καὶ τοῖς ἐσχαρωτικοῖς ἀποθεραπεύειν. τὰς δὲ ῥαγάδας ὑπὸ κόπρου σκληρᾶς μάλιστα γινομένας, καὶ περὶ τὴν ἀπούλωσιν διὰ τὸ τυλοῦσθαι χρονιζούσας. νεαροποιήσωμεν. ἢ τοῖς ὄνυξιν ἢ σμίλῃ διαξέοντες, προσφόρως ἀπουλώσωμεν.

Περὶ δακτυλίου ἀτρήτου. πα.

Τοῖς νεογνοῖς παιδίοις ὁ δακτύλιος ἄτρητος ἐκ φύσεως ἐστίν, ὅτε εὑρίσκεται. διὰ τὸ ὑμένι διαφράττεσθαι. εἰ μὲν οὖν δυνατὸν εἴη, τοῖς δακτύλοις τὸν ὑμένα διαῤῥηγνύτω. εἰ δὲ μή, ἀκμῇ σμιλίου τοῦτον ἐκτεμόντες, οἴνῳ θεραπεύσωμεν. ἐπειδὴ δὲ ἐπὶ τοῖς τελείοις πολλάκις δι᾽ ἕλκος μὴ θεραπευθὲν καλῶς, σύμφυσις κατὰ τὸν δακτύλιον γίνεται. δεῖ ταύτην ἀναῤῥήξαντα δι᾽ ὀργάνου προσφόρου, θεραπεύειν οἰκείως αὐλίσκου μολιβδίνου ἢ σφηνίσκου τινὸς ἐντιθεμένου τῷ δακτυλίῳ, μέχρι τελείας ἀποθεραπείας, ὑπὲρ τοῦ μὴ αὖθις συμφῦναι. χρίειν δὲ τὸν σφηνίσκον τινὶ τῶν ἀπουλωτικῶν φαρμάκων.

Περὶ κιρσοτομίας. πβ.

Ὁ κιρσός. ἀνεύρυσίς ἐστι φλεβός, ποτὲ μὲν ἐν τοῖς κροτάφοις, ποτὲ δὲ κατὰ τὸ ὑπὸ τὸν ὀμφαλὸν τοῦ ὑπογαστρίου μέρος. ἐνίοτε δὲ περὶ τοὺς διδύμους. ὡς μάλιστα δὲ κατὰ τὰ σκέλη. οὗτος δὲ τὴν γένεσιν ὡς ἐπίπαν ἐκ μελαγχολικωτέρας ἔχει ὕλης. τῶν μὲν ἐν τοῖς διδύμοις τὴν χειρουργίαν ἤδη παραδεδώκαμεν ἐν τῷ περὶ κιρσοκήλης λόγῳ. καὶ τοὺς ἐν τῷ σκέλει δὲ παραπλησίως χειρουργήσωμεν, ἐν τοῖς ἔνδον τοῦ μηροῦ ποιούμενοι τὴν ἐγχείρησιν. ἔνθα καὶ ἡ ἔκφυσις αὐτῶν, ὡς ἐπίπαν εὑρίσκεται. κατωτέρω γὰρ εἰς πλείονας ἀποσχίδας κατανεμόμενοι, δυσχερέστεροι μᾶλλον εἰσί. λουσαμένου τοίνυν τοῦ ἀνθρώπου, βρόχον ἐν τῷ ἄνω περιθέντες μέρει τοῦ μηροῦ, κελεύσωμεν αὐτῷ βαδίσαι. πληρωθεῖσαν δὲ τὴν φλέβα, μέλανι γραφικῷ ἢ κολλουρίῳ σημειωσώμεθα κατὰ τὴν θέσιν αὐτοῦ. οἷον τριῶν ἢ μικρὸν πλέον τὸ μῆκος δακτύλων. ἀνακλίναντες τὸν ἄνθρωπον ἐκτεταμένον ἔχοντα τὸ σκέλος, ἕτερον βρόχον ἀνωτέρω τοῦ γόνατος περιβαλοῦμεν. ἀποκορυφωθείσης δὲ τῆς φλεβός, σμίλῃ τέμωμεν ἐπὶ τῆς σημειώσεως, τὸ βάθος μὴ πλέον τοῦ δέρματος, ἵνα μὴ τὴν φλέβα διέλωμεν. ἀγκίστροις δὲ τὰ χείλη τῆς τομῆς διατείναντες, καὶ τοῖς ὑδροκηλικοῖς ἐπικαμπέσι κοπαρίοις τοὺς ὑμένας ὑποδείραντες, γυμνώσαντές τε τὴν φλέβα, καὶ πανταχόθεν ἀπλώσαντες, λύσωμεν τοὺς τοῦ μηροῦ δεσμούς. τυφλαγκίστρῳ τε τὸ ἀγγεῖον μετεωρίσαντες, ὑποβάλωμεν βελόνην διπλοῦν ἔχουσαν λίνον.

λίνου. κόψομέν τε τὴν διπλόην. καὶ διελόντες φλεβοτόμῳ κατὰ μέσου τὴν φλέβα, κενώσωμεν ὅσον χρεία τοῦ αἵματος. εἶτα τῷ ἐν βρόχῳ τὸ ἀνώτερον τοῦ ἀγγείου μέρος ἀποσφίγξαντες, ὀρθόν τε τὸ σκέλος ἀνατείναντες, ἐκπιέσει τῶν χειρῶν, τὸ ἐν τῷ σκέλει αἷμα κενώσωμεν. κἄπειτα κάτωθεν πάλιν τὸ ἀγγεῖον ἀποσφίγξαντες, ἢ τὸ μεταξὺ τῶν διδυμῶν κόψαντες τῆς φλεβός, ἀφέλωμεν. ἢ μηδὲν αὐτῷ συγχωρήσωμεν ἄχρις ἂν αὐτομάτως ἐκπέσοι σὺν τοῖς βρόχοις. καὶ διαμοτώσαντες ξηροῖς, οἰνελαίῳ τε βραχὲν σπλήνιον ἐπιβαλόντες, ἐπιδήσωμεν, τῇ τε πυοποιῷ ἐμμότῳ θεραπεύσωμεν ἀγωγῇ. οἶδα δὲ ὅτι τῶν ἀρχαίων τινὲς οὐ κέχρηνται τοῖς βρόχοις. ἀλλ' αὐτόθεν οἱ μὲν ἐκτέμνουσι τὸ γυμνωθὲν ἀγγεῖον. οἱ δὲ καὶ ἐκ βάθους αὐτὸ τείναντες, μετὰ βίας ἐξέλκουσιν ἀπορρήξαντες. ἀλλὰ πάντων ἀσφαλέστερος ἐστὶν ὁ λεχθεὶς τῆς χειρουργίας τρόπος. καὶ τοὺς ἐν ὑπογαστρίῳ δὲ παραπλησίως χειρουργήσωμεν κιρσούς. καὶ τοὺς ἐν κροτάφοις, ὡς ἐπὶ τῆς ἀγγειολογίας εἴρηται.

Περὶ δρακοντίων. πγ.

Τὸν περὶ τῶν δρακοντίων λόγον, ὡς ἂν διὰ τῶν φαρμακῶν μάλιστα κατορθούμενον, ἐν τῷ τετάρτῳ παραδεδώκαμεν βιβλίῳ.

Περὶ ἀκροτηριασμοῦ. πδ.

Τῶν ἄκρων ἐνίοτε διασαπέντων οἷον χειρὸς ἢ ποδός, ὥστε καὶ αὐτὰ τὰ ὀστᾶ διαφθαρῆναι, ἢ ἐκ προκαταρκτικῆς αἰτίας κατατεθέντα ἢ καὶ προηγουμένως διασαπέντα ὥστε τὴν ἔκπρισιν αὐτῶν ἀπαιτεῖν, πρὸ ταύτης ἀνάγκη περικείμενα τοῖς ὀστοῖς σώματα πρῶτον διελεῖν. ἀλλ' ἐπεὶ τούτου γινομένου πρῶτον, εἶτα τῆς πρίσεως πλείονι χρόνῳ γινομένης κίνδυνος αἱμορραγίας ἐπακολουθεῖ, καλῶς ὁ Λεωνίδης οὐ πάντα πρῶτον διατέμνει τὰ σώματα πλὴν εἰ μὴ παντελῶς εἴη διασεσηπότα. ἀλλὰ τὸ μέρος ἔνθα μὴ νομίζῃ πλείους οὐδὲ μείζονας εἶναι φλέβας ἢ ἀρτηρίας. πρῶτον διὰ τάχους ἄχρις ὀστοῦ διατέμνει. εἶτα τὸ ὀστοῦν ὅσον τάχος ἐκπρίζει, λινοῦν ῥάκος περιθεὶς τοῖς τμηθεῖσι σώμασιν ὑπὲρ τοῦ μὴ δι' αὐτῶν διασυρόμενον τὸν πρίονα, ὀδύνας ἐμποιεῖν. καὶ τότε λοιπὸν ἐκτεμὼν καυτῆρας διαφανεῖς κατὰ τῶν ἀγγείων ἐπιβάλλει, καὶ στῆσαι τὴν αἱμορραγίαν καὶ διαμότοις, καὶ προσφόρως ἐπιδήσας τῇ πυοποιῷ χρῆσαι θεραπείᾳ.

Περὶ τῶν κατὰ τοὺς ὄνυχας πτερυγίων. πε.

Τὸ κατὰ τοὺς ὄνυχας πτερύγιον ὑπεραύξησίς ἐστι σαρκός. καλύπτουσα μέρος τοῦ ὄνυχος ἐν τοῖς τοῦ ποδὸς καὶ τῆς χειρὸς μεγάλοις μάλιστα συνισταμένη δακτύλοις. ἀλλὰ τὰ μὲν ἐν τοῖς ποσὶν, ἐκ προσπταίσματος ὡς ἐπὶ τὸ πολὺ γίνεται. τὰ δὲ ἐν ταῖς χερσὶν, ἐκ παρονυχίας, ἀμεληθέντων φλεγμηνάντων τε καὶ μεταβαλλόντων εἰς πύον. τὸ γὰρ πύον ἐγχρονίσαν ἐσθίει τήν τε ῥίζαν τοῦ ὄνυχος, καὶ αὐτὸν διαφθείρει, καὶ πολλάκις μὲν ὅλον ἀφανίζει, τὰ δὲ πλεῖστα τὸ μέσον πάνυ τοῦ ὄνυχος. πρὸς δὲ ταῖς ῥιζωνυχίαις αὐταῖς καταλείπει τι διάστημον αὐτοῦ μέρος, ἐνίοτε ὅλην καταλείπει τὴν ῥίζαν ἀδιάβρωτον. ἔσθ' ὅτε δὲ καὶ ὀστοῦν διέφθειρε. καὶ ὀδμὴ γίνεται χαλεπή. καὶ ὁ δάκτυλος ἐξ ἄκρου πλατύνεται, καὶ πελιδνότερος φαίνεται. τούτους οὖν χειρουργεῖν, ἅπαν τὸ ἐγκαταλειπόμενον μέρος τοῦ ὄνυχος ὑποτέμνοντας ἀκμῇ σμιλίου καὶ κομιζομένους, ἔπειτα καυτηρίοις τὸ ἑλκούμενον ἐπικαίοντας καὶ τετμημένον μέρος. νομὴ γάρ ἐστι κατὰ γένος τὸ πτερύγιον, καὶ οὐ καθίσταται ταῦτα, εἰ μή τις αὐτὰ φλέξειεν, ὡς εἴπερ ἀμεληθείη διαφθείρει τὸν δάκτυλον. εἰ δὲ τοῦ ὀστοῦ καὶ τοῦ ὄνυχος ἀπαθῶν μενόντων, ἡ ἐκτὸς γωνία τοῦ ὄνυχος ὑποδυομένη καὶ νύττουσα τὴν ἐπιπεφυκυῖαν αὐτῇ σάρκα, φλεγμονῆς αἰτία γίνεται. δεῖ τὸ νύττον τοῦ ὄνυχος μέρος λεπτῷ κοπανίῳ ἢ τοιούτῳ τινὶ ὑποβληθέντι μετεωρίσαντα, σμιλίου ἀκμῇ ἀφελεῖν, καὶ τὸ ὑπερέχον ἐσχαρωτικῷ δαπανῆσαι φαρμάκῳ. καὶ πλεῖστοι γε τούτῳ τῷ τρόπῳ διὰ χειρουργίας ἐθεραπεύθησαν. εἰ δὲ μεῖζον εἴη, πρῶτον τῷ σμιλίῳ περιελόντα, τῷ φαρμακώδει χρῆσθαι.

Περὶ ὄνυχος θλασθέντος. πς.

Ἐπειδὴ δὲ πολλάκις ἐπικρούσμασιν ὀνύχων θλασθέντων ὀδύναι παρακολουθοῦσιν, εἰς χειρουργίαν ἡμᾶς ἑλκούσαι, ἀρκεῖ τοῦ Γαληνοῦ σοι παραθέσθαι τὴν λέξιν. φησὶ γοῦν. θλασθέντων δὲ τῶν ὀνύχων σαφῶς ἐπειράθημεν ἀνωδύνου βοηθήματος τῆς κενώσεως τοῦ αἵματος. ὅταν σφυγμοί τε γίνωνται καὶ περιωδυνίαι σφοδρόταται. δεῖ δὲ λοξὴν ποιεῖσθαι μὴ κατ' εὐθὺ τοῦ βάθους ἄνωθεν κάτω τὴν τομὴν ὀξείᾳ σμίλῃ, ἵνα ἐκκλεισθέντος οἷον πώματός τι τῶν ὑποκειμένων γίνηται τὸ τμηθὲν οὕτω μόριον τοῦ ὄνυχος. εἰ δὲ κατ' εὐθὺ ποιήσαις τομὴν ἐκ τῶν ἄνωθεν εἰς τὸ καλούμενον ὑπερσάρκωμα, γίνεται τῆς ὑποκειμένης τῷ ὄνυχι σαρκὸς ἐκβλαστανούσης διὰ μέσου τῆς διαιρέσεως ἕτερον σῶμα. ἐντεῦθεν δὲ πάλιν ὀδύναι καταλαμβάνουσιν, ἅσπερ ἐν ταῖς παρωνυχίαις ὀνομάζομεν, θλιβομένης ὑπὸ τοῦ ὄνυχος τῆς γεννωμένης σαρκός. ἀνωδύνους τε οὖν ἐν τῷ παραχρῆμα τοὺς κάμνοντας ἐστὶν ἰδεῖν ἐπὶ τοιαύτῃ τομῇ. ἐν δὲ ταῖς ἐχομέναις ἡμέραις

ἔξεισιν ἡμῖν ἀτρέμα ἐπαίρουσι τὸ ἀποτετμημένον τοῦ ὄνυχος, ἐκκείνειν τε τοὺς ἰχῶρας τοῦ ὄνυχος, αὖθίς τε πάλιν ἐπιτεθεῖναι τῇ ὑποκειμένῃ σαρκὶ καθάπερ ἔφην, οἷον ἐπίθεμα τὸν ὄνυχα. τῇ δὲ ἄλλῃ τοῦ δακτύλου παντὸς ἐπιμελείᾳ παρηγορικῇ τε καὶ διαφορητικῇ συμφέρει χρῆσθαι.

Περὶ ἥλων καὶ μυρμηκίων καὶ ἀκροχορδόνων. κεφ. ζ.

Ὁ μὲν ἧλος, τύλος ἐστὶν περιφερής, λευκός, ὁμοιούμενος ἥλου κεφαλῇ, κατὰ πᾶν τοῦ σώματος μέρος συνιστάμενος, μάλιστα δὲ ἐν τοῖς πέλμασι τῶν ποδῶν καὶ τοῖς δακτύλοις. ὀδύνην τε καὶ δυσεργείαν ἐν τῷ βαδίζειν ἐμποιῶν. περιχαράξαντα τοίνυν τὸν ἧλον καὶ μηδείῳ διακρατήσαντα, ὀξυκοράκῳ σμιλίῳ, ἢ φλεβοτόμῳ ἐκ ῥιζῶν ἐξελεῖν. τινὲς δὲ διὰ τὸ μὴ πάλιν γενέσθαι, τοῖς διαπύροις ἐχρήσαντο καυτηρίοις. ἡ δὲ μυρμηκία ἐπανάστασίς ἐστιν τῆς ἐπιφανείας, μικρά, τυλώδης, στρογγύλη, παχεῖα, κατὰ βάσιν ἐγκαθιμένη, καὶ πρὸς τὰς περιψύξεις ὁμοίαν αἴσθησιν ἐμποιοῦσα δήγμασι μυρμήκων. ἅπαντι δὲ καὶ αὕτη συνισταμένη τῷ σώματι, μάλιστα δὲ κατὰ χεῖρας. τινὲς μὲν οὖν ἐξ ὧν ἐστι καὶ ὁ Γαληνὸς σύριγγι πτεροῦ σκληροῦ, οἷα εἰσὶ τά τε τῶν παλαιῶν ἀλεκτρυόνων καὶ τὰ τῶν χηνῶν καὶ ἀετοῦ, ἀξιοῦσι περιχαράσσοντα κατὰ στροφήν, ἐπὶ τὸ βάθος βιαζόμενον ἐκ βάσεως ἀφαιρεῖν τὴν μυρμηκίαν. ἕτεροι δὲ χαλκῷ ἢ σιδηρῷ συριγγίῳ τὸ αὐτὸ δρῶσι. τοῖς δὲ νεωτέροις ἤρεσεν περιχαράξαντα καὶ μυδίῳ διαλαβόντα σμίλῃ καθάπερ τοὺς ἥλους ἐκτεμεῖν. Ἡ δὲ ἀκροχορδών, ἐπανάστασίς ἐστι σμικρὰ τῆς ἐπιφανείας, ἄπονος, τυλώδης, περιφερὴς κατὰ τὸ πλεῖστον, τὴν δὲ βάσιν ἔχουσα στενήν, ὡς δοκεῖν ἐκκρεμᾶσθαι. κέκληται δὲ οὕτως ἀπὸ τοῦ ἄκρῳ προσεοικέναι χορδῆς. ἀποτείναντες οὖν τὴν ὑπεροχὴν ἐκτέμωμεν. εἰ δὲ μὴ τοῦτο, λίνῳ γοῦν ἢ τριχὶ ταύτην ἀπολινώσωμεν. οἶδα δὲ ὅτι καὶ ταύτας καὶ τὰς εἰρημένας πάσας ὑπεροχὰς πολλοὶ τῷ λεγομένῳ ψυχοκαυτηρίῳ ἐδαπάνησαν.

Περὶ βελῶν ἐξαιρέσεως. κεφ. η.

Ὅτι τὸ βελουλκικὸν τῆς χειρουργίας μέρος τῶν ἀναγκαιοτάτων ἐστί, δηλοῖ ὁ ποιητὴς Ὅμηρος εἰρηκώς, Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. Ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν. λεκτέον οὖν πρῶτον τὰς διαφορὰς τῶν βελῶν. διαφέρουσι τοίνυν τὰ βέλη, ὕλῃ, σχήματι, μεγέθει, ἀριθμῷ, σχέσει, δυνάμει. ὕλῃ μέν, καθ' ὃ τῶν καλουμένων ἀτράκτων αὐτῶν, ἢ ξυλίνων ἢ καλαμίνων ὑπαρχόντων. αὐτὰ δὲ τὰ βέλη, ἢ σιδηρᾶ ἐστὶν ἢ χαλκᾶ, ἢ κασσιτέρινα, ἢ μολίβδινα, ἢ κεράτινα, ἢ ὑάλινα, ἢ ὀστᾶ, ἢ καλάμινα καὶ αὐτά, ἢ ξύλινα. τοσαύτη γάρ τις διαφορὰ μάλιστα παρ' Αἰγυπτίοις εὑρίσκεται. σχήματι δέ. καθ' ὃ τὰ μέν εἰσι στρογγύλα. τὰ δὲ ἐγγωνιωτά, οἷον τρίγωνα. τὰ δὲ γλωχινωτά, καὶ γογχωτὰ καλούμενα. τὰ δὲ τριγλώχινα. καὶ τὰ μὲν ἀκιδωτά, τὰ δὲ χωρὶς ἀκίδων. καὶ τῶν ἀκιδωτῶν, τὰ μὲν ἐπὶ τὰ ὀπίσω νευούσας τὰς ἀκίδας ἔχουσιν, ἵνα ἐν τῇ ἐξολκῇ ἀντεμπείρωνται. τὰ δὲ ἐπὶ τὰ ἔμπροσθεν, ἵνα ἐν τῇ ὠθήσει τοῦτο ποιῶσι. τὰ δὲ καὶ ἀντιθέτως δίκην τῶν κεραυνίων, ὑπὲρ τοῦ καὶ ἑλκόμενα αὐτὰ καὶ ὠθούμενα, ἀντεμπείρεσθαι. τινὰ δὲ καὶ κινούμενα διὰ γιγγλύμου τὰς ἀκίδας ἔχουσι συναγομένας. αἵ τινες ἐν τῇ ἐξολκῇ ἐξαπλούμεναι, κωλύουσιν ἐξέλκεσθαι τὸ βέλος. μεγέθει δέ. καθ' ὃ τὰ μέν εἰσι μεγάλα ἄχρι τριῶν τῷ μήκει δακτύλων. τὰ δὲ μικρὰ ὅσον δακτύλου, ἃ δὴ καὶ μικτὰ καλοῦσι κατ' Αἴγυπτον. τὰ δὲ τούτων μεταξύ. ἀριθμῷ δέ. καθ' ὃ τὰ μέν εἰσιν ἁπλᾶ, τὰ δὲ σύνθετα. λεπτὰ γάρ τινα αὐτοῖς ἐπεντίθεται σιδήρια, ἅτινα ἐν τῇ τοῦ βέλους ἐξολκῇ διαλανθάνοντα μένει κατὰ τὸ βάθος. σχέσει δέ. καθ' ὃ τὰ μὲν οὐραχὸν ἔχει τοῖς ἀτράκτοις ἐγκείμενον. τὰ δὲ αὐλόν. καὶ τὰ μὲν ἀσφαλῶς ἐνήρμοσται πρὸς τὸν ἄτρακτον, τὰ δέ, ἀμελέστερον, ἵνα κατὰ τὴν ἐξολκὴν χωριζόμενα εἴσω καταμένῃ. δυνάμει δέ. καθ' ὃ τὰ μέν εἰσιν ἀφάρμακα, τὰ δὲ πεφαρμακευμένα. αὗται μὲν αἱ τῶν βελῶν διαφοραί. γενέσθω δὲ ἡμῖν ὁ περὶ ἐξαιρέσεως λόγος, ἐπί τε τῶν ἐν πολέμῳ τετρωμένων ἐπί τε τῶν ἐκτὸς πολέμου ἑκουσίως τε καὶ ἀκουσίως, καθ' οἵαν δήποτε περίστασιν, ἐξ οἵας δηποτοῦν ὕλης γινομένων. περὶ δὲ τῶν βελῶν ἐξολκῆς ἐπὶ μὲν σαρκῶν διττή τίς ἐστιν ἡ διαφορά, ἥτε κατ' ἐφελκυσμὸν καὶ ἡ κατὰ διωσμόν. ἐφ' ὧν μὲν γὰρ ἐπιπολῆς τὸ βέλος καταπέπαρται, κατ' ἐφελκυσμὸν γίνεται ἡ ἐξαίρεσις. ὁμοίως καὶ ὅσα διὰ βάθους μὲν ἐμπέπηγεν, τὰ δὲ ἀντικείμενα μέρη τιτρωσκόμενα, τὸν ἐξ αἱμορραγίας ἢ συμπαθείας ἐπάγει κίνδυνον. τὸν δὲ κατὰ διωσμόν. ἐφ' ὧν διὰ βάθους τε καταπέπαρται καὶ βραχέα τῶν ἀντικειμένων εἰσὶ σώματα, καὶ οὔτε νεῦρον οὔτε ὀστοῦν οὔτε τούτων οὐδὲν παραποδίζει τῇ διαιρέσει. ἐπὶ δὲ ὀστοῦ τρωθέντος. ὁ κατ' ἐφελκυσμὸν παραλαμβάνεται τρόπος. εἰ μὲν οὖν καταφανὲς εἴη τὸ βέλος, αὐτόθεν ποιούμεθα τὴν ἐξολκήν. εἰ δὲ κεκρυμμένον, δεῖ φησιν Ἱπποκράτης, εἰ μὲν δύναιτο ὁ τρωθεὶς ἐπ' ἐκείνου τοῦ σχήματος αὐτὸν ποιήσαντα σημειώσασθαι, ἐφ' οὗ καὶ τιτρωσκόμενος ἐτύγχανεν. εἰ δὲ μὴ δύναιτο, κείμενον γοῦν ὡς οἷόν τε κατ' ἐκεῖνο

σχήμα-

σχηματίσαντες, τῇ μηλώσει χρησώμεθα. καὶ εἰ μὲν ἐν σαρκὶ πέπηγε, διὰ τῶν χειρῶν τὸ βέλος ἐξελκύσωμεν, ἢ διὰ τοῦ ἐπιθέματος αὐτοῦ ὅπερ ὀνομάζουσι καὶ ἄτρακτον, εἰ μὴ ἐκπέπτωκε. ξύλινον τε μάλιστα τοῦτό ἐστι. ἐκπεπτωκότος δὲ, διὰ ὀδοντάγρας ἢ ῥιζάγρας ἢ βελουλκοῦ ἢ ἑτέρου τινὸς ὀργάνου προσφόρου ποιησώμεθα τὴν ἐξολκήν. καὶ ποτὲ τὴν σάρκα περιεπιτέμνοντες, εἰ μὴ δέχοιτο ὄργανον ἡ διαίρεσις. εἰ δὲ καὶ εἰς τὰ ἀντικείμενα τοῦ μορίου χωρήσοι τὸ βέλος, καὶ μὴ οἷόν τε διὰ ἐκείνου τοῦ μέρους ἐξελκύσαι αὐτὸ δι᾽ οὗ καὶ κατεπάρη, διελόντες τὰ ἀντικείμενα, δι᾽ ἐκείνων αὐτὸ κομισώμεθα, ἢ ἐξέλκοντες ὡς εἴρηται, ἢ καὶ διὰ τῆς καταπάρσεως, διωθούμενοι ἢ τῷ ἐπιθέματι, ἢ εἴπερ ἐκπέπτωκε καθέσει διωστῆρος, φυλαττόμενοι νεῦρον φλέβα ἢ ἀρτηρίαν ἤ τι τῶν ἀναγκαίων διελεῖν. αἰσχρὸν γὰρ βελουλκοῦντας ἡμᾶς τοῦ βέλους χεῖρον ἐργάσασθαι κακόν. καὶ εἰ μὲν ὄραχον ἔχει τὸ βέλος, τοῦτο δὲ ἐκ τῆς μηλωτῆς ἡμῖν γινώσκεται. τὴν θήλειαν τοῦ διωστῆρος καθέντες καὶ ἐναρμόσαντες, ὠθήσωμεν τὸ βέλος. εἰ δὲ αὐλὸν, τὸν ἄρρενα. τὸ δὲ βέλος ἐξαιρεθὲν, εἰ φανείη γλυφίδας ἔχον τινὰς ὡς ἑτέρων ἐν αὐταῖς ἐντεθῆναι δυναμένων λεπτῶν σιδηρείων, πάλιν τῇ μηλώσει χρησάμενοι, εἴπερ εὑρίσκοιμεν ἐκεῖνα, κατὰ τὰς αὐτὰς μεθόδους κομισώμεθα. εἰ δὲ ὡς εἰκὸς ἀνθέτους ἀκίδας ἔχον τὸ βέλος μὴ ἐπιδίδωσιν. ἐπιτέμνειν δεῖ κατὰ τὸν πλησίον αὐτοῦ τόπον, εἰ μηδὲν τῶν ἀναγκαίων παράκειται. καὶ γυμνωθὲν τὸ βέλος βαστάζοντας ἀσκύλτως ἐξέλκειν. τινὲς δὲ καὶ καλαμίσκον αὐταῖς ταῖς ἀκίσι περιθέντες, οὕτως αὐτὸ ἐξέλκουσιν ὑπὲρ τοῦ μὴ διαξαίνεσθαι πρὸς τῶν ἀκίδων τὰς σάρκας. καὶ εἰ μὲν ἀφλέγμαντον εἴη τὸ τραῦμα, ῥαφαῖς χρησάμενοι ἐναίμως αὐτὸ θεραπεύσωμεν, εἰ δὲ φλεγμαίνοι, δι᾽ ἐμβροχῶν τε καὶ καταπλασμάτων καὶ τῶν ὁμοίων τὴν φλεγμονὴν θεραπεύσωμεν. ἐπὶ δὲ τῶν πεφαρμακωμένων βελῶν, ἅπασαν τὴν ἤδη μεταβαλοῦσαν τοῦ φαρμάκου σάρκα εἴπερ οἷόν τε εἴη περιέλωμεν. δήλη δὲ καθέστηκεν, ἐκ τοῦ διηλλάχθαι τῆς ὑγιοῦς σαρκός. ἔξωχρος γὰρ καὶ ὑπόπελιος, καὶ οἷον νενεκρωμένη φαίνεται. φασὶ δὲ τοὺς Δάκας καὶ τοὺς Δελμάτας περιπλάσσειν ταῖς ἀκίσι τὸ ἐλένειόν τε καὶ νῖνον καλούμενον, καὶ οὕτως ὁμιλῆσαν μετὰ τῷ αἵματι τῶν τιτρωσκομένων ἀναιρεῖν, ἐσθιόμενον δὲ ὑπ᾽ αὐτῶν, ἀβλαβὲς εἶναι καὶ μηδὲν κακὸν δρᾶν. εἰ δὲ τὸ βέλος ἐν ὀστῷ παγείη, πάλιν πειρασώμεθα διὰ ὀργάνων. καὶ εἰ μὲν σὰρξ ἐμποδίζοι, ταύτην περιέλωμεν ἢ διαστείλωμεν. εἰ δὲ καὶ διὰ βάθους εἴη τοῦ ὀστοῦ πεπηγὸς, τοῦτο δὲ γινώσκομεν ἐκ τοῦ ἐνεστηριγμένον αὐτὸ μὴ σαλεύεσθαι, βιαζομένων, ἐκκοπεύσει τὸ περικείμενον περιελόντες ὀστοῦν ἢ καὶ τρυπάνοις πρότερον περιτρυπήσαντες, εἰ πάχος ἔχοι, τὸ βέλος ἀνελκύσωμεν. εἰ δὲ καὶ εἴς τι τῶν κυρίων μορίων ἡ κατάπαρσις γένηται, οἷον ἐγκέφαλον ἢ καρδίαν ἢ βρόγχον ἢ πνεύμονα ἢ ἧπαρ ἢ κοιλίαν ἢ ἔντερα ἢ νεφροὺς ἢ μήτραν ἢ κύστιν, ἤδη μὲν τῶν θανασίμων φανέντων σημείων, καὶ τῆς ἐξολκῆς μάλιστα σκιλμὸν πολὺν ἐμποιεῖν μελλούσης, παραιτησώμεθα τὴν ἐγχείρησιν. ἵνα μὴ πρὸς τὸ μηδὲν ὠφελῆσαι, καὶ λοιδορίας πρόφασιν τοῖς ἰδιώταις παράσχωμεν. εἰ δὲ τὰ τῆς ἐκβάσεως ἄδηλα τέως τυγχάνει, προειπόντα τὸν κίνδυνον ἐγχειρεῖν δεῖ. πολλοῖς γὰρ καὶ ἀποστάσεως ἔν τινι τῶν ἀναγκαίων γεγονυίας μορίων, κατὰ τὸ παράδοξον σωτηρία παρηκολούθησεν, ὅπου γε καὶ λοβὸς ἥπατος καὶ μέρος ἐπιπλόου καὶ περιτοναίου καὶ ὅλη ἡ μήτρα πολλάκις ἱστόρηται ἀφαιρεθῆναι, καὶ θάνατον ἐπὶ τούτοις μὴ γενέσθαι. τὸν βρόγχον δὲ πολλάκις ἐξεπίτηδες ἐσθ᾽ ὅτε διαιροῦμεν ἐπὶ συναγχικῶν, ὡς ἐν τῷ περὶ λαρυγγοτομίας ἐλέγομεν. τὸ μὲν οὖν καταλιπεῖν τούτοις τὸ βέλος, ἀπαραίτητον ἐπάγει τὸν θάνατον, πρὸς τῷ καὶ ἀπάνθρωπον δεικνῦναι τὴν τέχνην. τὸ δὲ ἀφελεῖν, εἰκὸς καὶ περιέσωσεν. ἡ δὲ τῶν κυρίων τρωθέντων μορίων διάγνωσις οὐ χαλεπή, διά τε τῶν συμπτωμάτων τῆς ἰδιότητος καὶ τῶν ἐκκρινομένων καὶ τῆς τῶν μορίων θέσεως εὑρισκομένη. μηνίγγων μὲν γὰρ τρωθεισῶν. περιωδυνία κεφαλῆς ἔντονος γίνεται, καὶ πύρωσις ὀφθαλμῶν μετ᾽ ἐρυθήματος γλώττης, καὶ διανοίας παραγωγή. εἰ δὲ μετ᾽ ἐγκεφάλου τρωθείησαν, κατάπτωσις, ἀφωνία, διαστροφὴ προσώπου, χολεμεσία, αἵματος ἀπόκρισις διὰ ῥινῶν, ἀκουστικοῦ πόρου ὑγροῦ λευκοῦ καὶ ἀθηρώδους κένωσις, ἰχὼρ ἐὰν εὕροι διέξοδον διὰ τῆς τρώσεως. εἰ δὲ εἰς τὰ κενὰ τοῦ θώρακος ἡ κατάπαρσις γένηται, σωζομένης εὐρυχωρίας, πνεῦμα διεξέρχεται. τῆς δὲ καρδίας τρωθείσης, παρὰ τὸν ἀριστερὸν μαστὸν τὸ βέλος φαίνεται, οὐ κενεμβατοῦν ἀλλ᾽ ὡς ἐν ἑτέρῳ πεπηγὸς, καὶ ποτὲ καὶ τὴν σφυγμώδη διασημαῖνον κίνησιν. αἵματός τε μέλανος ἔκκρισις γίνεται, ἐὰν εὕροι διέξοδον. κατάψυξίς τε καὶ ἱδρὼς καὶ λειποθυμία. καὶ χωρὶς ἀναβολῆς ὁ θάνατος ἐπακολουθεῖ. πνεύμονος δὲ τρωθέντος, εὐρυχωρίας μὲν οὔσης διὰ τῆς τρώσεως ἀφρῶδες αἷμα κενοῦται. μὴ οὔσης δὲ, μᾶλλον ἐμεῖται, καὶ τὰ περὶ τράχηλον ἀγγεῖα ἐπαίρεται, καὶ γλῶσσα ἑτεροχροεῖ, καὶ μέγα εἰς πνεῦσιν ἐφιέμενοι τοῦ ψυχροῦ. ἐπὶ δὲ τοῦ διαφράγματος, τὸ μὲν βέλος πρὸς ταῖς νόθαις πλευραῖς φαίνεται καταπεπαρμένον, ἡ δὲ εἰσπνοὴ μεγάλη γίνεται

σὺν ἀλγήματι καὶ σπασμῷ καθ' ὅλον τῶν κατὰ τὴν συνωνυμίαν μερῶν. εἰ δὲ κατ' ἐπιγάστριον ἡ τρῶσις γένηται, δῆλον ἐκ τῶν ἐκκειμένων εὐρυχωρίας οὔσης, ἢ καὶ τοῦ βέλους ἐξαιρεθέντος, ἢ καὶ τοῦ ἐπιθέματος ἔνδον κλασθέντος. ἀπὸ μὲν γαστρὸς χυλὸς κενοῦται. ἀπ' ἐντέρων δέ, κόπρος. ἔσθ' ὅτε δὲ καὶ ἐπίπλους, ἢ ἔντερον προκύπτει. ἐπὶ δὲ κύστεως τρωθείσης, οὖρον ἐκκρίνεται. Ἐπὶ μὲν οὖν μήνιγγος καὶ ἐγκεφάλου διὰ τῆς περιτρυπήσεως τοῦ κρανίου τὸ βέλος κομισώμεθα, καθάπερ ἐπὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων αὐτίκα λελέξεται. ἐπὶ δὲ θώρακος, εἰ μὴ ἐπακολουθείη, διά τε τῆς τοῦ μεσοπλευρίου μετρίας ἐπιτομῆς, ἢ καὶ μιᾶς ἐκκοπτομένης πλευρᾶς μηνιγγοφύλακος ὑποβληθέντος, βελουλκητέον. ὁμοίως δὲ κἀπὶ γαστρός τε καὶ κύστεως καὶ τῶν λοιπῶν ἐν βάθει μορίων. εἰ μὲν ἐπακολουθείη τὸ βέλος, ἀπεριέργως ἐξαιρείσθω. εἰ δὲ μή, πάλιν τῇ ἐπιδιαιρέσει καὶ ἐναίμῳ χρηστέον ἀγωγῇ. ἐπὶ δὲ γαστρός, εἰ δέοι καὶ γαστρορραφία παραλαμβανέσθω, καθάπερ εἴρηται. εἰ δὲ ἔν τινι τῶν μεγάλων ἀγγείων, οἷον ἐν ταῖς ἐν βάθει σφαγαῖς ἢ καρωτίσιν, ἢ καὶ ταῖς κατὰ μασχάλας ἢ βουβῶνας μεγάλαις ἀρτηρίαις καταπαρὲν βέλος πλείονα τὴν αἱμορραγίαν διὰ τὴν ἐξαίρεσιν ἀπειλεῖ, δεῖ ταῦτα βρόχοις πρότερον ἐξ ἀμφοτέρων τῶν μερῶν διασφίγγοντας, ἔπειτα τὴν ἐξολκὴν τοῦ βέλους ποιεῖσθαι. εἰ δὲ συνόλωσις μορίου γένηται, οἷον βραχίονος θώρακι συμπεπαρμένου, ἢ πήχεως ἑτέροις μορίοις τοῦ σώματος, ἢ τοῖν ποδοῖν πρὸς ἀλλήλους. εἰ μὲν μὴ δι' ὅλων ἀμφοῖν τῶν μορίων διέλθοι τὸ βέλος ἢ τὸ δόρυ, ἐπιλαβόμενοι τοῦ ἔξωθεν ὥσπερ καὶ ἐφ' ἑνός, ἐξελκύσωμεν. εἰ δὲ διαμπὰξ ἀμφοτέρων διέλθοι, πρίσαντα τοῦ ξύλου τὴν μεσότητα παρὰ μέρος ἕκαστον ἐξέλκειν κατὰ τὸ εὔκολον σχῆμα. ἐπεὶ δὲ καὶ λίθοι πολλάκις ἢ κήρυκοι ἢ μόλυβδοι ἢ τοιαῦτά τινα ὑπὸ σφενδόνης βαλλόμενα καταπείρεται τῇ βίᾳ, καὶ ταῦτα γεγωνιωμένα τυγχάνειν. γνωστέον μὲν οὖν αὐτὰ ταῦτά τε τραχὺν καὶ ἀνώμαλον ὑποπίπτειν τὸν ὄγκον. καὶ ταῦτα μὴ πάντως ἐπ' εὐθείας εἶναι τὴν διαίρεσιν. ἀλλὰ καὶ μείζονα. καὶ οἷον τεθλασμένην τὴν σάρκα καὶ πελιδνήν. καὶ ταῦτα μετὰ βάρους ὀδυνᾶσθαι. δεῖ ταῦτα μοχλεύσαντα διὰ ἀναβολαίων ἢ κυαθίσκων ἢ τραυματικῆς μηλωτίδος ἀναλαβεῖν. εἰ δὲ προσδέχοιτο, καὶ διὰ ὀδοντάγρας ἢ ῥιζάγρας ἐξέλκειν. πολλοῖς δὲ καταπαρέντα βέλη διῆλθεν. καὶ τῶν τραυμάτων ἀφουλωθέντων, μετὰ χρόνον συχνόν, ἀποστάντος τοῦ τόπου καὶ ῥαγέντος, βέλος ἐξεπήδησεν.

Περὶ καταγμάτων καὶ τίνες αὐτῶν διαφοραί. πθ.

Ἀκόλουθον ἂν εἴη μετὰ τὴν τῶν κατὰ σάρκα χειρουργουμένων διδασκαλίαν, καὶ περὶ τῶν ἐν τοῖς ὀστοῖς, καταγμάτων φημὶ δὴ καὶ ἐξαρθρημάτων διαλαβεῖν. ὅτι καὶ αὐτὰ ταῦτα τῆς χειρουργίας ὑποπέπτωκε γένει. καὶ πρῶτον περὶ καταγμάτων, καὶ τούτων πρότερον τῶν ἐν τῇ κεφαλῇ συνισταμένων. ὅτι μεταξὺ τῶν κατὰ σάρκα καὶ τῶν ἐν τοῖς ὀστοῖς εἰσὶ χειρουργιῶν, καὶ ὅτι πάντων τῶν σωμάτων ὑπερέχει τὸ κρανίον. καθόλου οὖν κάταγμά ἐστι διαίρεσις ὀστοῦ ἢ ῥῆξις ἢ διακοπή, ὑπό τινος ἔξωθεν βίας γινομένης. διαφοραὶ δὲ τῶν καταγμάτων, εἰσὶ πλείους. ἡ μὲν γὰρ λέγεται ῥαφανιδόν, ἡ δὲ σχιδακηδόν, ἡ δὲ εἰς ὄνυχα. ἡ δὲ ἀλφιτηδόν, ἡ δὲ κατὰ ἀπόθραυσιν. ῥαφανιδὸν μὲν οὖν ἐστὶ ῥῆξις ὀστοῦ κατ' ἐγκάρσιον σχῆμα διὰ πάχους, ὃ καὶ σικυηδὸν καὶ καυληδόν τινες ὀνομάζουσιν. ἐκ τῆς ἐμφερείας τῶν καταγνυμένων σικυῶν τε καὶ καυλῶν. σχιδακηδὸν δέ ἐστιν, ῥῆξις ὀστοῦ ἐπὶ μῆκος. εἰς ὄνυχα δέ, ἐστὶ ῥῆξις ὀστοῦ κατὰ μὲν τὸ μέρος εὐθεῖα, κατὰ δὲ τὸ πέρας μηνοειδής. ἡ δὲ αὐτὴ καὶ καλαμηδὸν λέγεται. ἀλφιτηδὸν δέ, ἐστὶ ῥῆξις ὀστοῦ πολυμερὴς εἰς λεπτά. ἡ δὲ αὐτὴ καὶ καρυηδὸν παρά τισιν εἴρηται. ἀπόθραυσις δὲ ἢ καὶ ἀποκοπή, ἐστὶν ἀφαίρεσις μέρους ὀστοῦ κατ' ἐπίρρηξιν τῆς ἐπιφανείας, ὥστε τὸ ἀφαιρεθὲν ἐπιλείπειν. αὗται τῶν καταγμάτων αἱ διαφοραί.

Περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων. ϙ.

Ἰδίως δὲ τὸ ἐν τῇ κεφαλῇ κάταγμα, διαίρεσίς ἐστι τοῦ κρανίου ποτὲ μὲν ἁπλῆ, ποτὲ δὲ πολυσχιδής, ὑπό τινος ἔξωθεν βίας γινομένη. τοῦ δὲ κατάγματος τῆς κεφαλῆς αἱ διαφοραί εἰσιν αὗται. ῥωγμή, ἐκκοπή, ἐκπίεσμα, ἐγγίσωμα, καμάρωσις. ἐπὶ δὲ τῶν νηπίων καὶ θλάσις. ῥωγμὴ μὲν οὖν ἐστι, διαίρεσις τοῦ κρανίου ἐπιπολαῖος ἢ βαθεῖα, μηδαμῶς ἕως ἔξω μετακινηθέντος τοῦ πεπονθότος ὀστοῦ. ἐκκοπὴ δέ, ἐστὶ διαίρεσις τοῦ κρανίου μετὰ ἀνακλασμοῦ τοῦ πεπονθότος. εἰ δὲ καὶ ἀποθραυσθείη τὸ πεπονθός, ἀποσκεπαρνισμόν τινες τὸ πάθος προσηγόρευσαν. ἐκπίεσμα δέ, ἐστὶ πολυμερὴς τοῦ ὀστοῦ διαίρεσις μετὰ τοῦ κατεαγότα ὀστέα ὑποκεχωρηκέναι κάτω πρὸς τὴν μήνιγγα. ἐγγίσωμα δέ, ἐστὶ τοῦ ὀστοῦ διαίρεσις μετὰ τοῦ τὸ πεπονθὸς ὀστοῦν ὑπεληλυθέναι τοῦ κατὰ φύσιν κάτω πρὸς τὴν μήνιγγα. καμάρωσις δέ, ἐστὶ διαίρεσις τοῦ κρανίου μεθ' ὑψώσεως τῶν πεπονθότων, ὡς φησὶν ὁ Γαληνός, ἐπὶ τὰ ἔσω ὑποχώρησις καὶ κοίλανσις, παραπλησίως τοῖς ἐκπιέσμασι. οὕτω γὰρ ἐκεῖνος οἴεται. τινὲς δὲ καὶ τριχισμὸν τοῖς

προσ-

προσηρίθμησαν. ἀλλ' ἔστιν ὁ τριχισμὸς στενωτάτη ῥωγμὴ, καὶ τὴν αἴσθησιν διαλανθάνουσα. διὸ πολλάκις λεληθυῖα διὰ τὸ μὴ ἀκριβῆ γενέσθαι τὴν σημείωσιν, θανάτου γέγονεν αἰτία. ἡ δὲ θλάσις, οὐκέτι διαίρεσις τοῦ ὀστέου, καὶ ταύτῃ αὐτὴν εὐλόγως οὐδὲ κάταγμα φαίη τις τὴν τοιαύτην διάθεσιν. ἀλλ' ἔστιν ὦσις καὶ οἷον κάμψις ἐπὶ τὰ ἔνδον τοῦ κρανίου, κοιλαίνουσα χωρὶς τοῦ λυθῆναι τὴν συνέχειαν, καθάπερ ἐπὶ τῶν χαλκῶν τε καὶ ὠμοβυρσίνων ἀγγείων ἔξωθεν πληττομένων γίνεται. εἰσὶν δὲ τῆς θλάσεως δύο διαφοραί. ἢ γὰρ δι' ὅλου τοῦ πάχους ἑαυτοῦ θλᾶται τὸ ὀστέον, ὥστε πολλάκις καὶ ἀποστῆναι τὴν μήνιγγα, ἢ πάντως γε θλίβεσθαι πρὸς τοῦ κρανίου δι' ὅλου. ἢ οὐ δι' ὅλου, ἀλλὰ κατὰ τὴν ἐκτὸς μόνον ἐπιφάνειαν ἄχρι τῆς διπλόης. τινὲς δὲ ταύταις ταῖς διαφοραῖς καὶ τὸ ἀπήχημα προστεθείκασιν. ὅπερ ἐστὶ κατ' αὐτοὺς ῥῆξις κρανίου ἐπὶ τὰ ἀντικείμενα τοῦ πεπληγμένου γινομένη μερῶν. πλανῶνται δὲ οὗτοι. οὐ δὲ γὰρ ὥσπερ ἐπί τινων ὑαλίνων ἀγγείων, ὥς αὐτοί φασι, κἀνταῦθα γίνεται. ἐκεῖνα μὲν γὰρ διὰ τὸ εἶναι κενὰ τοῦτο πάσχουσιν. τὸ δὲ κρανίον πλῆρές ἐστι, καὶ ἄλλως ἰσχυρόν. καὶ ἄλλων πλειόνων μερῶν τῆς κεφαλῆς πληγέντων καταπτώσεσιν, ἢ χωρὶς τοῦ λυθῆναι τὴν συνέχειαν τοῦ δέρματος γινομένη τοῦ κρανίου ῥωγμὴ, ὕστερον ἀποστάσεως γεγενημένης κατ' αὐτὴν καὶ αὐτοῦ τμηθείσης φανεῖσα, ἔδοξεν αὐτοῖς κατὰ τὸ ἀντικείμενον γεγονέναι τῆς πληγῆς. καὶ αὐτὴ δὲ ὡς ἡ πρώτη λεχθεῖσα ῥωγμὴ θεραπεύεται. εἰ μὲν οὖν κάταγμα γέγονε τῇ κεφαλῇ, δῆλον ἐκ τῆς τοῦ πλήξαντος σώματος ὀξύτητος ἢ βάρους, ἢ σκληρότητος, ἢ βιαίας δυνάμεως. κἀκ τῶν ἐπιγενομένων τῷ πληγέντι συμπτωμάτων, οἷον σκοτώματος ἢ ἀφωνίας ἢ ἀθρόας καταπτώσεως, καὶ μάλιστα ἐπὶ ἐγγισώματος, ἢ θλάσματος, ἢ ἐκπιέσματος, ἢ τῆς ἐπὶ τὰ ἔνδον καμαρώσεως, θλιβομένου τοῦ ἐγκεφάλου. ἔτι μὲν καὶ ἀπὸ τῆς κατ' αἴσθησιν σημειώσεως. εἰ μὲν γὰρ ἀξιόλογος εἴη τοῦ δέρματος ἡ διαίρεσις, δι' αὐτῆς ἑτοίμως γνωσόμεθα. εἰ δὲ μὴ δι' ὅλως ἡ διαίρεσις ἢ στενή τις, ὑποπτεύοιμεν δὲ κάταγμα, ἐπιδιελόντες τὸ δέρμα, διά τε τῆς ὁράσεως καὶ τῆς διὰ τοῦ ὀργάνου μηλώσεως τοῦτο διαγινώσκωμεν. εἰ μὲν γὰρ τῶν ἄλλων τι καταγμάτων εἴη, αὐτόθεν φανερὸν γίνεται. εἰ δὲ ῥωγμὴ μόνον στενὴ καὶ τριχοειδὴς, διαλανθάνουσα τὴν αἴσθησιν, φάρμακόν τι μέλαν ὑγρὸν ἢ καὶ αὐτὸ τὸ γραφικὸν ἐγχέαντες μέλαν ξέσωμεν τὸ ὀστέον. αὐτὴ γὰρ ἡ ῥωγμὴ μέλαινα δείκνυται. καὶ δεῖ ἐπιμένειν τῇ ξύσει ἄχρις οὗ τὸ σημεῖον τῆς ῥωγμῆς ἀφανὲς γένηται. εἰ δὲ ἄχρι μήνιγγος εἴη, τοῦ ξύειν ἀπεχόμεθα, καὶ χωρήσωμεν ἐπὶ τὴν διάγνωσιν, πότερον ἀπέστη τοῦ ὀστέου ἡ μήνιγξ ἢ μένει προστετυπωμένη. μενούσης γὰρ αὐτῆς, ἀφλέγμαντόν τε μένει μετρίως, τό, τε τραῦμα καὶ ὁ κάμνων ἀπύρετος γίνεται ἐπὶ βραχὺ, καὶ πῦόν τε πεφθὲν ἐπιφαίνεται. εἰ δὲ ἀποστῇ ἡ μήνιγξ, αὐξάνεται τὰ ἀλγήματα, καὶ ὁ πυρετὸς ὁμοίως, καὶ τὸ ὀστοῦν ἀλλοχροεῖ. καὶ πύον λεπτὸν καὶ ἄπεπτον φέρεται. εἰ δὲ ἀμελήσει ὁ θεραπεύων, καὶ μὴ τῇ ἀνατρήσει χρήσηται. τότε χαλεπώτερα γίνεται συμπτώματα, χολεμεσία, σπασμός, παρακοπὴ διανοίας, καὶ πυρετὸς ὀξύς. ἐφ' ὧν δεῖ καὶ παραιτεῖσθαι τὴν ἐγχείρησιν. μὴ παρόντων δὲ τούτων. εἰ μὲν μὴ ἀπέστη ἡ μήνιγξ, ῥωγμὴ δὲ μόνον εἴη, καὶ διὰ ξυστῆρος μόνου θεραπεύεται, κἂν ἄχρι βάθους εἴη. εἰ δὲ ἄχρι τῆς διπλόης μόνον, ἕως ἐκείνης ξυστέον ἢ καὶ τὸ κλασθὲν ὀστοῦν περιαιρετέον ὡς εἰρήσεται. εἰ δὲ καὶ εἰς λεπτὰ συντριβείη, καὶ ταῦτα ἀκριβῶς ἀφαιρετέον διὰ τῶν ἐπιτηδείων ὀργάνων. κἂν μὴ ἀπέστη ἡ μήνιγξ, ἀπ' ἀρχῆς δὲ παραλαβὼν τὸν τραυματίαν, χειμῶνος μὲν, πρὸ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας πάντως σπούδαζε ποιεῖσθαι τὴν τοῦ ὀστέου περιαίρεσιν. θέρους δὲ, πρὸ τῆς ζ. πρὶν τὰ εἰρημένα γενέσθαι συμπτώματα. χειρουργήσεις δὲ τόνδε τὸν τρόπον.

Χειρουργία. ϟα.

Προξυρήσαντες τὴν κεφαλὴν ἐπὶ τοῦ τραύματος, δύο τομὰς ἐκβαλοῦμεν κατ' ὀρθὰς γωνίας τεμνούσας ἀλλήλας παραπλησίως τῷ χ στοιχείῳ. τούτων δὲ τὴν ἑτέραν εἶναι δεῖ τὴν ἤδη προϋπάρχουσαν. εἶτα τὰς κατὰ κορυφὴν τέσσαρας γωνίας ὑποδείραντες, ὥστε τὸ ἀνατρηθησόμενον ὀστοῦν ὅλον γυμνωθῆναι. εἰ μὲν αἱμορραγία γένηται, μοτοῖς ἀπὸ ὀξυκράτου διαμοτώσωμεν. εἰ δὲ μὴ, ξηροῖς. εἶτα πτυκτὸν ἐξ οἰνελαίου βαλόντες τῷ προσήκοντι δεσμῷ χρησόμεθα. κατὰ δὲ τὴν ὑστεραίαν, εἰ μή τι νεωτερικὸν κωλύσει σύμπτωμα, τῇ ἀνατρήσει τοῦ πεπονθότος ἐγχειρήσομεν ὀστοῦ. καθέδριον τοίνυν ἢ ἀνακεκλιμένον σχηματίσαντες τὸν κάμνοντα ἁρμοδίως τῷ τραύματι, καὶ τὰ ὦτα αὐτοῦ ἐριοβύσαντες διὰ τὸν ἐκ τῆς ἐπικρούσεως ἦχον, λύσομεν τὸν δεσμὸν τοῦ τραύματος. καὶ περιελόντες τοὺς μοτοὺς ἅπαντας, καὶ περισπογγίσαντες, κελεύσομεν δύο ὑπηρέταις ταινιδίοις λεπτοῖς περιδεθεῖσιν ἀναστέλλειν τὰς τέσσαρας γωνίας τῶν ἐπικειμένων τῷ κατάγματι σωμάτων. καὶ εἰ μὲν ἀσθενὲς εἴη τὸ ὀστοῦν ἢ φύσει ἢ ἐκ τοῦ κατάγματος, ἀντιθέτοις ἐκκοπεῦσι τοῦτο περιέλωμεν. πρώτοις τοῖς κυκλισκωτοῖς ἀπὸ τοῦ πλατυτέρου ἀρχόμενοι, καὶ μεταμείβοντες τοὺς στενωτέρους, κἄπειτα

τοῖς μηλωτρίσιν, ἠρέμως ἐπικρούοντες τῇ σφύρᾳ, διὰ τὸν σεισμὸν τῆς κεφαλῆς. εἰ δὲ ἰσχυρὸν εἴη τὸ ὀστοῦν, πρότερον τοῦτο περιτρυπήσαντες τοῖς ἀβαπτίστοις λεγομένοις, τοιαῦτα δέ ἐστι τὰ ἔχοντα μικρὸν ἐσωτέρω τῆς ἀκμῆς ἐξοχὰς κωλυούσας αὐτὰ πρὸς τὴν μήνιγγα βαπτίζεσθαι. τότε διὰ τῶν κοπέων περιαιρέσει χρησάμενοι, τὸ πεπονθὸς ὀστοῦν ἀφελώμεθα, μὴ ἀθρόως, ἀλλὰ κατὰ μέρος. εἰ μὲν δυνατὸν, τοῖς δακτύλοις. εἰ δὲ μὴ, ὀδοντάγρᾳ ἢ ὀστάγρᾳ ἢ θριχολαβίδι ἢ τοιούτῳ τινί. τὸ δὲ μεταξὺ τῶν τρημάτων χωρίον, ἐχέτω διάστημα ὅσον τὸ μῆκος πυρῆνος μεγίστου μήλης. τὸ δὲ βάθος ἄχρις οὗ πλησίον γένηται τῆς ἔνδον ἐπιφανείας τοῦ ὀστέου, φυλαττομένων ἡμῶν ἅψασθαι τὸ τρύπανον τῆς μήνιγγος. διὸ καὶ πρὸς τὸ πάχος τοῦ ὀστέου δεῖ τὸ τρύπανον εἶναι πλειόνων ἐπ' αὐτῷ παρεσκευασμένων. εἰ δὲ ἄχρι τῆς διπλόης τοῦ κρανίου μόνον εἴη τὸ κάταγμα, ἄχρι ταύτης καὶ μόνον τρυπητέον. μετὰ δὲ τὴν τοῦ ὀστέου κομιδὴν, ἐξομαλίσαντες τὴν ἀπὸ τῆς ἐκκοπῆς τοῦ κρανίου τραχύτητα, ξυστῆρι ἤ τινι τῶν σμηλίων τῶν ἐκκοπέων, ὑποβαλλομένου μηνιγγοφύλακος, καὶ τὰ ὡς εἰκὸς ἀπομείναντα ὀστέια ἢ ἀκίδια εὐφυῶς κομισάμενοι, ἐπὶ τὴν διαμότωσιν χωρήσωμεν. οὗτος ὁ κοινότερος ἅμα τε καὶ εὐχερὴς καὶ ἀκίνδυνος τῆς χειρουργίας τρόπος. καὶ ὁ διὰ τοῦ καλουμένου φακωτοῦ ἐκκοπέως τρόπος ὑπερβαλλόντως ἐπαινεῖται ὑπὸ Γαληνοῦ, χωρὶς περιτρυπήσεως, μετὰ τὴν ἐκ τῶν κυκλίσκων περιγλυφὴν παραλαμβανόμενος. φησὶ γοῦν ὧδέ πως. ἣν δὲ ἅπαξ γυμνωθῇ μέρος, ὑποβαλὼν ἐκκοπέα, τὸ μὲν φακοειδὲς ἔχει ἐπὶ πέρατι προὔχον, ἀμβλὺ καὶ λεῖον ἔχοντα. τὸ δὲ ὀξὺ κατὰ τὸ μῆκος ὄρθιον. ὅταν στηρίξῃ κατὰ τῆς μήνιγγος τὸ πλατὺ τοῦ φακοειδοῦς, ἐπικροῦον τῇ μικρᾷ σφύρᾳ διαιρεῖν οὕτω τὸ κρανίον. συμβαίνει γὰρ ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις πάντα ὅσων χρήζομεν. ἡ μέν γε μῆνιγξ, οὐδ' ἂν νυστάζων τις ἐνεργῇ, τρωθῆναι δύναται, ὑπὸ πλατεῖ μέρει μόνῳ τοῦ φακοειδοῦς ὁμιλοῦσα. κἂν ἢν προσέχηταί τι ὑπὸ κρανίῳ, καὶ ταύτης τὴν προσάρτησιν ἀλύπως ἀποσπᾷ τὸ περιφερὲς πέρας τοῦ φακοειδοῦς. ἕπεται δὲ ἐξόπισθεν αὐτῷ ὑπὸ ποδηγουμένη διακόπτων τὸ κρανίον ὁ ἐκκοπεὺς αὐτός. ὡς οὔτε ἀκινδυνώτερον, οὔτε θᾶττον ἐνεργοῦντα τρόπον ἕτερον ἀνατρήσεως εὑρεῖν ἐγχωρεῖ. ἡ δὲ διὰ τῶν πριόνων τε καὶ χοινικίδων χειρουργία, τοῖς νεωτέροις ὡς μοχθηρὰ διαβέβληται. ἀλλὰ τὴν μὲν ἐγχείρησιν ὡς ἐπὶ ῥωγμῆς ἐξεθέμεθα. ὁ δ' αὐτὸς τρόπος τῆς τῶν ὀστῶν περιαιρέσεως ἁρμόσει κἀπὶ τῶν λοιπῶν τοῦ κρανίου καταγμάτων. καὶ τὸ ποσὸν δὲ τῶν ὀφειλόντων ὀστῶν ἐκκόπτεσθαι ὁ Γαληνὸς ἡμᾶς διδάξει, ὧδέ σαφῶς λέγων. ὁπόσα δὲ ἐκκόπτειν χρὴ τοῦ πεπονθότος, ἐφεξῆς σοι δίειμι. τὸ μὲν ἰσχυρῶς συντριβὲν ὅλον ἐξαίρειν δεῖ. εἰ δὲ ἀπ' αὐτοῦ τινὲς ἐπὶ πλέον ἐκτείνοιντο ῥωγμαὶ, καθάπερ ἐνίοτε φαίνεται συμβαῖνον, οὐ χρὴ ταύταις ἕπεσθαι μέχρι τοῦ πέρατος, εὖ εἰδότας ὡς οὐδὲν βλάβος ἐπακολουθήσει διὰ τὸ τῶν ἄλλων ἁπάντων ὀρθῶς πραχθέντων. μετὰ δὲ τὴν χειρουργίαν ῥάκος ἁπλοῦν λινοῦν ἴσον τὸ μέγεθος τοῦ τραύματος ῥοδίνῳ δεύσαντες, ἐπιπωμάσωμεν τὴν μήνιγγα. καὶ μικρὰν ἐρίου κροκύδα ὁμοίως ὑπὸ ῥοδίνῳ δεύσαντες ἐπιθῶμεν τῷ προειρημένῳ ῥάκει. εἶτα πτυκτὸν διπλοῦν οἰνελαίῳ ἢ καὶ αὐτῷ ὑπὸ ῥοδίνῳ δεύσαντες, ὅλῳ τῷ τραύματι περιθήσωμεν, ἐπινοούμενοι ὡς μὴ βαρεῖσθαι τὴν μήνιγγα. κἄπειτα πλατεῖ ἐπιδέσμῳ χρησώμεθα, μηδὲ τούτῳ σφίγγοντες. ἀλλ' ὥστε μόνον φυλάττεσθαι τοὺς μοτούς. καὶ τῇ ἀφλεγμάντῳ τε καὶ πυρετικῇ λεγομένῃ χρησώμεθα διαίτῃ. συχνότερον ἐπιβρέχοντες μεταξὺ τῷ ῥοδίνῳ τὴν μήνιγγα. κατὰ δὲ τὴν τρίτην ἡμέραν λύσαντες, καὶ περισπογγίσαντες, τῇ ἐναίμῳ τε καὶ ἀφλεγμάντῳ θεραπεύσομεν ἀγωγῇ, ἐπιπάττοντες τῇ μήνιγγι τινὸς τῶν κεφαλικῶν λεγομένων ξηρῶν, ἄχρι σαρκώσεως. καίποτε καὶ ξύοντες τὸ ὀστοῦν, εἴπου καὶ τοῦτο δέοι, διά τινας ὑπερεχούσας ἀκίδας, ἢ καὶ δι' αὐτὴν τὴν σάρκωσιν. καὶ τὴν λοιπὴν δὲ τῶν φαρμάκων ὕλην ὡς ἐπὶ τραυμάτων εἴρηται προσενεκτέον.

Περὶ φλεγμονῆς μήνιγγος.

Ἐπεὶ δὲ πολλάκις μετὰ τὴν χειρουργίαν φλεγμαίνει ἡ μῆνιγξ, ὡς μὴ μόνον τοῦ κρανίου τὸ πάχος ἀλλὰ καὶ τὸ δέρμα αὐτοῦ ὑπερβαίνειν μετὰ ἀντιτυπίας, καὶ τὴν φυσικὴν αὐτῆς σφυγματώδη παραποδίζεσθαι κίνησιν, οἷς ὡς μάλιστα καὶ σπασμὸς καὶ ἕτερα χαλεπὰ συμπτώματα ἢ θάνατος ἐπακολουθεῖ. φλεγμαίνει δὲ, ἢ διά τινα ὀξεῖαν ὑπεροχὴν ὀστέου νύττουσαν, ἢ διὰ βάρος περὶ τῶν μοτῶν, ἢ διὰ ψύξιν, ἢ πολυφαγίαν, ἢ οἰνοποσίαν ἢ καί τινα ἄλλην αἰτίαν ἄδηλον. εἰ μὲν ἐκ φανερᾶς ἐφλέγμαινε προφάσεως, ταύτην ταχέως ἀνακοπτέον. εἰ δὲ ἐξ ἀδήλου, πλέον ἀγωνίζεσθαι προσήκει, ἢ φλεβοτομίᾳ χρώμενον εἰ μηδὲν κωλύοι ἡ αἰτία, ἢ τῇ πρὸς φλεγμονὴν ἁρμοζούσῃ διαίτῃ. καὶ τοπικοῖς δὲ χρῆσθαι βοηθήμασιν, οἷον τῇ τοῦ θερμοῦ ῥοδίνου ἐπιβροχῇ. καὶ καταντλήσει δι' ἀφεψήματος ἀλθαίας, ἢ τήλεως, λινοσπέρμου, χαμαιμήλων, καὶ τῶν ὁμοίων. καταπλάσμασι δὲ τοῖς διὰ ὠμῆς λύσεως, ἢ λινοσπέρμου σὺν

τῷ εἰρημένῳ ἀφεψήματι καὶ στέασιν ὄρνιθος, καὶ ἐμβροχαῖς δι᾽ ἐρίου. ἔν τε τῇ κεφαλῇ καὶ τοῖς ἰνίοις ἐνστάζοντα, καὶ τοῖς ἀκουστικοῖς πόροις τί τῶν ἀφλεγμάντων ἐλαίων. μήτε δὲ τῶν σπλάγχνων ἀμελητέον καταπλάσσοντα, καὶ τοῦ ὅλου δὲ σώματος ποιεῖσθαι πρόνοιαν, ὕδατι θερμῷ καθῆκον αὐτοὺς ἐμβιβάζοντα καὶ ἐπαλείφοντα. ἐπιμενούσης φλεγμονῆς, καὶ μηδενὸς ἑτέρου κωλύοντος, καὶ χολαγωγῷ φαρμάκῳ καθαίρειν αὐτοὺς Ἱπποκράτης παρακελεύεται.

Περὶ μελανθείσης μήνιγγος.

Μελανθείσης δὲ μήνιγγος, εἰ μὲν ἐπιπολῆς ἡ μέλανσις γένηται, μάλιστα ἐκ φαρμάκων ταύτην ποιεῖν δυναμένων. μέλι διπλοῦν μίξαντες ῥοδίνῳ καὶ διὰ μοτῶν ἐπιτιθέντες θεραπεύσωμεν, ἀκολούθως καὶ τὰ λοιπὰ προσφέροντες. εἰ δὲ αὐτομάτως ἡ μέλανσις γένηται καὶ διὰ βάθους μάλιστα, σὺν ἄλλοις χαλεποῖς σημείοις, τηνικαῦτα δεῖ τούτων ἀπαγορεύειν. νέκρωσιν γὰρ δηλοῖ τῆς ἐμφύτου θερμασίας. οἶδα δέ τινα καὶ μετὰ ἐνιαυτὸν τῆς πτώσεως ἀναπρισθέντα τὸ κρανίον, καὶ περιγενόμενον. ἦν γὰρ ἐν τῷ βρέγματι τὸ κάταγμα τὸ ἐκ βέλους γεγονός, καὶ ἔχον ἔκροιαν δι᾽ ἧς ἡ μῆνιγξ ἀπαθὴς ἐφυλάχθη.

Περὶ ῥινὸς καταγείσης τε καὶ θλασθείσης. ϟα.

Τῆς ῥινός, τὸ μὲν κάτω μέρος χονδρῶδες ὂν οὐ κατάγνυται οὖν, ἀλλὰ θλᾶται καὶ σιμοῦται καὶ διαστρέφεται. τὸ δὲ ἄνω τῆς ὀστώδους οὐσίας ὑπάρχον, ἔσθ᾽ ὅτε κατάγνυται. ἐπὶ τούτων δὲ τὴν ἐπίδεσιν Ἱπποκράτης παραιτεῖται, σιμότητα μᾶλλον καὶ διαστροφὴν ἐργαζομένην πλείονα. πλὴν τῶν περὶ μέσης τῆς ῥινὸς ὑπερεχηκότων ἐπίκρουσμά τι. ἐπὶ τούτων γὰρ τὸν προσήκοντα δεσμὸν σὺν ἐπιθέσει παραλαμβάνει φαρμάκου, διὰ τὸ προστυπουμένην τὴν ῥῖνα τὸ κατὰ φύσιν ἀναλαμβάνειν σχῆμα. καταγείσης τοίνυν τῆς ῥινός, ἐν μὲν τοῖς κάτω μέρεσι, τὸν λιχανὸν ἢ μικρὸν δάκτυλον καθέντα ποιεῖσθαι τὴν ἐπὶ τὰ ἐκτὸς τῶν μορίων ἀπεύθυνσιν. ἐν δὲ τοῖς ἐνδοτέρω, καὶ τῷ τῆς σμίλης πυρῆνι τοῦτο πρακτέον εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν, ἢ μὴ πόρρω ταύτης. ἐπειδὴ περὶ τὴν δεκάτην ἡμέραν τὰ τῆς ῥινὸς ὀστᾶ κρατύνεται. ἔξωθεν τε τῷ λιχανῷ καὶ μεγάλῳ δακτύλῳ δεῖ ταύτην διαπλάττειν. ἵνα δὲ τὸ διαπλαττόμενον ἀσύμπτωτον φυλάττηται σχῆμα, δεῖ σφηνίσκους στρεπτοὺς ἐκ ῥάκους εἱληθέντας, ἐντιθέναι τῇ ῥινὶ δύο, ἕνα καθ᾽ ἕκαστον μυξωτῆρα, κἂν τὸ ἕτερον μόνον τῆς ῥινὸς μέρος τύχῃ διεστραμμένον. καὶ τούτους ἐᾶν ἄχρις οὗ κρατύνοιτο τὸ ὀστοῦν ἢ ὁ χόνδρος. τινὲς δὲ καὶ καλαμίδας ἀπὸ πτερῶν χηνείων ῥάκεσι νήσαντες ἐντιθέασι τῇ ῥινί, χάριν τοῦ τὸ σχῆμα φυλάττεσθαι καὶ τὴν ἀναπνοὴν μὴ παραποδίζεσθαι, ὅπερ οὐκ ἀναγκαῖον διὰ στόματος τῆς διαπνοῆς γινομένης. εἰ δὲ φλεγμαίνοι ἡ ῥίς, τῶν ἀφλεγμάντων τι φαρμάκων ἐπιθήσωμεν, οἷον διὰ χυλῶν, ἢ τὴν δι᾽ ὀξελαίου, ἢ τι τοιοῦτον. ἢ ἀπὸ πυρίνης σεμιδάλεως ἅμα μάννῃ. ἢ κόμμι ἑψηθείσης ἐπιβάλλωμεν κατάπλασμα, διά τε τὴν φλεγμονὴν καὶ τὸ συνέχεσθαι τὴν ῥῖνα. ἐπὶ θάτερα δὲ τῆς ῥινὸς διεστραμμένης, ὁ μὲν Ἱπποκράτης μετὰ τὴν ἁρμόζουσαν διάπλασιν κελεύει περιμήκους ἱμάντος, δακτύλου τὸ πλάτος, τὸ ἕτερον τῶν ἄκρων ταυροκόλλῃ ἢ κόμμι χρίσαντα, κολλῆσαι τῷ ἄκρῳ μέρει τῆς ῥινὸς ἐκ πλαγίου καθ᾽ ὃ ἐνένευκε, καὶ μετὰ τὸ ξηρανθῆναι φέρειν τὸν ἱμάντα διὰ τοῦ ἀντικειμένου ὠτὸς ἐπὶ τὸ ἰνίον καὶ τὸ μέτωπον. κἄπειτα αὐτὸ ὑπὸ τὴν ἑτέραν τοῦ ἱμάντος ἀρχὴν ἀσφαλίζεσθαι. ὥστε ἀνθελκομένην ἐπὶ τὰ πλάγια τὴν ῥῖνα πρὸς τὸ μέσον ἀπευθύνεσθαι σχῆμα. ὅπερ οὐ πάνυ τι τοῖς νεωτέροις ἤρεσεν. εἰς λεπτὰ δὲ καταθραυσθέντων τῶν τῆς ῥινὸς ὀστέων, διαιρεῖν ἢ ἐπιδιαιρεῖν χρή. καὶ τὰ λεπτὰ ὀστάρια τριχολαβίδι κομίσαντας ῥαφαῖς συνάγειν τὰ διεστηκότα, καὶ τῇ ἐναίμῳ τε καὶ κολλητικῇ χρῆσθαι θεραπείᾳ. εἰ δὲ καὶ ἔσωθεν τῆς ῥινὸς ἕλκος εἴη γεγονός, λημνίσκοις ἐκ μοτῶν χρισθεῖσι, θεραπεύειν. τινὲς καὶ μολιβδίνοις σωληναρίοις ἄχρις ἀπουλώσεως ἐχρήσαντο, διὰ τὸ μὴ σάρκωμα ἐκ τῶν ἑλκῶν ἐπιτραφῆναι.

Περὶ τῆς κάτω γένυος καταγείσης, καὶ ὠτὸς θλασθέντος. ϟβ.

Περὶ μὲν τοῦ θλασθέντος ὠτὸς ἐν τῷ γ̄ παραδεδώκαμεν βιβλίῳ, ὡς οὐ καταγματικῆς οὔσης τοιαύτης διαθέσεως. ἡ δὲ κάτω γένυς κατάγνυται διὰ πολλὰς αἰτίας. εἰ μὲν οὖν ἔξωθεν μόνον θλασθεῖσα μὴ ἀποκαυλισθεῖσα δέ, ἐπὶ τὰ ἔσω κοιλανθῇ. ἡ μὲν σημείωσις πρόχειρος. δεῖ δὲ τῆς ἑτέρας χειρός. εἰ μὲν ἡ δεξιὰ γένυς κατεάγῃ, τῆς δεξιᾶς. εἰ δὲ ἑτέρα, τῆς εὐωνύμου τὸν λιχανὸν δὲ καὶ μέσον δάκτυλον ἐν τῷ τοῦ παθόντος στόματι καθέντα, τὸ ἔνδον κύρτωμα τοῦ κατάγματος εὐφυῶς ὠθεῖν ἐπὶ τὰ ἔξω. τοῦτο τῆς ἑτέρας χειρὸς ἐκτὸς ἀντιδεχομένης ἡ δὲ τῆς γένυος εὐθύτης τῇ τῶν κατ᾽ αὐτὴν ὀδόντων ἰσότητι στοχαζέσθω σοι. καυληδὸν δὲ γενομένου τοῦ κατάγματος. πρῶτον τῇ τάσει καὶ τῇ ἀντιτάσει χρησάμενος, ὑπηρέτου διακρατοῦντος αὐτὸ ὡς εἴρηται. ποίει τὴν ἀπεύθυνσιν. τοὺς δὲ περὶ τὸ κλασθὲν μέρος διεστηκότας ὀδόντας, δεῖ

συζεύ-

συζεύξαντας ὡς μὲν Ἱπποκράτης φησὶ χρυσίῳ συνδεσμεῖν. δηλονότι τῷ χρυσελίνῳ καλουμέ-
νῳ, ἢ χρυσονήματι. ἐπειδὴ δὲ οὐ παρὰ τοῖς πᾶσιν εὔπορον, λίνῳ ἰσχυρῷ, ἢ βύσσῳ ἢ θριξὶν ἱππεί-
αις ἢ τοιούτῳ τινί. ἀλλ' εἰ μετὰ σὺν ἕλκει γέγονε τὸ κάταγμα, σημειωτέον σμίλῃ, μήποτε καὶ ἀπό-
θραυσις ὀστοῦ γέγονε. καὶ εἰ μὲν παρὰ μικρᾶς οὔσης τῆς διαιρέσεως, ἐπιτέμνοντα δεῖ τὸ ἀποθραυσθὲν ὀστά-
ριον ἢ ἓν ἢ πλείονα διὰ ἐπιτηδείου κομισάμενον ὀργάνου, ῥαφαῖς συνειςάγειν τὰ χείλη τοῦ ἕλκους,
καὶ ἐναίμῳ φαρμάκῳ χρησάμενον ἐπιδεσμεῖν. εἰ δὲ χωρὶς ἕλκους, κηρωτὴν ἁπλῆν ἐπιθέντα τῇ
γένυϊ, προσηκόντως ἐπιδεῖν. τοῦ δὲ ἐπιδέσμου, ἡ μεσότης μὲν ταττέσθω κατὰ τὸ ἰνίον. αἱ δὲ ἐπιδή-
σεις ἑκατέρωθεν διὰ τῶν ὤτων ἐπ' ἄκρον τὸ γένειον. εἶτ' αὖθις ἐπὶ ἰνίον. εἶτα ἐπ' ἀνθερεῶνα. κἀν-
τεῦθεν διὰ παρειῶν ἐπὶ τὸ βρέγμα. καὶ πάλιν ἔνθεν ὑπὸ κάτω τοῦ ἰνίου. ἔνθα καὶ τελευτᾶν δεῖ
τὸν ἐπίδεσμον. ἐπὶ τούτοις δὲ πάλιν ἐπίβλημα, τουτέστι δεσμὸς ἕτερος περιβληθεὶς τῷ μετώ- 1
πῳ, ὀπίσω τῆς κεφαλῆς συναπτέσθω πρὸς τὸ πάσας τὰς προλεχθείσας δήσεις περισφίγγειν.
τινὲς δὲ καὶ ναρθήκιον ἐλαφρόν, ὥσπερ ἕτεροι σκῦτος ἰσόμηκες ἐπιθέντες τῇ γένυϊ ἐπιδέουσιν ὡς
εἴρηται. ἕτεροι δὲ τῇ λεγομένῃ φορβείᾳ ἐπιδέσει χρῶνται. εἰ δὲ ἄμφω αἱ γένυες κατὰ τὸ γένειον
ἄκρον ἀπορραγῶσι, καθ' ὃ καὶ συμφύονται μέρος, ταῖς χερσὶν ἀμφοτέραις μικρὸν αὐταῖς ἀ-
ποδιαστήσας εἰς ἀλλήλας αὖθις συνάρμοσον, καὶ τοὺς ὀδόντας συζεύξας ὡς εἴρηται δῆσον. καὶ
τῇ προσηκούσῃ χρησάμενος ἐπιδέσει κέλευε τρέφειν λεπταῖς καὶ ῥοφηματώδεσι τροφαῖς
χρωμένους. ἡ γὰρ μάσησις αὐτοῖς πολεμία. καὶ εἰ νομίσαις τι παρακεκινῆσθαι τοῦ σχήματος. ἐπιλύ-
ων διὰ τρίτης αὖθις ἐπίδησον. οὕτω πράττων ἄχρι πωρώσεως. πωροῦται δὲ ἡ γένυς εἴσω μά-
λιστα τριῶν ἑβδομάδων ὅτι τε χαυνὴ καὶ μυελοῦ πλήρης ἐστίν. εἰ δὲ φλεγμονή τις γένηται, μη-
δὲν πρὸς ταύτην ἐμβροχῶν τε καὶ καταπλασμάτων ἀμελητέον, ὅπερ ἐπὶ πάντων ὡσαύ- 2
τως πεφυλάχθω σοι.

Περὶ κλειδὸς καταγείσης. ϙγ.

Ἐν τῷ κατὰ φύσιν ἡ κλεὶς σχήματι, κατὰ μὲν τὸ ἔνδον αὐτῆς πέρας τῷ στέρνῳ συμφυομένη, κατὰ
δὲ τοὐκτὸς πρὸς τὸ ἀκρώμιον διαρθρουμένη. καὶ διὰ τοῦτο τὸν ὦμον, ἢ καὶ αὐτὸν ἀνέχουσα τὸν βρα-
χίονα, ἐὰν ὑπομείνῃ κάταγμα καθ' οἱονδήποτε μέρος, τὸ πρὸς τῷ ὤμῳ αὐτῆς ὥσπερ πολὺ κα-
τωτέρω τοῦ ἔνδον φέρεται πέρατος συγκατασπώμενον τῷ βραχίονι. βέλτιον δὲ καυληδὸν μᾶλλον,
ἀλλὰ μὴ σχιδακηδὸν ἢ καλαμηδὸν καταγῆναι τὴν κλεῖν. ἤπερ οὖν νομίζεται τοῖς πολλοῖς. τὸ μὲν
γὰρ ἀποκαυλισθὲν, ἑτοίμως τῇ ἀνατάσει καὶ τῇ πιλήσει τῶν δακτύλων εἰς τὸ κατὰ φύσιν ἐπα-
νέρχεται. τὰ λοιπὰ δὲ δυσαρμόστους ἔχει τὰς ἐξοχάς. εἰ τοίνυν διὰ παντὸς αὐτῆς τοῦ πάχους ὅπως ἂν
οὖν καταγείη, δύο ὑπηρέται εἷς μὲν τὸν πρὸς τῇ καταγείσῃ κλειδὶ ταῖς χερσὶ περιβάλλων βραχί- 3
ονα ἐπὶ τὰ ἐκτὸς ἅμα καὶ ἄνω ἑλκέτω. ἕτερος δὲ τὸν ἀντικείμενον ὦμον ἢ πάντως γε τὸν τράχηλον
ἐπισπώμενος, ποιείτωσαν τὴν ἀντίτασιν. ὁ δὲ ἰατρὸς τοῖς ἑαυτοῦ δακτύλοις εὐθετείτω τὸ κάτα-
γμα, τὰ μὲν προπετέστερα ὠθῶν. τὰ δὲ ἐν βάθει πρὸς τοὐκτὸς ἐπισπώμενος. εἰ δὲ πλείονος δέοιτο
τῆς ἀντιτάσεως. εὐμεγέθη σφαῖραν ἐκ ῥάκους ἢ ἐρίων ἤ τινα τοιοῦτον ὄγκον ὑποβαλὼν τῇ μα-
σχάλῃ, τὸν ἀγκῶνα τῇ κατ' αὐτὴν πλευρᾷ προσάγειν, καὶ τὰ λοιπὰ ὡς εἴρηται ποιεῖν. εἰ δὲ
μὴ οἷός τε εἴη. τὸ πρὸς τῷ ὤμῳ τῆς κλειδὸς πέρας ἐν βάθει γεγονὸς ἐπισπᾶσθαι πρὸς ἐπιφά-
νειαν, ὕπτιον ἀνακλίνας τὸν ἄνθρωπον. ὑπαυχένιόν τι σύμμετρον ὑποβαλὼν τῷ μεταφρέ-
νῳ, τοὺς δύο ὤμους ἐπὶ τὰ κάτω πιλοῦντος ὑπηρέτου, ὥστε τὸ ἐν βάθει τῆς κλειδὸς ὀστοῦν
ἀνακλασθῆναι πάλιν, αὐτοῖς τοῖς δακτύλοις διαπλαττέ τὸ κάταγμα. εἰ δὲ μέρος τι τῆς
κλειδὸς ἀποθραυσθέν τε καὶ ἀστατοῦν, εἰ καὶ νύττον αἰσθόμεθα, σμίλῃ διατέμνοντες ἐπ' ὀρθόν, 4
τό, τε ἀποθραυσθὲν ἀφέλωμεν. καὶ τὰ λοιπὰ διὰ ἐκκοπέως ἐξομαλίσωμεν, ὑποβεβλημένου τῇ
κλειδὶ μηνιγγοφύλακος ἢ ἑτέρου ἐκκοπέως διὰ τὸ ἑδραῖον. καὶ εἰ μὲν ἀφλέγμαντον εἴη, ῥα-
φαῖς. εἰ δὲ μή, μοτοῖς χρησώμεθα. καὶ σπληνίας διαφόρους παρασκευάσαντες, πρὸς τὴν ῥοπὴν τοῦ
ὑπερέχοντος ὀστοῦ τοὺς μείζονας καὶ παχυτέρους παραθήσωμεν. φλεγμονῆς μὲν οὔσης, ἐλαιο-
βραχεῖς. οὐκ οὔσης δέ, ξηρούς. καὶ σύμμετρον ἐξ ἐρίου σφαῖραν τῇ πλησίον ὑποβάλλοντες μασχά-
λῃ, τὴν πρέπουσαν ἐπαγάγωμεν ἐπίδεσιν διά τε τῶν μασχαλῶν καὶ τῆς πεπονθυίας κλει-
δὸς καὶ ὠμοπλάτης, κατὰ τὸ ἁρμόζον τὰς ἐπιδήσεις φέροντες. καὶ εἰ μὲν ἐπὶ τὰ κάτω ἔρρε-
πε τὸ πρὸς τῷ ὤμῳ τῆς κλειδὸς μέρος, πλατυτέρου τελαμῶνος τὴν μεσότητα τῷ κατ'
αὐτὴν ὑποθέντες ἀγκῶνι, τὸν βραχίονα ὅλον ἐκ τοῦ τραχήλου ἀπαιωρήσωμεν. ἐξ ἑτέρου τε δε-
σμοῦ τὴν χεῖρα κατ' αὐτὸν κρεμάσαντες, ὥσπερ ἐπὶ τῶν ἀπ' ἀγκῶνος φλεβοτομηθέντων. εἰ δὲ 50
ἐπὶ τὸ ἄνω πέρας, ὅπερ ἐστὶ σπάνιον, παραιτητέον τὴν τοῦ βραχίονος ἐπάρτησιν. ὕπτιον δὲ κα-
τακλιτέον τὸν κάμνοντα, καὶ λεπτῶς διαιτητέον. εἰ δὲ χρὴ καὶ ἐπιβρέχοντα, καὶ τὰ λοιπὰ κατὰ
λόγον δρῶντα μέχρι πωρώσεως. πωροῦται δὲ τὸ πλεῖστον ἡ κλεὶς ἐν εἴκοσιν ἡμέραις.

Περὶ

Περὶ ὠμοπλάτης. ϟδ΄.

Ἡ ὠμοπλάτη, κατὰ μὲν τὸ πλατὺ καὶ τραπεζῶδες οὐ κατάγνυται. κατὰ δὲ τὴν ῥάχιν αὐτῆς ὑπομένει κάταγμα, ποτὲ μὲν πιεζομένης, ποτὲ δὲ ῥῆξιν ἁπλῆν ὑφισταμένης. ἄλλοτε δὲ καὶ ἀποθραυομένης. τὸ μὲν οὖν ἐκπίεσμα τῇ ἁφῇ γινώσκεται, κοῖλον ὑποπῖπτον. νάρκην τε τοῦ πλησίον βραχίονος καὶ νυγματώδη πόνον ἐμποιοῦν. ἡ δὲ ῥῆξις, τῇ πρὸς τὴν ἁφὴν τραχύτητι καὶ τοπικῇ ὀδύνῃ. ἀμφότερα δὲ τῇ ἀφλεγμάντῳ ἀγωγῇ θεραπεύεται. ἡ δὲ ἀπόθραυσις, καὶ αὐτὴ τῇ ἁφῇ γινωσκομένη, ἠρεμοῦσα μὲν τῷ προσήκοντι δεσμῷ προτυποῦται. ἀναπλέουσα δὲ καὶ νύττουσα, τῇ τε διὰ τομῆς ἀφαιρέσει, καὶ ῥαφαῖς, ὡς ἔμπροσθεν εἴρηται. δεσμοὶ δὲ κἀνταῦθα παραπλήσιοι τῇ κλειδὶ ἐπιβαλλέσθωσαν. καὶ ἡ ἀνάκλισις ἐπὶ τὸ ἀντικείμενον ἔσω πλευρόν.

Περὶ στέρνου. ϟε΄.

Ἡ μεσότης μὲν τοῦ στέρνου διαιρεῖται καὶ ἐμπιέζεται, τὸ δὲ ἄκρον ἀποθραύεται. ῥήξεως μὲν οὖν διαστρόφου γενομένης, ἄλγημα τοπικὸν καὶ ἀνωμαλία παρακολουθεῖ, καὶ ψόφος, πρὸς τὴν τῶν δακτύλων ἐπέρεισιν. ἐκπιέσματος δὲ, σφοδρὸν ἄλγημα, δύσπνοια, βὴξ ἐπινυττομένου τοῦ ὑπεζωκότος, σπανιάκις καὶ αἵματος ἀναγωγὴ, κοιλότης τε τοῦ κατεαγότος καὶ εἶξις. καὶ νῦν δὲ τὴν ἐπιμέλειαν ὡσαύτως διατίθεσθαι τοῖς ἐπὶ τῆς ὠμοπλάτης παραδοθεῖσιν. ἐπὶ δὲ τοῦ ἐκπιέσματος ὁ καθ' Ἱπποκράτην παραλαμβανέσθω καθαρτισμὸς, ὃν ἐκεῖνος ἐπὶ τῆς ἔσω κεχωρηκυίας ἐξέθετο κλειδὸς, διὰ τῆς ὑπτίας κατακλίσεως, καὶ τῆς τοῦ ὑπαυχενίου κατὰ τὸ μετάφρενον ὑποβολῆς, καὶ τῆς τῶν ὠμοπλατῶν πιλήσεως, μετὰ τοῦ καὶ τὰς πλευρὰς ἑκατέρωθεν ταῖς χερσὶ συνάγειν. σκεπασθέντων δὲ τῶν πλευρῶν τοῖς ἐρίοις τὴν ἐγκύκλιον παραλαμβάνειν ἐπίδεσιν, προϋποβεβλημένων ἐπ' εὐθείας τελαμώνων ἐπὶ τῶν ὤμων, καὶ εἰς ὕστερον αἱ τῶν δυοῖν ἀρχαὶ πρὸς τὰς καταλλήλους ἀναλαμβάνονται, κωλύουσαι τὰς ἐγκυκλίους ἐπιδέσεις ἀπορρεῖν.

Περὶ πλευρῶν. ϟς΄.

Τῶν μὲν πλευρῶν τῶν σπαθῶν λεγομένων, αἱ μὲν ὀστώδεις κατὰ πᾶν μέρος ὑπομένουσι τὴν ῥῆξιν. αἱ δὲ νόθαι, κατὰ μόνα τὰ πρὸς τῇ ῥάχει. καὶ γὰρ κατὰ μόνα ταῦτα γεγόνασιν ὀστώδεις. κατὰ δὲ τὰ ἔμπροσθεν, ἀποχονδρούμεναι θλῶνται, καὶ οὐ κατάγνυνται. ἡ δὲ σημείωσις οὐ χαλεπή. καὶ γὰρ ἀνωμαλία τοῖς τοῦ σημειουμένου δακτύλοις ὑποπίπτει, καὶ ψόφος, καὶ παραγωγὴ πρὸς τὸ κατεαγός. ἐπὶ δὲ τῶν εἴσω νενευκυιῶν, καὶ ἄλγημα σφοδρὸν νυγματῶδες, χαλεπώτερον τοῦ ἐπὶ τῶν πλευρῶν, διὰ τὸ σκόλοπι παραπλησίως τὸν ὑπεζωκότα τιτρώσκεσθαι. δύσπνοιαι, βὴξ, ἀναγωγὴ πολλάκις αἵματος. τὰς μὲν οὖν ἄλλας παραλλαγὰς, τοῖς δακτύλοις ἐνδέχεται διαπλάττειν. τὴν δὲ εἰς τὸ ἔνδον, οὐκέτι διὰ τὸ ἄπορον τῆς τάσεως. ὅθεν οἱ μὲν φυσώδη τε καὶ πολλὴν παρακελεύονται διδόναι τροφὴν, διὰ τὴν ἐκ τῆς ἐμπνευματώσεως καὶ τάσεως ἐπὶ τὰ ἐκτὸς ὤθησιν τοῦ κατάγματος, ὅπερ οὐκ ἀναγκαῖον. οὐδὲν γὰρ κοινὸν ὅσον γε πρὸς τοῦτο θώρακί τε καὶ τοῖς θρεπτικοῖς, πρὸς τὸ καὶ τὴν φλεγμονὴν ὑπὸ τῆς ἐμφορήσεως αὔξεσθαι. οἱ δὲ σικύαν προσβάλλουσιν, ὅπερ οὐκ ἀμέθοδον, εἰ μὴ μέλλοι τῷ τῶν σωμάτων ἐκ τῆς συνολκῆς ἀθροισμῷ, πλέον ἐπὶ τὰ ἔνδον ὠθεῖσθαι τὸ κάταγμα. διό φησιν ὁ Σωρανός. ἐρίοις μὲν ἐλαίῳ θερμῷ διαβρόχοις σκεπάσθω τὰ μέρη. καὶ διὰ πτυγμάτων ἐκπεπληρώσθω τὸ μεσοπλεύριον, ὑπὲρ τοῦ τὴν ἐπίδεσιν ὁμαλὴν γενέσθαι κατ' ἐγκύκλιον περιαγωγὴν ὡς ἐπὶ στέρνου. πάντα δὲ ὡς ἐπὶ τῶν πλευριτικῶν γινέσθω πρὸς ἀναλογίαν τοῦ μεγέθους. εἰ δὲ μεγάλη τις ἀνάγκη βιάζοιτο, διὰ τὸ σφοδρῶς ἐπινύττεσθαι τὸν ὑπεζωκότα, διαιρεῖν δεῖ τὸ δέρμα καὶ γυμνώσας τὸ κατεαγὸς τῆς πλευρᾶς. εἶτα μηνιγγοφύλακα προϋποβάλλοντα διὰ τὸ μὴ τρωθῆναι τὸν ὑπεζωκότα, ἐκκόπτειν εὐφυῶς καὶ ἀναβάλλειν τῶν ὀστείων τὰ νύττοντα. μετὰ δὲ τοῦτο. τὰ μὲν ἀφλέγμαντα, ζυγοῦν καὶ ἐναίμως θεραπεύειν. τὰ δὲ φλεγμαίνοντα, σκέπειν ἐλαιοβραχέσι μοτοῖς. καὶ τρέφειν καὶ θεραπεύειν ἀφλεγμάντως. ἀνακλίνειν δὲ ὡς ἂν ἐκεῖνοι κούφως φέροιεν.

Περὶ ἰσχύων καὶ τῶν τῆς ἥβης ὀστέων. ϟζ΄.

Τὰ τῶν ἰσχύων ἢ λαγόνων ὀστᾶ. σπανίως μὲν κατάγνυται. τὰς αὐτὰς δὲ ταῖς ὠμοπλάταις ὑπομένει διαφοράς. θραύεται γοῦν κατὰ τὰ πέρατα, καὶ ῥήγνυται ὑπὸ μῆκος, καὶ ἐκπιέζεται κατὰ τὴν μεσότητα. παρέπεται δὲ αὐτοῖς ἄλγημα τοπικὸν, νυγματώδης τε καὶ σφυγματώδης συναίσθησις, καὶ τοῦ κατ' εὐθὺ σκέλους νάρκη διὰ τὸ ἐμπεπιέσθαι. τὸν καταρτισμὸν ὡσαύτως ταῖς ὠμομοπλάταις ἀπαιτεῖ. ἀπαρνεῖται δὲ μόνην τὴν διὰ τῆς χειρουργίας τοῦ ἀποθραυσθέντος ἄρσιν, διὰ τὸ ἔξωθεν σωμάτων, εἰ δέοι τοῖς δακτύλοις διαπλαττόμενον. ἀκόλουθον δὲ δεῖ ποιεῖσθαι καὶ τὴν ἄλλην ἐπιμέλειαν, ἐπιβροχαῖς τε χρώμενον καὶ τὰ κοῖλα τῶν λαγόνων προσαναπληροῦντα πτύ-

περιπτύγμασιν, ὥστε τὴν ἐπίδεσιν ὁμαλὴν γίνεσθαι τῶν περιδέσεων ἐγκυκλίων ὥσπερ περιβαλλομένων. τὰ δ᾽ αὐτὰ λεκτέον καὶ περὶ τῶν τῆς ἥβης ὀστῶν. οὐδὲν γὰρ ἰδιαίτερον περὶ αὐτῶν εἰπεῖν ἔχομεν.

Περὶ σπονδύλων καὶ ἀκάνθης ῥάχεως καὶ ἱεροῦ ὀστοῦ. ϟη.

Τῶν σπονδύλων αἱ περιοχαὶ. θλάσιν μὲν ἐνίοτε, σπανίως δὲ καὶ κάταξιν ὑπομένουσιν. ἐφ᾽ αἷς θλιβομένων τῶν τοῦ νωτιαίου μηνίγγων, ἢ καὶ αὐτοῦ τοῦ μυελοῦ, συμπάθειαι νευρικαὶ γίνονται, καὶ θάνατος ὀξὺς ἐπακολουθεῖ. καὶ μᾶλλον εἰ καὶ κατὰ τοὺς τοῦ τραχήλου σπονδύλους συσταίη τὸ πάθος. ὅθεν χρὴ προειπόντα τὸν κίνδυνον. εἰ μὲν δύναιτο τολμῆσαι, καὶ διὰ τομῆς τὸ θλίβον ὀστάριον ἐξελεῖν. εἰ δὲ μή, τῇ γοῦν ἀφλεγμάντῳ τούτους ἀγωγῇ παραμυθήσασθαι. εἰ δέ τις τῶν ἀποφύσεων τῶν σπονδύλων, ἐξ ὧν ἡ ἄκανθα λεγομένη συνέστηκεν ἀποθραυσθείη, τῇ τῶν δακτύλων ἐπαφῇ προχείρως ὑποπεσεῖται συμειώσει, κινουμένου τε καὶ ἀντιμεθισταμένου τοῦ ἀποθραύσματος, δεῖ δὲ τοῦτο ἀφελεῖν ἔξωθεν ἐπιτεμόντα τὸ δέρμα καὶ συναγαγόντα ῥαφαῖς ἐναίμῳ θεραπείᾳ χρήσασθαι. τοῦ δὲ ἱεροῦ καταγέντος ὀστοῦ, τὸν λιχανὸν τῆς ἀριστερᾶς χειρὸς δάκτυλον εἰς τὴν ἕδραν δεῖ παραπέμψαντα, τῇ ἑτέρα τὸ κάταγμα ὡς οἷόν τε διαπλάττειν. εἰ δέ τι ἀποθραυσθὲν αἰσθοίμεθα, καὶ τοῦτο διελόντας λαμβάνειν, ἐπίδεσιν τε καὶ ἐπιμέλειαν ποιεῖσθαι τὴν πρόσφορον.

Περὶ Βραχίονος. ϟθ.

Ἐπὶ τοῦ καταγέντος Βραχίονος. ὁ μὲν Ἱπποκράτης τὴν κατάτασιν οὕτως εἰργάσατο. δεῖ φησὶ ξύλον ἐπίμηκες οἷον στυλίον ἐκ τῶν ἄκρων σχοίνῳ δήσαντα καὶ κρεμάσαι πλάγιον ἀπό τινος δοκοῦ. καθίσαντα δὲ τὸν ἄνθρωπον ἐφ᾽ ὑψηλοῦ τινος, ὀρθότερον ἢ κατὰ τὸ λεγόμενον ὀρθοκαθέδρον σχῆμα, τὴν χεῖρα αὐτοῦ ὑπὲρ τοῦ λεχθέντος διαγαγεῖν ξύλου. ὥστε τῇ μασχάλῃ αὐτοῦ τὴν μεσότητα τοῦ ξύλου ἐγκαρσίως ἐφαρμόσαι. τὴν δὲ χεῖρα κεκαμμένου κατ᾽ ὀρθὴν γωνίαν τοῦ ἀγκῶνος, ὑπηρέτης ὑποκύψας διακρατείτω. κἄπειτα βάρος τι, οἷον λίθον, ἢ σταθμίον μολιβοῦν ἤ τι τοιοῦτον ἀπαρτίσας τοῦ ἀγκῶνος, καὶ ἀφεὶς ἀποκρέμασθαι μετέωρον, οὕτως τὸ κάταγμα διαπλαττέτω. ἢ ἀντὶ τοῦ βάρους ὑπηρέτης ἐπὶ τὰ κάτω ἑλκέτω τὸν Βραχίονα. τινὲς δὲ ἀντὶ τοῦ στυλίου, βαθμίδα κλίμακος ἐχρήσαντο. ὁ δὲ Σωρανός, οὕτως. καθέδριον σχηματίσαντες τὸν κάμνοντα, ἢ ὅπερ ἄμεινον, ὕπτιον, διὰ τὸ ἀταλαίπωρον. εἶτα βρόχῳ τὴν χεῖρα δήσαντες περὶ τὸν καρπόν, καὶ ἐκ τοῦ αὐχένος κρεμάσαντες ὥστε τὸ ἐγγώνιον αὐτῆς φυλάττεσθαι σχῆμα δυσὶ προστάσσωμεν ὑπηρέταις. τὸν μὲν ἄνωθεν τοῦ κατάγματος. τὸν δὲ κάτωθεν περιθεῖναι τοὺς δακτύλους. καὶ οὕτω τὴν τάσιν ἐπιτελεῖν. εἰ δὲ καὶ συντονωτέρας ὁλκῆς δεόμεθα, δύο βρόχους ἰσοτόμους τῷ Βραχίονι περιτίθεμεν. τὸν μὲν ἄνωθεν τοῦ κατάγματος. τὸν δὲ κάτωθεν. καὶ τῷ μὲν ὑπὲρ τὴν κεφαλὴν τοῦ κάμνοντος ἑστῶτι, τῷ δὲ ἐπὶ τοὺς πόδας, τὰς ἀρχὰς τῶν βρόχων ἐπιδόντες κελεύσωμεν ἀντιτείνειν. εἰ δὲ πρὸς τῷ 3
ἀκρωμίῳ τὸ κάταγμα συσταίη. μεσότητα κηρίας ὑποβάλλοντες τῇ μασχάλῃ, καὶ τῷ πρὸς τῇ κεφαλῇ κελεύσαντες ἔχειν. ἑτέρου τὸ ἀντικείμενον ἀνθέλκοντος, ποιήσωμεν ὡς εἴρηται τὴν ἀντίτασιν. ὥσπερ οὖν εἰ πρὸς τῷ ἀγκῶνι τὸ κάταγμα γένηται, κατ᾽ ἐκεῖνον ἢ καὶ κατὰ τὸν καρπὸν ὁ βρόχος ἐπιβαλέσθω. καλῶς δὲ συναρμοσθέντων τῶν ὀστῶν τοῦ κατάγματος. ἡ μὲν κατάτασις ἀνείσθω. ἐπιδεδέσθω δὲ κατὰ τὸν Ἱπποκράτειον νόμον. ἀλλ᾽ ἀφλεγμάντου μὲν ὄντος καὶ προσφάτου τοῦ κατάγματος λινοῖς χριστέον ἐπιδέσμοις εὐμήκεσι μέν, πλάτος δὲ ὅσον γ ἢ δ ἔχουσι δακτύλων. ὕδατι διαβρόχοις, ἢ καὶ ὀξυκράτῳ. φλεγμαίνοντος δέ. ἐρίοις λεπτοῖς τε καὶ μαλακοῖς ἐλαιοβραχέσι. καὶ εἰ μὲν ἐν τῷ μέσῳ τοῦ Βραχίονος ἢ τὸ κάταγμα. τὴν ἀρχὴν τοῦ ἐπιδέσμου χρὴ κατὰ τοῦ κατάγματος ἐπιβάλλεσθαι. ἔπειτα δὲ δὶς ἢ τρὶς ἐπιδήσης, ἄνω φέρειν τὸν ἐπίδεσμον. ἵνα φησὶν αἱ ἐπιρρύσεις τοῦ αἵματος ἀπολαμβάνωνται. κἀκεῖ τελευτάτω. χρῆσθαι δὲ καὶ δευτέρῳ ἐπιδέσμῳ τὴν ἀρχὴν ὁμοίως ἐπιβαλλόμενον ἐπὶ τὸ κάταγμα, 4
καὶ τὰ ἄλλα ὁμοίως τῷ προτέρῳ, πάλιν δὲ ἄνωθεν ἐπὶ τὰ κάτω. καὶ αὖθις παλινδρομεῖν ἐπὶ τὰ ἄνω κἀκεῖσε. καὶ οὕτως τελευτάτω. σύμμετρος δὲ ἡ σφίγξις ἔσω πρὸς τὴν συναίσθησιν ἡμῶν τε καὶ αὐτοῦ τοῦ κάμνοντος. εἰ δὲ πρὸς τῷ ἀκρωμίῳ τύχοι. διὰ τῆς πρώτης ὑποδεσμίδος περιλαμβάνοντα τὸ ἀκρώμιον καὶ ὠμοπλάτας καὶ στέρνον, ὥστε τὴν γερανίδα λεγομένην ἐπίδεσιν γίνεσθαι. διά τε τῆς δευτέρας ἄχρι τοῦ ἀγκῶνος ἐπινέμεσθαι. παλινδρομεῖν τε ἐκεῖθεν ἐπὶ τὰ ὑπερκείμενα, συμπεριλαμβάνοντά τε τῷ ἀκρωμίῳ τὰς ὠμοπλάτας τε καὶ τὸ στέρνον παραπλησίως τῇ πρώτῃ ὑποδεσμίδι. εἰ δὲ πρὸς τῷ ἀγκῶνι τὸ κάταγμα γέγονε. καὶ τὸν πῆχυν συνδεσμεῖν φυλαττομένου τοῦ ἀγκωνίου σχήματος. παραπλησίως δὲ κἀπὶ τῶν ἄλλων κώλων. οἷον πήχεων, μηρῶν, κνημῶν. παρὰ μέρος ἢ καὶ 5
πλησίον ἄρθρου καὶ οὐκ ἐν μέσῳ τῷ κώλῳ τοῦ κατάγματος ὑπάρχοντος, καὶ μετὰ τὸ ἄρθρον συνεπιδεῖν. οἱ μὲν οὖν νεώτεροι μετὰ τὴν ἐπίδεσιν αὐτίκα καὶ τοὺς νάρθηκας ἐπιβάλλουσιν, ὑπὲρ τοῦ συνέχεσθαι τὸ σχῆμα τῆς κατορθώσεως, ἐπισφίγγοντες αὐτοὺς πρὸς τὴν συναίσθησιν,

ᾠδησιν, καὶ τὸν ἐκ τῆς φλεγμονῆς ὄγκον. οἱ δὲ παλαιοὶ μετὰ τὴν ἑβδόμην ἐπέβαλον τοὺς νάρθηκας. ἔσω γὰρ ταύτης παρακμασάσης τῆς φλεγμονῆς, λεπτότερον τὸ κῶλον γίνεται. λύειν δὲ κελεύει διὰ τριῶν τοὺς ἐπιδέσμους Ἱπποκράτης, ὅπως μὴ τάσις τις γίνοιτο μήτε κίνησις ἀλύτως σκεπασθέντι τῷ μορίῳ, μήτε ἐπὶ πλέον αἱ διαπνοαὶ κωλύοιντο, τοῦ φθάσαντος ἐστηρίχθαι κατάγματος, δι' ἃς οὐ μόνον ἀσώδως κνᾶσθαι συμβαίνει τισίν, ἀλλὰ καὶ διαβρωθέντος ὑπὸ τῆς τῶν ἰχώρων δριμύτητος ἐνίοτε τοῦ δέρματος ἕλκωσιν γεγενῆσθαι. καταντλεῖν οὖν ὕδατος εὐκράτου τοσοῦτον ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς ἰχῶρας. μετὰ δὲ τὴν ἑβδόμην διὰ πλειόνων χρὴ λύειν. ὡς ἂν μηκέτι χρηζόντων τῶν μερῶν ἀποκρίνειν ἰχῶρας. ἀλλὰ καὶ ἡ πώρωσις, ἀμένων οὕτω γίνεται. τοὺς δὲ νάρθηκας, ἐπιβάλλειν δεῖ τόνδε τὸν τρόπον. δεῖ σπλῆνας τριπτύχους ἐλαιοβραχεῖς ἐπὶ τοῖς ἐπιδέσμοις περιβάλλειν. εἰ μὲν οὖν ὁμαλὸν εἴη κατὰ πάχος τὸ κῶλον, ὁμοίως. εἰ δὲ ἀνώμαλον, τῇ τῶν κοιλοτέρων μερῶν διὰ τῶν σπληνῶν ἐκπληρώσει, ἰσοπαχὲς τὸ μέρος πρὸς τὴν τῶν ναρθήκων ἐπιβολὴν ἐργασώμεθα. εἶτα μετρίως ἐρίῳ ἢ στυππείῳ τοὺς νάρθηκας περιειλίξαντες, ἐπιβάλλομεν πέριξ τοῦ κατάγματος, μὴ ἔλαττον ἢ δάκτυλον ἀπέχοντας ἀλλήλων, σφίγγοντες κατὰ τὸ σύμμετρον, φυλαττόμενοι κατὰ τὸ ἐγχωροῦν τὸ πλησιάζειν ἄρθρῳ τοὺς νάρθηκας. καὶ μάλιστα κατὰ τὸ ἔνδον τῆς κάμψεως μέρος. ἕλκη γὰρ ἐν αὐτοῖς ἐνίοτε καὶ νευρικὰς ἐργάζονται φλεγμονάς. ἀλλὰ δεῖ κατ' ἐκεῖνα βραδυτέρους αὐτοὺς εἶναι. ὥσπερ οὖν ἰσχυροτέρους, ἐφ' ἃ μέρη κυρτοῦται τὸ κάταγμα. βέλτιον δὲ καὶ τῷ θώρακι συνδεσμεῖν τὸν βραχίονα μετρίως, ὑπὲρ τοῦ μὴ κινούμενον αὐτὸν τὸ σχῆμα παρατρέπειν. εἰ δέ ποτε φλεγμονὴ ᾖ. ταύτην δὲ γινώσκομεν ἔκ τε τοῦ πέριξ ὄγκου καὶ ἐρεύθους, ἔτι τοῦ πολὺ μᾶλλον νῦν ἢ πρώην σφίγγεσθαι τὸ κῶλον. ἢ καὶ διαστραφῇ τὸ κατεαγός. ἢ καὶ μηδὲν τούτων, ἀλλὰ χαῦνοι φανῶσιν, ἢ ἔμπαλιν σφιγκτότεροι τοῦ δέοντος οἱ ἐπίδεσμοι. λύσαντα δεῖ τὴν ἐπίδεσιν ἐπιδιορθοῦσθαι. ἀνακεκλίσθαι δὲ χρὴ τὸν κάμνοντα ὕπτιον, ἐπὶ τοῦ στομάχου τὴν χεῖρα ἔχοντα. τῷ δὲ βραχίονι ὑποβεβλήσθω μαλακὸν ἔχον ἐπ' αὐτοῦ δέρμα, χάριν τοῦ τὰς ἐπιρροίας τῶν ἐπιβροχῶν δέχεσθαι. ἐπιβρέχεσθαι δὲ καθ' ἡμέραν ἐλαίῳ θερμῷ, καὶ μάλιστα φλεγμονῆς οὔσης. καὶ τρεφέσθω λεπτῶς μὲν κατὰ τὸν τῆς φλεγμονῆς καιρόν. ὕστερον δὲ συμμέτρως, πρὸς τὴν τοῦ πώρου γένεσιν. ἠρεμείτω τε μέχρι πωρώσεως. πωροῦται δὲ ὁ βραχίων καὶ ἡ κνήμη περὶ τεσσαρακοστὴν ἡμέραν. μεθ' ἣν λύσαντα καὶ λουτρῷ χρησάμενον ἀποθεραπεύειν τοῖς καταγματικοῖς ἐμπλάστροις προσήκει. οὗτος ὁ τρόπος τοῦ χειρισμοῦ πᾶσι τοῖς ἄλλοις σχεδὸν τοῖς κατεαγόσι τῶν κώλων ἁρμόζει.

Περὶ πήχεως καὶ κερκίδος. ρ.

Ὁ πῆχυς καὶ ἡ κερκίς. ποτὲ μὲν ἄμφω κατ' αὐτὸ κατάγνυνται. ποτὲ δὲ θάτερον μόνον, ἤτοι κατὰ μέσον, ἢ παρὰ μέρος πρὸς τῷ ἀγκῶνι, ἢ καρπῷ. πάντων μὲν οὖν χεῖρον τὸ ἄμφω κατ' αὐτὸ κατεαγῆναι. μετὰ τοῦτο δέ, τὸν πῆχυν μόνον. εὐιατωτέρα δὲ πάντων ἐστὶν ἡ κερκὶς καταγνυμένη. εἰ γὰρ καὶ μείζων ἐστὶ τοῦ πήχεως. ἀλλ' ἐκεῖνον αὐτὸν ὑποκείμενον ἔχει καὶ ὀχοῦντα αὐτήν. ἀλλ' εἰ μὲν τὸ ἕτερον μόνον κλασθείη, κατ' ἐκεῖνο μάλιστα δεῖ ποιεῖσθαι τὴν κατάτασιν ἰσχυροτέραν. εἰ δὲ ἄμφω, ὁμοίως δεῖ κατατείνειν ἐσχηματισμένης τῆς χειρὸς κατὰ τὸ ἐγγώνιον σχῆμα. ὥστε τὸν μὲν ἀντίχειρα πάντων εἶναι τῶν δακτύλων ὑψηλότερον. τὸν δὲ μικρὸν δάκτυλον, ἁπάντων ταπεινότερον. οὕτω γὰρ αὖ καὶ τὸν πῆχυν συμβήσεται ὑποκεῖσθαι τῇ κερκίδι. εἰ δὲ καὶ εὐτονωτέρας δέοιτο τῆς κατατάσεως, ἀμφοτέρων μάλιστα κλασθέντων, μὴ μόνον ταῖς χερσίν, ἀλλὰ καὶ διὰ βρόχων ποιεῖσθαι τὴν κατάτασιν ὡς ἐν τῷ περὶ βραχίονος εἴρηται. καὶ πᾶσαν δὲ τὴν ἐπίδεσίν τε καὶ τὴν ἄλλην ἀκολουθίαν ἅμα τῇ τῶν ναρθήκων ἐπιβολῇ κατ' ἐκεῖνα πρακτέον, ἄχρι πωρώσεως. πωροῦται δὲ τὰ περὶ τὸν πῆχυν ἐν ἡμέραις ὡς τὰ πολλὰ τριάκοντα. καὶ ἡ ἀπόθεσις δὲ ὁμοία τῇ τοῦ κατεαγότος ἔσω βραχίονος, πλὴν τῶν ὑποβαλλομένων αὐτῷ.

Περὶ ἄκρας χειρὸς καὶ τῶν αὐτῆς δακτύλων. ρα.

Τὰ τοῦ καρποῦ καὶ μετακαρπίου καὶ τῶν ἐν δακτύλοις σκυταλίδων ὀστᾶ, χαῦνα καὶ σηραγγώδη φύσει γενόμενα, θλᾶται μὲν ὡς τὰ πολλά, κατάγνυται δὲ σπανίως. καθεδρίου τινὸς ἐσχηματισμένου τοῦ κάμνοντος ἐφ' ὑψηλοτέρου δίφρου, προστάσσειν ἐπὶ δίφρου τινὸς ὁμαλοῦ πρηνῆ τὴν χεῖρα τιθέναι. καὶ τεινομένων δι' ὑπηρέτου τῶν κατεαγότων, τοῖς δυσὶ δακτύλοις αὐτὰ διαπλάττειν, ἀντίχειρι καὶ λιχανῷ. προπεπιεσμένῃ δὲ τῇ ἐπιδέσει χρῆσθαι, καθ' ὃν ἐπισυμβαίνει καιρὸν ἡ φλεγμονή, διὰ γὰρ τὴν χαυνότητα ῥᾳδίως ἐπ' αὐτῶν ὁ πλεονασμὸς τοῦ πώρου γίνεται. εἰ δὲ σκυταλὶς ἢ δάκτυλος ἁπλῶς κατεαγείη. εἰ μὲν ὁ μέγας τε καὶ ἀντίχειρ προσαγορευόμενος εἴη, μετὰ τὴν ἐπιτηδείαν ἐπίδεσιν τῷ κάτω θέναρι αὐτὸν συνδετέον ὑπὲρ τοῦ ἠρεμεῖν. εἰ δέ τις τῶν ἄλλων. εἰ μὲν λιχανὸς ἢ μικρός, τῷ πλησίον συνδεσμείσθω. εἰ δέ τις τῶν μέσων, τοῖς παρ' ἑκάτερα, ἢ καὶ πάντας ἐφεξῆς, ἅμα συνδετέον. βέλτιον γὰρ

ἠρεμοῦσιν, ὥσπερ εἰ καὶ νάρθηξι συνεδέθησαν οἱ καταγέντες.

Περὶ μηροῦ. ρβ.

Ὁ περὶ τοῦ μηροῦ λόγος ἀναλογεῖ τῷ περὶ βραχίονος. ἰδίως δὲ μᾶλλον καταγνύμενος ὁ μηρὸς, εἰς τὸν ἔμπροσθεν διαστρέφεται τόπον, καὶ εἰς τὸν ἔξω. καὶ γὰρ εἰς τούτους φυσικῶς πεπλάτυνται. καταρτίζεται δὲ διὰ χειρῶν καὶ βρόχων καὶ καρχησίων ἱστόνων. τοῦ μὲν ὑπὲρ τὸ κάταγμα τασσομένου. τοῦ δὲ ὑπὸ τὸ κάταγμα. παρὰ μέρος δὲ γεγενημένου τοῦ κατάγματος. εἰ μὲν πρὸς τῇ κεφαλῇ γένοιτο τοῦ μηροῦ, μεσότητα κηρίας περιειλημμένα ἔρια ἐχούσης ὑπὲρ τοῦ μὴ ἐντέμνειν τὰ σώματα, κατὰ περιναίου τάξαντες. καὶ τὰς ἀρχὰς ἐπὶ τὴν κεφαλὴν ἀνάγοντες, ὑπηρέτῃ πρὸς διακράτησιν ἐπιδῶμεν, κατωτέρω δὲ τοῦ κατάγματος περιθέντες τὸν βρόχον, τὰς ἀρχὰς εἰς κατάτασιν ἑτέρῳ ὑπηρέτῃ δώσωμεν. εἰ δὲ πρὸς τῷ γόνατι καταγείη, τὸν μὲν βρόχον ἀνωτέρω περιτίθεμεν τοῦ κατάγματος, καὶ τὰς ἀρχὰς ἀποδιδῶμεν εἰς ἀνάτασιν. τὸ δὲ γονάτιον καὶ αὐτὸ πλοκῇ τινὶ βρόχῳ διακρατοῦμεν. οὕτω δὲ τὸ μέρος καταρτίζομεν. ἐπεὶ κατακειμένου τοῦ κάμνοντος, καὶ τοῦ σκέλους ἐντεταμένου, τὰ ἐπινύσσοντα διὰ τῶν ὀστέων ὡς πολλάκις εἴρηται ἀνασείλαντες, τὰ ὑπερέχοντα αἴρομεν. τὴν δὲ λοιπὴν ἐπιμέλειαν ἐν τοῖς περὶ βραχίονος εἰρήκαμεν. πωροῦται ὁ μηρὸς, ἕως πεντήκοντα ἡμερῶν. ὁ δὲ τῆς ἀποθέσεως τρόπος, μετὰ τὴν ὅλου τοῦ σκέλους διδασκαλίαν εἴρηται.

Περὶ ἐπιγονατίδος. ργ.

Χαῦνον ὀστοῦν ἐστιν ἐπιγονατίς. εὐτόνως κατεχόμενον ὑπὸ συνδέσμων, ἄνωθέν τε καὶ κάτωθεν. θλώμενον μὲν πολλάκις, σπανίως δὲ καταγνύμενον. ὑπομένει δὲ τὴν διὰ τάχους ῥῆξιν καὶ τὴν εἰς λεπτὰ θραῦσιν, μετὰ τραύματος ἢ ἄνευ τραύματος. ἡ δὲ σημείωσις, πρόδηλος. κίνησις γὰρ ὑποπίπτει τῆς συνεχείας, καὶ κοιλότης καὶ ψόφος. καταρτίζεται δὲ τὸ μέρος τοῦ σκέλους ἐκταθέν. τοσοῦτο γὰρ διχοτομηθὲν, συνάγεται τοῖς δακτύλοις, ἕως ἂν ψαύσηται τοῦ κατάγματος τὰ χείλη, καὶ ἀλλήλοις παρατεθῇ. τὸ δὲ εἰς λεπτὰ θραυσθὲν, διαπλάσσεται. καὶ γὰρ μὴ γενομένης πωρώσεως, διὰ τὸ μὴ ἀνασπᾶσθαι μέρος ἑκάτερον ὑπὲρ τῶν συμπεφυκότων μυῶν τε καὶ νεύρων ἀπὸ τοῦ μηροῦ καὶ τῆς κνήμης. ὅμως πολὺ τῆς διαστάσεως συναιρεθήσεται. δυσεργεῖαι τε τοῖς πεπονθόσιν ἐπιφέρεται. ὅτε γὰρ κάμνουσιν αὐτοῖς ἄχρι πλείονος ὑπομένει τὸ γόνυ. κἂν τῷ περιπατεῖν παραποδίζονται μάλιστα πρὸς τὰς ἀναβάσεις. πρὸς μὲν γὰρ τὰς καθ᾽ ὁμαλοῦ κινήσεις, ἡ δυσεργεία κλέπτεται. πρὸς δὲ τὰς ἀναβάσεις, διὰ τὸ μὴ κάμπτεσθαι τὸ γόνυ, κατὰ τὴν τοῦ σκέλους ἄρσιν καὶ θέσιν, ἐξελέγχεται. καὶ νῦν δὲ τὸ ἐπινύσσον ὀστέον μετὰ περιαναστολῆς ἐξελόντα, τὴν ἀκόλουθον ἐκκείνειν ἐπιμέλειαν.

Περὶ κνήμης. ρδ.

Τῷ περὶ πήχεος λόγῳ σύμφωνος ἐστιν ὁ περὶ κνήμης. καὶ γὰρ αὕτη δυσὶν ὀστοῖς κεχρημένη, τῷ μὲν παχυτέρῳ καὶ ὁμωνύμως λεγομένῳ. ἑτέρῳ δὲ λεπτῷ, ὅπερ ἐκ τῆς ὁμοιότητος περόνην προσαγορεύομεν. τὰς αὐτὰς τῶν καταγμάτων ἐπιδέχεται διαφοράς. πρὸς ἅπαντα μὲν διαστρεφομένη τόπον, ὅταν ἄμφω συντριβῇ τὰ ὀστᾶ. πρὸς τρεῖς δὲ, ὅταν τὸ ἕτερον ἔσω τε, καὶ ἔξω. καὶ ἡ μὲν κνήμη, ὀπίσω. ἡ δὲ περόνη ἔμπροσθεν. διὸ καὶ αὐτὴ παραπλησίως καταρτίζεται διὰ χειρῶν ἢ βρόχων, ποτὲ μὲν αὐτῇ τῇ κνήμῃ περιτιθεμένων, ποτὲ δὲ τῷ μηρῷ. ἰσχυροτέρου γὰρ ὄντος τοῦ γόνατος, ἄρθρον ἀβλαβὲς φυλαττέτω κατὰ τὴν τάσιν. ὁμοίως κἀπὶ τῶν κατωτέρω τοῦ κατάγματος ἐπὶ πήχεων εἴρηται. τὰ δὲ λοιπὰ ὡς ἐν τῷ περὶ βραχίονος.

Περὶ ποδὸς ἄκρου. ρε.

Ὁ μὲν ἀστράγαλος, οὐδ᾽ ὅλως κατάγνυται, τῷ πανταχόθεν αὐτὸν σώμασι περιφρουρεῖσθαι διὰ τῆς κνήμης καὶ τῆς περόνης καὶ τοῦ κυβοειδοῦς. τὸ δὲ σκαφοειδὲς, καὶ τὰ τοῦ ταρσοῦ ὀστᾶ, καὶ τῶν τοῦ ποδὸς δακτύλων, καὶ αὐτὸ τὸ κυβοειδὲς, κατάγνυται παραπλησίως τοῖς ἐπὶ καρποῦ, καὶ μετακαρπίου, καὶ χειρὸς δακτύλοις. ὥστε καὶ τὸν περὶ τούτων λόγον ὑπὲρ τοῦ μὴ ταυτολογεῖν, μετενεγκτέον ἐκεῖθεν.

Περὶ τῆς τοῦ σκέλους ἀποθέσεως. ρς.

Τοῦ μηροῦ καταγέντος ἢ τῆς κνήμης, ὁ τῆς ἀποθέσεως τρόπος οὐχ ἧττον ἐσπουδάσθω τῆς ἄλλης ἐπιμελείας. ἡ γὰρ ἰσότης τῶν καταγέντων μορίων, ὑπὸ ταύτης μάλιστα καλῶς ἐπιτελουμένης φυλάττεται. τινὲς μὲν οὖν ἐπὶ σωλῆνος, οἱ μὲν ξυλίνου, οἱ δὲ ὀστρακίνου τὸ κατεαγὸς ἀπετίθεντο κῶλον, ἢ καὶ αὐτὸ τὸ σκέλος. ἕτεροι δὲ μόνα τὰ σὺν τραύματι καταγέντα, διὰ τὸ μὴ δύνασθαι φασὶν νάρθηξι ταῦτα περισφίγγεσθαι. καθάπαξ δὲ τὴν τῶν σωλήνων οἱ μεταγενέστεροι παρῃτήσαντο χρῆσιν. διὰ πολλὰς μὲν αἰτίας, μάλιστα δὲ διὰ τὸ θλιβερὸν τῆς ἀπὸ τούτων σκληρείας. οὐ δὲ γὰρ ἀπείρηται, καὶ τὰ σὺν τραύματι κατεαγότα κῶλα

ναρθηκίζειν, ὡς δείξομεν. ὕπτιος δὲ ὁ κάμνων ἀνακεκλίσθω, καὶ ὑποβεβλήσθω τῷ σκέλει καθ' ὃ μάλιστα μέρος ἐστὶ τὸ κάταγμα, ἱμάτιον παχὺ ἴσον τῷ σκέλει κατὰ τὸ μῆκος, ἑκατέρωθεν συνεστραμμένον καὶ κατειληθὲν, ἀνάλογον σωλῆνι κατὰ τὴν μέσην ἐπιμήκη κοιλότητα. ἐφηπλώσθω δὲ αὐτῇ δέρμα μαλθακὸν, ἐκδοχῆς ἕνεκα τῶν ἐπιβρόχων. εἶτα κατὰ μῆκος ἐφαρμοζέσθω τῇ σωληνοειδεῖ ταύτῃ κοιλότητι τὸ σκέλος, καὶ παρατιθέσθωσαν ἐκ τῶν πλαγίων ἕτερα ἱμάτια ἢ σφαιρία, ὑπὲρ τοῦ μὴ εἰς τὰ πλάγια παρατρέπεσθαι τὸ κῶλον. τῷ δὲ τοῦ ποδὸς ἴχνει σανίδιον ῥάκει περιβεβλημένον διὰ τὴν μαλακότητα, ὀρθὸν προσηρείσθω. καὶ πλείονος ἕνεκεν ἀσφαλείας, μεσότητας ἐπιδέσμων δύο ἢ τριῶν ὑποβάλλοντες τῷ σωληνωθέντι ἱματίῳ, συνδήσωμεν αὐτῷ τὸ κατεαγὸς κῶλον ἐλαφρῶς. εἰ δὲ μὴ καρτεροῖ ὁ κάμνων πειρώμενος συστέλλειν τὸν ὅλον πόδα, δεῖ τοῦτον κατὰ τὸν ταρσὸν κατειληθέντα προσηνῶς συνδεῖν σανιδίῳ. ἵνα μὴ ἄκοντος ἐν τῷ καθεύδειν, ὡς εἰκὸς, τὸν πόδα συστέλλοιεν. τινὲς δὲ καὶ τὰ στρώματα τῆς κλίνης κατὰ μέσου διακόπτουσιν, ὥστε ἀκινήτους εἶναι αὐτούς, καὶ διὰ τοῦ χάσματος ἐπιτελεῖσθαι τὴν οὔρησιν καὶ τὴν ἀποπάτησιν, ἄχρι τῆς τοῦ πώρου πήξεως.

Περὶ τῶν ἅμα τραύματι συνισταμένων καταγμάτων.

ρζ'.

Σὺν τραύματι δὲ γενομένου τοῦ κατάγματος. εἰ μὲν αἱμορραγία τις εἴη, ταύτην πρότερον ἐπισχήσωμεν. εἰ δὲ φλεγμονή, τοῖς πρὸς αὐτὴν χρησώμεθα βοηθήμασιν. περιθλάσεως δὲ τῶν σαρκῶν γενομένης, καταχαράσσωμεν τὸ μέρος τὸν εἰς τὴν γάγγραιναν ὑποτεμνόμενοι φόβον. εἰ δὲ κακάνη προσγένοιτο, ἢ καί τις ἑτέρα νομώδης σῆψις, καταλλήλως ἀπαντήσωμεν. ἔχεις δὲ τούτων ἑκάστου τὴν θεραπείαν ἐν τῷ τετάρτῳ βιβλίῳ. εἰ δὲ μηδὲν παρείη τούτων, μήτε δὲ πολὺ τῶν ὀστῶν ἐγυμνώθη, ἀγκίστροις καὶ ῥαφαῖς χρησάμενοι, τῇ ἐναίμῳ τούτους θεραπεύσωμεν ἀγωγῇ, τῶν ἀποθραυσθέντων ὡς εἰκὸς ὀστείων καὶ νυττόντων ἢ ἐμπλεόντων ποιούμενοι πρότερον τὴν ἀφαίρεσιν. εἰ δὲ μέγα τι ὀστοῦν ὑπερέχει, μὴ συμβαλλόμενον διὰ μέγεθος ἐν τῇ κατατάσει, τούτου προνοητέον. ὁ μὲν γὰρ Ἱπποκράτης ἐπὶ μηροῦ καὶ βραχίονος καταγέντων ἐξέχοντα ὀστᾶ, καθάπαξ ἐμβάλλειν ἀποτρέπει. κίνδυνον τοῖς γινόμενον προαγορεύων, διὰ τὴν ἐκ τῆς τάσεως φλεγμονὴν ἢ καὶ σπασμὸν ὡς ἔοικε τῶν μυῶν καὶ τῶν νεύρων. ὁ μέντοι χρόνος εὗρε συμβαλλομένην ἔστιν ὅτε τὴν χείρησιν. ἐφ' οἷς δήποτ' οὖν ὅσου ποιούμεθα τῶν ἐξεστηκότων τὴν ἐγχείρησιν, μηδαμῶς ἐν τῇ φλεγμονῇ τούτους ἐγχειρήσωμεν, ἀλλὰ κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς πρὸ τοῦ φλεγμῆναι, ἢ περὶ τὴν ἐνάτην, παυσαμένης ἤδη τῆς φλεγμονῆς. ἁρμόζωμεν δὲ αὐτὰ τῷ λεγομένῳ μοχλίσκῳ. σιδηροῦν δὲ τοῦτ' ἐστὶν ὄργανον, μῆκος μὲν ἔχον ἄχρις ζ' ἢ ὀκτὼ δακτύλων. πάχος δὲ, σύμμετρον ὥστε μὴ ἐπικάμπτεσθαι ἐν τῇ μοχλεύσει, ὀξὺ κατὰ τὸ ἄκρον καὶ πλατύ. καὶ μετρίως ἐπικαμπές. οὗ τινος τὸ ὀξὺ πέρας ὑποβάλλοντες τῇ ἐπικειμένῃ τοῦ ὀστοῦ ὑπεροχῇ, κατὰ τὸ ἕτερον ἀντιβαίνοντες, ἅμα καὶ μετρίας κατατάσεως τοῦ κώλου γενομένης κατ' ἀλλήλων φέρωμεν τὰ τοῦ κατάγματος πέρατα. εἰ δὲ μὴ δυνηθείημεν τοῦτο πρᾶξαι, διὰ ἐκκοπέων ἀντιθέτων ἀφέλωμεν τὸ ὑπερέχον. ἢ ἀποπρίσωμεν κατὰ τὸν ἐν τοῖς περὶ συρίγγων διηγορευμένον τρόπον. καὶ τὴν τραχύτητα τῶν ὀστῶν ἐξομαλίσαντες, ἀπευθύναντές τε τὸ κῶλον, τῇ ἐμμότῳ θεραπεύσωμεν ἀγωγῇ. μάλιστα δὲ προνοεῖν ἐπὶ τῶν ὁμοζύγων κώλων ἢ διζύγων καλουμένων, ἑκατέρου δηλονότι τῶν ἐν αὐτοῖς ὀστῶν ἐκ μέρους ἀποπρισθέντων. ὅπως ἀσυναίρετον μένῃ τὸ κῶλον. καὶ τῇ κατατάσει κατὰ τὸ ἀκριβὲς χρῆσθαι. τὴν δὲ ἐπίδεσιν οὕτω παραληπτέον. τὰς μὲν κυκλοτερεῖς περιειλήσεις ἐπὶ τῶν παρ' ἑκάτερα τοῦ τραύματος μερῶν τακτέον. τὰς δὲ λοξάς, παρὰ τὸ μῆκος τοῦ ἕλκους, ὥστε κατὰ τὸν χιασμὸν ἀχανίαν ἐκ πάντων γίνεσθαι. καὶ ῥυπαροῦ μὲν ἔτι τοῦ ἕλκους τυγχάνοντος, τὰ καθαίροντα παραλαμβάνειν. καθαροῦ δὲ, τὰ σαρκοῦντα ἔμμοτά τε καὶ τὴν ἄλλην τὴν διὰ πείρας ὕλην. Ἱπποκράτης δὲ τῇ πισσηρᾷ ἐμπλάστρῳ ἐμμότῳ χρῆται. ταύτην δέ φασιν εἶναι τὴν τετραφάρμακον βασιλικήν. μετὰ δὲ τὴν σάρκωσιν ἐπιβλητέον τοὺς νάρθηκας. τινὲς δὲ καὶ ἐξ ἀρχῆς αὐτοὺς ἐπιβάλλουσι, τὸν κατὰ τὸ ἕλκος φυλαττόμενοι τόπον, καὶ πρὸς τὴν κατεπείγουσαν χρείαν ἐπισφίγγοντες αὐτούς. ἢ πάλιν ἀνιέντες. ἐφ' ὧν δὲ λεπὶς ἀναπλεῖν μέλλει. σημειούμεθα μὲν τοῦτο διὰ τοῦ πλεῖον ὑγρὸν ἀποκρίνεσθαι καὶ λεπτόν, τὴν δὲ περὶ τοῖς ἕλκεσι σάρκα λαγαρὰν καὶ σομφὴν γενομένην ἐπαίρεσθαι. θεραπεύοντες δὲ, τῇ μὲν ἐπιδέσει λαγαρωτέρᾳ χρώμεθα, ἀγκίστρῳ δὲ ἢ τοιούτῳ τινὶ τὴν λεπίδα ἐκβαλόντες αὖθις εὐτονωτέρᾳ τῇ ἐπιδέσει χρησώμεθα. παρ' ὅλον δὲ τὸν τῆς ἑλκώσεως καιρόν, μοτοφύλαξ ἐπικείσθω τῷ τραύματι ἐξ ἑνὸς τῶν ἀφλεγμάντων φαρμάκων. καὶ ἁπλοῦς ἐπιβαλλέσθω δεσμὸς καθ' ἑκάστην ἐπιμέλειαν λυόμενος, τῶν ἄλλων τῶν προειρημένων μενόντων ὡς ἐν τῷ περὶ βραχίονος εἴρηται.

Περὶ ὑπερπωρώσεως καταγμάτων. ρη.

Αἱ τῶν καταγμάτων ὑπερπωρώσεις, ἀπρέπειαν μὲν ἐργάζονται πάντως. ἐνίοτε δὲ καὶ δυσεργείαν, εἰ πλησίον ἄρθρου γένοιντο. εἰ μὲν οὖν ἔτι νεοπαγὴς ὁ πῶρος εἴη, τοῖς ἄγαν στύφουσι χρησώμεθα φαρμάκοις, διὰ ἐπιδέσεως προτυπουμένου. ἔσθ᾽ ὅτε δὲ καὶ μολίβδινον ἐπιθέντες ἔλασμα, τὸ δέον ἐπράξαμεν. εἰ δὲ λιθώδης εἴη καὶ στερεὸς, ἀνατέμνοντες ξέσωμεν, τὸ ὑπερέχον ἐκκόπτουσιν ἀφελόμενοι εἰ χρεία, καὶ περιτρυπήσαντες.

Περὶ τῶν ἐν διαστροφῇ πωρωθέντων. ρθ.

Ἐπὶ δὲ τῶν ἐν διαστροφῇ πωρωθέντων, δυσεργείας οὐκ ὀλίγης ἐπακολουθούσης, καὶ μάλιστα εἰ ἐν τοῖς ποσὶν εἴη. τὸν μὲν τῆς ἀνακατάξεως τρόπον οὐκ ἀποδεκτέον, ἐσχάτους ἐπιφέροντα κινδύνους. ἀλλ᾽ εἰ μὲν ἔστι νεοπαγὴς ὁ πῶρος. τοῖς χαλαστικοῖς ἀπαντλήμασί τε καὶ καταπλάσμασι, τοῖς τε διὰ ἰσχάδων λιπαρῶν καὶ κόπρου περιστερῶν καὶ τοῖς ἄλλοις πωρολυτικοῖς καλουμένοις χρώμεθα φαρμάκοις. ἔτι δὲ καὶ τῇ διὰ τῶν χειρῶν τρίψει τε καὶ περικλάσει τοῦτον διαλύσωμεν. εἰ δὲ λιθώδης γένηται, σμίλῃ τὴν ἐπιφάνειαν διελόντες, ἐκκόπτουσι λύσομεν τοῦ ὀστοῦ τὴν συνέχειαν. εἶτα τὸ κάταγμα θεραπεύσωμεν. ὡς ἔμπροσθεν εἴρηται.

Περὶ τῶν ἐν ἀπωρωσίᾳ διαμενόντων καταγμάτων. ρι.

Ἀπώρωτα μένει τινὰ τῶν καταγμάτων ὑπὲρ τὴν ὡρισμένην τῇ φύσει προθεσμίαν, ἢ διὰ τὰς συνεχεῖς ἐπιλύσεις, ἢ διὰ τὰς καταντλήσεις τὰς ἀμέτρους, ἢ διὰ ἄκαιρον κίνησιν, ἢ διὰ πλῆθος ἐπιδέσμων, ἢ διὰ τὴν ὅλου τοῦ σώματος ἀτροφίαν, ἐφ᾽ ὧν καὶ λεπτότερον συμβαίνει τὸ κῶλον γίνεσθαι. δεῖ οὖν καὶ τὰς ἄλλας μὲν προφάσεις σπουδάζειν ὑποτέμνεσθαι. μάλιστα δὲ τὴν ἀτροφίαν. τοῦτο μὲν, διὰ θερμοτέρας προσφορᾶς ὕλην ἐπισπωμένους τῶν μορίων. τοῦτο δὲ, τροφὴν ὑποτυποῦντας αὐτάρκη καὶ λουτρά. καὶ τὴν λοιπὴν εὐθυμίαν. σημεῖα δὲ τοῖς ἤδη πωρουμένοις παρέπεται, καὶ ἄλλα μὲν, μάλιστα δὲ τὸ τὰς ἐπιδεσμίδας ἐπαιμάσσεσθαι καὶ μὴ γινομένου τοῦ τραύματος. ὅπερ ἴσως γίνεται τῆς κατὰ τὸν πῶρον οὐσίας, ἡνίκα συνέρχεται, παρεσπαρμένας ταῖς σύριγξι τῶν ὀστῶν τοῦ αἵματος ῥανίδας ἐκθλιβούσης.

Περὶ τῶν ἐξαρθρημάτων. ρια.

Τὸν περὶ τῶν ἐξαρθρημάτων λόγον ἀκόλουθον ὄντα τῷ περὶ καταγμάτων ἐπερχόμεθα. ἐξάρθρημα δ᾽ ἐστὶν, ὡς τύπῳ φάναι, ἔκπτωσις ἄρθρου, ἀπὸ τῆς οἰκείας κοιλότητος εἰς τὸ ἀσυνήθες, ἐφ᾽ ἧς ἡ προαιρετικὴ ἐμποδίζεται κίνησις. διαφορὰς δὲ τούτου λέγειν ἑτέρας, οὐκ ἔχομεν. ὅτι μὴ μόνον τὴν παρὰ τὸ μᾶλλον καὶ ἧττον. τέλειον μὲν γὰρ ἐξεστηκότος τοῦ ἄρθρου, τῷ κοινῷ τοῦ γένους ὀνόματι τὸ πάθος ἐξάρθρημα προσαγορεύεται. παρακινηθέντος δὲ μόνου, ἢ μέχρι τῆς ὀσφύος τῆς κοιλότητος ἐνηνεγμένου, παράρθρημα.

Περὶ τῆς κάτω γένυος. ριβ.

Πάλιν οὖν ἀπὸ τῶν ὑπερτέρων ἀρχόμενοι, περὶ τῆς κάτω γένυος λέγωμεν. ἀκίνητος γὰρ ἡ ἄνω ὑπάρχουσα, τὸ τῆς ἐξαρθρήσεως ἀπηρνήσατο πάθος. ἡ δὲ κάτω, ἐξάρθρημα οὐχ ὑπομένει διὰ τὸ τὰς κεφαλὰς αὐτῆς πρὸς τὴν ἄνω γένυν ἀσφαλῶς ἀποκεκλεῖσθαι. παράρθρημα δὲ πολλάκις ὑφίσταται, διὰ τὸ μαλθακωτέρους ὑπὸ τῆς ἐν τῷ μασᾶσθαί τε καὶ διαλέγεσθαι συνεχοῦς γυμνασίας ὑπάρχοντας τοὺς συνέχοντας αὐτὴν μύας, ἐπὶ τοῖς τυχοῦσιν αἰτίοις ῥᾳδίως χαλᾶσθαι. τὸ γὰρ χᾶται παρ᾽ Ἱπποκράτει τὸ χαλᾶται δηλοῖ. ἐφ᾽ ὧν ἄνευ τινὸς περισκελίας αὐτομάτως τὸ ἄρθρον εἰς τὸν οἰκεῖον ἐπανέρχεται τόπον. περὶ δὲ τῆς τέλειον ἐξαρθρούσης γένυος, ἀρκεῖ τὴν ἐκείνου λέξιν ἐκθέσθαι, σύντομόν τε καὶ ἀνελλιπῆ μετὰ σαφηνείας ὑπάρχουσαν. φησὶ μὲν οὖν ὧδε. ἐκπίπτει μὲν ἡ γνάθος ὀλιγάκις, χᾶται μέντοι πολλάκις ἐν χασμοῖσιν. ὅκωσπερ καὶ ἄλλαι πολλαὶ μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιοῦσι. δῆλον μὲν οὖν τοῖσδε μάλιστά ἐστιν, ὁπότ᾽ ἂν ἐκπεπτώκει. προΐσχει γὰρ ἡ κάτω γνάθος εἰς τὸ ἔμπροσθεν. καὶ παρῆκται πρὸς τἀναντία τοῦ ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κορωνὸν, ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον. καὶ χαλεπῶς συμβάλλουσι τὰς γνάθους. καὶ τουτέοισι δ᾽ ἐμβολὴ πρόδηλος οἵη τις γίνεται ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλήν. τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον. χάσκοντος τοῦ ἀνθρώπου ὁκόσον μετρίως δύναται. πρῶτον μὲν διακινεῖν τὴν γνάθον χρόνον τινὰ, τῇ δὲ κἀκεῖσε παράγοντα τῇ χειρὶ, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὰν τὴν γνάθον ἔχειν, καὶ συμπαράγειν καὶ συνδιδόναι. ὡς μάλιστα ἐξαπίνης χάσαι τρισὶ σχήμασιν ὁμοῦ, προσέχοντα τὸν νοῦν. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν. δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω. δεῖ δὲ ἑπομένως τούτοις συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο, ἀπ᾽ ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκέσει. σπλῆνα προσθέντα

θέντα κεκηρωμένον, χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν οὕτως ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνων ἐπικεφαλαίων, ὡς πληρεστάτων. ἵνα ὡς ἥκιστα ὑπείκῃ. προσκατέχειν δὲ χρὴ τινὰ τὴν κεφαλὴν τοῦ τετρωμένου. ἢν δὲ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴασις ἡ αὐτή. συμβάλλειν δέ τι ἧσσον οὗτοι τὸ στόμα δύνανται. καὶ γὰρ προπετέστεροι αἱ γένυες τούτοις. τὸ δὲ ἀστραβέες μάλιστα ἂν γνοίης τοῖς ὄρθοις τῶν ὀδόντων τῶν ἄνω καὶ τῶν κάτω. κατὰ τάξιν τούτοις, συμφέρει ὡς τάχιστα ἐμβαλεῖν. ἐμβολῆς δὲ τρόπος εἴρηται. ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετοῦ συνεχέως, καὶ νωθρῆς καρώσιος. καρώδεες γὰρ οἱ μύες οὗτοι καὶ ἀλλοιούμενοι καὶ ἐντεινόμενοι παρὰ φύσιν. φιλεῖ δὲ καὶ ἡ γαστὴρ ὑποχωρεῖν τούτοισι χολώδεα ἢ ἄκρατα ὀλίγα. καὶ ἢν ἂν ἐμέσωσιν, ἄκρητα ἐμέουσιν. οὗτοι οὖν καὶ θνήσκουσι καὶ μάλιστα. Τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς καὶ ἡμεῖς πολλάκις ἐχρησάμεθα. πυρίαις πρότερον ἐξ ὑδρελαίου θερμοῦ διὰ σπόγγου κατὰ τῆς ἐξαρθρησάσης χρησάμενοι γένυος. ὁπότε μάλιστα δυσείκτως ἔχοι περὶ τὴν εἴσοδον. χαμαί τε καθίσαντες τὸν ἄνθρωπον, ἐξόπισθεν αὐτοῦ ἡμεῖς ἑστῶτες ἐνηργοῦμεν, κατὰ τὸν εἰρημένον Ἱπποκράτει τρόπον.

Περὶ κλειδὸς καὶ ἀκρωμίου. ριγ.

Ἡ δὲ κλεὶς κατὰ μὲν τὸ ἔνδον πέρας οὐκ ἐκπίπτει, συνηρθρῶσθαι γὰρ τῷ στέρνῳ, ὅθεν οὐδὲ κινεῖται κατ' αὐτό. εἰ δὲ βίᾳ τινὸς, ἔξωθεν ὀξέως πλήξαντος ἀποσπασθείη, τῷ τοῦ κατάγματος αὐτοῦ ὑπαχθήσεται καταρτισμῷ. τὸ δὲ πρὸς τὸν ὦμον διαρθρούμενον αὐτοῦ πέρας, οὐ πάνυ τι διεκπίπτει, κωλυόμενον ὑπό τε τοῦ δικεφάλου μυὸς καὶ τοῦ ἀκρωμίου. ἀλλ' οὐδὲ βίαιόν τινα κίνησιν ἡ κλεὶς ἰδίᾳ κινεῖται, διὰ μόνην τὴν τοῦ θώρακος γεγονυῖαν διάστασιν. ὅθεν ἄνθρωπος μόνος ἐν ζώοις ἔχει κλεῖν. εἰ δὲ συμβῇ κατὰ παλαίστραν ὡς εἰκὸς ταύτην παραρθρῆσαι. τῇ τε διὰ τῆς χειρὸς ἐντίθεται διαπλάσει, καὶ τῇ διὰ τῶν πολυπτύχων προστυπώσει σπληνῶν, ἅμα ταῖς πρεπούσαις ἐπιδέσεσι. τῇ δὲ αὐτῇ θεραπείᾳ καὶ τὸ ἀκρώμιον παραρθρῆσαν, εἰς τὸν οἰκεῖον ἐπανάγεται τόπον. ἔστι δὲ χονδρῶδες ὀστάριον τὴν κλεῖν τῇ ὠμοπλάτῃ συνδοῦμενον, διαλανθάνον ἐν τοῖς σκελετοῖς. ὃ παρακινηθὲν, φαντασίαν παρέχεται τοῖς ἀπείροις τοῦ τὴν κεφαλὴν ἐκπεπτωκέναι τοῦ βραχίονος. καὶ γὰρ ἐπὶ τούτου ἡ ἐπωμὶς ὀξυτέρα φαίνεται. κοῖλον δὲ τὸ ὅθεν μετέστη. ἀλλὰ διακριτέον αὐτὰ τοῖς ἐφεξῆς εἰρησομένοις σημείοις.

Περὶ ὤμου ἐξαρθρήσαντος. ριδ.

Ἡ κεφαλὴ τοῦ βραχίονος πρὸς τὴν τῆς ὠμοπλάτης διαρθρουμένη κοιλότητα, διεκπίπτει μὲν πολλάκις. ἀλλ' οὔτε ἄνω, διὰ τὴν ἀγκυροειδῆ τῆς ὠμοπλάτης ἀπόφυσιν κωλύουσαν. οὔτε ὀπίσω, διὰ τὴν αὐτὴν τὴν ὠμοπλάτην. οὔτε μὴν ἔμπροσθεν, διὰ τὸν τένοντα τοῦ δικεφάλου μυὸς, καὶ αὐτὸ τὸ ἀκρώμιον. ἀλλὰ σπανίως μὲν εἴσω τε καὶ ἔξω. συνεχῶς δὲ καὶ μάλιστα τοῖς ἀσαρκωτέροις ἐπὶ τὰ κάτω. ἀλλὰ τούτοις μὲν ῥᾳδίως καὶ ἐκπίπτει, καὶ αὖθις ἐμβάλλεται. τοῖς δὲ πολυσάρκοις, ἔμπαλιν, βραδέως μὲν ἐκπίπτει, χαλεπῶς δὲ εἰσφέρεται. τισὶ μὲν οὖν καὶ μὴ ἐξαρθρήσασιν ἐπὶ πληγῆς, πολλάκις ἐκπτώσεως ὑπόληψις γίνεται, διὰ τὸ φλεγμονὴν ἰσχυρὰν παρακολουθῆσαι. τοὺς δὲ ἐπὶ τὰ κάτω ἐξηρθρηκότας ὧδ' ἂν διαγινώσκοις. ὁ πεπονθὼς ὦμος πρὸς τὸν ὑγιᾶ παραβαλλόμενος πολὺ διαλλάττει. τῆς μὲν ἐπωμίδος ὅθεν ἡ ἔκπτωσις γέγονε κοίλης φαινομένης, ὡς ἐπὶ τοῦ παραρθρήσαντος ἐλέγομεν ἀκρωμίου, τοῦ κατὰ φύσιν ὀξυτέρου φαινομένου. καὶ τῆς ἐκπεσούσης κεφαλῆς τοῦ βραχίονος, ἐν τῇ μασχάλῃ σαφῶς ὑποπιπτούσης. καὶ ὁ τῆς χειρὸς δὲ ταύτης ἀγκὼν, ἀφέστηκε μᾶλλον ἀπὸ τῶν πλευρῶν. εἰ δὲ προσαναγκάζοις αὐτὸν, μετὰ πόνου προσφέρεται ταῖς πλευραῖς. οὐδὲ τὴν χεῖρα δύναται παρὰ τὸ οὖς ἀνάγειν, ἐκτεταμένου τοῦ ἀγκῶνος. οὐδὲ τὴν ἄλλην δι' αὐτοῦ ποιεῖσθαι πολυειδῆ τὴν κίνησιν. ἐπὶ μὲν οὖν παιδίων ἢ ἐφ' ὧν πρόσφατος καὶ οὐκ ἐπὶ πολὺ γέγονεν ἡ ἔκπτωσις, καὶ τῷ κονδύλῳ τοῦ μέσου δακτύλου καμφθέντος, ὑπερέχοντι τῆς τοῦ ἰατροῦ χειρὸς ἢ καὶ τῆς τοῦ πεπονθότος τοῦ ὑγιοῦς, εἰ μὴ παῖς ἦ, πολλάκις εἰσενήνεκται. ὥς φησιν Ἱπποκράτης. αἱ δὲ δραστικώτεραι τῶν ἐμβολῶν εἰσὶν αὗται. δεῖ λουσάμενον τὸν ἄνθρωπον ἀπαντλήμασι χαλαστικωτέροις χρησάμενον, ὕπτιον ἀνακλῖναι χαμαί. καὶ σφαῖραν σύμμετρον ἤτοι δερματίνην ἢ ἄλλην τινὰ μὴ πάνυ μαλθακὴν πρὸς τὴν μασχάλην, ἐφαρμόσαι. καὶ καθεσθέντα τὸν ἰατρὸν, ἀντιβλέποντος μὲν τῷ κάμνοντι πρὸς τῷ πεπονθότι πλευρῷ. εἰ μὲν ὁ δεξιὸς ὦμος πεπόνθοι, τοῦ δεξιοῦ ποδὸς ἐφαρμόσαι τὴν πτέρναν ὑπὸ τῆς προϋποτεθείσης τῇ μασχάλῃ σφαίρας. εἰ δὲ ὁ ἀριστερὸς, τοῦ ἀριστεροῦ. καὶ τῆς πεπονθυίας χειρὸς ἐπιλαβόμενον ἕλκειν ἐπὶ τοὺς πόδας, ἅμα τε καὶ τῇ πτέρνῃ ἀντιβαίνειν τῇ μασχάλῃ, ὑπηρέτου τινὸς ὄπισθεν τῆς κεφαλῆς ἀντιβαίνοντος πρὸς τὸν ἕτερον ὦμον, ὑπὲρ τοῦ μὴ τὸ σῶμα περιέλκεσθαι. ἔστι δὲ καὶ ἕτερος τρόπος ἐμβολῆς, ὁ διὰ τοῦ κατωμίζειν. δεῖ γὰρ νεανίσκον ἢ μακρότερον τοῦ κάμνοντος ἤγουν ὑψηλότερον ἑστῶτα πρὸς τῷ πε-

πονθότι πλευρῷ τοῦ κάμνοντος κατ' αὐτὸν ἑστῶτος, ὑποβάλλειν τῇ μασχάλῃ τὸν ἑαυτοῦ ὦμον, καὶ ἀνατεινάμενον ἕλκειν τὴν χεῖρα πρὸς τὴν ἑαυτοῦ γαστέρα, ὥστε τὸ ἄλλο σῶμα τοῦ κάμνοντος ὄπισθεν τοῦ κατωμίζοντος μετέωρον κρεμασθῆναι. εἰ δὲ ἐλαφρὸς ὁ κάμνων εἴη. κοῦφός τις ἕτερος παῖς ἐξ αὐτοῦ ἀποκρεμανύσθω. τῆς γὰρ χειρὸς καὶ τοῦ λοιποῦ σώματος ἀντιρρόπως ἑλκομένων ἐπὶ τὰ κάτω, ὁ ὑποβεβλημένος ὦμος τῇ μασχάλῃ ῥᾶστα τὸ ἐκπεπτωκὸς ἄρθρον ἐμβάλλει. καὶ διὰ τοῦ καλουμένου δὲ ὑπέρου, τοῦτο δρῶμεν. ἔστι δὲ ξύλον ἐπίμηκες, ὀρθὸν ἱστάμενον ἐπὶ τοῦ ἐδάφους ἐπ' ἄλλου τινὸς στερεοῦ. τοῦτο τοίνυν τὸ ἄνω πέρας περιφερές, καὶ μὴ πάνυ παχὺ μὴ δὲ μὴν λεπτὸν ὑπάρχον ὑποβεβλήσθω τῇ μασχάλῃ τοῦ κάμνοντος ἢ ἑστῶτος ἢ καθημένου. ὅπως ἂν καὶ μήκους ἔχοι τὸ ὕπερον. καὶ τῆς χειρὸς παρὰ τὸ ὕπερον παρατεταμένης καὶ κάτω ἑλκομένης. τοῦ δὲ λοιποῦ σώματος ἀντιρροποῦντος ἐπὶ τὰ κάτω, ἢ αὐτομάτως ἢ ἑτέρου τινὸς ἕλκοντος ἡ ἐμβολὴ γινέσθω. καὶ ἐν βαθμίδι δὲ κλίμακος τοῦτο ποιητέον, ὥσπερ ἐπὶ τοῦ κατεαγότος βραχίονος ἐλέγομεν κατατάσεως. ἐνταῦθα δὲ στρογγύλον τι σῶμα τῇ βαθμίδι προσδεδέσθω τῇ μασχάλῃ τοῦ κάμνοντος ἐφαρμόζειν δυνάμενον, καὶ τὴν κεφαλὴν τοῦ βραχίονος ὠθεῖν. εἰ δὲ διὰ παλαιότητα τοῦ πάθους ἢ διὰ σκληρότητα σώματος δυσχεραίνομεν περὶ τὴν ἔμβλησιν, χρησώμεθα καὶ τῇ διὰ τῆς καλουμένης ἄμβης μεθόδῳ. ξύλον δέ ἐστιν ἡ ἄμβη. τὸ μὲν μῆκος, ὡς δίπηχυ, πλάτος δὲ τετραδάκτυλον. καὶ πάχος, ὡς διδάκτυλον. ἔχον τὸ ἕτερον πέρας περιφερὲς καὶ ἐμπαρεισδύον τῇ τῆς μασχάλης κοιλότητι, παραπλησίως τῷ τοῦ ὑπέρου πέρατι. τοῦτο οὖν τὸ πέρας, ῥάκει περιελίξαντες, ὅπως ἂν προσηνέστερον εἴη, τῇ κεφαλῇ τοῦ βραχίονος κατὰ τὴν μασχάλην ἐφαρμόσωμεν. ὅλην δὲ τὴν χεῖρα πρὸς τὸ ξύλον κατατείναντες, συνδήσωμεν αὐτῷ κατά τε τὸν βραχίονα καὶ τὸν πῆχυν καὶ τὸ ἄκρον αὐτῆς. ἔπειτα μὲν ξύλῳ πλαγίῳ μεταξὺ δύο στύλων ὀρθῶν ἐφαρμοσθέντι, ἢ πάλιν ἐν βαθμίδι κλίμακος ὑπερενέγκαντες τὴν χεῖρα σὺν τῷ ξύλῳ, ὥστε τὴν μασχάλην ἐγκαρσίως ἐφαρμόζειν τῇ βαθμίδι. τὴν δὲ χεῖρα κάτω ἕλκοντες, ἐάσωμεν ἐπὶ θάτερα τὸ ἄλλο σῶμα μετέωρον κρεμασθῆναι. τηνικαῦτα γὰρ εἰσελεύσεται τὸ ἄρθρον. μετὰ δὲ τὴν ἔμβλησιν. δεῖ σύμμετρον σφαῖραν ἐξ ἐρίων, εἰ μὲν ἀφλέγμαντον εἴη τὸ μέρος, ξηράν. εἰ δὲ φλεγμαίνοι, ἐλαιοβραχῆ ἐπιβάλλοντα τῇ μασχάλῃ, ἐπιδεσμεῖν. διὰ δὲ ταύτης καὶ τοῦ ὤμου καὶ τῆς ἑτέρας μασχάλης κατὰ χιασμὸν ὡς μάλιστα φαινομένων τῶν ἐπιδέσεων τοῦ δεσμοῦ, ὥστε τὸν χιασμὸν ὑπὲρ τοῦ πεπονθότος ὤμου τυγχάνειν. τὸν δὲ βραχίονα συγκαταδεσμεῖν ταῖς πλευραῖς. καὶ αὐτὸν τὸν ἀγκῶνα καὶ τὴν ἄκραν χεῖρα ἐκ τοῦ αὐχένος ἀναδεσμεῖν, ἵνα μὴ πάλιν προσφάτως ἐκπέσοι τὸ ἄρθρον. μετὰ δὲ τὴν ἑβδόμην καὶ βραδύτερον ἐπιλύσαντα, δεῖ μετρίᾳ κεχρῆσθαι τρίψει διὰ τό, στερεμνιωτέρου γενομένου τοῦ σώματος, δυσέκπτωτον ἀποτελεῖσθαι τὸ ἄρθρον. εἰ δὲ πολλάκις ἐκπίπτοι τὸ ἄρθρον, ἢ διὰ ὑγρότητα ἢ ἑτέραν τινὰ χρονίαν ὁδοποίησιν. ἐπὶ τὴν καῦσιν ἰτέον, ὡς ἔμπροσθεν εἴρηται. ὅταν δὲ ἢ κυομένοις ἢ μετὰ τὴν ἀπότεξιν ἔτι αὐξομένοις ἐξαρθρήσῃ τὸ μόριον καὶ μηκέτι εἰσενεχθῇ, ἐπὶ μὲν τοῦ ὤμου, αἱ σάρκες οὐδέν τι τοῦ κατὰ φύσιν ἀπολείπονται. οὐδὲ γὰρ κωλύεται ἡ χείρ, ὅ, τι οὖν ἔργον ποιεῖν. τὸ δὲ ὀστοῦν τοῦ βραχίονος βραχύτερον μένει, μὴ αὐξανόμενον. καὶ λέγονται οἱ τοιοῦτοι γαλιάγκωνες. ἐπὶ δὲ τοῦ μηροῦ, καὶ τὸ ὀστοῦν ἀναυξὲς μένει, καὶ ὅλον φθίνει τὸ σκέλος. μὴ δυνάμενον γὰρ τὸ βάρος φέρειν τοῦ σώματος οὐ γυμνάζεται. κἀπὶ τῶν ἄλλων δὲ κώλων ἐξαρθρῶν μεινάντων, τὰ ὑποκείμενα πάντων παραβλάπτεται.

Περὶ ἀγκῶνος. ριε.

Ὅσῳ ποικιλωτέρα τῆς κατ' ὦμον διαρθρώσεως ἡ κατ' ἀγκῶνα γεγένηται, τοσούτῳ χαλεπωτέρα κατὰ τὰς ἐκπτώσεις τυγχάνει, καὶ βραδύτερον ἐξολισθαίνει, καὶ χαλεπώτερον ἐμβάλλεται, διὰ τὴν πυκνότητα τῶν ὑπεροχῶν τε καὶ κοιλοτήτων. πάσχει μὲν οὖν ἔστιν ὅτε παράρθρησιν μόνον. πολλάκις δὲ καὶ τέλεον ἐξολισθαίνει, κατὰ πᾶν μὲν σχῆμα, μάλιστα δὲ κατὰ τὸ ἔμπροσθέν τε καὶ ὄπισθεν. διαγινώσκεται δὲ ῥᾳδίως τῇ τε ὄψει καὶ τῇ ἁφῇ τοῦ ἐκπεπτωκότος, ὑποπίπτοντος ἐφ' οὗ ἂν ἐκπέσοι, καὶ τοῦ ὅθεν ἐξέπεσεν κοίλου φαινομένου. ταῦτα δὲ μάλιστα ἡ τοῦ ὑγιαίνοντος ἀγκῶνος ἐλέγχει πάθησις. δεῖ οὖν αὐτίκα ποιεῖσθαι τὴν ἐμβολὴν πρὸ τοῦ φλεγμῆναι. φθάσαντα γὰρ τοῦτο παθεῖν, δυσίατα. τινὰ δὲ καὶ παντελῶς ἀνίατα γίνεται. καὶ μάλιστα εἰ ἐπὶ τὰ ὀπίσω, γίνεται ἡ ἐξάρθρησις. πασῶν γὰρ τῶν κατ' ἀγκῶνα καὶ ἐπωδυνωτέρα καὶ μᾶλλον ἐπικίνδυνός ἐστιν, ἡ ἐπὶ τὰ ὀπίσω. τὰς μὲν οὖν ἐπ' ὀλίγον παρατροπάς, καὶ μετρία κατάτασις ἀποκαθίστησι. τῶν μὲν ὑπηρετῶν ἐκτεταμένην τὴν χεῖρα, κατά τε τὸν βραχίονα καὶ τὸν πῆχυν διακρατούντων τε καὶ ἀνθελκόντων. τοῦ δὲ ἰατροῦ, τῷ θέναρι τῆς αὐτοῦ χειρὸς ἀπωθουμένου τὸ ἐξεστηκὸς εἰς τὸ κατὰ φύσιν. ὁ δὲ Ἱπποκράτης, τὴν μὲν

ἐπὶ

ἐπὶ τὰ ἔμπροσθεν ἐξάρθρησιν, διὰ τῆς ἀθρόας χειρὸς κάμψεως ἐπανορθοῦται. ὥστε τὸ θέναρ αὐτοῦ εἰς τὸν κατ' εὐθὺ ὦμον κροῦσαι. τὴν δὲ ἐπὶ τὰ ὀπίσω, διὰ τῆς ἀθρόας πάλιν καὶ ἐπὶ πολὺ γινομένης ἐκτάσεως. ἐπειδὴ καὶ τῆς ἐξαρθρήσεως, ἡ μὲν ἐπὶ τὰ ἔμπροσθεν, διὰ βιαίας ἐκτάσεως μάλιστα γίνεται. ἡ δὲ ἐπὶ τὰ ὀπίσω, διὰ κάμψεως ὁμοίως βιαίας. εἰ δὲ ἐπιμένοι τὸ ἐξάρθρημα, καὶ ἰσχυροτέρᾳ κατατάσει χρησώμεθα. τοιαῦτα δὲ μάλιστά ἐστιν ἡ ἐπὶ τοῦ καταγέντος βραχίονος εἰρημένη παρὰ Ἱπποκράτει, ἔνθα τὸν στύλειον παρελάμβανε. τῶν δὲ νεωτέρων τινὲς οὕτω καταρτίζουσι. δύο κατατεινόντων ὑπηρετῶν, ὡς εἴρηται, τὴν χεῖρα. τοῦ μὲν ἄνω πρὸς τῇ μασχάλῃ διακρατοῦντος. τοῦ δὲ κάτω παρὰ τὸν καρπόν. στὰς ὁ ἰατρὸς καταντικρὺ τοῦ κάμνοντος, τοῖς δυσὶ θέναρσιν ἐπὶ τὸ ἄρθρον περιβάλλει τὸν βραχίονα. καὶ κελεύσας ἱμάτιον συνηγμένον ἐπίμηκες, ἢ πλατεῖαν ταινίαν, περιειλίσσειν ταῖς αὐτοῦ χερσίν, ἅμα δηλονότι τῷ τοῦ κάμνοντος βραχίονι, καὶ ἀνθέλκειν ἐπὶ τὰ ἔξω καὶ κάτω πρὸς τῇ ἄκρᾳ χειρί. αὐτὸς οὖν ἀκολουθῶν μετὰ τάσεως περισφιγγομένας αὐτὰς ἕλκει. ἕως οὗ ὑπερβῇ τὴν τοῦ ἀγκῶνος διάρθρωσιν. δεῖ δὲ προαλείφειν ἐλαίῳ τὴν χεῖρα διὰ τὸ ὀλισθηρὰν καὶ εὐπαράγωγον γενέσθαι τοῖς τοῦ ἰατροῦ θέναρσιν. οὕτω γὰρ αὖ τὰ ἐξεστηκότα τῇ τῶν διασυρομένων χειρῶν βίᾳ πιεζόμενα εἰς τὴν ἴδιον ἐπανελεύσεται τόπον. μετὰ δὲ τὴν ἐμβολὴν ἐγγωνίως τὴν χεῖρα σχηματίσαντες, τῇ διὰ τῶν ἁπλῶν τε καὶ τῆς προσηκούσης ἐπιδέσεως ἐπιμελείᾳ χρησώμεθα.

Περὶ τῶν κατὰ τὸν καρπὸν καὶ τοὺς δακτύλους ἐξαρθρημάτων. ρις΄.

Ἡ τοῦ καρποῦ καὶ τῶν δακτύλων ἐξάρθρησις, οὐδεμίαν ἔχει περισκελίαν, χωρὶς εἰ μὴ σὺν ἕλκει γένηται. περὶ μὲν οὖν ταύτης ἐν τῷ περὶ τῶν σὺν ἕλκει γινομένων ἐξαρθρημάτων εἰρήσεται. τοὺς δὲ χωρὶς ἕλκους, μετρίᾳ κατατάσει καὶ ταῖς ἀφλεγμάντοις ἐπιμελείαις ἰασώμεθα.

Περὶ σπονδύλων ῥάχεως. ριζ΄.

Οἱ τῆς ῥάχεως σπόνδυλοι. τὸ μὲν τῆς τελείας ἐξαρθρήσεως ὑπομένοντες πάθος, ὀξύτατον ἐπιφέρουσι τὸν θάνατον, οὐδὲ γὰρ τὴν τυχοῦσαν ὁ νωτιαῖος ὑπομένει πίεσιν. ὅπου γε καὶ ἡ ἐξ αὐτοῦ τῶν νεύρων μόνον ἔκφυσις ἱκανὴ γίνεται θλιβομένη κίνδυνον ἐπάγειν. παραρθρήμασι δὲ πολλάκις ἁλίσκεται. ποτὲ μὲν ἐπὶ τὰ ἔμπροσθεν γινομένης τῆς παρατροπῆς, καὶ καλεῖται λόρδωσις. ποτὲ δὲ ἐπὶ τὰ ὀπίσω, καὶ λέγεται κύφωσις. ἔσθ' ὅτε δὲ ἐπὶ τὰ πλάγια, καὶ σκολίωσιν τοῦτο προσαγορεύουσι. πολλῶν μὲν οὖν ἅμα σπονδύλων ἐπ' ἐλάχιστον παρατραπέντων, ἡ τῶν πλειόνων ἅμα παρατροπὴ φαίνεται κατὰ κυκλικὴν γινομένη περιφέρειαν τῆς κάμψεως. καὶ νομίζουσί τινες ἀπατώμενοι, ἑνὸς ἐπὶ πολὺ παραβαπέντος σπονδύλου. μεγάλη παρατροπὴ οὐ περιφερῆ, γωνιωτὴν δὲ ποιεῖται τὴν τῆς ῥάχεως κάμψιν. ὅτε καὶ μᾶλλον κίνδυνος ἐπακολουθεῖ. τῆς μὲν οὖν ἐπὶ τὰ ἔνδον τῆς ῥάχεως παρατροπῆς, ἀμήχανος ἡ ἐπανόρθωσις, διὰ τὸ μὴ δύνασθαι διὰ τῆς γαστρὸς ἔμπροσθεν ποιεῖσθαι τὴν ἀντίθεσιν. ὅσοι γὰρ οἱ ἐν κλίμακι κατατείνοντες τοὺς οὕτω παθόντας, ἢ σικύας προσβάλλοντες, ἢ πταρμοὺς ἢ βῆχας, ἢ φύσας ἐπιτηδεύοντες, τί ποτε κατορθοῦν ᾠήθησαν, ἱκανῶς ὑπὸ τοῦ Ἱπποκράτους ἠλέγχθησαν. ἐπειδὴ δὲ πολλάκις ἀπόθραυσίς τινος τῶν τῆς ἀκάνθης ὀστέων γινομένη κοῖλον ἀποφαίνει τὸν τόπον, ὡς ἐν τῷ περὶ καταγμάτων εἴρηται. τινὲς ᾠήθησαν λόρδωσιν εἶναι τὸ πάθος. εἶτα διὰ τάχους τούτου θεραπευθέντος, ἑτοίμως γὰρ ἐπιπωροῦται, ἀνίατον ἀπεφήναντο τὴν λόρδωσιν ὑπάρχειν. καίπερ ἀνίατον δεινῶς οὖσαν ἢ δυσίατον. ἐπίσχεσις γὰρ αὐτοῖς αὕτη κατὰ τῶν οὔρων τε καὶ τῆς κόπρου γίνεται, καὶ περίψυξις τοῦ σώματος. εἰς ὕστερον δὲ καὶ ἀκούσιος τῶν περιττωμάτων ἔκκρισις. ταῦτα δὲ διὰ τὴν τῶν νεύρων, καὶ τὴν τῶν μυῶν γίνεται συμπάθειαν. καὶ ταχέως ἀποθνήσκουσι. καὶ μάλιστα ἐν τοῖς ἄνω, καὶ κατὰ τὸν τράχηλον σπονδύλοις τοῦ πάθους συστάντος. τὴν δὲ κύφωσιν τὴν ἐκ παιδὸς μικροῦ μάλιστα γεγενημένην, καὶ χρονίαν εἶναι καὶ μὴ ταχυθανατοῦν, ἀλλ' ἐπὶ νόσον ἄγειν καὶ ἀνίατον Ἱπποκράτης ἀπεφήνατο. ἐπὶ δὲ τῆς ἄρτι γενομένης κυφώσεως ἀπὸ πτώματος. αἱ μὲν διὰ τῆς κλίμακος καὶ τῆς τοῦ νοσοῦντος ὀρθίας κρεμάσεως τῆς τε τοῦ ἀσκοῦ φυσήσεως μηχαναί, καταγέλαστοι. μόνος δὲ ὁ τοῦ Ἱπποκράτους ἀρκέσει καταρτισμός. δεῖ γάρ φησιν μέγα ξύλον μήκει τε καὶ πλάτει τηλικοῦτον, ὡς χωρῆσαι τὸν ἄνθρωπον, ἢ βάθρον ἴσον τούτῳ ἐγγὺς ἀποθέσθαι τοίχου, παρατεταμένον παρὰ τοίχῳ κατὰ μῆκος, μὴ πλέον ἀπέχον ποδός, ἐφαπλῶσαί τε αὐτῷ ἱμάτιά τινα, χάριν τοῦ μὴ ἐπικλᾶσθαι τὸ σῶμα τοῦ ἀνθρώπου. τοῦτον δεῖ λουσάμενον πρηνῆ κατατεῖναι κατὰ τοῦ ξύλου ἢ τοῦ βάθρου. κἄπειτα ἱμάντι τὸ στῆθος τοῦ ἀνθρώπου δὶς περιειλίξαντα, διὰ τῶν μασχαλῶν δῆσαι κατὰ τὸ μετάφρενον, καὶ τὰς ἀρχὰς τοῦ ἱμάντος ἐκδῆσαι πρὸς ξύλον ἐπίμηκες ὑπεροειδὲς ὀρθόν, στῆσαί τε τοῦτο ἐπὶ τοῦ ἐδάφους πρὸς τῷ πέρατι τοῦ ὑποκειμένου ξύλου ἢ βάθρου. καὶ δοῦναι διακρατεῖν ἄνωθεν ὑπηρέτῃ ἑστῶτι τῆς τοῦ

κάμνοντος κεφαλῆς ἐξόπισθεν. ὥστε τοῦ μὲν κάτωθεν πέρατος ἀντιστηριζομένου, τοῦ δὲ ἄνω ὑπὲρ τὴν κεφαλὴν ἑλκομένου, κατὰ τὸν δέοντα καιρὸν, γίνεσθαι τὴν κατάτασιν. ἑτέρῳ δὲ ἱμάντι τοὺς πόδας ὁμοῦ κατά τε τὰ ὑπὲρ τῶν σφυρῶν μέρη δήσαντες, καὶ αὖθις ἑτέρῳ τὰ ὑπὲρ τῶν ἰξύων, τῆς συναφῆς τοῦ δὲ κατὰ τὴν ὀσφὺν γινομένης. πάλιν τὰ πέρατα τῶν ἱμάντων τούτων συζεύξαντες, ἑτέρῳ δὲ ξύλῳ ὑπεροειδεῖ ὁμοίως τῷ λεχθέντι προσδήσαντες, στήσωμεν ἐν τῷ πρὸς τοῖς ποσὶ πέρατι τοῦ ξύλου ἢ βάθρου τὸ ὕπερον καθ' ὁμοιότητα τοῦ προτέρου. κἄπειτα κελεύσωμεν τοῖς ὑπηρέταις διὰ τῶν ξύλων ποιεῖσθαι τὴν ἀντίτασιν. τινὲς δὲ διὰ τῶν καλουμένων ὀνίσκων ταύτην ἐργάζονται. ἄξονες δέ εἰσιν οὗτοι ἐπὶ ὀρθὸν στρεφόμενοι ξύλον. ἑκατέρωθεν τούτου τοῦ μεγάλου ξύλου ἢ βάθρου κατὰ τὰ πρὸς τοῖς ποσὶ καὶ τῇ κεφαλῇ πέρατα τεταγμένοι οἱ ἱμάντες ἐνειλοῦνται. οὕτω δὲ γινομένης τῆς κατατάσεως αὐτοῦ, τῇ τῶν χειρῶν ἡμῶν παλάμῃ τὸ κύφωμα πιλήσωμεν. εἰ δὲ χρεία, καὶ ἐπικαθεσθῶμεν αὐτῷ μηδενὸς ὄντος φόβου. εἰ δὲ μὴ οὕτως ἡ ῥάχις ἀπευθύνοιτο. φέρει δὲ τὴν πίεσιν ὁ κάμνων. δεῖ τὸν παρακείμενον τοῖχον ἐπὶ μῆκος ὑπογλύψαι σωληνοειδῶς ἄντικρυς τοῦ κυφώματος, ὡς εἶναι τῆς γλυφῆς τὸ μῆκος ὅσον πήχεως, μήτε ὑψηλότερον τῆς τοῦ κάμνοντος ῥάχεως, μήτε πολλῷ ταπεινότερον. μᾶλλον δὲ προπαρασκευασμένην εἶναι δεῖ τὴν γλυφήν. τούτου γὰρ ἕνεκα καὶ τὸ ξύλον ἀπ' ἀρχῆς πλησίον κεῖσθαι τοῦ τοίχου παρεσκευασάμεθα. κἄπειτα σανίδος συμμέτρου τὸ ἕτερον πέρας ἐπὶ τὰ κάτω πιέσωμεν, ἕως ἂν αἰσθητὴ τῆς ῥάχεως ἡ ἀπεύθυνσις γένηται. ὡς δέ φησιν Ἱπποκράτης, καὶ ἡ κατάτασις μόνη δίχα τῆς σανίδος, καὶ αὖθις πάλιν διὰ τῆς σανίδος μόνη ἡ ἴασις ἱκανὴ ἐστὶ τὸ δέον ἐκτελέσαι. εἰ δὲ τοῦτο ἀληθές, οὐδὲν ἄτοπον καὶ ἐπὶ τῆς λορδώσεώς τε καὶ σκολιώσεως ἐν ἀρχῇ ποιεῖσθαι τὴν εἰρημένην κατάτασιν, δίχα δηλονότι τῆς πιλήσεως. δεῖ δὲ μετὰ τὸν καταρτισμὸν πέταλον ξύλινον, πλάτος μὲν, τριδάκτυλον, μῆκος δὲ, ὅσον μετὰ τὴν κύφωσιν καί τινα τῶν ὑγιεινῶν ἐπιλαμβάνειν σπονδύλων, λίνῳ τελαμῶνι ἢ στυπείῳ διὰ τὴν σκληρότητα περιειλίσαντας, ἐπιθεῖναι τοῖς σπονδύλοις, καὶ προσηκόντως ἐπιδῆσαι, καὶ τῇ λεπτῇ διαίτῃ χρώμενον. εἰ δὲ καὶ μετὰ ταῦτα λείψανόν τι τῆς κυφώσεως ἐγκαταλειφθείη, τῇ διὰ τῶν χαλαστικῶν τε καὶ μαλακτικῶν φαρμάκων θεραπείᾳ, σὺν τῇ διὰ τοῦ πετάλου προστυπώσει χρηστέον ἐπιπολύ. τινὲς δὲ μολυβδίνῳ πετάλῳ ἐχρήσαντο.

Περὶ τῆς κατ' ἰσχίον ἐξαρθρώσεως. ριη'.

Τῶν ἄλλων ἐν τοῖς ἀνθρώποις ὀστῶν ποτὲ μὲν παράρθρημα ποτὲ δὲ καὶ τελείαν πασχόντων ἐξάρθρησιν, ἡ κατ' ἰσχίον τε καὶ κατὰ τὸν ὦμον διάρθρωσις μόνη τῇ τῆς ἐξαρθρήσεως ὑποπεπτώκασι παρατροπῇ, καὶ τούτων μᾶλλον ἡ κατὰ τὸ ἰσχίον, ὅτι τε βαθεῖαν καὶ στρογγύλην τὴν κοιλότητα κέκτηται, καὶ ὅτι ὑψηλοτέραις ὀφρυώσεσι κατωχύρωται. φθάσαντος δέ ποτε τοῦ ἄρθρου διά τινα βίαν ἰσχυρὰν ἐκπεσεῖν ἔξω τῆς ἰδίας κοιλότητος, καὶ παρὰ τὸ μᾶλλον καὶ ἧττον τῆς ἐξαρθρήσεως, πολλαὶ γίνονται διαφοραί. κατὰ τέσσαράς τε τρόπους, μᾶλλον δὲ τόπους, ἡ κατ' ἰσχίον ἐξάρθρησις γίνεται. ἢ γὰρ ἐπὶ τὰ ἔσω. ἢ ἐπὶ τὰ ἐκτός. ἢ ἔμπροσθεν, ἢ ὀπίσω μεθίσταται. ἀλλ' ἔσω μὲν καὶ ἔξω συνεχῶς. καὶ μάλιστα πολλῷ συνεχέστερον ἐπὶ τὰ ἔσω. ἔμπροσθεν δὲ καὶ ὀπίσω, κατὰ τὸ σπάνιον. ὅσοις μὲν οὖν ἐπὶ τὰ ἐντὸς ἡ ἐξάρθρησις γένηται, τούτοις, τό, τε πεπονθὸς σκέλος πρὸς τὸ ὑγιὲς παραβαλλόμενον, μακρότερον δείκνυται, καὶ τὸ γόνυ προπετέστερον. καὶ κατὰ τὸν βουβῶνα κάμψαι τὸ σκέλος οὐ δύνανται. καὶ κατὰ τὸν περίναιον, ὄγκος ὑποπίπτει σαφὴς, ὡς ἐκεῖ τῆς κεφαλῆς ἀποστηριχθείσης τοῦ μηροῦ. ὅσοις δὲ ἐπὶ τὰ ἔξω κατωλίσθησε, τούτοις τἀναντία συμβαίνει σημεῖα. τό, τε γὰρ σκέλος βραχύτερον φαίνεται. καὶ κατὰ μὲν τὸν περίναιον ἐγκοιλαίνεται, κατὰ δὲ τὸν γλουτὸν εἰς ὄγκον ἐπαίρεται. καὶ τὸ γόνυ ἐσώτερον ἐστί. καὶ συγκάμπτειν τὸ σκέλος δύνανται. οἷς δὲ ἐπὶ τὰ ἔμπροσθεν, ἐκτείνουσί τε χωρὶς ὀδύνης τοῦ γόνατος, οὐδὲ προκύπτειν ἐπὶ τὰ ἐντὸς δύνανται βαδίζειν πειρώμενοι, τά τε οὖρα τούτοις ἐπέχεται, καὶ ὁ μὲν βουβὼν ἐξογκοῦται, τὸ δὲ πυγαῖον ῥυσσόν τε καὶ ἄσαρκον φαίνεται, καὶ πτερνοβατοῦσιν ἐν τῇ πορείᾳ. οἱ δὲ ἐπὶ τὰ ὀπίσω ἐξαρθρήσαντες, οὐκ ἐκτανύουσιν τὴν ἰγνύαν οὔτε τὸ γόνυ. οὔτε δὲ ἐπικάμψαι δύνανται πρὶν ἢ τὸν βουβῶνα ἐπικάμψωσι. καὶ τούτοις δὲ τὸ σκέλος βραχύτερον, ὁ βουβὼν λαπαρώτερος φαίνεται. καὶ κατὰ τοῦ πυγιαίου ἡ κεφαλὴ τοῦ μηροῦ διασημαίνει. ἐφ' ὧν μὲν οὖν ἐκ παιδικῆς ἡλικίας ἢ ἁπλῶς ἐπὶ πλεῖον χρόνου τοῦτο τὸ ἄρθρον ἐκπεπτωκὸς ἠμελήθη, καὶ μεμένηκεν, ἄπορος ἡ θεραπεία, φθάσαντος ἤδη κυκλωθῆναι τοῦ κώλου. ὅσοις δὲ προσεχῶς ἐξήρθρησεν, οὗτοι τῆς Ἱπποκράτους ἐπιμελείας τεύξονται. δεῖ τοίνυν ταχέως ἐπὶ τὴν εἰσβολὴν ἰέναι. χρονίζοντα γὰρ τὰ κατ' ἰσχίον ἐξαρθρήματα παντελῶς ἀνίατα γίνεται. κοινῶς μὲν οὖν ἐπὶ τῶν τεσσάρων ἐξαρθρήσεων ὅ, τε κατὰ περιστροφὴν καὶ περίσφασιν τοῦ ἄρθρου, καὶ ὁ διὰ τῆς κατατάσεως

ἁρμόσει

ἁρμόσει καταρτισμός. εἰ γὰρ εἴη καὶ τὸ πάθος νεαρόν, καὶ ὁ κάμνων νεάζων. ἐνίοτε τὸν μηρὸν διακραδαίνοντες, καὶ περιφέροντες τῇδε κἀκεῖσε τὸ ἄρθρον ἐμβεβλήκαμεν. ἐπὶ τὰ ἔσω δὲ γεγενημένης τῆς ἐξαρθρήσεως, καὶ τὸ σκέλος μόνον ἀθρόως τε καὶ ἰσχυρῶς περὶ τὸν βουβῶνα κάμψαντες ὡς ἐσωτάτω, τὸ δέον ἐξεπράξαμεν. εἰ δὲ μὴ τούτοις ὑπείξοι, κατατάσει χρηστέον. πρῶτον μὲν τῇ διὰ τῶν χειρῶν. τῶν μὲν τὸ σκέλος κάτωθεν ἑλκόντων κατά τε τὸν μηρὸν καὶ τὴν κνήμην σφιγγομένων, τῶν δὲ ἄνωθεν ὑπὸ τὰς μασχάλας τὸ σῶμα περιβαλόντων. εἰ δὲ καὶ ἰσχυροτέρας δέοι τῆς κατατάσεως, βρόχοις ὑφαντοῖς ἢ πλεκτοῖς ἤγουν ἱμᾶσιν ἐκδῆσαι τὸ σκέλος, πάντως μὲν ὑπὲρ τὸ σφυρόν. ἵνα δὲ μή τι τὸ γόνυ πάθῃ, καὶ τούτου ἀνωτέρω. τὰ δὲ περὶ τὸ στῆθος, οὐκ ἀνάγκη δεσμεῖν. ἀλλ᾽ ὡς εἴρηται ταῖς χερσὶν ὑπὸ τὰς μασχάλας περιβαλέσθωσαν. ἱμάντος τε μαλθακοῦ καὶ ἰσχυροῦ τὴν μεσότητα κατὰ τὸν περίναιον ἁρμόσαντες, ἐπὶ τῶν ὤμων ἀνάγωμεν, ἔμπροσθεν διὰ τοῦ βουβῶνος ἐπὶ τῆς κλειδός, ὄπισθεν δὲ διὰ τοῦ ἀνωτάτω. καὶ τὰς δύο τοῦ ἱμάντος ἀρχὰς ὑπηρέτῃ δώσωμεν. κἄπειτα πάντες ἑλκόντων ὁμοῦ, ὥστε τοῦ κάμνοντος μετεωρισθῇ σῶμα, τὴν κατάτασιν ποιείτωσαν. οὗτος μὲν ὁ τρόπος τῆς κατατάσεως, κοινός ἐστι τῶν δ´ τῆς ἐξαρθρήσεως τοῦ μηροῦ διαφορῶν. ἰδίᾳ δὲ καθ᾽ ἑκάστην ὁ τῆς μοχλείας ὑπαλλάττεται τρόπος. κατατεινομένου γὰρ τοῦ ἀνθρώπου, εἰ μὲν ἐπὶ τὰ ἔσω τὸ ἄρθρον ἐξέπεσε, τοῦ μὲν ἱμάντος τοῦ κατὰ τὸν περίναιον τὴν μεσότητα δεῖ μεταξὺ τῆς τοῦ μηροῦ κεφαλῆς καὶ αὐτοῦ τοῦ περιναίου τετάχθαι, ἀναφέρεσθαι δὲ τὸν ἱμάντα, διὰ τοῦ παρακειμένου βουβῶνος, καὶ τῆς κλειδός. νεανίσκον δέ τινα δεῖ τοῖς δύο πήχεσι τὸν πεπονθότα μηρόν, κατὰ τὸ παχύτερον αὐτοῦ περιβάλλοντα, ἕλκειν ἰσχυρῶς ἐπὶ τὰ ἔξω. οὗτος ὁ τρόπος τῆς ἐκβολῆς δυσκολώτερος τῶν ἄλλων ὑπάρχει. μὴ εἴξαντος δὲ τούτῳ τοῦ ἄρθρου, καὶ ἑτέροις χρηστέον, ποικιλωτέροις μὲν πρακτικωτέροις δὲ τούτου. κατατείνεσθαι μὲν γὰρ χρὴ τὸν ἄνθρωπον ἀπὸ τοῦ μεγάλου ξύλου ἢ βάθρου, ἐφ᾽ οὗ καὶ τοὺς κατὰ τὴν ῥάχιν ἔχοντας τὴν κύφωσιν κατατείνομεν. ἐγγεγλύφθωσαν δὲ δι᾽ ὅλου σχεδὸν ἐπιμήκεις τινὲς οἷον τάφροι πλάτος τε καὶ βάθος μὴ πλεῖον δακτύλων τριῶν, ἀπέχουσαι δὲ ἀλλήλων μὴ πλεῖον δακτύλων δ´. ὥστε τοῦ μοχλοῦ κατὰ τὸ πέρας ἐπ᾽ αὐτῶν ἀντιβαίνοντος, ἐφ᾽ ὁπότερα ἂν δέοι ποιῆσαι τὴν μόχλευσιν. κατὰ μέσον δὲ, τοῦ ξύλου ἢ βάθρου ἕτερον ἐμπεπήχθω ξύλον, ὅσον ποδιαῖον τῷ μήκει, πάχος δὲ ὅσον στυλείου, ὥστε ὑπὸ τούτου κατατεινομένου τοῦ ἀνθρώπου, τὸ ξύλον μεταξὺ φθάσαι τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ, ἅμα τε γὰρ κωλύσει τὴν ἐπίδοσιν τοῦ σώματος γίνεσθαι τοῖς πρὸς ποδῶν ἕλκουσι, καὶ τούτου ὄντος οὐδὲ χρεία πολλάκις γίνεται τῆς ἄνωθεν ἀντιτάσεως. ἅμα δὲ καὶ κατατεινομένου τοῦ σώματος, αὐτὸ τὸ ξύλον ἐπὶ τὰ ἔξω τὴν κεφαλὴν ἐκμοχλεύσει τοῦ μηροῦ. ἡ δὲ κατάτασις, κατὰ τὸν ἀνωτέρω λεχθέντα γινέσθω τρόπον, καὶ μάλιστα τοῦ ποδός. εἰ δὲ μὴ οὕτως εἰσενεχθείη, τὸ μὲν ἐμπεπηγὸς ὀρθὸν ξύλον ἀφαιρετέον. ἐκ πλαγίου δὲ τῆς τούτου θέσεως ἑκατέρωθεν ἕτερα δύο ξύλα πεπήχθω, καθάπερ φλιαί, μὴ ἔλαττον ἢ ποδὸς τὸ μῆκος. ἐφηρμόσθω δὲ τούτοις ἕτερον ξύλον καθάπερ κλιμακτήρ, ὡς εἶναι τὸ σχῆμα τῶν τριῶν ξύλων, παραπλήσιον τῷ Η στοιχείῳ. τοῦ ἤτοι μικρῷ κατωτέρω τῶν ἄκρων τὸ μέσον ἐναρμοσθείη ξύλον. κἄπειτα ἐπὶ τὸ ὑγιὲς πλευρὸν κειμένου τοῦ ἀνθρώπου, τὸ μὲν ὑγιὲς σκέλος μεταξὺ τῶν φλιῶν τούτων ἀνάγωμεν ὑπὸ τὴν οἷον βαθμίδα. τὸ δὲ πεπονθός, ἄνωθεν ὑπεραγάγωμεν ταύτης, ὡς ἐφαρμόζειν αὐτῇ τῇ κεφαλῇ τοῦ μηροῦ. ἐπεστρωμένου πρότερον αὐτῇ, πολυπτύχου τινὸς ἱματίου, διὰ τὸ μὴ θλίβεσθαι τὸν μηρόν. ἕτερον δὲ ξύλον, ἔχον τὸ μὲν πλάτος σύμμετρον, τὸ δὲ μῆκος, ὅσον ἀπὸ τῆς τοῦ μηροῦ κεφαλῆς ἄχρι τοῦ σφυροῦ, ὑποτεταγμένον ἔσωθεν τῷ σκέλει συνδεδέσθω. γινομένης δὲ τῆς κατατάσεως, ἢ διὰ ὑπέρων, ὡς ἐπὶ τῆς κυφώσεως ἔμπροσθεν εἴπομεν, ἕλκειν ἐπὶ τὰ κάτω τὸ σκέλος μετὰ τοῦ προσδεδεμένου ξύλου, ὅπως τῇ βίᾳ ταύτῃ ἡ κεφαλὴ τοῦ μηροῦ εἰς τὸν ἴδιον ἐπανέλθοι τόπον. ἔστι δὲ καὶ ἕτερος ἐμβολῆς τρόπος, ἄνευ τῆς ἐπὶ τοῦ ξύλου κατατάσεως, ἐπαινούμενος ὑφ᾽ Ἱπποκράτους. δεῖ γάρ φησι τὰς χεῖρας τοῦ κάμνοντος μαλθακῶς προσδῆσαι ταῖς πλευραῖς, καὶ τοὺς πόδας ἀμφοτέρους ἰσχυρῷ ἱμάντι μαλθακῷ, κατά τε τὰ σφυρὰ καὶ ὑπὲρ τῶν γονάτων, ἀπέχοντας ἀλλήλων ὅσον δακτύλους δ´. ἐντεταμένου τοῦ πεπονθότος ὑπὸ τῶν στέρνων, ὡς δύο δακτύλους. κἄπειτα κρεμάσαι τὸν ἄνθρωπον ἐπὶ κεφαλῆς, ἀπέχοντα τῆς γῆς ὅσον δύο πήχεις. νεανίσκον δέ τινα ἔμπειρον τοῖς ἑαυτοῦ πήχεσι περιλαβόντα τὸν πεπονθότα μηρόν, κατὰ τὸ βραχύτατον ἔνθα καὶ ἡ κεφαλὴ τοῦ μηροῦ, ἐξαπίνης ἀποκρεμασθῆναι τοῦ ἀνθρώπου βιαζόμενον. ῥᾳδίως γὰρ εἰσελεύσεται τὸ ἄρθρον. οὗτος ὁ τρόπος τοῦ καταρτισμοῦ. τῶν μὲν ἄλλων ἁπλούστερός ἐστιν, οἷά τε μὴ ἀγόμενος διὰ πολλῆς παρασκευῆς. ἀλλ᾽ ὡς ἐλεεινὸν αὐτὸν οἱ πολλοὶ παρῃτήσαντο. εἰ δὲ ἐπὶ τὰ ἐκτὸς ἡ ἐξάρθρησις γένηται, κατατετάσθω

ἔσθω μὲν ὁ ἄνθρωπος ὡς ἀνωτέρω. τὸν δὲ κατὰ περίναιον ἱμάντα διὰ τῶν ἀνηκομένων φέρειν μορίων προσήκει, βουβῶνος φημὶ καὶ κλειδός. τὸν δὲ ἰατρὸν μοχλεύειν ἔξωθεν ἐπὶ τὰ ἔσω μετὰ τὴν ἁρμόζουσαν τῶν ἐγγεγυμνωμένων τάφρων, ἀντιβαίνοντος τοῦ μοχλοῦ ὑπηρέτου τινὸς πρὸς τὸν ὑγιᾶ γλουτόν, ὅπως μὴ ὑπείκοι. ἐπὶ δὲ τῶν ἐπὶ τὰ ἔμπροσθεν ἐξηρθρηκότων, κατατεινομένου τοῦ ἀνθρώπου, ἀνήρ τις ἰσχυρὸς τὸ θέναρ τῆς δεξιᾶς χειρὸς ἐπὶ τοῦ πεπονθότος ἀποθέμενος βουβῶνος, τῇ ἑτέρᾳ συμπιεζέτω, ἅμα τε ἐπὶ τὰ κάτω καὶ πρὸς τῷ γόνατι ποιούμενος τὴν πίλησιν. ἐπὶ δὲ τῶν ἐπὶ τὰ ὀπίσω, οὐ δεῖ μὲν ἄχρι μετεώρου κατατείνεσθαι τὸν ἄνθρωπον, ἀλλ' ἐπὶ στερεοῦ κεῖσθαι, καθάπερ καὶ τῶν ἐπὶ τὰ ἐκτὸς ἐξηρθρηκότων. ὥσπερ δὲ ἐπὶ τοῦ κυφώματος ἐλέγετο, ἐπὶ μὲν τοῦ ξύλου ἢ βάθρου πρηνῆ κατατείνειν τὸν ἄνθρωπον, οὐ μετὰ τῆς ἰξύος ἀλλ' ἐν τῷ σκέλει τεταμένων τῶν δεσμῶν, ὡς ἀρτίως εἴρηται. χρῆσθαι δὲ καὶ τῇ διὰ τῆς σανίδος πιλήσει, μετὰ τὸ πυγιαῖον, ἔνθα καὶ τὸ ἄρθρον ἐξέστηκε. καὶ ταῦτα μὲν περὶ τῶν ἐκ προκαταρκτικῆς αἰτίας ἐξαρθρησάντων τὸ ἰσχίον. ἐπεὶ δὲ καὶ διὰ πλῆθος ὑγρότητος ὥσπερ ὁ ὦμος, οὕτω καὶ τὸ ἰσχίον ἐξίσταται, τῇ καύσει χρηστέον, ὡς ἐν τῷ περὶ αὐτοῦ εἴρηται λόγῳ.

Περὶ τῆς κατὰ τὸ γόνυ ἐξαρθρώσεως. ρι̅θ.

Τὸ γόνυ κατὰ τρεῖς μεθίσταται τρόπους, ἔσω γάρ, καὶ ἔξω, καὶ κατὰ τὴν ἰγνύαν. ἔμπροσθεν γὰρ ἐπὶ τῆς ἐπιγονατίδος ἐκστῆναι κωλύεται. τοῖς αὐτοῖς οὖν τῆς κατατάσεως χρώμενοι τρόποις, ποτὲ μὲν διὰ τῶν χειρῶν μόνων, ποτὲ δὲ καὶ διὰ τῶν βρόχων, πρεπόντως ἐπιδήσωμεν, καὶ τὴν ἄλλην προσοίσωμεν ἐπιμέλειαν, ἐπὶ πλέον ἐν ἀκινησίᾳ φυλαττομένου τοῦ μορίου.

Περὶ τῆς κατὰ τὸ σφυρὸν διαρθρώσεως ἐν ᾧ καὶ περὶ δακτύλων ποδός. ρκ.

Ἡ κατὰ τὸ σφυρὸν διάρθρωσις, ἐπ' ὀλίγον μὲν παρατραπεῖσα, καὶ διὰ μετρίας κατατάσεως θεραπεύεται. τελείως δὲ ἐξαρθρήσασα, πλείονος δεῖται τῆς ἀνάγκης. πειρατέον μὲν οὖν κἀνταῦθα διὰ τῶν χειρῶν ἰσχυροτέρᾳ κατατάσει χρήσασθαι. μὴ γινομένης δὲ τῆς ἐμβολῆς, ὕπτιον ἐκτείναντες χαμαὶ τὸν ἄνθρωπον, μεταξὺ τῶν δύο μηρῶν κατὰ τὸν περίναιον μακρόν τινα καὶ ἰσχυρὸν πασσαλίσκον χαμαὶ διὰ βάθους ὀρθὸν καταπήξομεν, ὥστε πρὸς αὐτὸν ἀντιβαῖνον τὸ σῶμα μὴ εἴκειν πρὸς τὴν κατάτασιν τοῦ ποδός. μᾶλλον δὲ προπεπήχθω πρὶν ἢ κατακλίνεσθαι τὸν ἄνθρωπον. εἰ δὲ παρείη τὸ μέγα ξύλον, ἔνθα τὸ ποδιαῖον ξύλον κατὰ τὸ μέσον ἔφημεν ἔχειν πεπηγός, ἐπὶ τούτου ποιητέον τὴν κατάτασιν. ὑπηρέτου δὲ τὸν μηρὸν διακρατοῦντος καὶ ἀντέλκοντος, ἕτερος ὑπηρέτης ταῖς χερσὶν ἢ καὶ δι' ἱμάντος ἑλκέτω τὸν πόδα. ὁ δὲ ἰατρὸς ταῖς χερσὶν εὐθυνέτω τὸ ἐξάρθρημα. καὶ τὸν ἕτερον δὲ πόδα ἄλλος ἐπὶ τὰ κάτω διακρατείτω. μετὰ δὲ τὸν καταρτισμόν, ἐπιδετέον ἀσφαλῶς, τῶν μὲν ἐπὶ τὸν ταρσόν, τῶν δὲ κατὰ τὰ σφυρὰ φερομένων δεσμῶν. φυλαττομένων ἡμῶν τό, τὸν ὀπίσω κατὰ τὴν πτέρναν διασφιγχθῆναι τένοντα. καὶ φυλακτέον τὸν ἄνθρωπον ἄχρι τεσσαράκοντα ἡμερῶν μὴ βαδίζοντα. βαδίζειν γὰρ ἔτι πρὸ τῆς τελείας ἀποθεραπείας πειρώμενοι, δύσχρηστον ἐργάζονται τὸ μόριον. εἰ δέ τις ἐκ πηδήματος, οἷα συμβαίνει, τὸ τῆς πτέρνης ὀστοῦν μετακινήσειεν, ἢ καὶ ἄλλην τινὰ φλεγμονώδη διάθεσιν ἐργάσηται, προσηνεῖ τινι κατατάσει καὶ διαπλάσει, καὶ ἐμβροχαῖς ἀφλεγμάντοις, καὶ δεσμοῖς ἀσφαλέσι τοῦτο κατορθωτέον, ἐφ' ἡσυχίας ὁμοίως ἄχρι καταστάσεως φυλαττομένου τοῦ ἀνθρώπου. καὶ τὴν τῶν δακτύλων δὲ παρατροπὴν ὡς ἐν τοῖς τῶν χειρῶν ἐλέγομεν, οὐ χαλεπὸν μετρίᾳ τάσει καταρτίζειν. ἐπὶ πάντων δὲ τῶν ἐξαρθρημάτων τε καὶ παραρθρημάτων, μετὰ τὸν καταρτισμόν τε καὶ τὰς τῆς ἀναπαύσεως ἡμέρας, τὴν ὡς εἰκὸς παραμένουσαν τοῖς ἄρθροις φλεγμονὴν ἢ ὄγκον, καὶ ἀχρηστίας ἐπιφέρουσαν χρονίας, πρὸς ταῦτα μαλακτικοῖς ἰασώμεθα φαρμάκοις. ὧν τὴν ὕλην, οὐδεὶς τῶν μετερχομένων τὰ ἔργα τῆς τέχνης ἀγνοεῖ.

Περὶ τῶν μεθ' ἑλκώσεως ἐξαρθρημάτων. ρκα.

Ἐπὶ δὲ τῶν μεθ' ἑλκώσεως ἐξαρθρημάτων, πολλῆς χρεία συνέσεως. ἐμβαλλόμενα γὰρ ταῦτα κινδύνους ἐσχάτους, ἐνίοτε δὲ καὶ θάνατον ἐπιφέρουσι. φλεγμαινόντων γὰρ ὑπὸ τῆς τάσεως τῶν παρακειμένων νεύρων τε καὶ μυῶν, ὀδύναι ἰσχυραὶ καὶ σπασμοὶ καὶ πυρετοὶ ὀξεῖς ἐπιγίνονται. μάλιστα ἐπὶ ἀγκώνων καὶ γονάτων καὶ τῶν ὑπερκειμένων. ὅσῳ γὰρ τῶν κυρίων εἰσὶν ἐγγυτέρω, τοσοῦτο τὸν κίνδυνον ἐπιφέρουσι μείζονα. ὁ μὲν οὖν Ἱπποκράτης, παντάπασιν ἀπαγορεύει τήν τε ἐμβολὴν τούτων, καὶ τὴν ἰσχυροτέραν ἐπίδεσιν. μόνοις δὲ τοῖς ἀφλεγμάντοις τε καὶ παραμυθητικοῖς ἐν ἀρχῇ χρῆσθαι κελεύει βοηθήμασιν. οὕτω γὰρ ἂν αὖθις ἴσως ζήσεσθαι ὑπάρξει. ὅπερ δὲ αὐτὸς ἐπὶ μόνων τῶν δακτύλων συμβουλεύει, τοῦτο ἡμεῖς κἀπὶ τῶν λοιπῶν ἄρθρων ποιεῖν πειρασώμεθα. καὶ κατ' ἀρχὰς μὲν εὐθὺς ἐπὶ τοῦ μέρους ἀφλεγμάντου μένοντος, τὸ ἐξεστηκὸς ἄρθρον διὰ μετρίας ἐμβαλοῦμεν κατατάσεως. καὶ εἰ μὲν ἀποβαίη

κατὰ σκοπόν, ἐπιμένωμεν τῇ ἀφλεγμάντῳ μόνον ἀγωγῇ χρώμενοι. εἰ δὲ φλεγμονή τις ἢ σπασμὸς ἤ τι τῶν εἰρημένων γένηται, πάλιν ἐκβαλεῖν αὐτὰ δέον, εἴπερ ἀβιάστως ἐπιδοῖεν. εἰ δὲ καὶ οὕτως εὐλαβοίμεθα τὸν κίνδυνον, οὐ γὰρ ἐπιδοῖεν ἴσως φλεγμήναντα, βέλτιον ἐν ἀρχῇ μὲν ἐπὶ τῶν μειζόνων ἄρθρων ὑπερτίθεσθαι τὴν ἐμβολήν. παρακμασάσης δὲ τῆς φλεγμονῆς, τοῦτο δὲ γίνεται μετὰ τὴν ἑβδόμην ἢ τὴν ἐνάτην ἡμέραν, τότε προειπόντες καὶ τὸν ἀπὸ τῆς ἐμβολῆς κίνδυνον, καὶ ὡς εἰ μὴ ἐμβληθείη καὶ ζήσαντες κυλλοὶ πάντως ἔσονται. πειρασθῶμεν ἀβιάστως ποιήσασθαι τὴν ἐγχείρησιν, κεχρημένοι πρὸς εὐχρηστίαν καὶ τῷ μοχλίσκῳ. τὴν δὲ τοῦ ἕλκους θεραπείαν, ὡς ἐν τοῖς σὺν ἕλκει κατάγμασιν εἴρηται ποιησώμεθα.

Περὶ τῆς σὺν κατάγματι γινομένης ἐξαρθρήσεως. ρκβ.

Εἰ δὲ σὺν κατάγματι χωρὶς ἕλκους ἐξάρθρησις γένηται, τῇ κοινῇ κατατάσει τε καὶ διὰ τῶν χειρῶν ἀναπλάσει χρηστέον, ὡς ἐπὶ τῶν ἁπλῶν καταγμάτων εἴρηται. σὺν ἕλκει δέ. πάλιν ἐκ τῶν μεθ' ἑλκώσεως καταγμάτων τε καὶ ἐξαρθρημάτων ἰδίᾳ λεχθέντων, τὸν ἁρμόζοντα δεῖ ποιεῖσθαι χειρισμόν.

ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΒΔΟΜΟΥ ΒΙΒΛΙΟΥ.

Ἐν τούτῳ τῷ βιβλίῳ ἑβδόμῳ καὶ τελευταίῳ τῆς ὅλης ὑπαρχούσης πραγματείας, περὶ τῆς τῶν φαρμάκων δυνάμεως ὁ λόγος ἐστὶν ἁπλῶν τε καὶ συνθέτων ἁπάντων, ὁπόσων μάλιστα διὰ ὅλων τῶν πρὸ τούτου ἓξ βιβλίων ἐμνήσθημεν. ἔχουσι δὲ τάξεως οὕτως.



ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΤΩΝ ΓΕΥΣΤΩΝ ΠΟΙΟΤΗΤΩΝ ΔΗΛΟΥΜΕΝΩΝ ΚΡΑΣΕΩΝ. Α.



ΟΥΤΕ ΕΞ ΟΣΜΗΣ ΕΣΤΙΝ ΑΣΦΑΛΕΣ ΤΙ τεκμήρασθαι περὶ τῆς κράσεως τῶν αἰσθητῶν σωμάτων. τὰ μὲν γὰρ ἄοσμα, παχυμερῆ ταῖς οὐσίαις. ἀλλ' οὔπω δῆλον, ὅπως ἔχει θερμότητος ἢ ψύξεως. τὰ δὲ ὀσμώδη, λεπτομερῆ τέ πως ἐστὶ καὶ θερμά. τὸ μέντοι ποσὸν ἢ τῆς λεπτομερείας ἢ τῆς θερμότητος οὐκ ἐνδείκνυται διὰ τὸ ἀνώμαλον εἶναι τὴν οὐσίαν αὐτῶν. ἔτι δὲ μᾶλλον οὐδὲ ἐκ τῶν χρωμάτων ἀκριβῶς ἐστι συλλογίσασθαι. καθ' ἑκάστην γὰρ χροιὰν εὑρίσκεται καὶ θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά. ἐπὶ μέντοι τῆς γεύσεως ἅπανθ' ὁμοίως τὰ μόρια τῶν γευ-

στῶν σωμάτων προσπίπτει τῇ γλώσσῃ καὶ κινεῖ τὴν αἴσθησιν, ὥστε σαφῶς ἐξ αὐτοῦ καὶ τὰς ἐν ταῖς κράσεσι αὐτῶν εὑρίσκειν δυνάμεις. Τὸ μὲν οὖν στύφον, συνάγειν καὶ πιλεῖν καὶ πυκνοῦν καὶ ἀποκρούεσθαι καὶ παχύνειν. ἔτι τε πρὸς τούτων ἁπάντων, ψύχειν τε καὶ ξηραίνειν πέφυκεν. Τὸ δὲ ὀξὺ, τέμνειν καὶ διαιρεῖν καὶ λεπτύνειν, ἐκφράττειν τε καὶ διακαθαίρειν ἄνευ τοῦ θερμαίνειν. τὸ δὲ δριμὺ, παραπλήσια ὀξεῖ δρᾷ, κατά γε τὸ λεπτύνειν τε καὶ καθαίρειν. διαφέρει δὲ τῷ, τὸ μὲν ὀξὺ ψύχειν. τὸ δὲ δριμὺ, θερμαίνειν. καὶ πρόσεστι τῷ τὸ μὲν ἀποκρούεσθαι, τὸ δὲ ἐπισπᾶσθαι καὶ διαφορεῖν καὶ ἐκρήσσειν καὶ ἐσχαροῦν. οὕτω δὲ καὶ τὸ μὲν πικρὸν, διακαθαίρει τε τοὺς πόρους καὶ διαῤῥύπτει καὶ λεπτύνει καὶ τέμνει τὸ πάχος τῶν χυμῶν, ἄνευ φανερᾶς θερμότητος. τὸ δὲ ὑδατῶδες ψυχρὸν, παχύνει καὶ συνίστησι καὶ συνάγει καὶ πιλεῖ καὶ ἐκνεκροῖ. καὶ ναρκοῖ. τὸ δὲ ἁλυκὸν, συνάγει, σφίγγει, ταριχεύει, ξηραίνει. χωρὶς ἐπισήμου θερμότητος ἢ ψύξεως. τὸ δὲ γλυκὺ, χαλᾷ, πέττει, μαλάττει, ἀραιοῖ. τὸ δὲ ἐλαιῶδες, ὑγραίνει, μαλάττει, χαλᾷ.

Περὶ τῆς τάξεώς τε καὶ ἀποστάσεως τῶν κράσεων. β.

Τὸ μὲν δὴ σύμμετρον φάρμακον, ὡς ὁμοίας εἶναι κράσεως ᾧ προσάγεται, κατὰ τὸ μήτε ξηραίνειν μήθ' ὑγραίνειν, μήτε ψύχειν μήτε θερμαίνειν. οὔτε ξηρὸν οὔτε ὑγρὸν, οὔτε ψυχρὸν οὔτε θερμὸν ὀνομάζειν προσήκει. τὸ δὲ ξηρότερον ἢ ὑγρότερον, ἢ θερμότερον ἢ ψυχρότερον, ἀπὸ τῆς ἐπικρατούσης καλεῖται δυνάμεως. Ἀρκεῖ δὲ καθ' ἑκάστην ἐπικράτειαν τέσσαρας ὡς πρὸς τὴν χρείαν ποιήσασθαι τάξεις. θερμὸν μὲν ὀνομάζοντα κατὰ τὴν πρώτην τάξιν, ὅτι ἂν ἡμᾶς θερμαίνῃ μὴ μέντοι ἐναργῶς, ἀλλὰ μετὰ τοῦ προσδεῖσθαι τινὸς ἀποδείξεως λογικῆς· οὕτω δὲ καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν, ὅ,τιπερ ἂν ἀποδείξεως δέηται, μηδέπω τὴν ἐνέργειαν ἰσχυρὰν μηδὲ ἐναργῆ κεκτημένον. Ὅσα μέντοι σαφῶς ἤδη ξηραίνειν ἢ ὑγραίνειν, ἢ θερμαίνειν ἢ ψύχειν πέφυκε, δευτέρας τῆς τοιαύτης τάξεως εἶναι λεχθήσεται. Τὰ δὲ ἤδη μὲν σφοδρῶς, οὐ μὴν εἰς ἄκρον γε, τῆς τρίτης. Ὅσα δὲ οὕτω θερμαίνειν πέφυκεν, ὡς ἐσχαροῦν τε καὶ καίειν, τετάρτης. οὕτω δὲ καὶ ὅσα ψύχειν πέφυκεν, ὡς ἤδη νεκροῦν. τετάρτης καὶ ταῦτα. ξηραῖνον δὲ οὐδέν ἐστιν εὑρεῖν, τετάρτης τάξεως, ἄνευ τοῦ καίειν. ὅ,τι γὰρ ἂν ἄκρως ξηραίνει, πάντως τοῦτο καίει. τοιαῦτα δέ ἐστιν, χαλκῖτίς τε, καὶ μίσυ, καὶ τίτανος. τῆς τρίτης μέντοι τάξεως τῶν ξηραινόντων, δύναταί τι καὶ μὴ καῖον εἶναι, καθάπερ ὅσα στύφει σφοδρῶς πάντα, ἐξ ὧν ἐστιν ὀμφάκιον καὶ ῥοῦς καὶ στυπτηρία.

Περὶ τῶν ἐν τοῖς κατὰ μέρος ἁπλοῖς φαρμάκοις δυνάμεων. γ.

Ἀβρότονον. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν, διαφορητικῆς τε καὶ τμητικῆς ὑπάρχον δυνάμεως. ἐλαχίστης γὰρ μετέχει τῆς στρυφνότητος. καὶ ἀνατριβόμενον σὺν ἐλαίῳ δι' ὅλου τοῦ σώματος, τὰ κατὰ περίοδον ῥίγη ὑγιάζει. ἔστι δὲ κακοστόμαχον. τὸ δὲ κεκαυμένον, μᾶλλον τοῦ ἀκαύστου ξηραῖνον, ἀλωπεκίας ἰᾶται, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. Ἀγάλλοχον. ξύλον ἐστὶν ἰνδικὸν παραπλήσιον θύᾳ, εὐῶδες. ὃ διαμασσώμενον, πρὸς εὐωδίαν στόματος ποιεῖ. ἔστι δὲ καὶ θυμίαμα. ἡ δὲ ῥίζα αὐτοῦ ὅσον δραχμὴ μία ὁλκὴ πινομένη, πλάδον ἰᾶται στομάχου καὶ ἔκλυσιν. καὶ ἡπατικοῖς δὲ καὶ δυσεντερικοῖς ἁρμόζει, καὶ πλευριτικοῖς. Ἀγαρικόν. ῥίζα ἐστὶν, ἐπίφυσις πρέμνου, χαύνη τὴν σύστασιν, σύνθετος ἐξ ἀερώδους τε καὶ γεώδους οὐσίας. διαφορητική τε τὴν δύναμιν καὶ πάχους τμητική, καὶ καθαρτικὴ μάλιστα τῶν ἐν τοῖς σπλάγχνοις ἐμφράξεων. Ἀγήρατον. δυνάμεως ἐστὶν διαφορητικῆς τε καὶ ἀτρέμα πως καὶ ἀφλεγμάντου.

Ἄγνος ἢ λύγος. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔστι δὲ καὶ λεπτομερὴς, καὶ ἄφυσος. ὅθεν καὶ πρὸς ἁγνείαν πεπίστευται δρᾶν, οὐ μόνον ἐσθιόμενος καὶ πινόμενος, ἀλλὰ καὶ ὑποστρωννύμενος. ποιεῖ δὲ τὸ σπέρμα αὐτοῦ καὶ πρὸς ἔμφραξιν ἥπατος καὶ σπληνός, πινόμενον. φρυγόμενος δὲ, ἧττόν ἐστι φυσώδης καὶ εὐανάδοτος. Ἄγρωστις ἡ τοῦ παρνασσοῦ μάλιστα χρήσιμός ἐστι. ξηραντική τε καὶ μετρίως ψυκτικὴ καὶ λεπτομερὴς καὶ ὑπόστρυφνός ἐστι. διὸ τραύματά τε κολλᾷ τὰ ἔναιμα, καὶ λίθους τὸ ἀφέψημα αὐτῆς θρύπτει. Ἄγχουσαι τέσσαρες, οὐ τῆς αὐτῆς ἅπασαι δυνάμεως. ἡ μὲν γὰρ ὀνοκλέας προσαγορευομένη, στύφουσάν τε καὶ ὑπόπικρον ἔχει τὴν ῥίζαν. ὅθεν σπληνικούς τε καὶ νεφριτικοὺς ὠφελεῖ. καταπλασσομένη δὲ σὺν ἀλφίτοις, ἐρυσιπέλασιν ἁρμόζει. τὰ δὲ φύλλα τῆς ῥίζης ἧττον ψύχει τε καὶ ξηραίνει, διὸ καὶ πρὸς διάῤῥοιαν πίνεται. ἡ δὲ λυκαψὸς, στυπτικωτέρα πως ὑπάρχουσα, ὁμοίως ἐρυσιπέλασιν ἁρμόττει. ἡ δὲ ὀνόχειλός τε καὶ ἀλκιβιάδιος. φαρμακωδεστέρα τούτων οὖσα, ἐχεοδήκτους ὠφελεῖ καταπλασσομένη τε καὶ περιαπτομένη καὶ ἐσθιομένη. ἡ δὲ τετάρτη. μικροτέρα τῶν ἄλλων οὖσα, σχεδὸν ἀνώνυμός ἐστιν. πικροτέρα δὲ τῆς ἀλκιβιαδίου τυγχάνουσα, πρὸς τὰς πλατείας ἕλμινθας ἁρμόζει, πλῆθος ὀξυβάφου πινομένη. Ἀδάρκη. οἷον ἀφρός τίς ἐστιν

ὕδατος

ὕδατος ἁλμυροῦ, περιπεπηγὼς φορυτῷ τε καὶ καλάμοις. δριμυτάτη δέ ἐστι, καὶ θερμαντικὴ ἐγγὺς τοῦ καίειν, ἔξωθεν προστιθεμένη σὺν ἄλλοις. ἔσω γὰρ τοῦ σώματος οὐχ οἷόν τε λαβεῖν αὐτήν. Ἀδίαντον. ξηραίνει, λεπτύνει, διαφορεῖ μετρίως. κατὰ δὲ τὸ θερμὸν καὶ ψυχρὸν μεταξύ πως ἐστιν. ἀλωπεκίας γοῦν ἰᾶται, καὶ ὄγκους διαφορεῖ, καὶ λίθους θρύπτει πινόμενον, καὶ τὰς ἐκ πνεύμονος ἀναφορὰς ξηραίνει, ῥεῦμα κοιλίας ἵστησιν. Ἀείζωον διττόν. ψύχει μὲν ἐκ τῆς τρίτης ἀποστάσεως. ξηραίνει δὲ καὶ στύφει μετρίως. ταύτῃ ἄρα καὶ πρὸς ἐρυσιπέλατά τε καὶ ἕρπητας, καὶ τὰς ἐκ ῥεύματος ἁρμόττει φλεγμονάς. Ἀετώνυχον. ἐν τῷ περὶ λίθων λεχθήσεται. Ἀθηρά. πολτάριον ἐστι ῥοφηματῶδες, ἐκ τῆς ἀληλεσμένης ζειᾶς ἢ ἀπὸ τοῦ σίτου σκευαζόμενον, παιδίοις ἁρμόζον. ποιεῖ δὲ καὶ εἰς κατάπλασμα. Αἰγίλωψ. διαφορητικὴν ἔχει δύναμιν. ὅθεν τὰς σκληρυνομένας φλεγμονὰς καὶ τοὺς αἰγίλωπας ἰᾶται. Αἴγειρος. θερμαίνει μὲν κατὰ τὴν α΄ τάξιν, ξηραίνει δὲ μετρίως, καὶ λεπτομερής ἐστιν. ἧς τὰ μὲν φύλλα μετ' ὄξους καταπλασσόμενα, ποδαγρικὰς ὀδύνας παύει. ἡ δὲ ἐξ αὐτοῦ ῥητίνη, θερμοτέρα τῶν ἀνθῶν οὖσα, μίγνυται ἀκόποις τε καὶ μαλάγμασιν. ὁ καρπὸς δὲ, μετ' ὄξους πινόμενος ἐπιληπτικοὺς ὠφελεῖ.

Αἰδοῖον ἄρρενος ἐλάφου. ξηρανθέν τε, καὶ λεῖον σὺν οἴνῳ ποθὲν, ἐχεοδήκτους βοηθεῖ. μίγνυται δὲ καὶ συνθέτοις δυνάμεσιν. Αἰθάλη, καὶ λιγνύς. κατὰ τὸ λ΄ ῥηθήσεται. Αἰθιοπίς. παραπλήσια μὲν ἔχει φλόμῳ τὰ φύλλα. τῆς δὲ ῥίζης αὐτοῦ τὸ ἀφέψημα πινόμενον, ἰσχιαδικοῖς βοηθεῖ, πλευριτικοῖς τε καὶ αἱμοπτοϊκοῖς. ἀρτηρίας τε τραχύτησι μετὰ μέλιτος. Αἷμα, ψυχρὸν οὐδέν ἐστιν, ἀλλὰ τὸ μὲν τῶν ὑῶν ὑγρόν τέ ἐστι καὶ ἧττον θερμὸν, ἀνθρωπείῳ μάλιστα τὴν κρᾶσιν ἐοικός. τὸ δὲ τῶν περιστερῶν καὶ φάττης καὶ τρυγόνος, εὔκρατόν πως ὑπάρχον, τὰ ἐν τοῖς ὀφθαλμοῖς ὑποσφάγματα ἰᾶται θερμὸν ἐνσταζόμενον. καὶ τῇ παχείᾳ μήνιγγι ἐγχεόμενον ἐπὶ τῶν ἀνατρηθέντων, ἀφλέγμαντόν ἐστι. τὸ δὲ τοῦ γλαυκὸς σὺν οἴνῳ πινόμενον ἢ ὕδατι, δύσπνοιαν ὀνίνησιν. τὸ δὲ τῶν νυκτερίδων, τιτθούς τε διαφυλάττει παρθένων. καὶ ἄτριχον εἶναί φασιν καταχριόμενον. ὡσαύτως δὲ καὶ τὸ τῶν βατράχων. καὶ τὸ τοῦ χαμαιλέοντος. καὶ τὸ τῶν κροτώνων τῶν κυνῶν. ὁ δὲ Γαληνὸς πειράσας, ἐψεῦσθαι ταῦτά φησι. τὸ δὲ τῶν αἰγῶν, διὰ ξηρότητα τοὺς ὑδεριῶντας ὠφελεῖ μετὰ μέλιτος πινόμενον. καὶ τοὺς ἐν νεφροῖς λίθους θρύπτει. τὸ δὲ τῶν κατοικιδίων ὀρνίθων, αἱμοῤῥαγίας μηνίγγων ἐπέχει. τὸ δὲ τῶν ἀρνῶν, ἐπιληπτικοὺς ὠφελεῖ. τὸ δὲ τῶν βρέφων νεοπαγὲς ἔτι, ὅσον ἡμικοτύλιον σὺν ἴσῳ ὄξει πινόμενον, τοὺς ἀπὸ θώρακος αἷμα ἀνάγοντας ἰᾶται. τὸ δὲ τῶν ἄρκτων καὶ τῶν ἀγρίων αἰγῶν καὶ τράγων καὶ ταύρων, ἀποστήματα πεπαίνειν φασί. τὸ δὲ τοῦ χερσαίου κροκοδείλου, ποιητικὸν ὀξυδορκίας ἐστι. τὸ δὲ τῶν ὀχευτῶν ἵππων, σηπτικαῖς μίγνυται δυνάμεσιν. ἡ δὲ διὰ αἱμάτων ἀντίδοτος, πρὸς τὰ θανάσιμα φάρμακα διδομένη, καὶ νήττης αἷμα καὶ ἐρίφου καὶ χηνὸς δέχεται. Αἶρα. θερμαίνει καὶ ξηραίνει πλησίον τῆς τρίτης ἀποστάσεως, ἤδη τὴν δύναμιν ἴση τυγχάνουσα. Ἀκαλλίς. θάμνου καρπός ἐστιν ἐν αἰγύπτῳ γινομένου, οὗ τὸ ἀπόβρεγμα τοῖς πρὸς ὀξυδορκίαν κολλυρίοις μίγνυται. Ἀκακία. τρίτης μέν ἐστι τῶν ξηραινόντων τάξεως. πρώτης δὲ τῶν ψυχόντων. εἰ δέ τι πλυθείη, δευτέρας. ἔστι δὲ στρυφνὴ καὶ γεώδης. Ἀκαλύφης. ὅ, τε καρπὸς καὶ τὰ φύλλα λεπτομερῆ τέ ἐστι καὶ ξηραίνουσιν ἀδήκτως. ὄγκους τε διαφοροῦσι καὶ ῥύπτουσιν. ὑπάγουσί τε γαστέρα. φυσώδη δὲ μετρίως εἰσὶ, διὸ καὶ πρὸς συνουσίαν παρορμᾷ. Ἄκανθος, οἱ δὲ μελάμφυλλον, οἱ δὲ παιδέρωτα. διαφορητικῆς ἐστι καὶ ξηραντικῆς δυνάμεως. Ἀκάνθιον. λεπτομεροῦς καὶ θερμῆς ὂν δυνάμεως, σπωμένοις βοηθεῖ. Ἄκανθα λευκή. τὴν μὲν ῥίζαν ξηραντικήν τε καὶ μετρίως στύφουσαν ἔχει. διὸ καὶ στομαχικοὺς καὶ αἱμοπτοϊκοὺς καὶ ὀδονταλγοῦντας ὠφελεῖ. τὸ δὲ σπέρμα λεπτομεροῦς τε καὶ θερμῆς ἐστι δυνάμεως, ὅθεν καὶ πινόμενον σπασμὸν ἰᾶται.

Ἄκανθα αἰγυπτία, οἱ δὲ ἀραβική. στυπτικῆς τε καὶ ξηραντικῆς ἄγαν ἐστὶ δυνάμεως, ὅθεν αἵματός τε καὶ τῶν ἄλλων ῥευμάτων ἐστὶν ἐφεκτική. Ἄκινος. ὠκίμῳ παραπλήσιος οὖσα στύφει μετρίως. ὅθεν ἵστησι κοιλίαν καὶ ἔμμηνα, πινομένη. καταπλασσομένη δὲ, φύγεθλα καὶ ἐρυσιπέλατα ὠφελεῖ. Ἀκόνιτον, τὸ μὲν παρδαλιαγχές. σηπτικῆς καὶ δηλητηριώδους δυνάμεως ἐστιν. ὅθεν ἔσωθεν μὲν αὐτὸ μὴ ληπτέον. ἔξωθεν μέντοι ἐπὶ τῶν σηπεδόνι δεομένων σαρκῶν χρηστέον αὐτῷ. τὸ δὲ λυκόκτονον, τῆς αὐτῆς ὂν τῷ προτέρῳ δυνάμεως, ἰδίᾳ τοὺς λύκους ἀναιρεῖ, ὥσπερ ἐκεῖνο τὰς παρδάλεις. Ἄκορον. θερμαίνει. καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν. χρώμεθα δὲ τῇ ῥίζῃ αὐτοῦ πρός τε κινῆσαι οὖρα, καὶ πρὸς σπληνὸς σκίῤῥον. λεπτύνει δὲ καὶ τὰ πάχη τοῦ κερατοειδοῦς. Ἀκρίδες. ὑποθυμιώμεναι, δυσουρίας μάλιστα γυναικῶν ὠφελοῦσιν. ἡ δὲ ἄπτερος ἀκρὶς, σκορπιοπλήκτοις βοηθεῖ πινομένη σὺν οἴνῳ. Ἀκτῆ, ἥ τε μεγάλη καὶ ἡ χαμαιάκτη. ξηραντικῆς ἐστι δυνάμεως, καὶ μετρίως διαφορητικῆς, καὶ κολλητικῆς. πινόμεναι δὲ ἢ ἐσθιόμεναι, ὕδωρ ἄγουσιν διὰ γαστρός. Ἀλόη. ξηραντικῆς ἱκανῶς

καὶ συπτικῆς εἰσὶ δυνάμεως. ὅθεν ὅσον μὲν ὑγρόν ἐστιν ἐν τοῖς σώμασιν, τοῦτο παῦ ἐκβόσκοντες. τὸ δὲ, ὑποσυνάγουσιν τῇ στύψει, διὸ καὶ ταριχεύουσιν καὶ ἄσηπτα φυλάττουσιν. οἱ δὲ κεκαυμένοι διαφοροῦσι μᾶλλον. Ἀλθαία ἡ ἐβίσκος. ἔστι δὲ εἶδος ἀγρίας μαλάχης, διαφορητική, χαλαστική, ἀφλέγμαντος, πραϋντική, πεπτική φυμάτων ἐστίν. ἡ δὲ ῥίζα καὶ τὸ σπέρμα, τὰ μὲν ἄλλα ταῦτα πεπαμένα ἔχει. ἔστι δὲ καὶ ἀλφῶν ῥυπτικά. τὸ δὲ σπέρμα καὶ λίθους θρύπτει. Ἄλιμον. ἀνομοιομερές ἐστιν, ἄλυκόν τε καὶ ὑπόστυφον. τὸ δὲ πλεῖστον αὐτοῦ, θερμὸν ἀκράτως μεθ' ὑγρότητος ἀκατεργάστου. γάλακτος γοῦν καὶ σπέρματός ἐστιν γεννητικόν.

Ἀλκαία, εἶδος ἐστὶ καὶ αὕτη τῆς ἀγρίας μαλάχης. σὺν οἴνῳ δὲ πινομένη, δυσεντερίας καὶ ῥήξεις ἰᾶται, καὶ μᾶλλον ἡ ῥίζα αὐτῆς. Ἀλκυόνια, ῥύπτει μὲν πάντα καὶ διαφορεῖ, δριμεῖαν ἔχοντα ποιότητα. ἀλλὰ τὸ μὲν μιλήσιον, ἔστι δὲ σκωληκοειδὲς καὶ πορφυροῦν, ἄριστον. διὸ καὶ καθ' ἑαυτὸ ἀλωπεκίας ἰᾶται. καὶ λειχῆνας, καὶ ἀλφοὺς ἀπορρύπτει. τὸ δὲ τὴν ἐπιφάνειαν λίαν ἔχον, δριμύτατόν ἐστιν, οὐ μόνον ἀπορρυπτικόν, ἀλλὰ καὶ ἐκδέρον. τὸ δὲ παραπλήσιον σπόγγοις οἰσυπηροῖς, ἀσθενέστερον ἁπάντων ἐστίν. Ἅλμη. ἡ μὲν ἀμιγὴς ἑτέρας οὐσίας, παραπλησίαν ἔχει τοῖς ἁλσὶ δύναμιν, πλὴν ἀσθενεστέραν τῇ μίξει τοῦ ὕδατος. ἡ δὲ τῶν ταριχηρῶν ἰχθύων, καὶ ἡ τῶν κολυμβάδων ἐλαῶν, ῥυπτικωτέρας εἰσὶν δυνάμεως. ἰσχιαδικοῖς οὖν καὶ δυσεντερικοῖς ἐνίεται. Ἀλόη. θερμαίνει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν. ξηραίνει δὲ κατὰ τὴν τρίτην. ἔστι δὲ καὶ εὐστόμαχος, καὶ ῥυπτική, καὶ διαφορητική, καὶ γαστρὸς ἐκκοπρωτική. πλυθεῖσα δὲ, ἧττον μὲν ῥύπτει, εὐστόμαχος δὲ μᾶλλον ἐστίν. ἀφλεγμαντός τε, καὶ ἑλκῶν ἀφουλωτική, μάλιστα τῶν καθ' ἕδραν τε καὶ αἰδοῖον. Ἁλὸς ἄνθος. ὑγρόν ἐστι φάρμακον, λεπτομερέστερον τῶν κεκαυμένων ἁλῶν, δριμύ τε καὶ διαφορητικὸν ἱκανῶς. Ἁλὸς ἄχνη. ἀφρώδες ἐστὶν ἐπάνθημα τῶν ἁλῶν. λεπτομερέστερον μὲν ἐκείνων καὶ διαφορητικώτερον, ἧττον δὲ συνακτικόν. Ἀλσίνη, οἱ δὲ μυὸς ὦτα. τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἑλξίνῃ. ψύχουσάν τε καὶ ὑγραίνουσαν. διὸ πρὸς τὰς ζεούσας, ἁρμόζει φλεγμονάς. Ἄλυπον. καθαίρει τὸ σπέρμα αὐτοῦ κάτω μέλαιναν χολήν, πλῆθος ἴσον ἐπιθύμου λαμβανόμενον μετὰ ἁλῶν καὶ ὄξους. τὰ δὲ ἔντερα ἐλαφρῶς ἑλκοῖ. Ἄλυσσον. ὠνόμασται μὲν ἀπὸ τοῦ τοὺς λυσσοδήκτους ὀνινάναι. ξηραντικῆς δὲ καὶ διαφορητικῆς καὶ ῥυπτικῆς οὔσα δυνάμεως. νεφρούς τε ἐκφράττει καὶ ἐφήλιν ῥύπτει. Ἀλώπηξ τὸ ζῶον. ὅλη ἐν ἐλαίῳ ζῶσα ἢ τεθνεῶσα καθεψημένη, διαφορητικὸν ἐργάζεται τοὔλαιον, τὰ διὰ βάθους ὑγρὰ πρὸς τὴν ἐπιφάνειαν ἕλκον. ὅθεν ἀρθριτικοὺς ἐν αὐτῷ εἰς πύελον ἐμβιβάζοντες ἐπὶ χρόνον συχνόν. ἀρχόμενον μὲν τὸ πάθος, ἔπαυσαν. χρονίσαν δὲ, ἐμετρίασαν. Ἀμάρακον. θερμαίνει μὲν κατὰ τὴν τρίτην τάξιν. ξηραίνει δὲ κατὰ τὴν δευτέραν. Ἀμάραντον. λεπτύνει καὶ τέμνει. ἔμμηνα γοῦν ἄγει σὺν οἴνῳ ποθέν. καὶ θρόμβους αἵματος διαλύει σὺν οἰνομέλιτι. πάντων τε ῥευμάτων ἐστὶ ξηραντικόν, κακοστόμαχον ὑπάρχον. Ἀμβροσία. καταπλαττομένη, δύναμιν ἔχει στύφουσάν τε καὶ ἀποκρουστικήν. Ἄμμι. τῆς τρίτης τάξεως ἐστὶ τῶν θερμαινόντων τε καὶ ξηραινόντων. λεπτομερές τε καὶ διαφορητικὸν καὶ διουρητικόν. τὸ δὲ σπέρμα μάλιστα χρήσιμόν ἐστιν. Ἀμίαντον. ἐν κύπρῳ γεννᾶται, παραπλήσιον στυπτηρίας σχιστῆς. ἐκφλογούμενον μὲν ὑπὸ πυρός, μὴ καιόμενον δέ. χρῶνται δὲ αὐτῷ τινὲς ἐν τοῖς ξηραντικοῖς ψιλώθροις. Ἄμμος, ἡ ἐν τοῖς αἰγιαλοῖς τῆς θαλάττης. ἱκανῶς ξηραίνει. πυρωθεῖσα γοῦν ὑπὸ ἡλίου ἐξικμάζει τὰ ὑδαρῆ σώματα χωννύμενα ἐν αὐτῇ. φωχθεῖσα δὲ, ξηροπυρία γίνεται ἀντὶ κέγχρου καὶ ἁλῶν. Ἀμμωνιακὸν θυμίαμα. ὀπός ἐστι μαλακτικῆς δυνάμεως ἐπιτεταμένης. ὥς τε σκίρρους τε καὶ πώρους διαλύειν. Ἀμόργη. τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων ἐπιτεταμένης. οὕτω γέ τοι τὰ μὲν ἐν τοῖς ξηροῖς σώμασιν ἕλκη θεραπεύει. τὰ δὲ ἐν τοῖς ἄλλοις, συντείνει τε καὶ παροξύνει. Ἀμπελόπρασον. οἷον πράσον ὄν, ἄγριον. δριμύτατόν ἐστιν καὶ θερμότατον κατὰ τὴν ἐσχάτην τάξιν. ὅθεν καὶ καυστικόν. τμητικόν τέ ἐστι καὶ ἐκφρακτικὸν καὶ κακοστόμαχον. Ἀμπέλου ἀγρίας οἱ βότρυες τε καὶ οἱ ἀκρέμονες, ῥυπτικῆς εἰσὶ δυνάμεως. ἔχουσι δέ τι καὶ στυπτικόν. Ἀμπέλου τῆς ἡμέρου, παραπλησία μὲν ἡ δύναμις τῇ ἀγρίᾳ. ἀσθενεστέρα δέ. Ἀμπέλου λευκῆς ἣν δὴ καὶ βρυωνίαν καὶ ψίλωθρον καλοῦσιν, οἱ μὲν βλαστοὶ ὡς εὐστόμαχοι ἐσθίονται, καὶ οὐρητικοί εἰσιν. ἡ δὲ ῥίζα, ῥυπτική τε καὶ λεπτομερής ἐστι καὶ μετρίως θερμή. διὸ καὶ σπλῆνας τήκει πινομένη, καὶ ἔξωθεν μετὰ σύκων καταπλαττομένη. καὶ ψώρας καὶ λέπρας ἰᾶται. Ἄμπελος μέλαινα, καὶ αὕτη βρυωνία. παραπλήσιος ἐστὶν τῇ λεγομένῃ, πλὴν ἀσθενεστέρα. Ἀμύγδαλα τὰ μὲν πικρά, τῆς λεπτυνούσης τε καὶ ἐκφρακτικῆς τῶν ἐν βάθει γλίσχρων τε καὶ παχέων χυμῶν εἰσὶ δυνάμεως, καὶ ῥυπτικῆς τῶν περὶ τὸ δέρμα. καὶ τὸ δένδρον δὲ τὴν αὐτὴν ἔχει δύναμιν. τὰ δὲ γλυκέα, θερμὰ συμμέτρως εἰσίν. Ἄμυλον. γίνεται μὲν ἐκ πυροῦ καθαροῦ, βρεχο-

μένου

μένου ὕδατι ἐν τοῖς ὑπὸ κύνα καύμασιν, καὶ ἀποχεομένου τῆς ἡμέρας πεντάκις. ἐπὰν δὲ μαλακώτατος γένηται, ἀπηθήσαντες τὸ ὕδωρ ἐπιχέαντες. χωρίσαι τὸ πίτυρον καὶ ξηραίνειν ἐν ἡλίῳ ταχέως, πρὶν ὀξωθῆ. δύναμιν δὲ ἔχει ψυκτικήν τε μετρίως καὶ ξηραντικὴν, καὶ πραϋντικὴν τῶν δριμέων. Ἄμωμον. ἔοικε δὲ τὴν δύναμιν ἀκόρῳ. ἀλλ' ἐκεῖνο μὲν ξηρότερον. τοῦτο δὲ πεπτικώτερον. Ἀναγαλλὶς ἑκατέρα. ῥυπτικῆς ἱκανῶς ἐστι δυνάμεως, ἔχουσά τι καὶ ὑπόθερμον καὶ ἑλκτικόν. ὥστε καὶ σκώλοπας ἐπισπᾶσθαι, καὶ ἐκ ῥινῶν καθαίρειν τὸν χυλὸν αὐτῆς. Ἀνάγυρος. θάμνος ἐστὶ δυσώδης καὶ δριμὺς, θερμῆς τε καὶ διαφορητικῆς δυνάμεως. τὸ δὲ σπέρμα λεπτομερέστερόν τέ ἐστι, καὶ ἐμετικόν. Ἀνδράχνη. ψύχει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν. ὑγραίνει δὲ κατὰ τὴν δευτέραν. ταῦτά τοι καὶ τοὺς καυσουμένους ὀνίνησι κατὰ τῆς κοιλίας ἐπιτιθεμένη, καὶ ἀποκρούεται τὰ ῥεύματα. τῇ τε γλισχρότητι τὰς ἐκ τῶν ὀξέων αἱμωδίας καταλεαίνει. διὰ δὲ τὴν στύψιν, καὶ δυσεντερίας καὶ αἱμοῤῥαγίας ὀνίνησιν.

Ἀνδρόσαιμον, διττόν. τὸ μὲν ἕτερον ἄσκυρον ἢ ἀσκυροειδὲς ὀνομάζεται, εἶδος ὑπάρχον ὑπερικοῦ. θάτερον δὲ διονυσίας. ἔστι δὲ ὁ μὲν καρπὸς αὐτῶν καθαρτικός. τὰ δὲ φύλλα ξηραντικώτερα. Ἀνδρόσακες. πικρὰ καὶ δριμεῖα πόα, διαφοροῦσα καὶ ξηραίνουσα. πινομένη δὲ αὐτή τε καὶ ὁ καρπὸς αὐτῆς οὖρα κινεῖ. Ἀνεμῶναι πᾶσαι. δριμείας καὶ ῥυπτικῆς εἰσὶ ἐπισπαστικῆς τε καὶ ἀναστομωτικῆς δυνάμεως. ὅθεν φλέγμα τε προκαλοῦνται, καὶ λέπρας ἀφιστᾶσι προστιθέμεναι. καὶ γάλα κατασπῶσι. Ἄνηθον. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν ἐπιτεταμένην, ξηραίνει δὲ σύνεγγυς. ὅπερ ἑψόμενον ἐν ἐλαίῳ διαφορητικόν τε καὶ ἀνώδυνον καὶ ὑπνοποιόν. καὶ πεπτικὸν ὠμῶν ὄγκων ὑπάρχει. καυθὲν δὲ, τῆς τρίτης τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων γίνεται. καὶ πλαδαροῖς ἕλκεσιν ἐπιπλαττόμενον ὀνίνησιν. ὑγρότερον δὲ καὶ ἧττον θερμὸν καὶ πεπτικόν ἐστι, τὸ χλωρόν. Ἀνθυλλὶς, διττὴ μέν ἐστιν. ἄμφω δὲ ξηραίνουσιν ἕλκη. ἡ δὲ ἐοικυῖα τῇ χαμαιπίτυϊ, λεπτομερεστέρα ἐστὶν, ὡς καὶ τοῖς ἐπιληπτικοῖς ἁρμόττειν. ἔστι δὲ καὶ ῥυπτικωτέρα. Ἀνήσου τὸ σπέρμα, δριμύτερόν ἐστι θερμαῖνόν τε καὶ ξηραῖνον κατὰ τὴν τρίτην ἀπόστασιν. ταῦτ' ἄρα καὶ οὐρητικόν ἐστι καὶ διαφορητικὸν πνευμάτων. Ἀντίῤῥινον ἢ ἀνάῤῥινον. παραπλησίαν ἔχει τῷ βουβωνίῳ δύναμιν, καταδεέστερον δέ. ἐξ ἐκείνου οὖν καὶ τοῦτο μαθήσῃ. Ἄνωνις ἢ ὄνωνις. θερμὴ τὴν δύναμίν ἐστι, μάλιστα κατὰ τὴν ῥίζαν. ἧς ὁ χυλὸς πινόμενος σὺν οἴνῳ, οὖρά τε ἄγει καὶ λίθους θρύπτει, ἐσχάρας τε ῥήσσει καὶ ὀδόντας πραΰνει. Ἀπαρίνη, οἱ δὲ φιλάνθρωπον, οἱ δὲ ὀμφαλόκαρπον. μετρίως ῥύπτει καὶ ξηραίνει. ἔχει δὲ καὶ λεπτομερές. Ἄπιος. ἀνώμαλός ἐστι κατὰ τὴν κρᾶσιν. τὸ μὲν γεῶδες ἔχουσα, τὸ δὲ ὑδατῶδες. διὸ ἐσθιομένη μὲν δυσστόμαχός τέ ἐστι καὶ ἄδιψος. καταπλαττομένη δὲ ξηραίνει καὶ μετρίως ψύχει. Ἀπόκυνον ἢ κυνοκράμβη, λέγεται δὲ καὶ κυνόμορον, ἐπειδὴ τάχιστα τοὺς κύνας ἀναιρεῖ. ἔστι δὲ καὶ δηλητήριον ἀνθρώποις, ἱκανῶς οὖσα δυσώδης τε καὶ θερμὴ χωρὶς τοῦ ξηραίνειν. ὅθεν καὶ καταπλασσομένη διαφορητικῆς ἐστι δυνάμεως. Ἀπόχυμα ἢ ἀπὸ τῶν πλοίων. ἔστιν ἀποξεομένη παλαιὰ πίττα, διαχυτική τε οὖσα καὶ ξηραντική. καὶ διαφορητικὴ τῶν ὄγκων. Ἀράχνην τὸ ζῶον, συμμαλαχθεῖσαν ἐμπλαστρίῳ καὶ ἐπιτεθεῖσαν μετώπῳ καὶ κροτάφοις, τριταϊκὰς περιόδους ἀπολύειν φησὶ Διοσκορίδης. τὸ δὲ ὕφος αὐτῆς ἐπιτιθέμενον, αἱμοῤῥαγίαν ἵστησιν. καὶ ἀφλέγμαντα τηρεῖ τὰ ἐπιπολῆς ἕλκη.

Ἀργεμώνη. ῥυπτικῆς τε καὶ διαφορητικῆς ἐστι δυνάμεως. Ἀρίσαρον. καὶ μικρότερόν ἐστι τοῦ ἄρου πολλῷ καὶ δριμύτερον, ῥίζαν ἐλαίας ἔχουσα τὸ μέγεθος. Ἀριστολοχία. πᾶσα μὲν θερμὴ, καὶ λεπτομερής ἐστι καὶ ῥυπτικὴ, πικρά τε καὶ ὑπόδριμυς, χρειωδεστάτη πρὸς τὰς ἰάσεις. ἀλλ' ἡ μὲν στρογγύλη λεπτομερεστέρα καὶ κατὰ πάντα δραστικωτέρα. ἡ δὲ κληματῖτις, εὐώδης μὲν, ἀσθενεστέρα δέ. ἡ δὲ μακρὰ, τὰ μὲν ἄλλα μεταξὺ τούτων ἐστίν. θερμὴ δὲ οὐχ ἧττον τῆς στρογγύλης. Ἄρκευθος. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ὁ δὲ καρπὸς θερμαίνει μὲν ὁμοίως. ξηραίνει δὲ, πρώτης τάξεως. Ἄρκιον, προσωπίτης. τὰ φύλλα τοῖς τῆς κολοκυνθίδος ἔχον ὅμοια. μείζονα δὲ καὶ σκληρότερα. διαφορητικὸν μέν ἐστι καὶ ξηραντικόν, ἔχει δέ τι καὶ στυπτικόν. διὸ καὶ τὰ φύλλα αὐτοῦ παλαιὰ ἕλκη θεραπεύει. Ἀρκτίον, φλόμῳ παραπλήσιόν ἐστι. τὴν δὲ ῥίζαν ἁπαλὴν καὶ λευκὴν καὶ γλυκεῖαν ἔχον, λεπτομεροῦς τε καὶ ξηραντικῆς δυνάμεως, καὶ ῥυπτικῆς μετρίως. Ἀρμενιακόν. δύναμιν ἔχει ῥυπτικὴν, ἅμα βραχείᾳ δριμύτητι καὶ στύψει βραχυτέρᾳ, διὸ καὶ μίγνυται ταῖς ὀφθαλμικαῖς δυνάμεσι. καὶ τριχῶν τῶν ἐν τοῖς βλεφάροις ἐστὶν αὐξητικόν. Ἀρνάβω. τῶν ἀρωματιζόντων ἐστὶν, ὅθεν τοῖς μύροις μάλιστα μίγνυται, θερμῆς τε καὶ ξηρᾶς ὑπάρχον δυνάμεως κατὰ τὴν τρίτην που τάξιν, παραπλήσιον κασίᾳ τε καὶ καρπησίῳ. ὅθεν ὁ Ποσειδώνιος μὴ παρόντος κινναμώμου, τούτῳ φησὶ χρῆσθαι. Ἀρνόγλωσσον. ψύχει τε ἅμα καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, μικτὸν δ'

ὑδατώδους τε καὶ γεώδους οὐσίας ὑπάρχον, ἔχον τι καὶ ψύξεως. διὸ πρὸς ἕλκη τε κακοήθη καὶ πρὸς ῥεύματα καὶ σηπεδόνας ἁρμόττει τῇ συμμετρίᾳ τῆς κράσεως. καὶ αἱμοῤῥαγίας ἐπέχει. καὶ πλείοσιν ἁρμόττει. καὶ γὰρ ξηρότητος ἀδήκτου μετέχει, καὶ ψύξεως μηδέπω ναρκούσης. Ἄρον. τῆς πρώτης ἐστὶ τάξεως οὖτε τοῦ θερμαίνειν καὶ ξηραίνειν, ἐγγεώδους καὶ τῆς γεγονὸς οὐσίας, θερμῆς τε καὶ ῥυπτικῆς. αἱ ῥίζαι δὲ αὐτοῦ θερμότεραι. τὸ δὲ δρακόντιον ἰσχυρότερον.

Ἀρσενικόν. καυστικῆς ἐστι δυνάμεως. χρῶνται δὲ αὐτῷ, καὶ εἰς τὰς ψιλώσεις τῶν τριχῶν. εἰ δὲ χρονίσῃ, καὶ αὐτοῦ τοῦ δέρματος ἅπτεται. καιόμενον δὲ λεπτομερέστερον γίνεται. Ἀρτεμισίαι, ἀμφότεραι. θερμαίνουσι μὲν κατὰ τὴν δευτέραν τάξιν, ξηραίνουσι δὲ κατὰ τὴν πρώτην. εἰσὶ δὲ καὶ λεπτομερεῖς. ὥστε καὶ τοὺς ἐν νεφροῖς λίθους θρύπτειν, καὶ πνεύματα ὑστερῶν ἁρμόττειν. Ἄρτος, καταπλασσόμενος διαφορητικώτερός ἐστι τῆς τῶν πυρῶν δυνάμεως, ὡς ἂν καὶ ἁλῶν καὶ ζύμης μετέχων. ἐπισπαστικὴ γάρ ἐστι τῆς ἐκ βάθους ἡ ζύμη. Ἄσαρον. παραπλησίας ἐστὶ τῷ ἀκόρῳ δυνάμεως, ἐπιτεταμένης δὲ μᾶλλον. Ἀσβόλη, ᾗ οἱ ζωγράφοι χρῶνται. λαμβάνεται δὲ ἐκ τῶν ὑαλουργιῶν. διαφορητικῆς τε καὶ δριμείας δυνάμεως ἐστίν, ὥστε καὶ καίειν καὶ σήπειν. ἀπουλοῖ δὲ καὶ τὰ κατάγματα σὺν ῥοδίνῃ κηρωτῇ. Ἀσκαλαβώτης, τὸ ζῶον. ἄχρηστον μὲν ἐστὶν εἰς τὰ ἄλλα. τοῖς δὲ ὑπὸ σκορπίου πληγεῖσιν, αὐτόν φασι βοηθεῖν ἐπιτιθέμενον. μίγνυται δὲ καὶ τοῖς ἐπουλωτικαῖς δυνάμεσιν. Ἀσκληπιάς. θερμὴ καὶ ξηρὰ τὴν δύναμιν ὑπάρχουσα καὶ λεπτομερής, ἁρμόζει στροφουμένοις ἐν οἴνῳ πινομένη. καταπλασσομένη δέ, ποιεῖ πρός τε τὰ δυσεπούλωτα καὶ τὰ ἐν μήτρᾳ καὶ μαστοῖς κακοήθη. Ἄσκυρον. ἐν τῷ ἀνδρόσαιμον εἴρηται.

Ἀσπάλαθος. ἀνομοιομερής ἐστι, τὴν δύναμιν δριμύς τε καὶ στυπτικὸς ὑπάρχων, καὶ δι' ἄμφω ξηραίνων. διὰ τοῦτο πρός τε σηπεδόνας καὶ ῥεύματα χρήσιμός ἐστι. Ἀσπάραγος, πετραῖος ἢ μυακάνθινος. ῥυπτικὸς μέν ἐστι, μέσος δὲ κατὰ θερμότητα καὶ ψύξιν. νεφρῶν τε καὶ ἥπατος ἐστὶν ἐκφρακτικός, καὶ μάλιστα αἱ ῥίζαι καὶ τὸ σπέρμα. καὶ ὀδονταλγίας ἰᾶται. Ἀσπλήνον. λεπτομερὲς μέν ἐστι τὴν δύναμιν, οὐ μὴν θερμόν. ταῦτα ἄρα καὶ λίθους θρύπτει, καὶ σπλῆνας τήκει. Ἀσταφὶς ἡ μὲν ἥμερος. πεπτικῆς τε ἅμα καὶ στυπτικῆς, καὶ διαφορητικῆς ἠρέμα μετέχει δυνάμεως. ἡ δὲ ἀγρία, δριμείας ἰσχυρῶς, ὡς ἀποφλεγματίζειν τε καὶ ῥύπτειν σφοδρῶς.

Ἀστὴρ ἀττικός, οἱ δὲ βουβώνιον, ὅτι μὴ μόνον ἐπιπλαττόμενον, ἀλλὰ καὶ περιαπτόμενον ἰᾶται βουβῶνας πεπιστεύεται. μικτῆς ὑπάρχει δυνάμεως, διαφορητικῆς τε καὶ ψυκτικῆς. Ἀστράγαλος, θαμνίσκος ἐστὶ μικρός, ἔχων ῥίζας στυπτικάς. ξηραίνων οὐκ ἀγεννῶς. ἕλκη γοῦν ἀπουλοῖ παλαιά, καὶ κοιλίαν ἵστησιν ἡ ῥίζα μετ' οἴνου πινομένη. πλεῖστος δὲ ἐν φενεῷ τῆς ἀρκαδίας γεννᾶται.

Ἄσφαλτος. ξηραίνει καὶ θερμαίνει κατὰ τὴν δευτέραν τάξιν. διὸ κολλᾷ τὰ ἔναιμα ἕλκη. Ἀσφόδελου ἡ ῥίζα. ῥυπτικῆς τε καὶ διαφορητικῆς ἐστι δυνάμεως. καυθείσης δὲ αὐτῆς ἡ τέφρα θερμοτέρα καὶ ξηροτέρα γίνεται καὶ λεπτομερεστέρα. διὸ καὶ ἀλωπεκίας ἰᾶται. Ἀτρακτυλὶς ἢ κνῆκος ἄγριος. ἐκ τῶν ἀκανθωδῶν ἐστι, ξηραντικῆς τε καὶ μετρίως θερμῆς ὑπάρχων δυνάμεως. Ἀτράφαξις. ὑγραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, ψύχει δὲ κατὰ τὴν πρώτην. διὸ καὶ κατὰ γαστέρα διεξέρχεται. ὁ δὲ καρπὸς αὐτῆς ῥυπτικῆς ἐστι δυνάμεως. ὅθεν καὶ πρὸς ἰκτερικοὺς τοὺς ἐπὶ ἥπατος ἐμφράξει χρήσιμός ἐστιν. Ἀφάκη. στυπτικῆς ἐστι δυνάμεως ὥσπερ ὁ φακός. ἐσθιομένη δέ, δυσπεπτοτέρα τοῦ φακοῦ ἐστιν. ἰσχυρότερον δὲ ξηραίνει, μετὰ τοῦ θερμαίνειν συμμέτρως. Ἀφόνιτρον. διαφορητικῆς ἐστι καὶ ῥυπτικῆς δυνάμεως, ὡς μὴ μόνον τὰ ῥυποῦντα σμήχειν, ἀλλὰ καὶ κνησμὸν ἰᾶσθαι. πινόμενον δὲ καὶ κακοστόμαχον ἐστίν. Ἀφρὸς νίτρου. παραπλησίαν μὲν ἔχει τῷ νίτρῳ δύναμιν. λεπτομερέστερον δὲ τὴν οὐσίαν ἐστί, διὸ καὶ λεῖον ὑπάρχει καθαρῶς ἄλυρον. Ἀχράς. παραπλησίαν μὲν ἔχει τῇ ἀπίῳ τὴν δύναμιν, ἐπιτεταμένην δὲ μᾶλλον. διό καὶ τραύματα μεγάλα κολλᾷ. Ἀψίνθιον. θερμὸν μὲν τῆς πρώτης ἀποστάσεως ἐστίν, ξηρὸν δὲ τῆς τρίτης. στυπτικὴν καὶ πικρὰν καὶ δριμεῖαν ἅμα κεκτημένον ποιότητα. διὸ καὶ τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμοὺς διά τε γαστρὸς καὶ διὰ οὔρων κενοῖ. ἐφ' ὧν δὲ φλέγμα πλεονάζει, τοὺς διὰ τὴν σύψιν οὐδὲν ὀνίνησιν. ὁ δὲ χυλὸς αὐτοῦ τῆς πόας πολὺ θερμότερός ἐστι.

Ἀρχὴ τοῦ Β.

Βαλαύστια μυρεψικῆς. τὸ μὲν ἔνδον οἷον σαρκῶδες, ῥυπτικὴν τε καὶ τμητικὴν ἅμα σύψει τὴν δύναμιν ἔχει. διὸ μετὰ μελικράτου μὲν πινόμενον ὁλκὴ δραχμῆς, ἐμετόν τε κινεῖ καὶ τὴν κάτω κοιλίαν ὑπάγει. σὺν ὀξυκράτῳ δέ, πρὸς τὰς τῶν σπλάγχνων ἐμφράξεις ἁρμόζει. καὶ τῆς πτε τὸ δέρμα δὲ σὺν ὄξει καταχριόμενον ῥυπτικόν ἐστιν. ὁ μέντοι φλοιὸς αὐτῆς πάνυ στύφει. Βάκχαρις, βοώδης ἐστὶ πόα, παραπλήσιος κινναμώμῳ, στεφανωματική, δριμεῖα. ταύτης ἡ ῥίζα ἀφεψημένη ἐκφρακτικὴ γίνεται, καὶ οὔρων καὶ ἐμμηνίων κινητική. τὰ δὲ φύλλα αὐτῆς στυπτικὰ ὄντα, πρὸς ῥεύματα ὠφελεῖ. Βαλαύστιον. ἄνθος ἐστὶν ἀγρίας ῥοιᾶς ἰσχυρῶς στυπτικόν, ξηραῖνόν τε καὶ ψυχρὸν

ψυχρὰν ἔχον τὴν δύναμιν. ἕλκη τε οὖν τὰ ἐπιπόλαια ἀφλοῖ, καὶ ῥεύματα ἵστησιν. Βαλσάμου. τὸ μὲν οἷον ξύλον ξηραίνει καὶ θερμαίνει, κατὰ τὴν δευτέραν ἀπόστασιν, ἔστι δὲ καὶ λεπτομερές. ὁ δὲ ὀπὸς αὐτοῦ πολλῷ λεπτομερέστερος. ὁ δὲ καρπὸς, παραπλησίας μὲν δυνάμεως, ἧττον δὲ λεπτομερής. Βαλλωτὴ, οἱ δὲ μέλαν πράσιον. δριμείας ἐστὶ καὶ ῥυπτικῆς δυνάμεως. καταπλασσόμενον γοῦν σὺν ἁλσὶ κυνοδήκτους ὠφελεῖ. Βάτου τὸ μὲν θαμνῶδες, ἱκανῶς στύφει καὶ ξηραίνει. διὸ καὶ τραύματα κολλᾷ, καὶ ῥεύματα ἵστησιν. ἡ δὲ ῥίζα, πρὸς τῷ στύφειν καὶ λεπτομερὴς οὐκ ὀλίγως ἐστίν. διὸ καὶ τοὺς ἐν νεφροῖς λίθους θρύπτει. ὁ δὲ καρπὸς πέπειρος μὲν ὢν, θερμότερός ἐστιν, ἅμα στύφει μετρίᾳ. διὸ καὶ ἐδώδιμος. ὁ δὲ ἄωρος, στρυφνός τε καὶ ἰσχυρῶς ξηραντικὸς, καὶ μάλιστα ξηρανθείς. ὁμοίως δὲ καὶ τὸ ἄνθος. Βατράχιον τέσσαρας μὲν ἔχει διαφορὰς, ἅπαντα δὲ θερμῆς καὶ ξηρᾶς ὑπερβαλλόντως εἰσὶ δυνάμεως, καὶ δριμείας καὶ καυστικῆς, ὥστε ἑλκοῦν μετὰ πόνου. μετρίως δὲ χρωμένῳ, τὰ περὶ τὸ δέρμα μόνον ἀποσμήχει. ἡ δὲ ῥίζα ξηρὰ, πταρμικόν ἐστι φάρμακον. Βάτραχοι. οἱ μὲν θηριοδήκτων ζωμισοὶ ἐσθίονται. κεκαυμένων δὲ αὐτῶν ἡ τέφρα ξηραντικωτάτη γινομένη, αἱμοῤῥαγίας τε ἵστησι, καὶ ἀλωπεκίας ἰᾶται μετὰ πίττης ὑγρᾶς. Βδέλλιον, τό, τε σκυθικὸν καὶ τὸ ἀραβικόν. μαλακτικῆς ἐστι τῶν σκιῤῥουμένων δυνάμεως καὶ μάλιστα τῶν νέων. τὸ δὲ ἀραβικὸν, καὶ διουρητικόν ἐστιν καὶ λίθων θρυπτικὸν καὶ συμπεπτικόν. Βετονική. λεπτόκλωνός ἐστι πόα παραπλήσια τὰ κλωνία τοῖς τοῦ γλήχωνος ἔχουσα, καὶ λεπτότερα, καὶ σχεδὸν ἄποια γευομένοις. φύεται δὲ μάλιστα ἐν πετρώδεσι τόποις. ᾗ χρῶνται καὶ ἐν ταῖς νεφριτικαῖς δυνάμεσιν. ἔστι δὲ καὶ παρὰ ῥωμαίοις ἄλλη τις Βετονική καλουμένη, ἣν ὁ Διοσκορίδης κέστρον ὀνομάζει, ἄλλοι δὲ ψυχροτρόφον, διὰ τὸ χαίρειν τοῖς ψυχροῖς τόποις, μηδὲν ὅμοιον ἔχουσα τῇ προειρημένῃ πλὴν τῆς ἐνεργείας. πρὸς δὲ τὸ κινεῖν οὖρα, καὶ πρὸς ἄλλα πολλὰ ποιεῖ καὶ μάλιστα. ἡ μὲν ῥίζα αὐτῆς μετ᾽ ὑδρομέλιτος ποθεῖσα, ἔμετον κινεῖ. τὰ δὲ φύλλα, κοιλίαν ὑπάγει. Βήχιον, οἱ δὲ Βηχικόν. εἴρηται μὲν ἀπὸ τοῦ βῆχας τε καὶ ὀρθοπνοίας ὠφελεῖν ὑποθυμιώμενον. σύνθετον δὲ ἐστὶν ἐκ θερμῆς καὶ ὑδατώδους οὐσίας. Βλίτον. ἐδώδιμον ἐστὶν λάχανον, ὑγρὸν καὶ ψυχρὸν κατὰ τὴν β᾽ ἀπόστασιν. Βολβός. ὁ μὲν ἐδώδιμος πικρότητός τε ἅμα καὶ στύψεως μετέχων πως, ξηραντικός τέ ἐστι καὶ κολλητικὸς τραυμάτων, καὶ ῥυπτικός. ὁ δὲ ἐμετικὸς, θερμότερός ἐστι τοῦ φύτου δυνάμεως. Βότρυς, οἱ δὲ ἀμβροσίαν, ἄλλοι ἀρτεμισίαν. φυτόν ἐστιν εὐῶδες ἱκανῶς. ὃ σὺν οἴνῳ πινόμενον ὀρθοπνοϊκοὺς ὠφελεῖ. Βουβώνιον, ἀστὴρ ἀττικὸς, εἴρηται. Βούγλωσσον. ὑγρὸν καὶ θερμόν ἐστι τὴν κρᾶσιν. ὅθεν καὶ τοῖς οἴνοις ἐμβαλλόμενον ἐμποιεῖν εὐφροσύνην λέγεται. Βούνιον, οἱ δὲ ἄρκιον. θερμόν τε ἐστὶν καὶ οὐρητικὸν, καὶ καταμηνίων ἀγωγόν. καὶ τὸ ψευδοβούνιον δὲ ὅμοιον. Βούπρηστις. ζωΰφιον ἐστι τῇ κανθαρίδι παραπλήσιον. ἀκριβέσθω οὖν καθάπερ ἐκείνη. Βούτυρον. πεπτικῆς τε καὶ μετρίως διαφορητικῆς ἐστι δυνάμεως ἐπὶ τῶν μαλακῶν σωμάτων. βουβῶνας γοῦν καὶ παρωτίδας ὠφελεῖ, καὶ οὖλα λεαίνει, καὶ μάλιστα τῶν ὀδοντοφυούντων παιδίων. καὶ τὰ κατὰ θώρακα ἐκλειχόμενον συμπέττει. Βούφθαλμον. ὅμοιον μὲν ἔχει τῷ χαμαιμήλῳ ἄνθος, μεῖζον δὲ πολλῷ, καὶ δριμύτερον, διὸ καὶ διαφορητικόν, ὥς τε καὶ σκληρίας ἰᾶσθαι κηρωτῇ μιγνύμενον. Βράθυ. παραπλήσιον ὑπάρχων κυπαρίσσῳ θερμαίνει τε καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν, καὶ λεπτομερέστερόν ἐστι λεπτυντικῆς τε καὶ διαφορητικῆς ὑπάρχον εἰ ποθείη δυνάμεως. εἴς τε τὰς σηπεδόνας, ὅμοιον ἐστὶ κυπαρίσσῳ. Βρεττανική. στυπτικῆς ἐστιν καὶ κολλητικῆς δυνάμεως, ὁμοίως τῷ ἀγρίῳ λαπάθῳ τὴν ἰδέαν. ὁ δὲ χυλὸς αὐτοῦ τὰς ἐν στόματι σήψεις ἰᾶται.

Βρόμος, ὁμοίαν ἔχει τῇ κριθῇ τὴν δύναμιν. ξηραίνει δὲ καὶ διαφορεῖ μετρίως τε καὶ ἀδήκτως. ἔχει δέ τι καὶ στύψεως, ὅθεν καὶ διαῤῥοίας ἰᾶται. Βρύον θαλάσσιον. ψύχει τε καὶ στύφει, διὸ τὰς ζεούσας φλεγμονὰς καταπλασσόμενον ὠφελεῖ. Βρύον, οἱ δὲ σπλάγχνον. ἐν δρυσὶ καὶ λεύκαις καὶ πεύκαις εὑρισκόμενον, διαφορητικὸν ἅμα καὶ μαλακτικὸν μετρίως ἐστὶ, καὶ μάλιστα τὸ ἐπὶ τῶν κέδρων. Βρυωνία, εἴρηται ἄμπελος λευκή.

Ἀρχὴ τοῦ γ.

Γάλα πᾶν ἐκ τριῶν οὐσιῶν σύγκειται, τυρώδους, ὀῤῥώδους, λιπαρᾶς ἣν πλείστην ἔχει τὸ βόειον, ἐξ ἧς καὶ τὸ βούτυρον γίνεται. ὁ δὲ ὀῤῥὸς αὐτοῦ ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ γαστέρα ὑπάγει, εἴπερ αὐτὸ τῇ ἑψήσει διακρίνειε. τὸ τυρῶδες δὲ καὶ παχὺ ἐμπλάττεται μᾶλλον, καὶ διὰ τοῦτο δριμύτητας ἀμβλύνει. ἐντεῦθεν δὲ τὸ γάλα ἤτοι διὰ καχλήκων ἢ ἄλλως πως, ἄριστον γίνεται φάρμακον δυσεντερίας τε καὶ τῶν κατὰ τὴν γαστέρα δριμέων ῥευμάτων. ὅλον δὲ τὸ γάλα, πρός τε τὰ κατ᾽ ὀφθαλμοὺς δριμέα ῥεύματα καὶ τὰς ἄλλας δριμύτητας ἁρμόζει. εὐκρατότατον δὲ τὸ γάλα τῆς γυναικός ἐστι. μεθ᾽ ὃ τὸ αἴγειον. εἶτα τὸ ὄνειόν τε καὶ προβάτειον. ἔσχατον δὲ τὸ

βόειον. Γαλῆς δὲ κεκαυμένης ἡ τέφρα ἱκανῶς διαφορεῖ. μετ' ὄξους γοῦν καταχριομένη ποδάγρας τε καὶ ἀρθρίτιδας ὠφελεῖ. σκελετευθεῖσα δὲ πρὸς ἐπιληψίας γίνεται. Γάλιον. ὠνόμασται μὲν ἀπὸ τοῦ τὸ γάλα πηγνύειν. παραπλήσιον δέ ἐστιν ἀπαρίνῃ, ξηραντικόν τε καὶ ὑπόδριμυ. τὸ δὲ ἄνθος αὐτοῦ πρὸς αἱμοῤῥαγίαν ἁρμόζει, καὶ πρὸς πυρίκαυτα. Γάλιψις, οἱ δὲ γαλίβδολον. ἐμφερὲς ἐστιν ἀκαλύφῃ, λειότερον δὲ καὶ δυσῶδες, διαφορητικῆς τέ ἐστι καὶ μαλακτικῆς τῶν σκιῤῥωδῶν ὄγκων δυνάμεως. ποιεῖ δὲ καὶ πρὸς τὰ νομώδη, καταπλασσόμενον. Γάρος. θερμαίνει καὶ ξηραίνει δυνατῶς, διό πρός τε τὰ σηπεδονώδη τῶν ἑλκῶν ἔξωθεν αὐτῷ χρῶνται. καὶ τοῖς δυσεντερικοῖς ἐνιᾶσι καὶ τοῖς ἰσχιαδικοῖς. Γεντιανὴ ῥίζα. δραστήριος ἱκανῶς ἐστιν λεπτῦναι καὶ διακαθᾶραι καὶ ἀποῤῥῖψαι καὶ ἐκφράξαι. Γεράνιον, τὸ τὰ φύλλα ἔχον ἀνεμώνῃ ὅμοια, τὴν δὲ ῥίζαν ἐδώδιμον, ἧς ποθεῖσα σὺν οἴνῳ < .α. ἐμπνευματώσεις ὑστέρας λύει. τὸ δὲ ἕτερον γεράνιον, ἀχρεῖον ἐστιν πρὸς ἰατρικήν. Γῆ πᾶσα ξηραίνει. ἡ δὲ ἀμιγὴς ἑτέρας οὐσίας, καὶ ἀδήκτως. εἰ δέ τις αὐτῇ πυρώδης ποιότης ἐπιμέμικται, πλυθεῖσα καὶ ταύτην ἀποτίθεται. τῆς μὲν οὖν γεωργουμένης ἡ λιπαρὰ πᾶσα χρήσιμός ἐστιν εἰς θεραπείαν ἁπάντων τῶν ξηρανθῆναι δεομένων μορίων. τῇ γοῦν αἰγυπτίας τῷ πηλῷ χρῶνται πρός τε τὰς ὑδερώδεις καὶ σπληνικὰς διαθέσεις, καὶ πρὸς τὰ χαῦνα τῶν οἰδημάτων, ὠφελοῦνταί τε ἐναργῶς. τῶν δὲ φαρμακωδεστέρων γῆς ἡ μὲν λημνία μίλτος ἡ σφραγὶς ὀνομαζομένη, πρὸς τὸ ξηραίνειν καὶ στύφουσα μετρίως, τῶν δηλητηρίων ἐστὶ φαρμάκων ἀλεξητήριος, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται σὺν ὄξει ἢ οἴνῳ, καὶ τὰς αἱμοῤῥαγίας ἵστησι ἁπάσας, δυσεντερίαν τε παύει τὴν νομώδη, προαποκλυσθέντος τοῦ ἐντέρου πρῶτον μελικράτῳ, ἔπειτα ἅλμῃ. ἡ δὲ σινωπικὴ μίλτος, σφοδροτέρα τῆς λημνίας ὑπάρχουσα ταῖς ἐμπλαστικαῖς ἐπιμίγνυται δυνάμεσι. πινομένη τε ἕλμινθας κτείνει. πραϋντικωτέρα δὲ πολλῷ τῆς λημνίας ἡ σαμία, ὡς ἔχουσα κόλλος καὶ γλίσχρα. χρηστέον οὖν αὐτῇ εἰς ὅσα πραῦναι δεῖ. καὶ τὰς τοῦ αἵματος δὲ ἰᾶται πτύσεις ὁπόθεν δ' ἂν ὦσιν. ἡ σελινουσία τε καὶ ἡ χία, ῥυπτικώτεραι εἰσί, διὸ καί τινες τῶν γυναικῶν ὡς σμήγμασιν αὐταῖς ἐπὶ τῶν προσώπων χρῶνται. ἕλκη τε σαρκοῦσι καὶ ἀφουλοῦσι, καὶ μᾶλλον τὰ πυρίκαυτα. ἡ δὲ κιμωλία, μικτῆς ἐστι δυνάμεως ψυχούσης τε καὶ διαφορητικῆς, ἄπλυτος. ἡ δὲ πεπλυμένη, ψύχει μᾶλλον, καὶ τὰ πυρίκαυτα σὺν ὀξυκράτῳ θεραπεύει. ἡ δὲ ἀμπελῖτις, ἐστι δὲ ἡ χριομένη ἐπὶ τῶν ἀμπέλων, διὰ τὸ τοὺς ἐν αὐταῖς φθείρειν σκώληκας, ξηραίνει τε καὶ διαφορεῖ ἰσχυρῶς, οὐδὲ τὸ ἄδηκτον ἔχουσα. ἡ δὲ κρητική, ἀερώδης ἐστὶν καὶ ἀδήκτως ῥυπτική. ἡ δὲ ἐρετρίας, ἐναργῶς στύφει. καυθεῖσα δὲ καὶ πλυθεῖσα ξηραίνει ἀδήκτως. ἀμείνων δὲ ἐστὶν ἡ τεφρώδης. ἡ δὲ παιγνῖτις, ὁμοίαν μὲν ἔχει τῇ κιμωλίᾳ τὴν δύναμιν, μέλαινα δὲ ἐστίν. ἡ δὲ ἀρμενία, ἣν καὶ βῶλον ὀνομάζουσιν, ἄκρως ξηραίνει. ὅθεν δυσεντερικοῖς τε καὶ τοῖς περὶ γαστέρα ῥεύμασιν, αἵματός τε πτύσεσι, καὶ φθόαις, καὶ δυσπνοίας δι' ὑγρότητα, καὶ τοῖς ὑγροῖς ἕλκεσι, καὶ τοῖς λοιμικοῖς πάθεσι γενναίως ἁρμόττει. πίνεται δὲ σὺν οἴνῳ λεπτῷ κεκραμένῳ. εἰ δὲ πυρέττοιεν, σὺν ὕδατι. καὶ ἡ ἀλανὴ δὲ βῶλος, παραπλησίας ἐστὶ τῇ ἀρμενίᾳ δυνάμεως. ἡ δὲ ὤχρα, διαφορητική τε καὶ σηπτικὴ τὴν δύναμιν. καταστέλλει γοῦν τὰ ὑπερσαρκοῦντα τῶν ἑλκῶν. καὶ τὰ κοῖλα πληροῖ σὺν κηρωτῇ μιγνυμένη. Γῆρας ὄφεως. ἱκανῶς ξηραίνει. ὄξει γοῦν ἀναζεσθὲν ὀδονταλγίας θεραπεύει. τὸ δὲ τῆς ἀσπίδος, τριφθὲν μετὰ μέλιτος καὶ ὑπαλειφόμενον ὀξυδερκέστατον ἐστί. Γῆς ἔντερα. λεῖα νευροκόποις ἐπιτιθέμενα παραχρῆμα, θαυμαστῶς ὀνίνησιν. Γίγαρτα. ξηραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, ψύχει δὲ περὶ τὴν πρώτην. ψυχρὰ οὖν ἱκανῶς ὄντα πᾶσι τοῖς ῥοώδεσιν ἁρμόττει. Γιγγίδιον. θερμασίαν μὲν οὐ πάνυ σαφῆ κέκτηται, ξηραίνει δὲ κατὰ τὴν τρίτην ἀπόστασιν καὶ στύφει, διὸ καὶ εὐστόμαχον ἐστί. Γλαύκιον. στύφει μετά τινος ἀηδίας, ἀλλὰ καὶ ψύχει σαφῶς, ὥστε καὶ ἐρυσιπέλατα θεραπεύει τὰ μὴ ἰσχυρά. Γλαὺξ, ἡ πόα. θερμὴ καὶ ὑγρὰ τὴν κρᾶσιν ἐστί, διὸ καὶ γάλακτος γεννητική. Γλήχων. θερμαίνει τε καὶ λεπτύνει σφοδρῶς, ὅθεν καταπλασσόμενος φοινίσσει, καὶ τὰ ἐκ θώρακος καὶ πνεύμονος ὑγρὰ παχέα καὶ γλίσχρα ἀναπτύεσθαι ποιεῖ. Γλοιὸς, ὁ ἐν τοῖς βαλανείοις. θερμαίνει μετρίως, μαλάσσει, διαφορεῖ, ῥαγάσι τε καὶ κονδυλώμασιν ἁρμόττει. Γλυκύῤῥιζον. χλιαρᾶς ἐστι καὶ ὑγρᾶς κράσεως, ἔχον τι καὶ στύψεως. ὅθεν καὶ τραχύτητας ἐκλεαίνει, οὐ τὰς ἐν ἀρτηρίᾳ μόνον ἀλλὰ καὶ ἐν ψωρώδει κύστει. ἐστὶ δὲ καὶ ἄδιψον. Γλυκυσίδη, οἱ δὲ πεντόροβον, οἱ δὲ παιονίαν. ἧς ἡ ῥίζα δριμεῖά τε ἐστὶ καὶ ὑπόπικρος καὶ ξηραντική, ἔχουσα τί καὶ στυπτικόν. ὅθεν καταμήνια τε κινεῖ, καὶ νεφροὺς καὶ ἧπαρ ἐκκαθαίρει μέγεθος ἀμυγδάλου πινόμενον σὺν οἴνῳ. εἰ δὲ αὐστηρὸς ὁ οἶνος εἴη, καὶ τὰ κατὰ γαστέρα ῥεύματα ἵστησι. περιαπτομένη δὲ, παιδίων ἐπιληψίας ἰᾶται. Γναφάλιον. ὠνόμασται μὲν ἀπὸ τοῦ τοῖς φύλλοις αὐτοῦ ἁπαλοῖς οὖσιν ἀντὶ γναφάλου χρῆσθαι. εἰσὶ δὲ λευκὰ καὶ μετρίως στύφοντα, διὸ πρὸς δυσεντερίας μετ' οἴνου αὐστηροῦ πίνονται. Γογγυλίδος ἥτε

ῥίζα

ῥίζα καὶ τὸ σπέρμα, φυσώδη τέ εἰσι καὶ σπέρματος γεννητικά, καὶ ἀφροδισιαστικά. Γόργυλον, οἱ δὲ σίσελι. θερμὸν καὶ διουρητικόν ἐστι, καὶ ἐμμηνίων ἀγωγόν. ἡ δὲ ῥίζα αὐτοῦ μετὰ μέλιτος ἐκλειχομένη, τὰ ἐκ θώρακος ἀνάγει. Γῦρις παραπλησία τὴν δύναμιν ἐστὶν ἀμύλῳ, θερμοτέρα δέ πως. Γύψος. πρὸς τὸ ξηραίνειν ἐμπλαστικῆς ἐστὶ δυνάμεως, ὅθεν πρὸς αἱμορραγίας ἁρμόζει σὺν γύρει τε καὶ ὠοῦ τῷ λευκῷ. καιομένη δὲ, τὸ μὲν ἐμπλαστικὸν οὐκ ἔθ' ὁμοίως ἔχει, ξηραίνει δὲ μᾶλλον καὶ ἀποκρούει, μάλιστα σὺν ὀξυκράτῳ.

Ἀρχὴ τοῦ δ.

Δαῦκου. ἔχουσι καὶ δριμὺ καὶ συμπεπτικὸν καὶ ῥυπτικόν. ὅθεν ὄξει μὲν ἑψηθεῖσαι, ὀδονταλγίας ἰῶνται, διακλυζομένου τοῦ ὄξους. εἰ δὲ καὶ μέλιτος προσλάβοιεν, ἀποφλεγματίζουσι. μιγνύμεναι δὲ καὶ ἐκλεικτοῖς, εὐανάγωγα ποιοῦσι τὰ κατὰ θώρακα. Δαμασκηνά. ἐν τῷ περὶ κοκκυμήλων ῥηθήσεται. Δαμασώνιον. ῥυπτικήν τινα δύναμιν ἔχει, διὸ λίθους θρύπτει. καὶ τὰ κατὰ κοιλίαν εἰς οὖρα μεθίστησιν. Δαῦκος ὁ καὶ σταφυλῖνος, διττός. οὗπερ ἡ ῥίζα φυσώδης τέ ἐστι καὶ ἀφροδισιαστική. τὸ δὲ τοῦ ἀγρίου σπέρμα τελέως ἐστὶν ἄφυσον καὶ οὐρητικὸν καὶ καταμηνίων κινητικόν. ὡσαύτως δὲ καὶ ἡ πόα. Δάφνης τοῦ δένδρου τὰ μὲν φύλλα ξηραίνει καὶ θερμαίνει σφοδρῶς. μᾶλλον δὲ καὶ ὁ καρπός. ὁ δὲ τῆς ῥίζης φλοιός, πικρός τε ὢν καὶ ὑπόστυφος, λίθους τε θρύπτει καὶ ἡπατικοὺς ὠφελεῖ σὺν οἴνῳ εὐώδει τριώβολον πινόμενος. Δάφνη πόα ἡ καὶ ἀλεξάνδρεια καλουμένη, θερμή τε καὶ δριμεῖα καὶ ὑπόπικρός ἐστι, διόπερ ἔμμηνά τε καὶ οὖρα κινεῖ. καὶ τὸ δαφνοειδὲς δὲ τῆς αὐτῆς ἐστι δυνάμεως καὶ ἡ χαμαιδάφνη. αὕτη δὲ καὶ ἐσθίεται.

Δέρμα προβάτου νεόδαρτον, εἰ θερμὸν τοῖς μεμαστιγωμένοις περιτεθείη, θαυμαστῶς αὐτοὺς ἰᾶται. τοῦ δὲ ἱπποποτάμου τὸ δέρμα καιόμενον καὶ μεθ' ὕδατος λεῖον ἐπιτιθέμενον, φυμάτων σκορπιστικὸν γίνεται. τὸ δὲ τῆς ἔχεως, λεῖον ἐπιτιθέμενον ταῖς ἀλωπεκίαις, θαυμαστῶς ἐπιφύει τὰς τρίχας. Δέρματα καττυμάτων παλαιῶν κεκαυμένων ξηραντικὴν ποιοῦσι τέφραν, ὅθεν τά τε ἐξ ὑποδημάτων θεραπεύει θλίμματα μηκέτι φλεγμαίνοντα, καὶ πυρίκαυτα καὶ παρατρίμματα καὶ ἐξοχάδας. Δίκταμον. λεπτομερεστέρας ἐστὶ δυνάμεως ἢ κατὰ γλήχωνα. τὰ δ' ἄλλα παραπλήσιον αὐτῇ. τὸ δὲ καλούμενον ψευδοδίκταμον, ἀσθενέστερόν ἐστι. Διονυσίας, εἴρηται ἀνδρόσαιμον. Διφρυγές. μικτῆς ἐστὶ δυνάμεως, ἔχει γάρ τι καὶ στύφον καὶ δριμὺ μετρίως. διὸ καὶ τῶν κακοήθων ἑλκῶν ἀγαθόν ἐστι φάρμακον. Διψακοῦ τῆς ἀκάνθης ἡ ῥίζα. ξηραντικὴ κατὰ τὴν δευτέραν ἐστὶ τάξιν. ἔχει δέ τι καὶ ῥυπτικόν. Δορύκνιον. ὅμοιόν ἐστι τῇ κερασίμῳ μήκωνι καὶ μανδραγόρᾳ, ψῦχον ἀμέτρως, ναρκοῖ μὲν γὰρ ὀλίγον, ἀναιρεῖ δὲ πλεῖον ληφθέν.

Δρακόντιον. ἔχει μέν τι παραπλήσιον ἄρῳ, δριμύτερον δέ ἐστιν αὐτοῦ καὶ πικρότερον, καὶ θερμότερον ἔτι λεπτομερέστερον. ἔχει δέ τι καὶ στύψεως. ἡ μὲν οὖν ῥίζα αὐτοῦ τὰ σπλάγχνα διακαθαίρει ποθεῖσα, καὶ τῶν κακοήθων ἑλκῶν ἄριστόν ἐστι φάρμακον, καὶ τὰ φύλλα δὲ παραπλήσια. ὁ δὲ καρπὸς ἰσχυρότερός ἐστιν. Δρυοπτερίς. γλυκεῖά τε καὶ δριμεῖα καὶ ὑπόπικρός ἐστι, κατὰ δὲ τὴν ῥίζαν καὶ στρυφνή. δύναμιν δὲ ἔχει σηπτικήν, ὅθεν καὶ τρίχας ψιλοῖ. Δρυὸς τά τε φύλλα καὶ ὁ καρπός, ξηραντικῆς τε καὶ χλιαρᾶς ἐστι δυνάμεως, ὥστε καὶ τραύματα πρόσφατα κολλᾶν, καὶ φλεγμονὰς ἀρχομένας ἰᾶσθαι. τὸ δὲ ὑπὸ τῷ κελύφει τῆς βαλάνου ὑμενῶδες τὸ περὶ τῇ σαρκὶ τοῦ καρποῦ, στυπτικότερον ὑπάρχον, πρός τε ῥοῦν γυναικεῖον καὶ τὰ λοιπὰ ῥοώδη δίδοται νοσήματα.

Ἀρχὴ τοῦ ε.

Ἔβενος τὸ ξύλον. θερμαντικῆς τε ἐστὶ καὶ ῥυπτικῆς καὶ λεπτομεροῦς δυνάμεως, ὅθεν καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα περιπίπτοντα ῥύπτει, καὶ ἄλλαις ὀφθαλμικαῖς μίγνυται δυνάμεσι. Ἐγκέφαλον λαγωοῦ ἑψηθέντα παρατριβόμενόν τε καὶ ἐσθιόμενον, ἐπὶ τῶν ὀδόντων τῶν παιδίων ὠφέλιμον εἶναι φασί. τινὲς δὲ καὶ τρόμοις βοηθεῖν ἐσθιόμενον τὸν ἐγκέφαλον ἔγραψαν. τὸν δὲ τοῦ ἀλεκτρυόνος σὺν οἴνῳ πινόμενον, θηριοδήκτοις φησὶν Διοσκορίδης βοηθεῖν, καὶ τὰς ἐκ μηνίγγων ἐπέχειν αἱμορραγίας. τὸν δὲ τῆς καμήλου φησὶν ὁ Γαληνὸς ξηρὸν μετ' ὄξους πινόμενον ἐπιληπτικοὺς θεραπεύειν. καὶ τὸν τῆς γαλῆς ὁμοίως. τὸν δὲ τῆς χελιδόνος, μετὰ μέλιτος πρὸς ὑποχύσεις ποιεῖν. τὸν δέ γε τῶν προβάτων σκευασθέντα ὁμοίως, ταῖς τῶν παιδίων ὀδοντοφυΐαις ἀκριβῶς βοηθεῖν. Ἐλαίας οἱ μὲν θαλλοὶ τοσοῦτον μετέχουσι ψύξεως, ὅσον καὶ στύψεως. ὁ δὲ καρπὸς ὁ μὲν ἀκριβῶς πέπειρος, θερμότερος συμμέτρως ἐστίν. ὁ δὲ ἄωρος, στυπτικότερός τε καὶ ψυχρότερος. Ἐλαίας αἰθιοπικῆς τὸ δάκρυον προσεοικὸς ἀμμωνιακῷ λεπτῷ, ῥυπτικῆς ἐστι δυνάμεως. διὸ πρὸς οὐλὰς καὶ λευκώματα καὶ ἀμβλυωπίας αὐτῷ χρῶνται, καὶ πρὸς ὀδόντων πόνους ἐντιθεμένῳ τοῖς βρώμασι. φασὶ δέ τινες ταύτην εἶναι τὴν ἀγρίαν ἐλαίαν. Ἔλαιον, τὸ μὲν ἐκ τῆς δρυπετοῦς ἐλαίας γλυκὺ, θερμόν τε

μετρίως ἐστὶ καὶ μᾶλλον ὑγραντικόν. τὸ δὲ ὠμοτριβές, εἰς ὅσον μετέχει στύψεως εἰς τοσοῦτον καὶ ψύ-
ξεως. τὸ δὲ πεπλυμμένον, ἀδηκτότερον ἐστί. τὸ δὲ παλαιόν, ὅσῳ παλαιότερον τοσοῦτον ἐστὶ
θερμότερόν τε καὶ διαφορητικώτερον, καὶ μάλιστα εἰ καὶ λεπτομερὲς ἐξ ἀρχῆς εἴη. κρίνεται
δὲ ἄριστον, ὅπερ καθαρὸν εἴη καὶ διαυγές, καὶ τὸ ἐξ ὀλίγου πολὺ τοῦ σώματος ἀλείφεσθαι, καὶ ῥᾳ-
δίως ἀναπίνεσθαι πρὸς τοῦ χρωτός. τοιοῦτον δὲ μάλιστα τὸ σάβινον ἐστίν. τὸ δὲ ἀπὸ τῆς ἀγρίας
ἐλαίας, ῥυπτικόν τε ἅμα καὶ στυπτικόν ἐστι, καὶ αὐχμηρότατον, ὡς ἐν ἐλαίοις. καὶ τὸ κίκινον δὲ
ἰσοδυναμεῖ τῷ παλαιῷ. τὰ δὲ λοιπά, οἷον σησάμινον ἢ ῥαφάνινον καὶ τὰ ἄλλα, πρὸς τὰς οὐ-
σίας ἐξ ὧν γέγονε καὶ τὰς διαφορὰς ἔχει τῆς δυνάμεως. Ἐλαιόμελι. κατὰ Συρίαν ἔκ τινος
στελέχους ἔλαιον ῥεῖ παχύτερον μέλιτος καὶ γλυκύτερον, ὃ πινόμενον πλῆθος κυάθων δυοῖν
μετὰ κοτύλης ὕδατος ἄγει κατὰ κοιλίαν ὠμὸν καὶ χολῶδες. νωθροὶ δὲ γίνονται οἱ λαμβά- 1
νοντες, καὶ οὐ δεῖ φοβεῖσθαι, ἀλλὰ διεγείρειν αὐτούς. Ἐλατήριον ὁ χυλός τοῦ καρποῦ τοῦ ἀγρίου
σικύου προσαγορεύεται, δεύτερον ὑπάρχον τῶν θερμαινόντων τάξεως, ὅπερ ἔμμηνά τε προ-
καλεῖται καὶ τὰ κυόμενα διαφθείρει προστιθέμενον, διὰ τὴν ἄκραν πικρότητα. κενοῖ δὲ καὶ
διὰ ῥινῶν μετὰ γάλακτος ἐγχεόμενον. ἐνιέμενον δέ, κάτωθεν κενοῖ φλέγμα. ἐνίοτε δὲ καὶ
αἷμα. Ἐλάτη τὸ δένδρον, θερμαίνει καὶ ξηραίνει παραπλησίως αἰγείρῳ. περὶ δὲ τῆς ῥητίνης
αὐτοῦ ἐν τῷ περὶ ῥητινῶν εἰρήσεται. Ἐλατίνη, πόα δὲ ἐστὶ παραπλήσιος τῇ ἑλξίνῃ, με-
τρίως ψύχει τε καὶ στύφει. Ἐλαφόβοσκος. θερμῆς ἐστι καὶ ξηρᾶς δυνάμεως κατὰ τὴν δευ-
τέραν ἀπόστασιν, καὶ λεπτομερής. Ἐλελίσφακος. ἐναργῶς θερμαίνει τε καὶ ὑποστύφει.

Ἐλένιον. θερμόν ἐστι καὶ ξηρὸν σὺν ὑγρότητι περιττωματικῇ, διὸ καὶ τὰ ἐκ θώρακος ἐκλε-
κτοῖς μιγνύμενον ἀνάγει. καὶ φοινίσσουσι δι' αὐτοῦ τὰ μόρια. Ἐλεοσέλινον, ἐν τοῖς ἐφύδροις 2
γινόμενον τόποις τὰ αὐτὰ δύναται τῷ κηπευτῷ σελίνῳ, μεῖζον αὐτοῦ ὄν. Ἐλέφαντος
τὰ ἐκ τοῦ ὄνυχος ῥινήματα. καταπλασσόμενα, παρωνυχίας θεραπεύει. καὶ τὰ τῶν ὀστῶν δὲ καὶ
τῶν ὀδόντων αὐτοῦ, ξηρᾶς τε καὶ ῥυπτικῆς ὄντα δυνάμεως τοῖς τοιούτοις μίγνυται φαρμάκοις.

Ἑλκύσματα τοῦ ἀργύρου, ἐστὶν ἡ σκωρία, τὴν αὐτὴν ἔχουσα μολυβδαίνῃ δύναμιν, στυπτικὴ
γάρ ἐστι καὶ ἐμπλαστική. ὅθεν ἐμπλάστροις φαιαῖς τε καὶ ἀπουλωτικαῖς μίγνυται. Ἐλλέβο-
ρος ἑκάτερος θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν. ἔστι δὲ καὶ δριμὺς καὶ ῥυπτι-
κός. ὅθεν καὶ πρὸς τὰ λεπρώδη τοῦ δέρματος ἁρμόττει. ὁ δὲ μέλας, καὶ σύριγγας ἐν τρισὶν
ἡμέραις ἐκτυλοῖ καθιέμενος. Ἑλίχρυσον, οἱ δὲ χρυσάνθεμον οἱ δὲ καὶ ἀμάραντον. στεφανωματι-
κόν ἐστι φυτόν, κόμην ἔχον χρυσοφανῆ, ἥτις σὺν οἴνῳ ποθεῖσα δυσουρίαις καὶ ἑρπετῶν δήγμα-
σι καὶ ἰσχιάσιν ἁρμόττει καὶ ῥήγμασιν. ἔμμηνά τε ἄγει καὶ θρόμβους διαλύει, σὺν οἰνομέλιτι πο- 3
θεῖσα. καὶ κατάρροις βοηθεῖ. Ἑλξίνη, οἱ δὲ περδίκιον, οἱ δὲ παρθένιον, οἱ δὲ σιδηρῖτιν, οἱ δὲ ἡρα-
κλείαν. δύναμις δὲ αὐτῇ ῥυπτικὴ τε καὶ ἀτρέμα στυπτικὴ μεθ' ὑγρότητος ὑποψύχρου. Ἑλ-
ξίνη ἡ καὶ κισσάμπελος. διαφορητικῆς ἐστι δυνάμεως. Ἔλυμος ἡ καὶ μελίνη. ὁμοία ἐστὶ κέγ-
χρῳ, ξηραντικὴ τε καὶ ψυκτικὴ τὴν δύναμιν ἔξωθεν ἐπιπλασθεῖσα. ξηραίνει δὲ καὶ τὰ κατὰ γα-
στέρα ῥεύματα. Ἔμπετρον ἢ πρασοειδές. καθαρτικόν ἐστι φάρμακον φλέγματος καὶ χο-
λῆς, ἔστι δὲ καὶ ἁλυκόν, διὸ καὶ ῥυπτικὸν ἂν εἴη. Ἐπίθυμον. ξηραίνει καὶ θερμαίνει κατὰ τὴν τρί-
την ἀπόστασιν, δραστικώτερον θύμου ὄν. Ἐπιμηλίου ἡ δύναμις ψυκτικὴ μετρίως ἐστὶ μεθ'
ὑγρότητος ὑδατώδους. ἥτις καταπλασσομένη μαστοὺς ὀρθίους διαφυλάττει. λέγεται δὲ καὶ ἀτό-
κιος πινομένη. Ἐπιμηλίς, ἥτις καὶ ὄνεδον παρὰ τοῖς Ἰταλοῖς ἀγροίκοις καλεῖται. ἔστι δὲ οἷον
ἀγρία μηλέα, ἧς ὁ καρπὸς στρυφνὸς μέν ἐστι, κακοστόμαχος δὲ καὶ κεφαλαλγής. Ἐπιπακτίς, 4
οἱ δὲ ἑλλεβορίνη. πίνεται πρὸς τὰ θανάσιμα, καὶ τὰ καθ' ἧπαρ νοσήματα. Ἐρέβινθος. τὸ μὲν
συνήθες ὄσπριον, φυσῶδες ἐστι, τρόφιμον, εὐκοίλιον, διουρητικόν, γάλακτος καὶ σπέρματος
γεννητικόν, καταμηνίων ἀγωγόν. οἱ δὲ κριοὶ καλούμενοι, τῶν ἄλλων εἰσὶν οὐρητικώτεροι. τὸ δὲ ἀ-
φέψημα αὐτῶν, καὶ λίθους τοὺς ἐν νεφροῖς θρύπτει, καὶ μάλιστα τῶν μελανῶν. οἱ δὲ ὀροβιαῖοι καλούμε-
νοι, θερμότεροι τούτων εἰσὶ καὶ ὑπόπικροι. οἱ δὲ ἄγριοι, κατὰ πάντα τρόπον τῶν ἡμέρων εἰσὶν ἰσχυ-
ρότεροι. Ἔρια. τὰ μὲν ῥυπαρὰ χρήσιμα πρὸς τὰς ἐπιβροχάς εἰσι, πεπτικὸς γάρ ἐστιν αὐτῶν ὁ
οἴσυπος, παραπλήσιος τῷ βουτύρῳ. τὰ δὲ μὴ ῥυπαρά, ὕλη μόνον εἰσίν. τὰ δὲ κεκαυμένα, δύ-
ναμιν ἔχει δριμεῖαν τε καὶ θερμὴν καὶ ξηρὰν ἅμα λεπτομερεία, ὡς καὶ τὰς πλαδαρὰς σάρκας ἐπὶ
τῶν ἑλκῶν ἀποτήκειν τάχιστα. Ἐρείκη. διαφορητικῆς ἐστιν ἀδήκτως δυνάμεως. τῷ δὲ ἄνθει μά-
λιστα, καὶ τοῖς φύλλοις αὐτοῦ χρηστέον. Ἐρινός, ἔφυδρός ἐστι πόα. ἧς τοῦ καρποῦ < .β. μετὰ μέ-
λιτος < .δ. ἐγχεόμενα, ῥεῦμα ὀφθαλμῶν ἵστησιν. ὁ δὲ χυλὸς ποιεῖ πρὸς ὠταλγίαν. Ἑρ-
μοδακτύλου ἡ ῥίζα. καθαρτικῆς ἐστι δυνάμεως αὐτή τε καὶ τὸ ἀφέψημα αὐτῆς, ἰδίως τε
τοῖς ἀρθριτικοῖς ἐν αὐτοῖς τοῖς ῥευματισμοῖς δίδοται. ἔστι δὲ καὶ κακοστόμαχος ἱκανῶς. Ἕρ-
πυλλος.

πυλος. θερμαίνει, ὥστε καὶ οὖρα καὶ καταμήνια κινεῖν. Ἐρυθρόδανον, ἔστιν ἡ τῶν βαφέων ἐρυθρὰ ῥίζα, στρυφνὴ καὶ πικρὰ, σπλῆνά τε καὶ ἧπαρ καὶ νεφροὺς διακαθαίρουσα, ὥστε καὶ αἱματώδη οὐρεῖν. καταμήνιά τε κινεῖ, καὶ τὰ περὶ τὸ δέρμα ῥυπώδη ἀπορρύπτει. Ἐρύσιμον. τὸ σπέρμα πυρῶδές τε καὶ θερμαντικόν ἐστι ἐπίσης καρδάμῳ, διόπερ ὀπτηθὲν ἐν ζύμῃ, τοῦ θώρακός ἐστι καθαρτικὸν, ἐν ἐλίγμασι. καὶ σκληρίας μαλάσσει. καὶ τοὺς κρυπτοὺς καρκίνους ὠφελεῖ καταπλασσόμενον. Εὔζωμον. καὶ αὐτὸ παραπλήσιον ὂν κράσεως, φυσῶδές ἐστι. διὸ καὶ εἰς συνουσίαν παρορμᾷ. τὸ δὲ σπέρμα αὐτοῦ καὶ οὐρητικόν ἐστι. τοῦ δὲ ἡμέρου τὸ ἄγριον ἰσχυρότερον. Εὐπατώριον. λεπτομεροῦς καὶ τμητικῆς ἐστι δυνάμεως ἄνευ θερμότητος ἐπιφανοῦς, ὅθεν καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις ἐκκαθαίρει. ἔχει δέ τι καὶ στύψεως. Εὐφόρβιον, καυστικῆς ἐστι δυνάμεως καὶ λεπτομεροῦς, ὁμοίως τοῖς ἄλλοις ὀποῖς. Ἐφήμερον, οὐ τὸ δηλητήριον ἀλλ' ὅπερ ἴρις ἀγρία καλεῖται. μικτῆς ἐστι δυνάμεως ἀποκρουστικῆς τε καὶ διαφορητικῆς.

Ἐχίδνης αἱ σάρκες. θερμαὶ καὶ ξηραὶ τὴν κρᾶσιν ἐναργῶς εἰσὶν, ἐκκαθαίρουσαι διὰ τοῦ δέρματος ὅλον τὸ σῶμα. διὸ πολλοὶ τῶν ἐλεφαντιώντων ἐσθίοντες ἢ πίνοντες αὐτὰς, ἰάθησαν. αἱ δὲ ἐν παραθαλασσίοις ἢ ἄλλοις ξηροῖς διαιτώμεναι χωρίοις, καὶ διψώδεις μᾶλλόν εἰσιν. Ἐχῖνος. ἡ μὲν πόα στρυφνή τέ ἐστι καὶ ἀποκρουστικὴ καὶ ξηραντική. τοῦ δὲ χερσαίου ἐχίνου, ἡ μὲν σὰρξ σκελετευθεῖσα ἰσχυρῶς ἐστι διαφορητικὴ καὶ ξηραντική. ποθεῖσα γοῦν, ἐλεφαντιῶσί τε καὶ καχεκτικοῖς καὶ ἄλλοις βοηθεῖ πλείοσι. τὸ δὲ δέρμα αὐτοῦ καυθὲν, ξηραντικώτερόν τε καὶ διαφορητικὸν γίνεται. ἀλωπεκίας γοῦν μετὰ πίσσης ὑγρᾶς καταχριόμενον ἰᾶται. τὸ δὲ τοῦ θαλαττίου, τὸ μὲν ἐδώδιμον, οὐρητικόν τέ ἐστι καὶ εὐκοίλιον. τὸ δὲ ὄστρακον, καυθὲν παραπλήσιον τῷ τοῦ χερσαίου γίνεται. Ἔχιον, οἱ δὲ δωρειάδα οἱ δὲ καὶ ταύτην ἀλκιβιάδιον καλοῦσιν. ἀκανθώδης ἐστὶ πόα, ἥτις οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ ἑρπετοῦ βοηθεῖ ποθεῖσα μετ' οἴνου, ἀλλὰ καὶ προποθεῖσα τοὺς δακνομένους ἀβλαβεῖς διαφυλάττει. Ἕψημα, τὸ ἑψηθὲν γλεῦκος, οἱ δὲ σίραιον προσαγορεύουσι. θερμαῖνον τε μετρίως καὶ συμπέττον. ἔστι δὲ καὶ ἐμπλαστικόν τε καὶ ἄδηκτον.

Ἀρχὴ τοῦ ζ.

Ζειά. παραπλησίαν ἔχει τοῖς πυροῖς δύναμιν, μεταξὺ μὲν οὖσα τοῦ θερμαίνειν τε καὶ ψύχειν, ἠρέμα δὲ ξηραίνουσα. ἔστι δὲ καὶ ἐμπλαστική. Ζιγγιβέρεως ἡ ῥίζα, θερμαίνει μὲν ἰσχυρῶς, ἀλλ' οὐ κατὰ τὴν πρώτην προσβολὴν, ἀκατεργάστου τινὸς καὶ παχυμερεστέρας μετέχον ὑγρότητος, δι' ἣν καὶ τιτρᾶται ῥᾳδίως. μόνιμον δὲ φυλάττει τὴν θερμότητα. Ζύθος. σύνθετός ἐστι τὴν οὐσίαν. καὶ γὰρ δριμὺς ὡς ἂν ἐκ σηπεδόνος γεγενημένος, καὶ ψυχρὸς ἐκ τῆς ὀξώδους ποιότητος, διὸ καὶ κακόχυμος. Ζύμη. καὶ αὕτη ἐξ ἐναντίων οὐσιῶν σύγκειται. καὶ γὰρ ὀξύτητος μετέχει ψυχρᾶς καὶ σηπεδονώδους θερμότητος, καὶ προσέτι τῆς ἐκ τῶν ἁλῶν καὶ τοῦ ἀλεύρου. ἔστιν οὖν ὁ μετρίως θερμὴ καὶ διαφορητική. Ζωμός. ὁ μὲν ἀπὸ τῶν νεαρῶν ἰχθύων κοιλίας ἐστὶν ὑπαγωγός. καθ' ἑαυτόν τε καὶ μετ' οἴνου πινόμενος. ἰδίως δὲ, ὁ ἀπὸ φυκίδων καὶ σκορπίων καὶ ἰούλων καὶ περκῶν καὶ τῶν ἄλλων ἁπαλῶν πετραίων, λιτὸς μεθ' ὕδατος καὶ ἐλαίου καὶ ἀνήθου καὶ ἁλῶν. ὁμοίως δὲ καὶ ὁ τῶν ὀστρακοδέρμων, μάλιστα τελλινῶν, χημῶν, κογχαρίων. καὶ ὁ τοῦ παλαιοῦ δὲ ἀλεκτρυόνος σὺν ἁλσὶν ἐπὶ πλεῖστον ἑψηθέντος ὑπακτικὸς γίνεται. ὁ δὲ τῆς ἀλεκτορίδος, τοὐναντίον ἐπικρατητικός.

Ἀρχὴ τοῦ η.

Ἡδύοσμον. θερμὸν καὶ λεπτομερὲς καὶ δριμὺ τὴν δύναμίν ἐστιν ἐκ τῆς τρίτης που τάξεως, μεθ' ὑγρότητος ἡμιπέπτου, δι' ἣν καὶ εἰς συνουσίαν παρορμᾷ. ἔχει δέ τι καὶ πικρὸν, διὸ τὰς ἕλμινθας ἀναιρεῖ. τῷ δὲ στρυφνῷ, τὰς προσφάτους ἀναγωγὰς τοῦ αἵματος ἐπέχει. Ἡδύσαρον, ἢ πελεκῖνος. πικρὸν καὶ ὑπόστυφόν ἐστιν, ὅθεν εὐστόμαχόν τε γίνεται πινόμενον, ἐκκαθαίρει τε τῶν σπλάγχνων ἐμφράξεις. Ἡλιοτρόπιον μέγα, ὃ δὴ καὶ σκορπίουρον καλοῦσι. θερμῆς καὶ ξηρᾶς καὶ ῥυπτικῆς ἐστι δυνάμεως. οὗ τὸ ἀφέψημα ποθὲν, ἄγει φλέγμα καὶ χολήν. καταπλασσόμενος δὲ ὁ καρπὸς αὐτοῦ, μυρμηκίας καὶ τὰ παραπλήσια ξηραίνει. τὸ δὲ μικρὸν, καὶ ταῦτα μὲν αἴρει, καὶ ἕλμινθας δὲ κτείνει μετὰ τοῦ καρποῦ πινόμενον σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδαμώμῳ. Ἤλεκτρον, τὸ τῆς αἰγείρου δάκρυον φασὶ κατὰ τὸν Ἠριδανὸν ποταμὸν ἀποχεόμενον καὶ πηγνύμενον χρυσοειδές. ὅπερ πινόμενον λεῖον, στομάχου καὶ κοιλίας ῥεύματα καὶ αἷμα ἐπέχει. Ἡμεροκαλλοῦς ἡ ῥίζα, παραπλησίαν ἔχουσα τὴν τοῦ κρίνου δύναμιν, ὁμοίως ἐκείνῳ τὰ πυρίκαυτα ὠφελεῖ. Ἡμιονῖτις. στύψεως ἅμα πικρότητος μετέχει, διὸ καὶ σπληνικοὺς ὠφελεῖ σὺν ὄξει πινομένη. Ἧπαρ. τὸ μὲν τοῦ λυττῶντος κυνὸς ὀπτηθὲν εἰ βρωθείη, τοῖς ὑπ' αὐτοῦ δηχθεῖσι φασὶ βοηθεῖν. τοῦ δὲ τῆς αἰγὸς ὀπτωμένου τὸν ἰχῶρα, νυκτάλωπας ὠφελεῖν ἐνσταζόμενον. καὶ τὸν ἀτμὸν δὲ αὐτοῦ δέχεσθαι τοῖς ὀφθαλμοῖς ἑψομένου κελεύουσιν.

τῶν ἑλκῶν ὠφελεῖ. καὶ ὀδόντων πόνους ἰᾶται. ὄγκους τε διαφορεῖ καὶ ἀλφούς. καὶ τοὺς ἐν ὠσὶ σκώληκας ἀναιρεῖ. καὶ τὰ φύλλα δὲ καὶ ὁ καρπὸς, παραπλησίας μὲν ἀσθενεστέρας δὲ δυνάμεως εἰσίν. Καρδάμου τὸ σπέρμα. καυστικόν ἐστιν ὥσπερ τὸ νᾶπυ. διὸ καὶ φοινίσσει καταπλασσόμενον. τέμνει δὲ καὶ τοὺς παχεῖς χυμοὺς σὺν ἑτέροις πινόμενον. καὶ ἡ πόα δὲ ξηρὰ μὲν, παραπλησίας ἐστὶ δυνάμεως. ὑγρὰ δὲ, μετριωτέρα. διὸ καὶ ὠμὴν αὐτὴν ἐσθίουσι. Καρδάμωμον. δριμὺ μὲν καὶ αὐτὸ, τοῦ δὲ καρδάμου ἀσθενέστερον. ἔχει δέ τι καὶ πικρότητος, δι' ἣν τὰς ἕλμινθας ἀναιρεῖ, καὶ τὰς ψώρας ἀποῤῥύπτει σὺν ὄξει. Καρίς. λειωθεῖσα, καὶ μετὰ ῥίζης βρυωνίας πινομένη, ἕλμινθας κτείνει. Καρκίνων κεκαυμένων ἡ τέφρα. τῶν μὲν ποταμίων, ξηραντική ἐστιν ὁμοίως τῇ τῶν ἐχίνων τε καὶ κοχλιῶν. ἰδιότητι δὲ τῆς ὅλης οὐσίας θαυμαστῶς ἐπὶ τῶν λυσσοδήκτων ἐνεργεῖ πινομένη, ὡς ἐν ἄλλοις εἴρηται. ἡ δὲ τῶν θαλαττίων, ὑπερβάλλουσα ἔχουσα τὴν ξηρότητα, τούτοις μὲν οὐχ ἁρμόττει, τοὺς δὲ μᾶλλον ξηραίνεσθαι χρῄζοντας ὠφελεῖ. καταπλασσόμενος δὲ λεῖος ὁ ποτάμιος, σκόλοπάς τε καὶ ἀκίδας ἀνέλκει. Κάρου τὸ σπέρμα. ξηραίνει καὶ θερμαίνει κατὰ τὴν τρίτην που τάξιν. ἄφυσόν τε ἐστὶ καὶ οὐρητικὸν, οὐ τὸ σπέρμα μόνον ἀλλὰ καὶ ὅλον τὸ φυτόν. Καρπήσιον. ἀρωματίζον ἐστὶ καὶ λεπτομερές. ῥύπτει τε γοῦν τὰς τῶν σπλάγχνων ἐμφράξεις, καὶ οὖρα κινεῖ, καὶ νεφροὺς ἐκκαθαίρει λιθιῶντας. Καρύα τὸ δένδρον. ἔχει μέν τι κἂν τοῖς βλαστοῖς στυπτικὸν, πλεῖστον δὲ ἐν τοῖς τῶν καρύων λέμμασιν. ὁ γοῦν χυλὸς αὐτῶν ἑψόμενος σὺν μέλιτι, στοματικὸν γίνεται φάρμακον. τὸ δὲ λέπος αὐτὸ καυθὲν, λεπτομερὲς γίνεται καὶ ξηραντικὸν ἀδήκτως. τὸ δὲ ἐδώδιμον αὐτοῦ ἐλαιῶδες ὂν, ῥᾳδίως ἐκχολοῦται. τὸ δὲ ἐξ αὐτοῦ ἔλαιον, λεπτομερές ἐστι καὶ διαφορητικὸν ὄγκων τε καὶ σηπεδόνων. τὰ δὲ τάγγα κάρυα διὰ παλαιότητα, ῥυπτικὴν ἔχουσι τὴν περὶ τὸ δέρμα δύναμιν. τὸ δὲ ποντικὸν, ὃ δὴ καὶ λεπτοκάρυον καλοῦσι, ψυχρότερόν ἐστι καὶ αὐστηρόν. τὰ δ' ἄλλα τοῦ μεγάλου παραπλησίως. Καρυόφυλλον. οὐ πρὸς τοὔνομα, καὶ τὴν οὐσίαν ἔχει. ἀλλ' ἐκ τῆς ἰνδίας οἷον ἄνθη τινὰ δένδρου, καρφοειδῆ, μέλαινα, ὅσον δακτύλου σύνεγγυς τὸ μῆκος, φέρεται, ἀρωματίζοντα καὶ δριμέα, ὑπόπικρα, θερμά τε καὶ ξηρὰ περίπου τρίτης τάξεως, ἃ πολύχρηστά ἐστιν ἐν ὄψοις τε καὶ ἑτέροις φαρμάκοις. Κάσαμον. τοῦτό φασί τινες εἶναι τὸν καρπὸν τοῦ βαλσάμου, περὶ οὗ κατ' ἐκεῖνο λέλεκται. Κασσία θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην που τάξιν, καὶ λεπτομερὴς ἱκανῶς ἐστὶ καὶ δριμεῖα καὶ μετρίως στύφουσα. τέμνει τε οὖν ἅμα καὶ διαφορεῖ, καὶ ῥώμην τοῖς ὀργάνοις ἐντίθησιν. ἄγει δὲ καὶ καταμήνια. Καστόριον. θερμαίνει καὶ ξηραίνει μετὰ λεπτομερείας ὑπερβαλλούσης, δι' ἣν πρὸς ταῖς ἐνεργείαις καὶ τοῖς τῶν νεύρων ἐπὶ πλήθει χυμῶν πάθεσιν ἁρμόττει. καὶ τὰ κατεψυγμένα ῥᾳδίως ἀναθερμαίνει, ἔξωθέν τε προσφερόμενον καὶ πινόμενον, μετὰ τοῦ μηδὲν ἕτερον βλάπτειν μόριον, κἂν μετρίως πυρέττοιεν. ὥσπερ ἐπὶ τῶν καταφορῶν καὶ ληθάργων. κινεῖ δὲ καὶ καταμήνια, καὶ χορία ἐκβάλλει. ἐπὶ δὲ τῶν κατὰ τὸν ἐγκέφαλον καὶ πνεύμονα παθῶν, καὶ διὰ τῆς εἰσπνοῆς θυμιώμενον, μεγάλως ὀνίνησιν. Καυκαλὶς, οἱ δὲ δαῦκον ἄγριον. θερμαίνει τε γὰρ ὡς ὁ δαῦκος, καὶ ξηραίνει, καὶ διουρεῖται, καὶ ταριχεύεται εἰς ἀπόθεσιν. Κέγχρος. ψύχει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. ἔστι δέ πως, καὶ λεπτομερὴς ἐπ' ὀλίγον. ἔξωθεν οὖν διά τε μαρσίππων πυριωμένη καὶ καταπλαττομένη, ξηραίνειν πέφυκεν. Κέδρος, ἥτε θαμνώδης ὁμοία ταῖς ἀρκεύθοις, καὶ τὸ δένδρον. θερμαίνουσι καὶ ξηραίνουσι κατὰ τὴν τρίτην τάξιν. τὸ δ' ἐξ αὐτῶν ἔλαιον, ὃ καλοῦσι κεδρίαν, καὶ τῆς τετάρτης ἐφάπτεται, λεπτομερὴς ἱκανῶς ὑπάρχουσα. τὰς μὲν οὖν ἁπαλὰς σάρκας ἑτοίμως τε καὶ ἀνωδύνως σήπει. τὰς δὲ σκληρὰς καὶ μάλιστα τῶν νεκρῶν ξηραίνει τε καὶ ἀσήπτους διαφυλάττει. φθεῖράς τε καὶ κόνιδας καὶ ἀσκαρίδας καὶ τοὺς ἐν ὠσὶ σκώληκας ἀναιρεῖ. καὶ ἄλλα πλείονα δρᾷ. Κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα, δριμεῖά τε καὶ θερμὴ μετὰ γεώδους στύψεώς ἐστιν. καταμήνια γοῦν προτρέπει, καὶ ἔμβρυα φθείρει τε καὶ ἐκβάλλει, τραύματά τε κολλᾷ, καὶ αἱμοπτοϊκοὺς ὠφελεῖ, καὶ τἄλλα τὰ κατὰ θώρακα. τοῦ δὲ μικροῦ ἡ μὲν ῥίζα ἄπρακτος. οἱ δὲ κλῶνες ἰσχυρῶς τε καὶ ἀδήκτως ξηραίνουσιν. ὅθεν πρὸς τοῖς ἐπὶ τοῦ μεγάλου λεχθεῖσι, καὶ ἰσχιαδικοῖς ἐνιέμενον αὐτοῦ τὸ ἀφέψημα χολώδη κενοῖ, ἐνίοτε δὲ καὶ αἱματώδη. καὶ μεγάλως ὠφελεῖ. Κέρας αἰγός τε καὶ ἐλάφου, κεκαυμένον. ὀδόντας τε λαμπρύνει, καὶ προστέλλει τὰ οὖλα πλάδοντα. τὸ δὲ τοῦ ἐλάφου κέρας, μετ' οἴνου λειούμενον εἶτα περιπλασσόμενον, ὀδόντας σειομένους ἵστησι. μετὰ τὸ καυθῆναι δὲ πλυθὲν, δυσεντερίας τε καὶ κοιλιακοὺς καὶ πτύσεις αἵματος καὶ ἰκτερικοὺς ὠφελεῖ, πλῆθος κοχλιαρίων δύο. μίγνυται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσι. τὸ δὲ ταύρου κέρας, μεθ' ὕδατος πινόμενον αἱμοῤῥαγίας ἐπέχει. Κεράσια. τὰ μὲν γλυκέα μᾶλλον ὑπέρχεται. τὰ δ' αὐστηρὰ, μᾶλλον εἰσὶ δυσστόμαχα. τὰ μέντοι ὀξέα, τοῖς φλεγματώδεσι καὶ φλεγματικοῖς στομά-

χοις

χοις ἁρμόττει διὰ τὸ τμητικόν. τὸ δὲ κόμμι τοῦ δένδρου, τὰς τετραχυσμένας ἀρτηρίας λεαίνει. καὶ λιθιῶντας ὀνίνησι, μετ᾽ οἴνου πινόμενον. Κορατωνία καὶ ὁ καρπὸς αὐτῆς τὰ κεράτια. ξηραντικῆς ἐστι καὶ ψυκτικῆς δυνάμεως, μετέχων δηλονότι καὶ γλυκύτητός τινος. Κεφαλαὶ ταριχηρῶν μαινίδων καυθεῖσαι, ξηραντικῆς γίνονται δυνάμεως οὐ πάνυ δριμείας. τὰς γοῦν ἕδρας γοῦν ῥαγάδας, καὶ γαργαρεῶνας χρονίως ἐκπεριρρωμένους ὠφελοῦσιν. ἡ δὲ τῆς σμαρίδος κεκαυμένη ὅλη, πρὸς ἀλωπεκίας ποιεῖ μετὰ στέατος ἀρκείου. τὸ δ᾽ αὐτὸ δρᾷ καὶ ἡ τοῦ μυὸς κεκαυμένη μετὰ μέλιτος. ἡ δὲ τοῦ ἰκτίνου ξηρὰ αὐτὴ τῶν πτίλων, ὅσον τοῖς τρισὶν ἐπᾶραι δακτύλοις μεθ᾽ ὕδατος πινομένη, ποδαλγικοὺς ὠφελεῖ. τὴν δὲ τῆς σαύρας φασὶν σκόλοπας ἐξάγειν καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἥλους. Κικίς. ἡ μὲν ὀμφακῖτις, στρυφνὸν ἱκανῶς ἐστι φάρμακον, ὅθεν ξηραίνει, καὶ ἀπερείδεται τὰ ῥεύματα, καὶ συνάγει καὶ σφίγγει τὰ χαλαρὰ καὶ ἄρρωστα μόρια. καὶ πᾶσι τοῖς ῥοώδεσιν ἁρμόττει πάθεσιν. καὶ κείσθω τῆς τρίτης μὲν τοῦ ξηραίνειν, δευτέρας δὲ τοῦ ψύχειν τάξεως. ἡ δὲ ἑτέρα ἡ ξανθὴ καὶ χαύνη καὶ μεγάλη, ξηραίνει μὲν, ἧττον δὲ ἐκείνης τοσοῦτον ὅσον καὶ στύψεως ἀπολείπεται. τὰς δὲ γοῦν ἕδρας φλεγμονάς τε καὶ προπτώσεις ἑψουμένη ὠφελεῖ. καυθεῖσαι δὲ καὶ ὄξει σβεσθεῖσαι, ἴσχαιμοι γίνονται. Κηπέα. ἐμφερής ἐστι τῇ ἀνδράχνῃ. βοηθεῖ δὲ αὐτῆς τὰ φύλλα πινόμενα ψωριώσῃ τῇ κύστει. ἡ δὲ ῥίζα μετὰ ἀσπαράγου τοῦ μιακινθίνου πινομένη, στραγγουρίας ὠφελεῖ τὰς ἐπ᾽ ἐμφράξει. Κηρὸς. εὔκρατος ὢν, ὕλη τῶν ἄλλων γίνεται φαρμάκων. αὐτὸς δὲ καθ᾽ αὑτὸν τῶν ἠρέμα ῥυπτικῶν ἂν εἴη, ἔχει γάρ τι βραχὺ διαφορητικῆς τε καὶ θερμῆς δυνάμεως. Κηρύκων. τὸ μὲν ὄστρεον καυθὲν, ξηραντικῆς ἱκανῶς ἐστι δυνάμεως, ἀδήκτου. διὸ τοῖς κακοήθεσι τῶν ἑλκῶν ἁρμόζει. ἐπὶ δὲ τῶν σηπεδονωδῶν, μετ᾽ ὄξους ἢ οἴνου ἢ ὀξυμέλιτος αὐτοῖς χρηστέον. τῆς δὲ οἷον σαρκὸς αὐτῶν ἔτι ζώντων ἐν ἐλαίῳ ἑψηθείσης, ὠταλγίας ὠφελεῖ τοὔλαιον ἐγχεόμενον. Κίκεως ὁ καρπὸς, ὅς τις καὶ καθαίρει, ῥυπτικήν τε καὶ διαφορητικὴν ἔχει δύναμιν. οὕτω δὲ καὶ τὸ φύλλον, ἀλλὰ ἀσθενέστερον. περὶ δὲ τοῦ ἐλαίου εἴρηται. Κιννάβαρις. δριμείας μετρίως ἐστὶ δυνάμεως. ἔχει δέ τι καὶ στύψεως. Κιννάμωμον, ἄκρως ἐστὶ λεπτομερὲς, οὐ μὴν ἄκρως γε θερμὸν, ἀλλ᾽ ἐκ τῆς τρίτης που τάξεως. οὐδὲν δὲ οὕτω ξηραίνει τῶν ἐξ ἴσου θερμαινόντων αὐτῷ, διὰ τὸ λεπτομερὲς τῆς οὐσίας. ἡ μέντοι κινναμωμὶς, οἷόνπερ ἀσθενές τι κιννάμωμον. ἔνιοι δὲ αὐτὴν ψευδοκιννάμωμον ὀνομάζουσιν. Κιρκέας ἡ μὲν ῥίζα, θερμαντικὴ καὶ εὐώδης ἐστίν. ἥτις σὺν οἴνῳ πινομένη ὑστέρας ἐκκαθαίρει. ὁ δὲ καρπὸς σὺν ῥοφήματι πινόμενος, γάλα γεννᾷ. Κίσσηρις, ῥυπτικὴ καὶ μάλιστα τῶν ὀδόντων ἐστὶν, οὐ μόνον τῇ δυνάμει, ἀλλὰ καὶ τῇ τραχύτητι. ἐμβάλλεται δὲ καὶ εἰς τὰ σαρκωτικὰ τῶν ἑλκῶν φάρμακα, καὶ εἰς τὰ σμηκτικὰ τῶν περὶ τὸ δέρμα. εἰ δὲ καυθείη, λεπτομερεστέρα μὲν, δακνώδης δὲ γίνεται. πλυνομένη δὲ, τὸ δακνῶδες ἀποτίθεται. Κισὸς ἢ κίσθαρος. στυπτικός ἐστι θαμνίσκος, καὶ ψυχρὸς ἠρέμα τὴν δύναμιν. τὰ δὲ φύλλα αὐτοῦ, καὶ οἱ βλαστοὶ τοσοῦτον ξηραίνουσιν, ὥς τε καὶ τραύματα κολλᾶν. τὰ δὲ ἄνθη ξηρότερα περίπου, κατὰ τὴν δευτέραν ἀπόστασιν ὄντα, δυσεντερίας τε καὶ τὰ ἄλλα ῥοώδη ἰᾶται πινόμενα. ἔξωθεν δὲ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν ὠφελεῖ.

Κισσὸς, ἐξ ἐναντίων σύγκειται δυνάμεων, στύφει τε γὰρ καὶ ψύχει, καὶ δριμύς ἐστι καὶ θερμός. ὑδατώδους μετέχων οὐσίας καὶ χλιαρᾶς ὁ χλωρός. οὗ τὰ φύλλα ἑψηθέντα σὺν οἴνῳ, τραυμάτων ἐστὶ κολλητικά. πυρίκαυστά τε καὶ σπληνικοὺς ὠφελεῖ. ὁ δὲ χυλὸς, ἔρρινόν ἐστι φάρμακον, καὶ τὰ χρόνια τῶν ἐν ὠσὶν ἰᾶται ῥεύματα. τὸ δὲ δάκρυον αὐτοῦ, δριμύτερον ὑπάρχον, φθεῖρας κτείνει καὶ τρίχας ψιλοῖ. Κίτριον ὃ καὶ μῆλον μηδικόν. τὸ μὲν μέσον αὐτοῦ ὀξῶδες ἢ ἄποιον, ἐν ᾧ τὸ σπέρμα, τρίτης ἐστὶ τῶν ψυχόντων τε καὶ ξηραινόντων τάξεως. ὁ δὲ φλοιὸς, ξηραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, οὐκέτι δὲ ψύχει. ἀλλ᾽ ἔστι δριμύς. ἡ δὲ σὰρξ αὐτοῦ, παχύχυμός τε ἐστὶν καὶ φλεγματικὴ καὶ ψυχρά. τὸ δὲ σπέρμα, διαφορεῖ τε καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν. καὶ τὰ φύλλα δὲ τοῦ δένδρου, ξηραντικῆς τε καὶ διαφορητικῆς εἰσὶ δυνάμεως. Κιχόριον ἢ πικρίς. οἷον ἀγρία σέρις ἐστί, ψύχουσά τε καὶ ξηραίνουσα κατὰ τὴν πρώτην ἀπόστασιν. ἔχει δέ τι καὶ στυπτικὸν, ὅθεν ἡπατικοῖς ἁρμόττει δυσεντερίαις. Κληματῖτις, οἱ δὲ δαφνοειδὲς, οἱ δὲ μυρσινοειδὲς, οἱ δὲ πολυγονοειδές. κλήματα ἔχει μακρὰ ὡς ὁλοσχοίνου τὸ πάχος, πέταλον ἐμφερὲς δάφνῃ, ξηραντικῆς ἐστι δυνάμεως. διαρροίας γοῦν καὶ δυσεντερίας καὶ ὀδόντων πόνους παύει. καὶ θηριοδήκτοις ἁρμόζει.

Κληματῖτις ἑτέρα. περιελίττεται τοῖς δένδροις ὡς σμίλαξ, δριμείας τε καὶ καυστικῆς οὖσα δυνάμεως. ταύτης ὁ καρπὸς μεθ᾽ ὕδατος ποθεὶς, ἄγει κάτω φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα λέπρας ἀφίστησιν. Κλινοπόδιον. θερμαντικῆς ἐστι δυνάμεως καὶ ξηραντικῆς, οὐδέπω καυστικῆς, ἀλλὰ τρίτης που τάξεως. Κνήκου τοῦ σπέρματι πρὸς τὰς κα-

θάρσεις μόνον χρώμεθα. εἰ δέ τις ἔξωθεν αὐτῷ χρῷτο, τῆς τρίτης ἂν εἴη τῶν θερμαινόντων τάξεως.

Κογχύλια. παραπλήσια ἐστὶ τοῖς κήρυξι δυνάμεως. Κοιλίαν αἰθυίας, ἢ πρόσφατον ἑφθὴν ἢ σκελετευθεῖσαν εὐστόμαχον εἶναί φασιν εἰ βρωθείη. ὁμοίως δὲ καὶ τὸν τῶν ἀλεκτορίδων ἔνδον τῆς κοιλίας χιτῶνα ξηρὸν πινόμενον. ἄμφω δὲ ψευδῆ φησιν ὁ Γαληνὸς εὑρηκέναι, πειράσας. τὴν δὲ τῆς φάττης τοῦ ὄρνεου κοιλίαν, κατ' ὀλίγον ποτιζομένην, λίθους θρύπτειν φησὶν ὁ Διοσκορίδης. ἡ δὲ τῆς γαλῆς κοιλία πινομένη, παντὸς ἀλεξιφάρμακον θηρίου λέγεται. Κόκκος κνίδιος, ὁ καρπός ἐστι τῆς θυμελαίας, οὐχ ὁ τῆς χαμαιλαίας, ὥς τινες ᾠήθησαν. δριμείας μὲν ὢν καὶ καυστικῆς δυνάμεως. καθαίρει δὲ κάτω ποθεὶς ὕδωρ. Κόκκος βαφικός, ἀδήκτως ξηραίνει. διὸ τοῖς τε μεγάλοις ἁρμόττει τραύμασι, καὶ τοῖς νευροτρώτοις, σὺν ὄξει ἢ ὀξυμέλιτι λειωθεῖσα. Κοκκυμηλέας ὁ καρπός, ὑπάγει γαστέρα. πρόσφατος μὲν, μᾶλλον, ξηρανθεὶς δὲ ἧττον. τὸ δὲ ἀφέψημα αὐτοῦ τὰς κατὰ γαργαρεῶνα φλεγμονὰς ἰᾶται διακλυζόμενον. τὸ δὲ κόμμι τοῦ δένδρου, τμητικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως, ὅ φασιν ἔνιοι μετ' οἴνου πινόμενον λίθων εἶναι θρυπτικόν. σὺν ὄξει δὲ, λειχῆνας ἰᾶσθαι παίδων. ὁ δὲ τῶν ἀγρίων κοκκυμήλων καρπός, στυπτικὸς ἐναργῶς ἐστι καὶ σταλτικὸς γαστρός. ὀνομάζεται δὲ τὸ φυτὸν τοῦτο κατὰ τὴν ἀσίαν προύμνον. ἔοικεν δὲ τὰ ἥμερα ξηρανθέντα κοκκύμηλα, τὰ νῦν δαμασκηνὰ προσαγορευόμενα, ὥς φησιν ὁ Γαληνός. Κόλλα, ἡ ἐκ σεμιδάλεώς τε καὶ γύρεως γινομένη, ἐμπλαστικῆς καὶ πεπτικῆς ἐστι δυνάμεως. Κολοκύνθη. ὑγρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως κατὰ τὴν β΄ ἀπόστασιν. ὅθεν ὅλη καταπλαττομένη τὰς θερμὰς ἐμψύχει φλεγμονάς. Κολοκυνθίς. καθαρτικῆς ἐστι δυνάμεως ἰσχυρᾶς. χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς ἀνατριβόμενος, ἰσχιάδας ὀνίνησι. Κόμαρος. στρυφνὸς τῇ ποιότητι, τὸ δένδρον ἅμα τῷ καρπῷ. μεμύκιλον δὲ αὐτὸν ὀνομάζουσιν. ἔστι δὲ κακοστόμαχος οὗτος καὶ κεφαλαλγής. Κόμμι. ξηραντικῆς ἐστι καὶ ἐμπλαστικῆς δυνάμεως. καὶ δηλονότι καὶ τραχύτητας ἰᾶται. Κονία, τὸ οἷον περίπλυμα τῆς τέφρας ὀνομάζεται. ῥυπτικωτάτη τε καὶ ξηραντικωτάτη πασῶν ἐστιν ἥ τε ἐκ τῆς συκίνης καὶ ἡ τῶν τιθυμάλλων, καὶ σχεδὸν ἤδη τῆς σηπτικῆς δυνάμεως. εἰ δὲ προσλάβοι καὶ τιτάνου ἡ τέφρα, καυστικὴν ἐργάζεται τὴν κονίαν, ἣν δὴ καὶ πρωτόστακτον ὀνομάζουσι, τοῖς κλυστικοῖς μάλιστα μιγνυμένην φαρμάκοις. ἰσχυροτέρα δὲ πασῶν ἐστιν ἡ ἐκ μόνης τιτάνου γινομένη. Κόνυζαι, ἀμφότεραι ξηραίνουσι καὶ θερμαίνουσι κατὰ τὴν τρίτην ἀπόστασιν. ὅθεν καὶ τὸ φύλλον ἐν ᾧ ἕψεται, τὰ κατὰ περίοδον ῥίγη παύει. καὶ τὰ ἄνθη δὲ παραπλησίας ἐστὶ δυνάμεως, ὧν τὸ ἀφέψημα καταμήνιά τε κινεῖ καὶ ἔμβρυα ἐκβάλλει. ἡ δὲ ἐν τοῖς ἐνύδροις χωρίοις φυομένη, δυσωδεστέρα καὶ ἀσθενεστέρα τὴν δύναμίν ἐστιν. Κόπρος. ἅπασα μὲν θερμῆς τε καὶ ξηραντικωτάτης καὶ διαφορητικωτάτης ἐστὶ δυνάμεως, ἐξαλλάττεται δὲ παρὰ τὴν τοῦ ἐκκρίνοντος αὐτὴν ζώου κρᾶσίν τε καὶ δίαιταν. ἡ μὲν οὖν τῶν κυνῶν ὅταν ὀστοφαγήσωσι, ξηρανθεῖσα δυσεντερικοὺς ἰᾶται μετὰ χυλοῦ πινομένη γάλακτος. ἕλκη τε παλαιὰ, τοῖς πρὸς ταῦτα μιγνυμένη φαρμάκοις. τὴν δὲ τῶν συναγχικῶν καὶ τῶν κατὰ παρίσθμια φλεγμονῶν, μέλιτι ἀναληφθεῖσα διαχρίεται. τούτους δὲ καὶ ἡ τῶν ἀπερίττως διαιτηθέντων παιδίων κόπρος, μειζόνως ὀνίνησιν. ἡ δὲ τῶν λύκων, καὶ αὐτὴ λευκοτέρα ἐπὶ τινῶν θάμνων εὑρισκομένη, κωλικοὺς γενναίως ὀνίνησιν, οὐ πινομένη μόνον ἀλλὰ καὶ περιαπτομένη. ἐξαρτᾶν δὲ αὐτὴν δι' ἐρίου ἀπὸ λυκοβρώτου προβάτου ἢ ἐλαφείου δέρματος. ἡ δὲ τῶν αἰγῶν κόπρος, δριμυτέρα τε οὖσα καὶ διαφορητικωτέρα, τοὺς σκιῤῥώδεις ὄγκους διαφορεῖ καταπλαττομένη. καὶ μάλιστα τῶν σκληροσάρκων. καυθεῖσα δὲ, ῥυπτικωτέρα τε καὶ λεπτομερεστέρα γίνεται. ἡ δὲ τῶν βοῶν, ἔχει καί τινα ἑλκτικὴν δύναμιν. σφηκῶν γοῦν καὶ μελιττῶν ἰᾶται πληγάς. καὶ τῶν ὑδερικῶν ὅλον τὸ σῶμα βόλβιτος καταχριόμενος ἐν ἡλίῳ, μεγάλως ὀνίνησιν. ἡ δὲ τῶν προβάτων, σὺν ὄξει μυρμηκίας τε καὶ ἀκροχορδόνας καὶ δοθιῆνας καὶ ἥλους ἰᾶται. ἡ δὲ τῶν ἀγρίων περιστερῶν, δριμυτέρα πολλῷ τῶν ἄλλων ὑπάρχουσα, φοινίσσει μετὰ σπέρματος καρδάμου. ἡ δὲ τῶν κατοικιδίων ὀρνίθων, δι' ὀξυμέλιτος ἢ ὄξους ἢ οἰνομέλιτος πινομένη, τοὺς πνίγοντας μύκητας ἐξεμεῖσθαι ποιεῖ. καὶ ἀλεξιφάρμακος γίνεται. ταύτην δὲ καὶ τοῖς κωλικοῖς ἐδίδου τις πιεῖν. τινὲς δὲ καὶ τὴν τῶν πελαργῶν φασὶ πινομένην, ὀρθοπνοϊκοὺς ὠφελεῖν. ἡ δὲ τῶν μυῶν ῥυπτικωτέρα τῶν ἄλλων οὖσα, ἀλωπεκίαις τε ἁρμόττει, καὶ τῶν παιδίων τῇ ἕδρᾳ προστιθεμένη, πρὸς ἔκκρισιν προτρέπει. ἡ δέ γε τῶν ψαρῶν, ὅταν ὄρυζαν φάγωσι, ῥυπτικὴ γίνεται, ὥστε καὶ ἔφηλιν ἀποσμήχειν. ἡ δὲ τῶν χερσαίων κροκοδείλων, ἀλφοὺς ἀποκρύπτει. ὥσπερ οὖν οἱ τῶν ἐλοκροκοδείλων, λευκώματα λεπτύνειν πεπίστευται. Κοράλλιον, ὥσπερ δενδρῶδές ἐστι φυτὸν ἀπολιθούμενον, οὐκ ἐν χέρσῳ φυόμενον, ἀλλ' ἐν τῷ πελάγει τῆς θαλάσσης, ἐρυθρὸν τὴν χροιὰν, ὅμοιον λίθῳ. δύναμιν δὲ ἔχει ξηραντικὴν ἱκανῶς καὶ μετρίως στυπτικὴν, ἁρμόζει γοῦν αἱμοπτοϊκοῖς τε καὶ δυσεντερικοῖς. Κόρεις, τὰ ζῶα. δρι-

μείας

μέας εἰσὶ δυνάμεως. γράφουσι γοῦν τινὲς ὡς εἰ μετ' ὄξους ποθεῖεν, βδέλλας ἐκβάλλουσι. Κόρις ἡ πόα, οἱ δὲ ὑπερικόν. δριμὺ καὶ εὐῶδές ἐστιν. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος, οὖρα καὶ καταμήνια κινεῖ. βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις. ἐπὶ δὲ ὀπισθοτονικῶν σὺν ἐλαίῳ συγχρίεται.

Κορίαννον ἢ κόριον. ἐξ ἐναντίων σύγκειται δυνάμεων. λεπτομεροῦς μὲν γεώδους, τῆς πικρᾶς. ὑδατώδους δὲ ὑγρότητος χλιαρᾶς. ἔχει δέ τι καὶ στύψεως ὀλίγον, ὥστε φλεγμοναῖς τε καὶ ἐρυσιπέλασι μὴ πάνυ ζέουσιν ἁρμόττει. καὶ τοὺς ἀπαλωτέρους ὄγκους διαφορεῖ σύν τινι τῶν προσφόρων. τὸ δὲ σπέρμα ὀλίγον μὲν ποθὲν μετὰ γλυκέος, ἕλμινθας ἐκβάλλει. πλεῖον δὲ ληφθὲν, κινεῖ τὴν διάνοιαν. Κόρυδος ἢ κορυδαλλὸς, τὸ ὄρνεον. ἑψόμενον σὺν λιτῷ ζωμῷ, τοὺς κολικοὺς ὠφελεῖ. χρὴ δὲ συνεχῶς καὶ πολλάκις ἐσθίειν αὐτὸ σὺν ζωμῷ. Κορωνόποδος ἡ ῥίζα, καὶ αὐτὴ πεπίστευται κολικοὺς ὠφελεῖν ἐσθιομένη. Κόστος. βραχείας μὲν πάνυ τῆς πικρᾶς, πλείστης δὲ τῆς δριμείας τε καὶ θερμῆς μετέχει ποιότητος. ὅθεν ἐφ' ὧν ἤτοι θερμῆναί τι πρόκειται μόριον, ἢ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἕλξαι τινὰ χυμὸν, ἐπὶ τὸν κόστον ἔρχονται. οὐρητικός τε οὖν ἐστι, καὶ ἐμμήνων ἀγωγός. καὶ ἕλμινθας ἀναιρεῖ. ἔχει δέ τι καὶ φυσῶδες, διὸ καὶ ἀφροδίσια παρορμᾷ μετ' οἰνομέλιτος πινόμενος. ἰσχιαδικοῖς τε καὶ παραλύτοις, καὶ τοῖς κατὰ περίοδον ῥιγοῦσιν ἁρμόττει, μετ' ἐλαίου ἀνατριβόμενον. Κοτυληδὼν, ἐμψύχει τε καὶ ἀποκρούεται καὶ ῥύπτει καὶ διαφορεῖ. πεπίστευται δὲ τὰ φύλλα αὐτῆς ἐσθιόμενα σὺν τῇ ῥίζῃ, λίθους τε θρύπτειν καὶ οὖρα κινεῖν. Κοχλίαι, καυθέντες μὲν ξηραντικῆς ἱκανῶς εἰσὶ δυνάμεως καὶ μετρίως θερμῆς. ὠφελοῦσι δὲ δυσεντερίας τὰς μήπω σηπεδονώδεις. πρὸς τέσσαρα τούτων μέρη μιγνυμένων πεπέρεως λευκοῦ μ α'. καὶ κηκίδων μ β'. ἄκαυστοι δὲ ὅλοι λεῖοι ἐπιτιθέμενοι κατὰ τῆς γαστρὸς ἐπὶ τῶν ὑδερικῶν, καὶ κατὰ τῶν ἄρθρων ἐπὶ τῶν ἀρθριτικῶν, ἕως αὐτομάτως ἀποστῶσιν, ὠφέλιμοι γίνονται. καὶ καθάπαξ τὸ διὰ βάθους ὑγρὸν ξηραίνουσιν ἰσχυρῶς. Κρανίας τοῦ δένδρου. ὁ μὲν καρπὸς στρυφνὸς ὢν, ἐσθιόμενος, ἰσχυρῶς μὲν ἐπέχει τὴν γαστέρα. καὶ τὰ φύλλα δὲ καὶ οἱ βλαστοὶ τῇ στρυφνότητι ξηραίνουσιν ἰσχυρῶς, ὥστε καὶ τὰ μέγιστα κολλᾶν τραύματα τῶν σκληρῶν σωμάτων. Κράμβη, ἡ μὲν ἐδώδιμος. ξηραντικῆς ἐστι δυνάμεως, ἐσθιομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη. οὐ μὴν δριμείας ἐναργῶς. τραύματα γοῦν κολλᾷ, καὶ τὰ κακοήθη τῶν ἑλκῶν. καὶ δυσλύτους ὄγκους ἰᾶται. ἔχει δέ τι καὶ ῥυπτικὸν, καθ' ὃ καὶ λέπρας θεραπεύει. τὸ δὲ σπέρμα αὐτῆς πινόμενον, ἕλμινθας ἀναιρεῖ, καὶ μάλιστα τῆς αἰγυπτίας. τῶν δὲ καυλῶν αὐτῆς καυθέντων ἡ τέφρα, καυστικῆς ἐστι δυνάμεως. μετὰ στέατος δὲ, πλευρῶν ἀλγήμασιν χρονίοις ἁρμόζει. ἡ δὲ ἀγρία, ἰσχυροτέρα τῆς ἡμέρου κατὰ πάντα ἐστὶν, ὅθεν οὐδὲ εἴσω τοῦ σώματος ἀλύπως λαμβάνεται. ἡ δὲ θαλαττία, ὕφαλμός τε καὶ ὑπόπικρος οὖσα τὴν γαστέρα λαπάττει. Κραταιογόνου τῆς πόας ὁ καρπός. καὶ δριμὺς γευομένοις ἐστὶ, καὶ ψυχρὸς, κέγχρῳ παραπλήσιος. Κρῆθμον. ἁλμυρόν πως ἐστὶν ἅμα βραχείᾳ πικρότητι. διὸ καὶ ἡ δύναμις αὐτοῦ ῥυπτική τέ ἐστι καὶ ξηραντική. Κριθαί. ψύχουσι καὶ ξηραίνουσι κατὰ τὴν πρώτην τάξιν. ἔχουσι δέ τι καὶ ῥυπτικὸν ὀλίγον. εἰσὶ δὲ τοῦ τῶν κυάμων ἀλεύρου ξηραντικώτεραι, καὶ ἄφυσοι μᾶλλον. τὰ δὲ ἄλφιτα πολὺ καὶ τῶν κριθῶν εἰσὶ ξηραντικώτερα. ἡ δὲ πτισάνη, πρὸς τῷ μᾶλλον ὑγραίνειν, καὶ μᾶλλον ἐστὶ ῥυπτική. Κρίμνον. τὸ παχυμερὲς οὕτως ὀνομάζεται τοῦ τε πυρίνου καὶ τοῦ ἐκ τῶν ζειῶν ἀλεύρου, τροφιμώτερον μὲν ἀλφίτου, δυσπεπτότερον δέ.

Κρίνου τὸ μὲν ἄνθος. τῇ κράσει μικτόν ἐστιν, ἐκ λεπτομεροῦς τε καὶ γεώδους οὐσίας καί τινος ὑδατώδους εὐκράτου, ὅθεν καὶ τὸ ἐξ αὐτοῦ συντιθέμενον ἔλαιον διαφορητικῆς τε καὶ μαλακτικῆς ἐστι δυνάμεως, ταῖς κατὰ μήτραν ἁρμόζον φλεγμοναῖς. ἡ δὲ ῥίζα καὶ τὰ φύλλα, ξηραίνει καὶ ῥύπτει καὶ διαφορεῖ μετρίως. ὅθεν εἰς τὰ κατακαύματα χρησιμεύει. ὁ δὲ χυλὸς αὐτοῦ, καὶ νευροτρώτους ὀνίνησι σὺν ὀξυμέλιτι. Κροκοδειλίου, τὸ μὲν σπέρμα καὶ ὁ χυλὸς, θερμῆς καὶ ξηρᾶς καὶ διαφορητικῆς ἐστι δυνάμεως. οὖρα τε οὖν κινεῖ καὶ καταμήνια. ἡ δὲ ῥίζα, τὰς ἐκ θώρακος ἀναπτύσεις ὠφελεῖ. ἄγει δὲ καὶ διὰ ῥινῶν αἷμα. Κρόκος. δευτέρας μέν ἐστι τάξεως τῶν θερμαινόντων, πρώτης δὲ τῶν ξηραινόντων. στύφει τε καὶ συμπέττει. Κρόμμυον. ἐκ τῆς τετάρτης τάξεώς ἐστι τῶν θερμαινόντων, παχυμερὲς τὴν οὐσίαν, ὅθεν αἱμορροΐδας ἀναστομοῖ προστιθέμενον. ἔστι δὲ καὶ ῥυπτικὸν ἱκανῶς. ἀλφοὺς δὲ ἀφαιρεῖ σὺν ὄξει, καὶ ἀλωπεκίας θᾶττον ἀλκυονίου παρορμᾷ τὰς τρίχας. ὁ δὲ χυλὸς αὐτοῦ, τοὺς ὑποχεομένους ἢ ἀμβλυώττοντας διὰ παχὺν χυμὸν ὠφελεῖ. Κύαμος. οὐ πολὺ τῆς μέσης ἀφέστηκε κράσεως, κατά τε τὸ ψύχειν καὶ ξηραίνειν. μετέχει δέ τινος καὶ ῥυπτικῆς δυνάμεως ἡ σὰρξ αὐτοῦ. ἀναπτύσεσι γοῦν ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἁρμόζει. τοῦ δὲ λέμματος ἔχοντός τι καὶ στύψεως, κοιλιακοῖς τε καὶ δυσεντερικοῖς ὅλος ὁ κύαμος ἁρμόζει σὺν ὀξυκράτῳ ἑψηθείς. καταπλαττόμενος δὲ, φλεγμονάς τε καὶ ὄγκους ἰᾶται, καὶ γάλα σβεννύσιν ἐπὶ τῶν τιτθῶν.

θάρσεως μόνον χρώμεθα. εἰ δέ τις ἔξωθεν αὐτῷ χρῷτο, τῆς τρίτης ἂν εἴη τῶν θερμαινόντων τάξεως.
Κογχύλια. παραπλήσια ἐστι τοῖς κήρυξι δυνάμεως. Κοιλίαν αἰθυίας, ἢ πρόσφατον ἑφθὴν
ἢ σκελετευθεῖσαν εὐστόμαχον εἶναί φασιν εἰ βρωθείη. ὁμοίως δὲ καὶ τὸν τῶν ἀλεκτορίδων ἔνδον
τῆς κοιλίας χιτῶνα ξηρὸν πινόμενον. ἄμφω δὲ ψευδῆ φησὶν ὁ Γαληνὸς εὑρηκέναι, πειράσας.
τὴν δὲ τῆς φάττης τοῦ ὄρνεου κοιλίαν, κατ᾽ ὀλίγον ποτιζομένην, λίθους θρύπτειν φησὶν ὁ Διοσκου
ρίδης. ἡ δὲ τῆς γαλῆς κοιλία πινομένη, παντὸς ἀλεξιφάρμακον θηρίου λέγεται. Κόκκος κνί
διος, ὁ καρπός ἐστι τῆς θυμελαίας, οὐχ ὁ τῆς χαμαιλαίας, ὥς τινες ᾠήθησαν. δριμείας μὲν ὢν
καὶ καυστικῆς δυνάμεως. καθαίρει δὲ κάτω ποθεὶς ὕδωρ. Κόκκος βαφικός, ἀδήκτως ξηραί-
νει. διὸ τοῖς τε μεγάλοις ἁρμόττει τραύμασι, καὶ τοῖς νευροτρώτοις, σὺν ὄξει ἢ ὀξυμέλιτι λειω-
θεῖσα. Κοκκυμηλέας ὁ καρπός, ὑπάγει γαστέρα. πρόσφατος μὲν, μᾶλλον, ξηρανθεὶς δὲ ἧτ- 1
τον. τὸ δὲ ἀφέψημα αὐτοῦ τὰς κατὰ γαργαρεῶνα φλεγμονὰς ἰᾶται διακλυζόμενον. τὸ δὲ κόμ
μι τοῦ δένδρου, τμητικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως, ὅ φασιν ἔνιοι μετ᾽ οἴνου πινόμενον λί-
θων εἶναι θρυπτικόν. σὺν ὄξει δὲ, λειχῆνας ἰᾶσθαι παίδων. ὁ δὲ τῶν ἀγρίων κοκκυμήλων καρ-
πός, στυπτικὸς ἐναργῶς ἐστι καὶ σταλτικὸς γαστρός. ὀνομάζεται δὲ τὸ φυτὸν τοῦτο κατὰ τὴν ἀσίαν
προύμνων. ἐοικεν δὲ τὰ ἥμερα ξηρανθέντα κοκκύμηλα, τὰ νῦν δαμασκηνὰ προσαγορευόμε
να, ὥς φησιν ὁ Γαληνός. Κόλλα, ἡ ἐκ σεμιδάλεώς τε καὶ γύρεως γινομένη, ἐμπλαστικῆς καὶ
πεπτικῆς ἐστι δυνάμεως. Κολοκύνθη. ὑγρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως κατὰ τὴν β᾽ ἀπόστα-
σιν. ὅθεν ὅλη καταπλαττομένη τὰς θερμὰς ἐμψύχει φλεγμονάς. Κολοκυνθίς. καθαρτικῆς
ἐστι δυνάμεως ἰσχυρᾶς. χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς ἀνατριβόμενος, ἰσχιάδας ὀνίνησι. Κόμαρος.
στρυφνὸς τῇ ποιότητι, τὸ δένδρον ἅμα τῷ καρπῷ. μεμύκηλον δὲ αὐτὸν ὀνομάζουσιν. ἔστι δὲ κα 2
κοστόμαχος οὗτος καὶ κεφαλαλγής. Κόμμι. ξηραντικῆς ἐστι καὶ ἐμπλαστικῆς δυνάμεως. καὶ
δηλονότι καὶ τραχύτητας ἰᾶται. Κονία, τὸ οἷον περίπλυμα τῆς τέφρας ὀνομάζεται. ῥυ-
πτικωτάτη τε καὶ ξηραντικωτάτη πασῶν ἐστιν ἥ τε ἐκ τῆς σικυΐνης καὶ ἡ τῶν τιθυμάλλων, καὶ
σχεδὸν ἤδη τῆς σηπτικῆς δυνάμεως. εἰ δὲ προσλάβοι καὶ τιτάνου ἡ τέφρα, καυστικὴν ἐργάζε-
ται τὴν κονίαν, ἣν δὴ καὶ πρωτόστακτον ὀνομάζουσι, τοῖς κλυστικοῖς μάλιστα μιγνυμένην φαρ
μάκοις. ἰσχυροτέρα δὲ πασῶν ἐστιν ἡ ἐκ μόνης τιτάνου γινομένη. Κόνυζαι, ἀμφότεραι ξηραί-
νουσι καὶ θερμαίνουσι κατὰ τὴν τρίτην ἀπόστασιν. ὅθεν καὶ φύλλον ἐν ᾧ ἕψεται, τὰ κατὰ
περίοδον ῥίγη παύει. καὶ τὰ ἄνθη δὲ παραπλησίας ἐστὶ δυνάμεως, ὧν τὸ ἀφέψημα καταμή-
νιά τε κινεῖ καὶ ἔμβρυα ἐκβάλλει. ἡ δὲ ἐν τοῖς ἐνύδροις χωρίοις φυομένη, δυσωδεστέρα καὶ ἀσθε
νεστέρα τὴν δύναμιν ἐστίν. Κόπρος. ἅπασα μὲν θερμῆς τε καὶ ξηραντικωτάτης καὶ διαφο- 3
ρητικωτάτης ἐστὶ δυνάμεως, ἐξαλλάττεται δὲ παρὰ τὴν τοῦ ἐκκρίνοντος αὐτὴν ζώου κρᾶσιν τε καὶ
δίαιταν. ἡ μὲν οὖν τῶν κυνῶν ὅταν ὀστοφαγήσωσι, ξηρανθεῖσα δυσεντερικοὺς ἰᾶται μετὰ χυλοῦ πι
νομένη γάλακτος. ἕλκη τε παλαιά, τοῖς πρὸς ταῦτα μιγνυμένη φαρμάκοις. τὰς δὲ τῶν συναγ
χικῶν καὶ τῶν κατὰ παρίσθμια φλεγμονῶν, μέλιτι ἀναληφθεῖσα διαχρίεται. τούτου δὲ καὶ ἡ τῶν
ἀπορίστως διαιτηθέντων παιδίων κόπρος, μειζόνως ὀνίνησιν. ἡ δὲ τῶν λύκων, καὶ αὐτὴ λευ-
κοτέρα ἐπὶ τινῶν θάμνων εὑρισκομένη, κολικοὺς γενναίως ὀνίνησιν, οὐ πινομένη μόνον ἀλλὰ καὶ
περιαπτομένη. ἐξαρτᾶν δὲ αὐτὴν διὰ ἐρίου ἀπὸ λυκοβρώτου προβάτου ἢ ἐλαφείου δέρματος. ἡ δὲ
τῶν αἰγῶν κόπρος, δριμυτέρα τε οὖσα καὶ διαφορητικωτέρα, τοὺς σκιρρώδεις ὄγκους διαφορεῖ
καταπλαττομένη. καὶ μάλιστα τῶν σκληροσάρκων. καυθεῖσα δὲ, ῥυπτικωτέρα τε καὶ λεπτομε
ρεστέρα γίνεται. ἡ δὲ τῶν βοῶν, ἔχει καί τινα ἑλκτικὴν δύναμιν. σφηκῶν γοῦν καὶ μελιττῶν ἰᾶ- 4
ται πληγάς. καὶ τῶν ὑδερικῶν ὅλον τὸ σῶμα βολβίτοις καταχριόμενον ἐν ἡλίῳ, μεγάλως ὀνί-
νησιν. ἡ δὲ τῶν προβάτων, σὺν ὄξει μυρμηκίας τε καὶ ἀκροχορδόνας καὶ δοθιῆνας καὶ ἥλους ἰᾶ
ται. ἡ δὲ τῶν ἀγρίων περιστερῶν, δριμυτέρα πολλῷ τῶν ἄλλων ὑπάρχουσα, φοινίσσει μετὰ σπέρ-
ματος καρδάμου. ἡ δὲ τῶν κατοικιδίων ὀρνίθων, δι᾽ ὀξυμέλιτος ἢ ὄξους ἢ οἰνομέλιτος πινο-
μένη, τοὺς πνίγοντας μύκητας ἐξεμεῖσθαι ποιεῖ. καὶ ἀλεξιφάρμακος γίνεται. ταύτην δὲ καὶ
τοῖς κολικοῖς ἐδίδου τις πιεῖν. τινὲς δὲ καὶ τὴν τῶν πελαργῶν φασὶ πινομένην, ὀρθοπνοϊκοὺς
ὠφελεῖν. ἡ δὲ τῶν μυῶν ῥυπτικωτέρα τῶν ἄλλων οὖσα, ἀλωπεκίαις τε ἁρμόττει, καὶ τῶν παι-
δίων τῇ ἕδρᾳ προστιθεμένη, πρὸς ἔκκρισιν προτρέπει. ἡ δέ γε τῶν ψάρων, ὅταν ὄρυζαν φά-
γωσι, ῥυπτικὴ γίνεται, ὥστε καὶ ἔφηλιν ἀποσμήχειν. ἡ δὲ τῶν χερσαίων κροκοδείλων, ἀλφοὺς
ἀπορύπτει. ὥσπερ οὖν οἱ τῶν ἐνυδροκροκοδείλων, λευκώματα λεπτύνειν πεπίστευνται. Κοράλ 5
λιον, ὥσπερ δενδρῶδές ἐστι φυτὸν ἀπολιθούμενον, οὐκ ἐν χέρσῳ φυόμενον, ἀλλ᾽ ἐν τῷ πελ-
άγει τῆς θαλάσσης, ἐρυθρὸν τὴν χροιάν, ὅμοιον λίθῳ. δύναμιν δὲ ἔχει ξηραντικὴν ἱκανῶς καὶ
μετρίως στυπτικήν, ἁρμόζει γοῦν αἱμοπτοϊκοῖς τε καὶ δυσεντερικοῖς. Κόρεις, τὰ ζῶα. δρι-

μέσας εἰσὶ δυνάμεως. γράφουσι γοῦν τινες ὡς εἰ μετ' ὄξους ποθεῖεν, βδέλλας ἐκβάλλουσι. Κόρις ἡ πόα, οἱ δὲ ὑπόρινον. δριμὺ καὶ εὐῶδές ἐστιν. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος, οὖρα καὶ καταμήνια κινεῖ. βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις. ἐπὶ δὲ ὀπισθοτονικῶν σὺν ἐλαίῳ συγχρίεται.

Κορίαννον ἢ κόριον. ἐξ ἐναντίων σύγκειται δυνάμεων. λεπτομεροῦς μὲν γεώδους, τῆς πικρᾶς. ὑδατώδους δὲ ὑγρότητος χλιαρᾶς. ἔχει δέ τι καὶ στύψεως ὀλίγον, ὥστε φλεγμοναῖς τε καὶ ἐρυσιπέλασι μὴ πάνυ ζέουσιν ἁρμόττει. καὶ τοὺς ἁπαλωτέρους ὄγκους διαφορεῖ σύν τινι τῶν προσφόρων. τὸ δὲ σπέρμα ὀλίγον μὲν ποθὲν μετὰ γλυκέος, ἕλμινθας ἐκβάλλει. πλεῖον δὲ ληφθὲν, κινεῖ τὴν διάνοιαν. Κόρυδος ἢ κορυδαλλὸς, τὸ ὄρνεον. ἑψόμενον σὺν λιτῷ ζωμῷ, τοὺς κολικοὺς ὠφελεῖ. χρὴ δὲ συνεχῶς καὶ πολλάκις ἐσθίειν αὐτὸ σὺν ζωμῷ. Κορωνόποδος ἡ ῥίζα, καὶ αὐτὴ πεπίστευται κολικοὺς ὠφελεῖν ἐσθιομένη. Κόστος. βραχείας μὲν πάνυ τῆς πικρᾶς, πλείστης δὲ τῆς δριμείας τε καὶ θερμῆς μετέχει ποιότητος. ὅθεν ἐφ' ὧν ἤτοι θερμῆναί τι πρόκειται μόριον, ἢ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἕλξαι τινὰ χυμὸν, ἐπὶ τὸν κόστον ἔρχονται. οὐρητικός τε οὖν ἐστι, καὶ ἐμμήνων ἀγωγός. καὶ ἕλμινθας ἀναιρεῖ. ἔχει δέ τι καὶ φυσῶδες, διὸ καὶ ἀφροδίσια παρορμᾷ μετ' οἰνομέλιτος πινόμενος. ἰσχιαδικοῖς τε καὶ παραλύσεις, καὶ τοῖς κατὰ περίοδον ῥιγοῦσιν ἁρμόττει, μετ' ἐλαίου ἀνατριβόμενον. Κοτυληδὼν, ἐμψύχει τε καὶ ἀποκρούεται καὶ ῥύπτει καὶ διαφορεῖ. πεπίστευται δὲ τὰ φύλλα αὐτῆς ἐσθιόμενα σὺν τῇ ῥίζῃ, λίθους τε θρύπτειν καὶ οὖρα κινεῖν. Κοχλίαι, καυθέντες μὲν ξηραντικῆς ἱκανῶς εἰσὶ δυνάμεως καὶ μετρίως θερμῆς. ὠφελοῦσι δὲ δυσεντερίας τὰς μήπω σηπεδονώδεις. πρὸς τέσσαρα τούτων μέρη μιγνυμένων πεπέρεως λευκοῦ μ. α΄. καὶ κηκίδων μ. β΄. ἄκαυστοι δὲ ὅλοι λεῖοι ἐπιτιθέμενοι κατὰ τῆς γαστρὸς ἐπὶ τῶν ὑδερικῶν, καὶ κατὰ τῶν ἄρθρων ἐπὶ τῶν ἀρθριτικῶν, ἕως αὐτομάτως ἀποστῶσιν, ὠφέλιμοι γίνονται. καὶ καθάπαξ τὸ διὰ βάθους ὑγρὸν ξηραίνουσιν ἰσχυρῶς. Κρανίας τοῦ δένδρου. ὁ μὲν καρπὸς στρυφνὸς ὢν, ἐσθιόμενος, ἰσχυρῶς μὲν ἐπέχει τὴν γαστέρα. καὶ τὰ φύλλα δὲ καὶ οἱ βλαστοὶ τῇ στρυφνότητι ξηραίνουσιν ἰσχυρῶς, ὥστε καὶ τὰ μέγιστα κολλᾶν τραύματα τῶν σκληρῶν σωμάτων. Κράμβη, ἡ μὲν ἐδώδιμος. ξηραντικῆς ἐστι δυνάμεως, ἐσθιομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη. οὐ μὴν δριμείας ἐναργῶς. τραύματα γοῦν κολλᾷ, καὶ τὰ κακοήθη τῶν ἑλκῶν. καὶ δυσλύτους ὄγκους ἰᾶται. ἔχει δέ τι καὶ ῥυπτικὸν, καθ' ὃ καὶ λέπρας θεραπεύει. τὸ δὲ σπέρμα αὐτῆς πινόμενον, ἕλμινθας ἀναιρεῖ, καὶ μάλιστα τῆς αἰγυπτίας. τῶν δὲ καυλῶν αὐτῆς καυθέντων ἡ τέφρα, καυστικῆς ἐστι δυνάμεως. μετὰ στέατος δὲ, πλευρῶν ἀλγήμασι χρονίοις ἁρμόζει. ἡ δὲ ἀγρία, ἰσχυροτέρα τῆς ἡμέρου κατὰ πάντα ἐστὶν, ὅθεν οὐδὲ εἴσω τοῦ σώματος ἀλύπως λαμβάνεται. ἡ δὲ θαλαττία, ὕφαλμός τε καὶ ὑπόπικρος οὖσα τὴν γαστέρα λαπάττει. Κραταιογόνου τῆς πόας ὁ καρπός. καὶ δριμὺς γευομένοις ἐστὶ, καὶ ψυχρὸς, κέγχρῳ παραπλήσιος. Κρῆθμον. ἁλμυρόν πως ἐστὶν ἅμα βραχείᾳ πικρότητι. διὸ καὶ ἡ δύναμις αὐτοῦ ῥυπτική τέ ἐστι καὶ ξηραντική. Κριθαί. ψύχουσι καὶ ξηραίνουσι κατὰ τὴν πρώτην τάξιν. ἔχουσι δέ τι καὶ ῥυπτικὸν ὀλίγον. εἰσὶ δὲ τοῦ τῶν κυάμων ἀλεύρου ξηραντικώτεραι, καὶ ἄφυσοι μᾶλλον. τὰ δὲ ἄλφιτα πολὺ καὶ τῶν κριθῶν εἰσὶ ξηραντικώτερα. ἡ δὲ πτισάνη, πρὸς τὸ μᾶλλον ὑγραίνειν, καὶ μᾶλλον ἐστὶ ῥυπτική. Κρίμνον. τὸ παχυμερὲς οὕτως ὀνομάζεται τοῦ τε πυρίνου καὶ τοῦ ἐκ τῶν ζειῶν ἀλεύρου, τροφιμώτερον μὲν ἀλφίτου, δυσπεπτότερον δέ.

Κρίνου τὸ μὲν ἄνθος. τῇ κράσει μικτόν ἐστιν, ἐκ λεπτομεροῦς τε καὶ γεώδους οὐσίας καί τινος ὑδατώδους εὐκράτου, ὅθεν καὶ τὸ ἐξ αὐτοῦ συντιθέμενον ἔλαιον διαφορητικῆς τε καὶ μαλακτικῆς ἐστι δυνάμεως, ταῖς κατὰ μήτραν ἁρμόζον φλεγμοναῖς. ἡ δὲ ῥίζα καὶ τὰ φύλλα, ξηραίνει καὶ ῥύπτει καὶ διαφορεῖ μετρίως. ὅθεν εἰς τὰ κατακαύματα χρησιμεύει. ὁ δὲ χυλὸς αὐτοῦ, καὶ νευροτρώτους ὀνίνησι σὺν ὀξυμέλιτι. Κροκοδειλίου, τὸ μὲν σπέρμα καὶ ὁ χυλὸς, θερμῆς καὶ ξηρᾶς καὶ διαφορητικῆς ἐστι δυνάμεως. οὖρά τε οὖν κινεῖ καὶ καταμήνια. ἡ δὲ ῥίζα, τὰς ἐκ θώρακος ἀναπτύσεις ὠφελεῖ. ἄγει δὲ καὶ διὰ ῥινῶν αἷμα. Κρόκος. δευτέρας μέν ἐστι τάξεως τῶν θερμαινόντων, πρώτης δὲ τῶν ξηραινόντων. στύφει τε καὶ συμπέττει. Κρόμμυον. ἐκ τῆς τετάρτης τάξεώς ἐστι τῶν θερμαινόντων, παχυμερὲς τὴν οὐσίαν, ὅθεν αἱμορροΐδας ἀναστομοῖ προστιθέμενον. ἔστι δὲ καὶ ῥυπτικὸν ἱκανῶς. ἀλφοὺς δὲ ἀφαιρεῖ σὺν ὄξει, καὶ ἀλωπεκίας. θᾶττον ἀλκυονίου παρορμᾷ τὰς τρίχας. ὁ δὲ χυλὸς αὐτοῦ, τοὺς ὑποχεομένους ἢ ἀμβλυώττοντας διὰ παχὺν χυμὸν ὠφελεῖ. Κύαμος. οὐ πολὺ τῆς μέσης ἀφέστηκε κράσεως, κατά τε τὸ ψύχειν καὶ ξηραίνειν. μετέχει δέ τινος καὶ ῥυπτικῆς δυνάμεως ἡ σὰρξ αὐτοῦ. ἀναπτύσεσι γοῦν ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἁρμόζει. τοῦ δὲ λέμματος ἔχοντός τι καὶ στύψεως, κοιλιακοῖς τε καὶ δυσεντερικοῖς ὅλος ὁ κύαμος ἁρμόζει ἐν ὀξυκράτῳ ἑψηθείς. καταπλασσόμενος δὲ, φλεγμονάς τε καὶ ὄγκους ἰᾶται, καὶ γάλα σβέννυσιν ἐπὶ τῶν τιτθῶν.

Κύανος. δριμείας ἐστὶ δυνάμεως, καθαιρετικῆς τε καὶ διαφορητικῆς, πλεῖον ἢ κατὰ τὸ κιννάβαρι. μετέχει δὲ καὶ στύψεως. Κυκλάμινος, ποικίλη τὴν δύναμίν ἐστιν. καὶ γὰρ ῥύπτει καὶ τέμνει καὶ ἀναστομοῖ καὶ ἐπισπᾶται καὶ διαφορεῖ. ὁ μὲν οὖν χυλὸς αὐτοῦ, αἱμορροΐδας ἀναστομοῖ προστιθέμενος, καὶ σκληρίας διαφορεῖ σὺν ἄλλοις. μετὰ μέλιτος δὲ τοῖς ὑποχεομένοις ἁρμόττει. καὶ διὰ ῥινῶν καθαίρει. καὶ κατὰ τοῦ ὑπογαστρίου χριόμενος, κοιλίαν ὑπάγει, καὶ ἔμβρυα φθείρει. ἡ δὲ ὅλη ῥίζα τοῦ χυλοῦ μὲν ἐστὶν ἀσθενεστέρα, σφοδρὰ δὲ καὶ αὐτή. ὥστε μετὰ μελικράτου πινομένη βιδῶν < . μέγεθος. τὰ ἐντὸς ἐκκαθαίρει. ῥύπτει δὲ καὶ τὰ περὶ τὸ δέρμα. ἡ δ' ἑτέρα κυκλάμινος, ἣν καὶ κισσάνθεμον καλοῦσιν, τὴν ῥίζαν ἄχρηστον ἔχουσα, τὸν καρπὸν ἔχει δραστικόν. ὥστε πινόμενον παραπλήσια τῇ προτέρᾳ δρᾶν. Κύμινον. θερμαντικῆς ἐστι δυνάμεως κατὰ τὴν τρίτην που τάξιν. οὐρητικόν τε καὶ ἄφυσον ὑπάρχει. Κυνοσβάτου. ὁ μὲν καρπὸς οὐκ ἀγεννῶς σταλτικός ἐστι, τὰ δὲ φύλλα μετρίως στύφει. φυλάττεσθαι δὲ τὸ ἐν τῷ καρπῷ βρυῶδες, ὡς ἀρτηρίας κακωτικόν. Κυπαρίσσου, τά τε σφαιρία καὶ οἱ βλαστοί, ξηραντικῆς εἰσι δυνάμεως, οὐδὲν ἐπιφανὲς ἐχούσης θερμόν. ὥστε καὶ τραύματα μεγάλα κολλᾶν ἐν σκληροῖς σώμασιν. ἔν τε ταῖς πλαδαραῖς σήψεσι τὰς κατὰ βάθους ὑγρότητας ἀλύπως ἐκβόσκεται. καὶ τοὺς ἐντεροκηλικοὺς ὠφελεῖ. Κύπερα. θερμαίνει καὶ ξηραίνει χωρὶς δήξεως. ὅθεν καὶ τὰ ὑγρότερα τῶν ἑλκῶν θαυμαστῶς ἀφελοῖ, καὶ τὰ ἐν τῷ στόματι ὠφελεῖ. ἔχει δέ τι καὶ τμητικόν. λίθους τε θρύπτει, καὶ οὖρα καὶ ἔμμηνα κινεῖ. Κύπρου τὰ φύλλα, καὶ οἱ ἀκρέμονες, μικτῆς εἰσι δυνάμεως, διαφορητικῆς τε καὶ σταλτικῆς, ἀλύπως τε καὶ ἀδήκτως ξηραινούσης. ὅθεν τὸ ἀφέψημα αὐτῶν καταντλούμενον, ὀνίνησι τὰ πυρίκαυτα. καὶ ταῖς πυρώδεσι φλεγμοναῖς ἁρμόττει. καὶ τὰς ἄφθας ὠφελεῖ διαμασσομένη. καὶ σπληνικαῖς μίγνυται δυνάμεσιν. Κυτίσου τὰ φύλλα. διαφορητικῆς ἠρέμα καὶ χλιαρᾶς εἰσι δυνάμεως, καθάπερ καὶ τὰ τῆς μαλάχης.

Κώνιον. ὅτι τῆς ἄκρως ψυκτικῆς ἐστι δυνάμεως, πρόδηλον. Κώνου ὁ μὲν φλοιὸς καὶ τὰ φύλλα, παραπλήσια εἰσὶ τῇ πίτυϊ δυνάμεως. δριμύτερα δὲ καὶ δραστικώτερα. ὁ δὲ καρπὸς ὃν δὴ καὶ στρόβιλον ὀνομάζουσιν, ὁ μὲν χλωρὸς ἔχει τι πικρὸν καὶ δριμὺ μεθ' ὑγρότητος. διὸ τοῖς κατὰ θώρακα πάθεσιν εὐανάγωγός ἐστιν. ὁ δὲ ἐδώδιμος, ἐν ὕδατι βραχεὶς ὡς ἀποτίθεσθαι τὸ δριμύ, εὔκρατος γίνεται, ἄδηκτός τε καὶ ἐμπλαστικός, ὡς καὶ τραχύτητας καταλεαίνει.

Ἀρχὴ τοῦ Λ.

Λαγώπους. ξηραντικῆς ἐστι δυνάμεως, καὶ τὰ κατὰ τὴν γαστέρα ῥεύματα ξηραίνει. Λάδανον. ἀπὸ τοῦ κισθοῦ τοῦ λαδάνου λεγομένου γίνεται. νεμόμεναι γὰρ αὐτὸν αἱ αἶγες, ἐν τοῖς πώγωσι καὶ τοῖς μηροῖς αὐτῶν τὸ λιπαρώτερον καὶ ὀπῶδες τῆς πόας ἀφαιροῦνται. συναγόμενον δέ, τὸ λαδανόν ἐστιν, ἄριστον φάρμακον θερμὸν, περί που τῆς δευτέρας ἀποστάσεως καὶ λεπτομερές. μαλακτικόν τε μετρίως καὶ διαφορητικὸν καὶ συμπεπτικόν. διὸ καὶ τοῖς κατὰ μήτραν ἰδίως ἁρμόττει πάθεσιν. ἔχει δέ τι καὶ σταλτικόν. ὅθεν τὰς ῥεούσας κρατύνει τρίχας. Λαθυρίς. εἶδος αὕτη τιθυμάλλου. τινὲς δέ φασιν, ὅτι καθαίρει παραπλησίως ἐκείνῳ ὁ ὀπὸς αὐτῆς. τὸ δὲ σπέρμα ταύτης, μάλιστα τὴν καθαρτικὴν ἔχει δύναμιν. Λαμψάνη. ἐσθιομένη μὲν, κακόχυμός ἐστι. καταπλασσομένη δὲ, ῥυπτικόν ἔχει τι καὶ διαφορητικόν. Λάπαθον. διαφορητικῆς ἐστι μετρίως δυνάμεως. τὸ δὲ ὀξυλάπαθον πρὸς ταύτῃ καὶ ἀποκρουστικόν ἔχει τι. τὸ δὲ σπέρμα καὶ μάλιστα τοῦ ὀξυλαπάθου, σταλτικόν ὑπάρχον διαρροίας τε καὶ δυσεντερίας ἰᾶται. ἐναντίως δέ πως ἔχει τὰ φύλλα πρὸς τὸ σπέρμα. τὰ μὲν γὰρ ἐκταράσσει τὴν κοιλίαν ἐσθιόμενα, τὸ δὲ πινόμενον ἐπέχει αὐτήν. Λειμωνίου τὸν καρπὸν αὐστηρὸν ὑπάρχοντα, μετ' οἴνου διδόασι κοιλιακοῖς τε καὶ δυσεντερικοῖς καὶ αἱμοπτοϊκοῖς, καὶ πρὸς ῥοῦν γυναικεῖον, πλῆθος ὀξυβάφου.

Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν. ἔστι μὲν οἷον βρύον, ῥυπτικῆς τε ἅμα καὶ μετρίως ψυχούσης καὶ ξηραντικῆς ὑπάρχων δυνάμεως. λειχῆνας δὲ θεραπεύει καὶ ἀφλέγμαντός ἐστιν. ὡς δὲ φησὶν ὁ Διοσκορίδης, καὶ αἱμορραγίας ἵστησι. Λειχῆνας ἵππων, λειωθέντας σὺν ὄξει φησίν, ἐπιληψίας τε καὶ παντὸς ἰᾶσθαι θηρίου δῆγμα. Λεοντοπετάλου ἡ ῥίζα, θερμῆς καὶ ξηρᾶς κατὰ τὴν τρίτην τάξιν, καὶ διαφορητικῆς ἐστι δυνάμεως. Λεπίδιον, ὃ δὴ καὶ ἰβηρίδα καλοῦσιν. ἐκ τῆς τετάρτης ἐστὶ τῶν θερμαινόντων τάξεως. ὅμοιον μὲν ὑπάρχον καρδάμῳ κατὰ τὴν δύναμιν, ἧττον δὲ αὐτοῦ ξηραίνει. Λεπὶς πᾶσα μὲν ἰσχυρῶς τε ξηραίνει καὶ στύφει, καὶ δακνώδης ἐστὶν οὐκ ἀγεννῶς. ἀλλ' ἡ μὲν τοῦ χαλκοῦ ξηραίνει πλέον, καὶ λεπτομερεστέρα ἐστίν, ἔχουσά τι καὶ ἰοῦ, καὶ μᾶλλον ἢ ἐκ τῶν κυπρείων ἥλων, ἣν διὰ τοῦτο καὶ ἡλῖτιν ὀνομάζουσιν. ἡ δὲ τοῦ σιδήρου, στύψεως πλείονος μετέχει, καὶ ταύτης μᾶλλον ἡ τοῦ στομώματος, ὅθεν καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἀμείνων ἐστι. καθαίρει δὲ καὶ τήκει σάρκα μᾶλλον ἢ τοῦ χαλκοῦ. Λευκάκανθον,

οἱ δὲ

οἱ δὲ πολυγόνατον, οἱ δὲ ἰσχιάδα καλοῦσι. ταύτης ἡ ῥίζα τέμνει μὲν καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. θερμαίνει δὲ κατὰ τὴν πρώτην. Λευκάς. θερμαίνει μὲν καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν, ὑπερκρατεῖ δὲ ἡ δριμύτης. Λευκοΐου καὶ σύμπας μὲν ὁ θάμνος, ῥυπτικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως, μᾶλλον δὲ τὰ ἄνθη, καὶ τὰ τούτων ξηρότερα. ὥστε καὶ καταμήνια κινεῖ, καὶ ἔμβρυα φθείρει τε καὶ ἐκβάλλει. καὶ εἴ τις αὐτῶν διὰ ὕδατος μίξεως ἀμβλύνῃ τὴν δύναμιν, καὶ πρὸς φλεγμονὰς ἁρμόσει, καὶ μάλιστα τὰς ἐν μήτρᾳ. αἱ ῥίζαι δὲ, παραπλησίας οὖσαι δυνάμεως, παχυμερέστεραί τε καὶ γεωδέστεραί πως εἰσί. μετ' ὄξους δὲ τὰς σκιρρουμένας ὠφελοῦσι φλεγμονάς. Λεύκη τὸ δένδρον, ἐξ ὑδατώδους τε χλιαρᾶς καὶ γεώδους ὑπάρχον οὐσίας, ῥυπτικῆς μετέχει δυνάμεως. Λιβανωτίδες τρεῖς, ἡ μὲν ἄκαρπος, αἱ δὲ δύο φέρουσι καρπόν. ῥυπτικῆς τε καὶ τμητικῆς καὶ διαφορητικῆς καὶ μαλακτικῆς εἰσὶ δυνάμεως. ὧν ὁ χυλὸς σὺν μέλιτι τὰς διὰ πάχους ὑγρῶν ἀμβλυωπίας ἰᾶται. τῆς δὲ εἰς τοὺς στεφάνους χρησίμης τὸ ἀφέψημα πινόμενον, τοὺς ἰκτεριῶντας ὀνίνησιν. Λιβανωτός. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν. ξηραίνει δὲ κατὰ τὴν πρώτην. ἔχει δέ τι καὶ ὑπόστυφον ὀλίγον. ὁ φλοιὸς αὐτοῦ στύφει σαφῶς, διὸ καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν συμπληρουμένην. παχυμερέστερός τε τοῦ λιβάνου καὶ ἧττον δριμύς, ὅθεν καὶ αἱμοπτοϊκοὺς καὶ δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ στομαχικοὺς ἰᾶται, ἔξωθέν τε καὶ εἴσω λαμβανόμενος. ὁ δὲ θαλλὸς αὐτοῦ, θερμαίνει καὶ ξηραίνει τῆς τρίτης ἀποστάσεως, ἔχων τι καὶ ῥυπτικὸν ᾧ ἀνακαθαίρει τε καὶ πληροῖ τὰ ἐν ὀφθαλμοῖς ἕλκη. Λιγνύς. καιομένων τινῶν εἰδῶν ὥσπερ αἰθάλη τίς ἐστιν, οἷον λιβανωτοῦ, σμύρνης, τερμίνθου, στύρακος, πίσσης ὑγρᾶς, κέδρου. ξηραντικὴ μὲν καὶ γεώδης καὶ λεπτομερὴς ὑπάρχουσα. αἱ δὲ κατ' εἶδος αὐτοῦ διαφοραί, παρὰ τὴν καυθεῖσαν ὕλην γίνονται. χρῶνται δὲ αὐτῇ μάλιστα κατὰ τὰς ὀφθαλμικάς τε καὶ καλλιβλεφάρους δυνάμεις. ἡ δὲ τοῦ λιβανωτοῦ, χρειωδεστέρα πασῶν ἐστιν, ὡς πραϋτέρα. ἰσχυροτέρα δὲ πάλιν ἡ τῆς πίτυός τε καὶ κώνου καὶ πεύκης. ὅθεν πρὸς ψίλα βλέφαρα, καὶ μυδῶντας κανθοὺς καὶ περιβεβρωμένους καὶ δακρύοντας, ἐστὶ χρήσιμος. Λιγυστικοῦ, καὶ ἡ ῥίζα καὶ τὸ σπέρμα, τῶν θερμαινόντων εἰς τοσοῦτόν ἐστιν ὡς ἔμμηνά τε κινεῖν. ἔστι δὲ καὶ ἄφυσον πάνυ. Λιθάργυρος. τῆς μέσης ἐν τοῖς μεταλλικοῖς ἐστὶ τάξεως, διὸ καὶ ὡς ὕλῃ χρώμεθα πολλάκις αὐτῇ μιγνύντες ἑτέραις δυνάμεσι. ξηραίνει γε μὴν μετρίως καὶ ῥύπτει καὶ στύφει, διὸ πρὸς τὰ ἐν μηροῖς παρατρίμματα χρησιμεύει. Λίθοι. πάντες μὲν ὥσπερ καὶ ἡ γῆ ξηραίνουσιν. ἀλλ' ὁ μὲν αἱματίτης, στυπτικός τε καὶ ξηραντικὸς ἱκανῶς ἐστιν, ὥστε καὶ τραχώμασιν ὀφθαλμῶν ἁρμόττει. ἀφλεγμάντοις μὲν, σὺν ὕδατι. φλεγμαίνουσι δὲ, σὺν ᾠῷ. ἁρμόττει δὲ καὶ πτύσεσιν αἵματος, πινόμενος, καὶ ἕλκη ὑπερσαρκοῦντα καταστέλλει. ὁ δὲ σχιστὸς, παραπλησίαν μὲν ἔχει τούτῳ δύναμιν, ἀσθενέστερος δέ. καὶ μετ' αὐτὸν ὁ γαλακτίτης. ὁ δὲ μελιτίτης, ἔχει τι καὶ θερμότητος. ὁ δὲ μόροχθος, ὃν δὴ καὶ λευκογραφίδα καλοῦσιν, ὅσῳ μαλακώτερος τούτων ἐστὶ διὰ τὸ μηδεμίαν ἔχειν δραστικὴν ποιότητα, τοσούτῳ μετριώτερός τε καὶ ἀνωδυνώτερός ἐστιν. διόπερ ἔνιοι τῶν μαλακοσωμάτων μετὰ κηρωτῆς αὐτῷ πρὸς ἀπούλωσιν ἑλκῶν χρῶνται. ὁ δὲ ὑπόχλωρος ἴασπις, ἰσχυροτέρας ὢν δυνάμεως, οὐλάς τε καὶ πτερύγια λεπτύνει. ὁ δὲ χλωρὸς ἴασπις, στόμαχον ὠφελεῖ περιαπτόμενός τε καὶ ἐν δακτυλίῳ φορούμενος. ὁ δὲ ἰουδαϊκὸς καλούμενος, τῶν ἐν νεφροῖς λίθων ἐστὶ θρυπτικός. ὅθεν καὶ τηκόλιθον αὐτὸν οἱ νεώτεροι προσαγορεύουσιν. ὁ δὲ πυρίτης, τῶν ἰσχυρῶς ἐστι διαφορούντων ὄγκους τε καὶ θρόμβους. οὗ μὴ παρόντος τῷ μυλίτῃ χρῶνται. ὁ δὲ φρύγιος, μετὰ τοῦ ξηραίνειν ἰσχυρῶς, ἔχει τι καὶ στύψεως καὶ δήξεως. ὅθεν ἀποκρουστικός τε καὶ διαφορητικός ἐστιν. διὸ καὶ ὀφθαλμικαῖς μίγνυται δυνάμεσι. καὶ ὁ ἀγήρατος δὲ, στυπτικῆς τε καὶ διαφορητικῆς ὑπάρχων δυνάμεως, γαργαρεῶνας φλεγμαίνοντας ὠφελεῖ. τὸ δὲ τῆς ἀσίας πέτρας ἄνθος, λεπτομερὲς εἰς τοσοῦτόν ἐστιν, ὡς ἀδήκτως τὰς πλαδαρὰς σάρκας ἐκτήκειν. ὁ δὲ γαγάτης, ξηραντικὸς ἱκανῶς ὑπάρχων ἐμφυσήμασιν ἁρμόττει μάλιστα χρονίοις. ὁ δὲ μαγνίτης, ὁ καὶ ἡρακλεία καλουμένη λίθος, παραπλησίαν ἔχει τῷ αἱματίτῃ τὴν δύναμιν. ὁ δὲ μὴν ἀράβιος, ἐοικὼς ἐλέφαντι, ξηραντικός τε καὶ ῥυπτικός ἐστι. τὸν δὲ ἀλαβαστρίτην καυθέντα, τοὺς στομαχικοὺς ἔνιοι ποτίζουσιν. ἡ δὲ σμιρίς, ῥυπτικὴν ἔχουσα δύναμιν, ὀδόντας σμήχει. οἱ δὲ ἐν τοῖς σπόγγοις εὑρισκόμενοι λίθοι, τοὺς ἐν νεφροῖς θρύπτουσι λίθους. παραπλησίας δὲ τούτοις εἰσὶ δυνάμεως, καὶ οἱ ἐν τῷ ἀργαίῳ τῆς καππαδοκίας ὄρει γεννώμενοι. ὁμοίως δὲ καὶ ὁ ὀφίτης καλούμενος, ὅς τις καὶ τοὺς ἐχεοδήκτους ὠφελεῖ περιαπτόμενος. τὸν δὲ ὀστρακίτην καὶ τὸν γεώδη, ξηραντικοὺς ἱκανῶς φασί, ὥστε καὶ φλεγμονώδεις ὄγκους ἰᾶσθαι. τό γε μὴν τῆς ναξίας ἀκόνης ἀπότριμμα, ψυκτικὸν εἶναί φασιν, ὥστε καὶ τιτθοὺς παρθένων καὶ παίδων ὄρχεις προστέλλειν. τῆς ἐλαιακόνης δὲ τὸ ἀπότριμμα, ῥυπτικὸν ὑπάρχον, ἀλωπεκίαις ἁρμόττει. τὸν ἱερακίτην δὲ καὶ ἰνδικὸν λίθον φασὶ, περιαπτόμενον, τὸ ἐκ τῶν αἱμορροΐδων ἱστᾶν

αἷμα. τὸν δὲ σάφειρον πινόμενον, τοὺς ὑπὸ σκορπίου πληγέντας ὠφελεῖν. καὶ τὸν ἀφροσέλινον, τοὺς ἐπιληπτικούς. ὁ δὲ ἀρμενιακὸς, καθαίρει μὲν κάτω, τὴν κοιλίαν, ἔστι δὲ κακοστόμαχος. Λιθόσπερμον, οἱ δὲ λειόσπορον, οἱ δὲ ἡράκλειον. πόας τῆς ἀετνύχου προσαγορευομένης ἐστὶ τὸ σπέρμα, λιθῶδες, λευκόν. ὃ πινόμενον μετ' οἴνου λευκοῦ, λίθους θρύπτει, καὶ οὖρα ἄγει. Λινόσπερμον. θερμὸν μέν ἐστι κατὰ τὴν πρώτην τάξιν. μέσον δὲ τῶν ὑγραινόντων καὶ ξηραινόντων. ἐσθιόμενον δὲ φυσῶδές ἐστιν κἂν φρυχθῇ. Λινόζωσις ὑπακτικὴ μὲν γαστρὸς ἱκανῶς ἐστιν. καταπλαττομένη δὲ διαφορεῖ. Δεῖ εἰδέναι, ὅτι τὸ τῆς λινοζώστεως σπέρμα ἀνατριβόμενον ταῖς παρὰ φύσιν τοῦ σώματος ἐξοχαῖς ἃς καλεῖ ὁ ἰδιώτης ναρκία, πεπείραται ἀφανίζειν αὐτά. δεῖ δὲ ἔγχλωρον εἶναι τὸ σπέρμα, καὶ πολλάκις αὐτῷ ἀνατρίβειν αὐτά. Λίτρον. ἐν τῷ μεταξὺ τοῦ ἀφρονίτρου τε καὶ ἁλῶν ἐστι δυνάμεως. καυθὲν δὲ λεπτομερέστερόν τε καὶ διαφορητικώτερον γίνεται. κἂν ἔσω τοῦ σώματος ληφθείη, τέμνει καὶ λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς πλέον τῶν ἄλλων. τὸ δὲ χαλεστραῖον, ἔστι δὲ χωρίον τῆς Θεσσαλονίκης ἡ χαλέστρα, δριμύτερόν τε καὶ ξηραντικώτερόν ἐστιν. ὥστε καὶ πρὸς τὰ ἐκ τῆς κεφαλῆς ῥεύματα, καὶ πρὸς ἀρθριτικά, αὐτῷ χρῶνται. Λογχίτιδος. τῆς μὲν τὸ σπέρμα τρίγωνον ἐχούσης καθάπερ λόγχη ἡ ῥίζα, παραπλησία τῇ τοῦ δαύκου, οὐρητική ἐστιν. τῆς δὲ τῷ σκολοπενδρίῳ προσεοικυίας τὰ φύλλα, χλωρὰ μὲν, τραυμάτων ἐστὶ κολλητικά. ξηρὰ δὲ, μετ' ὄξους πινόμενα, σπλῆνας ἰᾶται σκιρρουμένους. Λυκαψοῦ τὴν ῥίζαν στυπτικὴν οὖσαν, φησὶν ὁ Διοσκορίδης καταπλασσομένην σὺν ἀλφίτοις, ἐρυσιπέλασιν ἁρμόττειν. λεῖαν δὲ συναλειφομένην ἐλαίῳ, ἱδρῶτας κινεῖν. Λύκιον. ἐξ ἑτερογενῶν σύγκειται δυνάμεων. τῶν μὲν θερμῆς τε καὶ λεπτομεροῦς καὶ διαφορητικῆς, τῶν δὲ γεώδους, ψυχρᾶς καὶ ἠρέμα στυφούσης, ὥστε ξηραίνειν κατὰ τὴν δευτέραν ἀπόστασιν. κατὰ δὲ τὸ θερμαίνειν καὶ ψύχειν, μέσον. διόπερ ὡς ῥυπτικὸν μὲν αὐτῷ χρῶνται ἐπὶ τῶν ἐπισκοτούντων ταῖς κόραις. ὡς δὲ στυπτικῷ, ἐπὶ κοιλιακῶν τε καὶ δυσεντερικῶν, καὶ τῶν κακοήθων ἑλκῶν. ἐπὶ δὲ φλεγμονῶν, ὡς διαφοροῦντι. προτερεύει δὲ τὸ ἰνδικόν. Λυσιμάχιον. ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν δύναμιν. ὅθεν τραύματά τε κολλᾷ καὶ ἴσχαιμός ἐστιν αὐτή τε καὶ ὁ χυλός. καὶ δυσεντερικοὺς ὠφελεῖ, πινομένη τε καὶ ἐνιεμένη. Λυχνίδος τῆς εἰς τοὺς στεφάνους. τὸ σπέρμα, θερμόν ἐστι καὶ ξηρόν, κατὰ τὴν δευτέραν τάξιν πληρουμένην. Λωτὸς ὁ ἥμερος, ὃν ἔνιοι τρίφυλλον ὀνομάζουσι. ῥυπτικῆς ἐστι καὶ ξηραντικῆς μετρίως δυνάμεως, εὔκρατος δὲ κατὰ θερμότητα. τοῦ δὲ ἀγρίου τὸ σπέρμα. δευτέρας ἐστὶ τῶν θερμαινόντων τάξεως. ἔχει δέ τι καὶ ῥυπτικόν. τοῦ δὲ αἰγυπτίου τὸ σπέρμα καὶ ἀρτοποιοῦνται· Λωτὸς τὸ δένδρον, λεπτομερές τε καὶ ξηραντικόν ἐστι καὶ στυπτικὸν μετρίως. ὅθεν πρός τε ῥοῦν γυναικεῖον καὶ τὰ κατὰ κοιλίαν ῥεύματα πινόμενος ἁρμόττει μετ' οἴνου ἢ ὕδατος, ἢ καὶ ἐνιέμενος. καὶ τὰς ῥεούσας τρίχας κρατύνει.

Ἀρχὴ τοῦ μ.

Μάκερ. φλοιός ἐστιν ἐκ τῆς ἰνδικῆς κομιζόμενος, ξηραίνων μὲν κατὰ τὴν τρίτην τάξιν, μέσος δὲ κατὰ θερμότητα καὶ ψύξιν. ἔστι δὲ καὶ στυπτικὸς λεπτομερὴς, ὅθεν κοιλιακοῖς τε καὶ δυσεντερικοῖς ἁρμόττει. Μαλαβάθρου φύλλον. νάρδου στάχυϊ παραπλησίαν ἔχει δύναμιν. Μαλάχη. ἡ μὲν ἀγρία, διαφορητικὴ μετρίως ἐστὶ καὶ μαλακτική. ἡ δὲ κηπευτὴ, ὡς ἂν ὑγροτέρα, καὶ ἀσθενεστέρα ἐστίν. ὁ δὲ καρπὸς, εἰς τοσοῦτον ἰσχυρὸς, εἰς ὅσον καὶ ξηρότερος. Μαμιρᾶς. οἷον ῥίζιόν τι πόας ἐστὶν, ἔχον ὥσπερ κονδύλους πυκνοὺς, ὅπερ οὐλάς τε καὶ λευκώματα λεπτύνειν πεπίστευται. δηλονότι ῥυπτικῆς ὑπάρχον δυνάμεως. Μανδραγόρας. τῆς τρίτης ἐστὶ τῶν ψυχόντων τάξεως. τὰ δὲ μῆλα αὐτοῦ καὶ θερμότητός τινος μετέχει καὶ ὑγρότητος. ὅθεν καὶ κωματώδη τὴν δύναμιν εἰσίν. τῆς ῥίζης δὲ ὁ φλοιὸς, ἰσχυρότατος ὢν, οὐ ψύχει μόνον ἀλλὰ καὶ ξηραίνει. τὸ δὲ ἐντὸς αὐτῆς ἀσθενὲς ὑπάρχει. Μάννα λιβάνου. παραπλησίαν μὲν ἔχει τῷ λιβανωτῷ δύναμιν, ὑπανειμένην δὲ, καὶ ἠρέμα στύφουσαν. Μάραθρον. θερμαίνει μὲν κατὰ τὴν τρίτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν α. διὸ καὶ γάλακτός ἐστι γεννητικὸν, καὶ τοῖς ὑποχεομένοις βοηθεῖ. Μαστίχη. ἡ μὲν χία θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν. συνθέτου δὲ δυνάμεώς ἐστι, στυπτικῆς τε ἅμα καὶ μαλακτικῆς. ὅθεν καὶ στομάχου καὶ κοιλίας, καὶ ἐντέρων καὶ ἥπατος φλεγμοναῖς ἁρμόττει. ἡ δὲ αἰγυπτία, μελαντέρα πως οὖσα ξηραίνει τε μᾶλλον καὶ διαφορεῖ, καὶ ἧττον στύφει. διὸ καὶ δοθιῆνας διαφορεῖ. Μέλαν ἰνδικόν. ὥς φησι Διοσκορίδης τῶν ψυχόντων ἐλαφρῶς ἐστι καὶ ἀποκρουόντων φλεγμονὰς καὶ οἰδήματα, ἕλκη τε ἀνακαθαιρόντων. Μελαντηρία, τῶν στυφόντων ἱκανῶς ἐστὶ μετὰ λεπτομερείας. Μέλαν ᾧ γράφομεν. ἱκανῶς καὶ τοῦτο ξηραίνει. λυόμενον δὲ ὀξυκράτῳ, τὰ πυρίκαυτα καταχριόμενον ὀνίνησι παραχρῆμα.

Μελάνθιον. θερμαίνει μὲν καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν, ἔστι δὲ καὶ λεπτομερές, ὅθεν

ὅθεν σὺν καταῤῥοῦς ὀσφραινόμενον ἰᾶται. καὶ ἀφυσώτατόν ἐστιν εἴσω λαμβανόμενον. ἔστι δὲ καὶ πικρόν, ὅθεν τὰς ἕλμινθας ἀναιρεῖ. ῥύπτει τε καὶ τέμνει, ὅθεν ὀρθοπνοίαις ἁρμόττει, καὶ λέπρας ἀποσμήχει, καὶ μυρμηκίας ἐκβάλλει, καὶ καταμήνια κινεῖ. Μέλι. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. ἔστι τε ῥυπτικὸν ἱκανῶς. ἑψηθὲν, ἧττον μὲν γίνεται δριμύ τε καὶ ῥυπτικὸν καὶ γαστρὸς ὑπαγωγὸν, μᾶλλον δὲ τρέφει. τὸ δὲ πικρὸν ὥσπερ καὶ τὸ ἐν Σαρδωνίᾳ, μικτῆς ἐστι δυνάμεως, γεώδους τε καὶ θερμῆς. τὸ δὲ σάκχαρ ὅπερ ἐκ τῆς εὐδαίμονος ἀραβίας κομίζεται, καὶ ἧττον μὲν γλυκὺ τοῦ παρ᾽ ἡμῖν ἐστιν. ἰσοδυναμεῖ δὲ, πρὸς τὸ μήτε κακοστόμαχον εἶναι μήτε διψῶδες ὡς τοῦτο. Μελία, γνώριμον δένδρον ἐστίν. οὗ τὰ φύλλα πινόμενα ἐχεοδήκτοις ἁρμόζει. ὁ δὲ φλοιὸς καεὶς καὶ καταχρισθεὶς μεθ᾽ ὕδατος, λέπρας ἀφίστησι. τὰ δὲ ῥινήματα τοῦ ξύλου ποθέντα φασὶν ἀναιρετικὰ εἶναι. Μελίλωτον. μικτῆς ἐστι δυνάμεως, στυπτικῆς τε καὶ διαφορητικῆς καὶ συμπεπτικῆς. Μελισσόφυλλον, ὅμοιον πρασίῳ τὴν δύναμιν ἐστὶν εἰς ἅπαντα. Μεμαίκυλον, ὁ καρπὸς ὢν τῆς κομάρου. εἴρηται κατὰ τὸ κ στοιχεῖον.

Μέσπιλα, οἱ δὲ τρικόκκα. στρυφνὸς ἱκανῶς ἐστιν ὁ καρπὸς οὗτος καὶ μόλις ἐδώδιμος, τῆς τε γαστρὸς ἐφεκτικός. καὶ οἱ βλαστοὶ δὲ καὶ τὰ φύλλα στρυφνὰ ἱκανῶς εἰσίν. Μηδίου ἡ ῥίζα ὑπεναντίαν ἔχει τῇ τοῦ καρποῦ δύναμιν. ἡ μὲν γὰρ αὐστηρά τε καὶ ῥευμάτων ἐστὶν ἐφεκτικὴ, ὥστε καὶ ῥοῦν στέλλειν. τὸ δὲ σπέρμα, κἂν τὸ προτρέπειν τὰ καταμήνια λεπτομεροῦς τε καὶ τμητικῆς ὑπάρχον δυνάμεως. Μήκωνος πλείους εἰσίν. ἀλλὰ τῆς μὲν κηπευτῆς, ἣν δὴ καὶ θυλακῖτιν καλοῦσιν, ἐδώδιμόν ἐστι τὸ σπέρμα σὺν ἄρτοις ἐσθιόμενον, μετρίως ὑπνῶδες ὑπάρχον. ἡ δὲ ῥοιὰς προσαγορευομένη, διὰ τὸ ταχέως ἀποῤῥεῖν αὐτῆς τὸ σπέρμα, ἰσχυρότερον αὐτὸ τῆς κηπευτῆς ἔχει. ἐσθίεται οὖν οὐ καθ᾽ αὑτό, ἀλλ᾽ ἐλάχιστον μιγνύμενον πλείονι μέλιτι. ἡ δὲ οἷον καθῃμένην ἔχουσα τὴν κωδίαν, τὸ σπέρμα μέλαν ἔχει καὶ φαρμακῶδες, ἱκανῶς ψυχρόν. ἡ δὲ τὴν κωδίαν ἐπιμηκεστέραν ἔχουσα καὶ ἀναυξεστέραν, φαρμακωδεστέρα πασῶν ἐστιν, ὥστε καὶ ναρκοῦν ἄχρι νεκρώσεως. ἔστι γὰρ τετάρτης τῶν ψυχόντων ἀποστάσεως αὐτή τε καὶ ὁ ὀπὸς αὐτῆς, ὃν καλοῦσιν κατ᾽ ἐξοχὴν ὄπιον. ἡ δὲ κερατῖτις μήκων, ῥυπτικῆς ἐστι δυνάμεως, ὥστε τῆς μὲν ῥίζης αὐτῆς τὸ ἀφέψημα πινόμενον, ἡπατικοὺς ὠφελεῖν. τὰ δὲ φύλλα καὶ ἄνθη, τὰ ἄγαν ῥυπαρὰ τῶν ἑλκῶν καθαίρειν. καὶ ἐσχάρας ἀφιστᾷ. ἡ δὲ ἡρακλεία καὶ ἀφρώδης καλουμένη, μήκων. καθαρτικὸν φλέγματος ἔχει τὸ σπέρμα. Μῆλα. τοῖς μήλοις ἅπασιν, ὑγρότης ἐμφέρεται περιττωματικὴ καὶ ψυχρά. ἀλλὰ τὰ μὲν ἔκλυτα καὶ ὑδατώδη, ψυχρότερά τε καὶ ὑγρότερα τῶν ἄλλων ἐστί. τὰ δὲ γλυκέα, ὑδατώδη μὲν, οὐ σαφῶς ψυχρά. τὰ δὲ αὐστηρὰ, ψυχρότερα μὲν τῶν γλυκέων, ἧττον δὲ ὑγρά. τὰ δὲ ὀξώδη, ψυχρὰ μὲν καὶ αὐτά, τμητικὰ δὲ τῶν ἐν γαστρὶ χυμῶν. τὰ δὲ στρυφνὰ, οἷάπερ εἰσὶ κυδώνια καὶ στρούθια, ψυχρά τε καὶ γεώδη τὴν κρᾶσιν εἰσί, καὶ διὰ τοῦτο κοιλίαν τε στέλλει, καὶ τραύματα κολλᾷ. οὕτω καὶ τὰ φύλλα καὶ οἱ χυλοὶ καὶ οἱ φλοιοὶ τῶν δένδρων, ἀλλήλων διαφέρουσιν. Μηλαίας περσικῆς. οἱ μὲν βλαστοὶ καὶ τὰ φύλλα πικρὰ σαφῶς εἰσίν. ἕλμεις γοῦν ἀποκτείνει, λεῖα κατὰ τοῦ ὀμφαλοῦ ἐπιτιθέμενα. ὁ δὲ καρπὸς αὐτῆς, τοῦτο δὴ τὸ ἐδώδιμον περσικὸν, ὑγρόν τε ἐστὶ καὶ ψυχρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν.

Μηλαίας ἀρμενιακῆς ὁ καρπὸς, ὃν νῦν καλοῦσι πρεκόκκια. τῆς αὐτῆς τοῖς περσικοῖς ἐστι δυνάμεως. Μήου αἱ ῥίζαι. θερμαὶ μὲν κατὰ τὴν τρίτην εἰσὶ τάξιν, ξηραὶ δὲ κατὰ τὴν δευτέραν. οὖρά τε οὖν καὶ καταμήνια κινεῖ, κεφαλαλγές τε ἐστὶ πλείω λαμβανόμενον. Μῆλαξ, ἡ τελεία καὶ ἡ τραχεῖα, τοῖς δένδροις περιπλεκομένη, θερμῆς τε καὶ δριμείας ἐστὶ δυνάμεως.

Μίσυ. τῶν ἐσχαρωτικῶν τε καὶ καυστικῶν ἐστι φαρμάκων μετὰ στύψεως ἰσχυρᾶς. ἧττον δὲ δάκνει χαλκίτεως, τῷ λεπτομερὲς εἶναι. καὶ τὴν χαλκῖτιν δὲ καὶ τὸ σῶρυ χρονίζοντα, φησὶν ὁ Γαληνὸς εἰς μίσυ συμμεταβάλλειν, ἐκ τῆς ἐπιφανείας ἀρχομένης τῆς μεταβολῆς. Μολύβδαινα. λιθαργύρῳ παραπλησίαν ἔχει δύναμιν, ἀποκεχωρηκυῖα τῆς μέσης κράσεως ἐπὶ τὸ ψυχρότερον. Μόλυβδος. δυνάμεώς ἐστι ψυκτικῆς, ἔχει δὲ καὶ ὑγρὰν οὐσίαν πλείστην ὑπὸ ψύξεως πεπηγυῖαν. τριβομένου γοῦν ἐν αὐτῷ ἢ οἴνου ἢ ὠμοτριβοῦς ἐλαίου ἤ τινος τῶν ψυχόντων χυλῶν, πρὸς τὰς περὶ τὰ αἰδοῖα καὶ τὴν ἕδραν ἑλκώδεις φλεγμονὰς, ἄριστον ἕξεις φάρμακον. ἔλασμα δὲ μολύβδινον, κατὰ τῆς ψόας φορούμενον ὀνειρωγμοὺς ἐπέχει. καὶ γαγγλία δὲ διαχεῖ πέταλον ἐπιτιθέμενον αὐτοῖς μολιβδοῦν. ὁ δὲ κεκαυμένος μόλυβδος, ξηραντικώτερος μέν ἐστιν, ἔχει δέ τι καὶ δριμύ. εἰ δὲ πλυθείη, ἀδήκτως τε ξηραίνει καὶ τῶν κακοήθων ἑλκῶν ἀγαθὸν γίνεται φάρμακον. Μορέας ὁ καρπός. ὁ μὲν πέπειρος, ὑπάγει γαστέρα καὶ τοῖς στοματικοῖς ἄλλοις ὅσα μετρίας δεῖται στύψεως χρήσιμός ἐστιν. ὁ δὲ ἄωρος, ξηρανθεὶς στυπτικὸν ἱκανὸν γίνεται φάρμακον. ὁ δὲ φλοιὸς τῆς ῥίζης τοῦ δένδρου, καὶ καθαρτικός ἐστι μετά τινος πικρότητος. ὅθεν πλατεῖαν ἕλμιν κτείνει. τῶν δὲ φύλλων καὶ τῶν βλαστῶν, μέση πως ἐστὶ τῶν ὑπαγόντων καὶ ἐπεχόντων ἡ δύναμις. Μυάγρου τὸ

σπέρμα, λιπαρόν ἐστι. τὸ δ' ἐν αὐτῷ ἐλαιῶδες, ἐμπλαστικὴν ἔχει δύναμιν. Μύακες καέντες, τὰ αὐτὰ δρῶσι τοῖς κήρυξιν. ἰδιαίτερον δὲ πλυθέντες, τραχύτητα βλεφάρων, καὶ λευκώματα σμήχουσιν σὺν μέλιτι. ἡ δὲ σὰρξ αὐτῶν, τοῖς κυνοδήκτοις ὠφελίμως ἐπιτίθεται. Μύαγρον, οἱ δὲ μελάμπυρον. πόα φρυγανώδης ἐστὶ καὶ λιπαρά. δοκεῖ δὲ τὸ ἐξ αὐτοῦ λίπος ὁμαλίζειν τὰς τοῦ σώματος τραχύτητας. Μυελὸς, μαλακτικῆς τῶν σκληρυνομένων τε καὶ σκιρρουμένων σωμάτων ἐστὶ δυνάμεως. κάλλιστος μὲν ὁ τῶν ἐλάφων. ἐφεξῆς δ' αὐτῷ, ὁ τῶν μόσχων. ὁ δὲ τῶν ταύρων καὶ τῶν τράγων δριμύτερός ἐστι καὶ ξηραντικώτερος. καὶ ὁ μὲν ἀπὸ τῶν κώλων, λιπαρώτερός τε καὶ μαλακτικώτερός ἐστιν. ὁ δὲ τῆς ῥάχεως, σκληρότερός τε καὶ αὐχμηρότερος. Μύκητες. ψυχροὶ καὶ ὑγροὶ τὴν κρᾶσιν ἱκανῶς εἰσί. τινὲς δὲ αὐτῶν καὶ ἀναιροῦσιν ἐσθιόμενοι, καὶ μάλιστα ὅσοι αὐτῶν τὴν φύσιν ἐπίμικτον ἔχουσι σηπεδονώδει ποιότητι. Μυοσώτη. εἴρηται ἀλσίνη. Μύξα, δένδρου καρπός ἐστι, μικρότερος μὲν τῶν κοκκυμήλων, δύναμιν δὲ παραπλήσιος. Μυρίκη. τμητικῆς ἐστι καὶ ῥυπτικῆς δυνάμεως, ἄνευ τοῦ ξηραίνειν ἐπιφανῶς. ἔχει δέ τινα καὶ στύψιν. τὸ γοῦν ἀφέψημα αὐτῆς σπλῆνας ὀνίνησι πινόμενον. ἰᾶται δὲ καὶ ὀδονταλγίας. ὁ δὲ καρπὸς καὶ ὁ φλοιὸς αὐτῆς, ἐγγύς ἐστι κηκῖδι τὴν δύναμιν. ἡ δὲ τέφρα τοῦ δένδρου, ξηραντικωτέρα ἐστί. Μυριόφυλλον. ξηραντικῆς ἐστιν εἰς τοσοῦτον δυνάμεως, ὡς κολλᾶν τραύματα. Μύρρα ἡ μύρρις. ἐκ τῆς δευτέρας ἐστὶ τῆς θερμαινόντων τάξεως, ἔχουσά τι καὶ λεπτομερές. εὐώδης δὲ καὶ γλυκεῖα ἐστὶν αὐτῆς ἡ ῥίζα, ἐμμηνίων τε κινητική, καὶ τῶν ἐκ θώρακος καὶ πνεύμονος ἀνακαθαρτική. Μυρσίνη. ἐξ ἐναντίων οὐσιῶν σύγκειται. κρατεῖ δὲ ἐν αὐτῇ τὸ γεῶδες ψυχρόν, ὅθεν ἰσχυρῶς ξηραίνει. ἡ δὲ μυρτὶς, ἡ ἐν τῷ στελέχει καὶ τοῖς κλάδοις αὐτῆς ὀχθώδης ἐπίφυσις, ξηραίνει τε καὶ στύφει σφοδρότερον. ἐστὶ δὲ καὶ τὰ ξηρότερα φύλλα, τῶν χλωρῶν ξηραντικώτερα. καὶ ὁ καρπὸς δὲ καὶ ὁ χυλὸς, παραπλησίας εἰσὶ δυνάμεως, ἔξωθέν τε καὶ εἴσω τοῦ σώματος λαμβανόμενα. Μῶλυ, τινὲς δὲ πήγανον ἄγριον, ἄλλοι ἅρμαλαν, σύροι δὲ, βησασάμ. τρίτης ἀποστάσεως τῶν θερμαινόντων ἐστὶν λεπτομερές. ὅθεν καὶ τέμνει τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς, διαφορεῖ τε καὶ ἀπούρησιν προτρέπει.

Ἀρχὴ τοῦ ν.

Νάσκαφθον, οἱ δὲ νάρκαφθον. ἰνδικόν ἐστιν ἄρωμα, πρὸς μήτραν ἐστενωμένην ὑπατμιζόμενον.

Νάπυ. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δ' ἀπόστασιν. Ναρδόσταχυς. ἡ ῥίζα ταύτης, θερμαίνει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. ἔχει δὲ καὶ στῦφόν τι, καὶ δριμὺ καὶ ὑπόπικρον. ἥπατι γοῦν ἁρμόττει καὶ στομάχῳ, ἔξωθέν τε καὶ εἴσω πινόμενον. καὶ οὖρα κινεῖ. καὶ τὰ τῶν ὤτων ῥεύματα ξηραίνει. ἰσχυροτέρα δέ ἐστιν ἡ ἰνδικὴ τῆς συριακῆς, καὶ μελαντέρα.

Νάρδος κελτική. παραπλησίας μὲν ἐστὶ τῇ λεχθείσῃ δυνάμεως, ἀσθενεστέρα δὲ, πλὴν εἰς οὖρα. θερμοτέρα γάρ ἐστιν ἐκείνης, καὶ ἧττον στύφουσα. Νάρδος ὀρεία, ἡ καὶ θυλακῖτις καὶ πυρῖτις λεγομένη, τῶν προειρημένων ἐστὶν ἀσθενεστέρα. Νάρθηξ, τὸ σπέρμα μὲν λεπτύνει καὶ θερμαίνει. τὸ δὲ ἐντὸς, χλωρὸν ἔτι στύφει, διὸ αἱμοπτοϊκοῖς τε καὶ κοιλιακοῖς ἁρμόττει. Νάρκη θαλασσία. τοῖς κεφαλαλγοῦσιν ἔτι ζῶσα προστιθεμένη κατὰ τῆς κεφαλῆς, ἀνωδυνίαν ἐργάζεται. ἴσως αὐτῷ διὰ τοῦτο τῷ ναρκοῦν. καὶ τὸ ἔλαιον δὲ ἐν ᾧ ζῶσα ἐνεψήθη, τὰ δριμύτερα τῶν ἀρθριτικῶν ἀλγημάτων παραμυθεῖται χριόμενον. ἕδραν δὲ προπεσοῦσαν προστέλλειν αὐτὴν φασὶ προστιθεμένην. Ναρκίσσου ἡ ῥίζα. ξηραντικῆς ἐστι δυνάμεως, ὡς κολλᾶν τραύματα μέγιστα, μέχρι καὶ τῶν κατὰ τοὺς τένοντας διακοπῶν. ἔχει δέ τι καὶ ῥυπτικὸν καὶ ἐπισπαστικόν. Νευρὰς, οἱ δὲ ποτήριον. ξηραντικῆς ἐστιν ἀδήκτου δυνάμεως, ὡς καὶ αὐτὰ νεῦρα διακοπέντα κολλᾶν. αἱ ῥίζαι δὲ μάλιστα τοῦτο δρῶσιν, ἐπιτιθέμεναί τε καὶ πινόμεναι. Νήριον ἡ ῥοδοδάφνη. ἔξωθεν μὲν καταπλασσομένη, διαφορητικῆς ἐστι δυνάμεως, εἴσω δὲ λαμβανομένη, ἀναιρεῖ. Νυμφαία. δυνάμεώς ἐστι ξηραντικῆς ἀδήκτου. ἐπέχει τοιγαροῦν καὶ τὴν γαστέρα, καὶ τὸ σπέρμα ξηραίνει. ἀλλ' ἡ μὲν τὴν λευκὴν ἔχουσα ῥίζαν, ἰσχυροτέρα ἐστὶν, ὥστε καὶ ῥοῦν γυναικεῖον ἰᾶσθαι πινομένην σὺν οἴνῳ μέλανι καὶ αὐστηρῷ. ἡ δὲ τὴν μέλαιναν. ἔχει τι καὶ ῥυπτικόν, ὡς ἀλφούς τε μεθ' ὕδατος ἰᾶσθαι καὶ ἀλωπεκίας μετὰ πίττης ὑγρᾶς χριομένην.

Ἀρχὴ τοῦ ξ.

Ξάνθιον ἢ φασγάνιον, τὸν καρπὸν ἔχει διαφορητικῆς δυνάμεως. Ξηρὶς ἢ ξυρὶς, λεπτομεροῦς τε καὶ διαφορητικῆς καὶ ἑλκτικῆς ἐστι δυνάμεως. καὶ δηλονότι ξηραντικῆς, καὶ μᾶλλον τὸ σπέρμα, ὥστε καὶ οὐρητικὸν εἶναι καὶ σπλῆνα σκιρρούμενον ἰᾶσθαι. Ξιφίου ἡ ῥίζα ἑλκτικῆς τε ἐστὶ καὶ διαφορητικῆς καὶ ξηραντικῆς δυνάμεως.

Ἀρχὴ τοῦ ο.

Ὄη τὸ δένδρον, οὗ ὁ καρπὸς ὄα καλεῖται, ὑπό τινων δὲ οὖα. στυπτικῆς ἐστι δυνάμεως, ἀλλ' ἧττον μεσπίλου.

μεσπίλου. Ὄθοννα, οἱ μὲν φασὶ πόας εἶναι χυλὸν ἐν τῇ κατ' αἴγυπτον ἀραβίᾳ φυομένης. οἱ δὲ λίθον αἰγύπτιον. ῥύπτει δὲ καὶ δάκνει, πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσα. Οἰνάνθη. ἡ μὲν πλείστη χρῆσις, τῆς ἀγρίας ἀμπέλου τὸ ἄνθος οἶδε. στυπτικὸν ἱκανῶς ὑπάρχον, καὶ στομαχικὸν μάλιστα τῶν περὶ κοιλίαν. ὁ δὲ Διοσκορίδης, ἑτέραν ὑπογράφει ταύτῃ ἐναντίαν τὴν δύναμιν ἔχουσαν. ὅθεν δευτέρα φησὶν ἐκβάλλειν αὐτὴν, καὶ στραγγουρίαν καὶ ἴκτερον ἰᾶσθαι. Οἶνος. ἐκ τῆς δευτέρας τάξεως ἐστὶ τῶν θερμαινόντων καὶ ξηραινόντων, ὁ δὲ ἱκανῶς παλαιὸς, τῆς τρίτης. ὁ δὲ γλευκινίτης, τῆς πρώτης. Οἴσυπος. ἐν τῷ περὶ τῶν ἐρίων εἴρηται λόγῳ. Ὄλυνθοι, δριμείας εἰσὶ καὶ διαφορητικῆς δυνάμεως διὰ τὸν ἐν αὐτοῖς ὀπόν. ἑψηθέντες μὲν οὖν, τοὺς σκληροὺς ὄγκους διαφοροῦσιν. ὠμοὶ δὲ, μυρμηκίας τε καὶ θύμους ἐκβάλλουσιν. Ὁλόστιον. ξηραντικῆς ἐστι δυνάμεως, μετὰ τοῦ στύφειν. ὅθεν αὐτῷ καὶ πρὸς τὰ ῥήγματα χρῶνται. Ὀμφάκιον, ὁ χυλός ἐστι τῆς ὄμφακος σταφυλῆς. στύφον ἱκανῶς καὶ ξηραῖνον κατὰ τὴν τρίτην ἀπόστασιν. ὅθεν τοῖς ῥοώδεσι τῶν παθῶν καὶ μάλιστα τοῖς στομαχικοῖς, ἁρμόττει. Ὄναγρα, οἱ δὲ ὀνόθηραν, ἄλλοι ὀνόθουριν. θάμνος ἐστὶ δενδρώδης, οὗ ἡ ῥίζα καταπλασθεῖσα τὰ θηριώδη τῶν ἑλκῶν πραΰνει. Ὄνομα ἢ ὀνομὶς ἢ φλομῖτις ἢ ὄνωνις. δριμεῖα καὶ πικρά ἐστιν, ὅθεν τὰ φύλλα αὐτῆς πινόμενα σὺν οἴνῳ κτείνει τε καὶ ἐκβάλλει ἔμβρυα. Ὀνόβρυχις. ἀραιωτικῆς καὶ διαφορητικῆς ἐστι δυνάμεως. φύματα γοῦν διαφορεῖ, καὶ στραγγουρίας ἰᾶται, καὶ ἱδρῶτας προκαλεῖται. Ὄνοι οἱ ὑπὸ ταῖς ὑδρίαις οἱ σφαιρούμενοι. διαφορητικῆς τε καὶ ξηραντικῆς εἰσι δυνάμεως. ποθέντες γοῦν σὺν οἴνῳ, δυσουρίας τε καὶ ἴκτερον ἰῶνται. ἐπὶ κυναγχικῶν τε διαχρίονται μετὰ μέλιτος. καὶ πρὸς ὠταλγίαν δὲ, λεῖοι σὺν ῥοδίνῳ θερμανθέντες ἐν κελύφει ῥοιᾶς ἐνστάζονται. Ὄνυχες. πώματά εἰσι κογχυλίων ἰνδικῶν. οἳ θυμιαθέντες, ἐγείρουσι τάς τε ὑστερικῶς πνιγομένας καὶ ἐπιληπτικούς. ποθέντες δὲ, κοιλίαν ταράσσουσιν. Ὄνωνις. ῥίζαν ἔχει θερμαντικὴν ἤδη που κατὰ τὴν τρίτην τάξιν. ὁ δὲ φλοιὸς αὐτῆς, ῥύπτει τε καὶ τέμνει. ὅθεν καὶ λίθων θρυπτικός ἐστιν. Ὄξος, μικτῆς ἐστὶ δυνάμεως ψυχρᾶς καὶ θερμῆς, ἀμφοῖν λεπτομερῶν. ἐπικρατεῖ δὲ τῆς θερμῆς ἡ ψυχρά. ξηραντικὸν δὲ τῆς τρίτης ἐστὶ τάξεως. Ὀξυάκανθος, τὸ δένδρον. ἀχράδι παραπλήσιον ἐστὶ τὴν ἰδέαν τε καὶ τὴν δύναμιν, ἔχον τι καὶ λεπτομερές. ὁ δὲ καρπὸς αὐτοῦ τοῖς μύρτοις ἔοικεν. Ὄπιον.

Ὀπὸς ὅ, τε κυρηναϊκὸς καὶ μηδικὸς, καὶ ὁ συριακός. καθ' ὑπεροχὴν λέγονται, θερμοί τε ἱκανῶς ὄντες καὶ πνευματώδεις. ὁ δὲ κυρηναῖος. ἁπάντων ἐστὶ θερμότερός τε καὶ λεπτομερέστερος. Ὀρίγανοι πᾶσαι. τμητικῆς τε καὶ λεπτυντικῆς καὶ ξηραντικῆς καὶ θερμαντικῆς εἰσὶ δυνάμεως, κατὰ τὴν τρίτην ἀπόστασιν. Ὀρεοσέλινον. παραπλήσιόν ἐστι σελίνῳ τὴν δύναμιν, ἰσχυρότερον δέ. Ὀροβάγχη. ξηρᾶς καὶ ψυχρᾶς ἐστὶ κράσεως κατὰ τὴν πρώτην τάξιν.

Ὄροβος. θερμαίνει μὲν κατὰ τὴν πρώτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. ἔστι δὲ καὶ πικρός, διὸ τέμνει τε καὶ ῥύπτει καὶ ἐκφράττει. πλείων δὲ ληφθεὶς, αἷμα διὰ οὔρων ἄγει. Ὅρμινον. παραπλήσιόν ἐστι πρασίῳ τὴν ἰδέαν, θερμόν τε, καὶ μετρίως ξηρὸν καὶ ῥυπτικόν. συνουσίας τε γοῦν προορμᾷ, καὶ ἀποκαθαίρει σὺν μέλιτι τὰς τῶν ὀφθαλμῶν παχύτητας, καὶ οἰδήματα διαφορεῖ, καὶ σκόλοπας ἐπισπᾶται. τὸ δὲ ἄγριον, ἰσχυρότερόν ἐστι τοῦ ἡμέρου. Ὄρυζα. ἔχει τι στυπτικόν, διὸ καὶ γαστέρα μετρίως ἐπέχει. Ὄρχις ἡ πόα. ὀνομάζεται δὲ καὶ κυνὸς ὄρχις, βολβοειδῆ ῥίζαν ἔχουσα διπλῆν. δύναμιν δὲ, τῆς μὲν μείζονος ὑγρὰν καὶ θερμὴν, διὸ καὶ εἰς συνουσίαν προορμᾷ. τῆς δὲ ἐλάσσονος, θερμὴν καὶ ξηράν. τοὐναντίον γοῦν ἐπέχει τὰς συνουσίας. Ὄρχις ἡ καὶ σεραπιὰς, οἱ δὲ τρίορχιν. ξηραίνει μᾶλλον τῆς προτέρας. οἰδήματα γοῦν διαφορεῖ, καὶ ἕλκη τὰ ῥυπαρὰ καὶ σηπεδονώδη καθαίρει. καὶ ἕρπητας ἰᾶται. ξηρανθεῖσα δὲ μᾶλλον ξηραίνει. διὰ δὲ τὸ ὑποστύφειν, καὶ κοιλίαν ἐπέχει μετ' οἴνου πινομένη. Ὄσιρις ἐξ ἧς τὰ κορήματα γίνεται, πικρὰ καὶ ἐκφρακτικὴ τῶν καθ' ἧπαρ ἐστίν. Ὀστᾶ κεκαυμένα. διαφορητικῆς καὶ ξηραντικῆς ἱκανῶς εἰσὶ δυνάμεως, μάλιστα δὲ φασὶ τὰ τῶν ἀνθρώπων. τόν γε μὴν ὕειον ἀστράγαλον κεκαυμένον, ἐμπνευματώσεις καὶ στρόφους ἰᾶσθαι φασί. καὶ τις ὀστᾶ κεκαυμένα διδοὺς πίνειν, ἐπιληψίαν τε καὶ ἀρθρῖτιν θεραπεύει. τὸν δὲ βόειον ἀστράγαλον καυθέντα, σειομένους φασὶν ἱστᾶν ὀδόντας. μετὰ μέλιτος δὲ πινόμενος, ἐξάγει τὰς στρογγύλας ἕλμινθας. μετ' ὀξυμέλιτος δὲ, σπλῆνα τήκει, καὶ τὰς λεύκας καταχριόμενος ὠφελεῖ. ἀφροδισιαστικός τέ ἐστιν. καὶ οἱ μηροὶ δὲ τοῦ βοὸς πινόμενοι κεκαυμένοι, αἱμορραγίας τε καὶ ῥύσιν κοιλίας ἱστᾶσιν. Ὄστρακα τὰ ἐκ τῶν ἰπνῶν, λεῖα, ξηραντικῆς τε καὶ ῥυπτικῆς εἰσὶ δυνάμεως. ὅθεν ὀδόντας σμήχει, καὶ ἐπιχριόμενα σὺν ὄξει κνησμοὺς καὶ ἐξανθήματα καὶ ποδαγρικοὺς ὠφελεῖ. σὺν κηρωτῇ δὲ, χοιράδας διαφορεῖ. Ὀστρέων τὸ ὄστρακον καυθὲν, παραπλησίας ἐστὶ τῶν κηρύκων δυνάμεως. ἧττον δὲ παχυμεροῦς. ῥύπτει τε γοῦν τὰ περὶ τὸ πρόσωπον,

καὶ ὀδόντας λευκαίνει. πλυνόμενον δὲ, ἄδηκτον γίνεται, καὶ τοῖς ὑγροῖς ἕλκεσι χρήσιμον εἰς πλήρωσίν τε καὶ συνούλωσιν. Οὖρον ἅπαν, θερμόν ἐστι καὶ δριμύ. ἀλλὰ τὸ μὲν τῶν ἀνθρώπων, ἀσθενέστερόν τε τοῦ τῶν ἄλλων ζώων ἐστὶ, πλὴν τῶν ἐνόρχων ὑῶν. ῥυπτικὸν δὲ ἱκανῶς. ὃ καί τινες ἐν λοιμῷ πιόντες ἐσώθησαν. λέπρας τε καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν καὶ ἀχῶρας καὶ πίτυρα θεραπεύει. καὶ τὰ προσπταίσματα τῶν ποδῶν, ὅτε μὴ φλεγμαίνοι. τὸ δὲ τῶν ἀφθόρων παίδων, ἰσχυρότερον. ἐξ οὗ καὶ ἡ χρυσοκόλλα γίνεται. τὸ δὲ τῶν ἡμιόνων, ἀρθριτικαῖς ἁρμόττει δυνάμεσιν. τὸ δὲ τῶν αἰγῶν καὶ τῶν καμήλων, κοιλίαν ὑπάγει. ὅθεν ὑδρωπικοῖς δίδοται.

Ἀρχὴ τοῦ π.

Παγκράτιον. σκίλλῃ τὴν ἰδέαν τε καὶ τὴν δύναμιν ἔοικεν. ἀσθενέστερον δέ ἐστι. Παλιούρου τὰ φύλλα καὶ ἡ ῥίζα, στύφει μὲν, ὅθεν καὶ ῥέουσαν ἵστησι γαστέρα. καὶ διαφορεῖ δὲ φύματα, τὰ μὴ λίαν 1 θερμά. ὁ δὲ καρπὸς τέμνει τοσοῦτον, ὡς καὶ λίθους θρύπτειν, καὶ ταῖς ἐκ θώρακος βοηθεῖν ἀναπτύσεσι. Πάνακος ἡρακλείου, ἐξ οὗ ὁ καλούμενος ὀποπάναξ γίνεται. θερμαίνων μὲν ἐπὶ τὴν τρίτην τάξιν. ξηραίνων δὲ κατὰ τὴν δευτέραν. καὶ μαλάττων καὶ διαφορῶν. ὁ δὲ τῆς ῥίζης φλοιὸς, ἀσθενέστερος ὢν τοῦ ὀποῦ, ἔχει τι καὶ ῥυπτικὸν καὶ σαρκωτικόν. ὁ δὲ καρπὸς αὐτοῦ, καὶ ἔμμηνα κινεῖ. τὸ δὲ ἀσκλήπιον καὶ τὸ χειρώνιον πάνακες, εἰσὶ θερμότερα τοῦ προτέρου, ὅθεν αὐτοῦ τοῖς ἄνθεσι καὶ τῷ καρπῷ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν καὶ φύματα χρῶνται. Πάπυρος. ἄκαυστος μὲν ὕλη τίς γίνεται. καυθεὶς δὲ ξηραίνει, ὥσπερ καὶ ὁ κεκαυμένος χάρτης. ἀσθενεστέρα δὲ ἡ τῆς παπύρου τέφρα. Παρωνυχία. ὠνόμασται μὲν ἐκ τοῦ τὰς παρωνυχίας ἰᾶσθαι. δύναμις δὲ αὐτοῦ λεπτομερής τέ ἐστι καὶ ξηραντικὴ καὶ ἄδηκτος. Πεντάφυλλος. ξηραίνει μὲν κατὰ τὴν τρίτην τάξιν, ἥκιστα δὲ δριμεῖα. διὸ καὶ πολύχρηστος. Πέπλος, ἔνιοι δὲ μήκωνα ἀφρώδη. καὶ οὗτος ὁ θα- 2 μνίσκος ὀπὸν ἔχει, καὶ καθαίρει, παραπλησίως τοῖς τιθυμάλλοις. Πεπλίον. ὀπὸν ἔχει καὶ τοῦτο, καὶ φύεται τὰ πολλὰ παρὰ θαλάσσῃ, τὰ μὲν ἄλλ᾽ ἄχρηστον, τὸ δὲ σπέρμα αὐτοῦ πυρῶδες ὁμοίως τῷ τοῦ πέπλου καθαῖρον. Πεπέρεως ἡ μὲν ῥίζα, κόστῳ τὴν δύναμιν ἔοικεν. ὁ δὲ καρπὸς, ὁ μὲν ἄρτι βλαστάνοντος αὐτοῦ, τὸ μακρόν ἐστι πέπερι, ὑγρότερον ὑπάρχον ἢ θερμόν. ὁ δὲ οἷον ὄμφαξ, τὸ λευκόν ἐστι, δριμύτερον ὑπάρχον τοῦ μέλανος, ἐκείνου ὑπερωπτημένου. ἄμφω δὲ θερμαίνει τε καὶ ξηραίνει. Πέπων. ῥυπτικῆς ἐστι δυνάμεως. ὅθεν ἡ μὲν οἷον σὰρξ αὐτοῦ, ἐφήλεις τε καὶ τὰ παραπλήσια σμήχει. τὸ δὲ σπέρμα αὐτοῦ, νεφροὺς ἐκφράττει. Περικλυμένου τά τε φύλλα καὶ ὁ καρπὸς, τμητικῆς τε ἅμα καὶ θερμαινούσης εἰσὶ δυνάμεως. ὥστε τὸ οὖρον αἱματῶδες ἐκκρίνειν πιόμενον ἄχρι ζ ἡμερῶν. τὸ δὲ σπέρμα ξηραίνει ἄχρι τεσσαράκοντα ἡμερῶν πιόμενον. ὠφελεῖ τε σπληνώδεις καὶ δυσπνοϊκούς. Περιστερεών. εἰς τοσοῦτον ξηραίνει τε καὶ στύφει, ὥστε κολλᾶν τραύματα. διὸ καὶ αἱμοῤῥαγίαν ἵστησιν. Περσαία, δένδρον ἐστὶν αἰγύπτιον, οὗ τὰ φύλλα ξηραίνει τε καὶ στύφει. διὸ καὶ αἱμοῤῥαγίαν ἵστησι.

Πετασίτης. ἐκ τῆς τρίτης τάξεως ἐστὶ τῶν ξηραινόντων. ὅθεν ἐπὶ τῶν κακοήθων τε καὶ φαγεδαινικῶν αὐτῇ χρῶνται. Πετροσελίνου τὸ σπέρμα. θερμόν τε καὶ ξηρόν ἐστι κατὰ τὴν τρίτην ἀπόστασιν, τμητικὸν ὑπάρχον. οὖρα τε καὶ καταμήνια κινεῖ δαψιλῶς. ἔστι δὲ καὶ ἄφυσον.

Πευκεδανοῦ, τὸ μὲν ὀπῷ καὶ τῷ χυλῷ ἱκανῶς θερμαίνοντι, καὶ διαφοροῦντι καὶ λεπτύνοντι χρώμεθα, καὶ ὀσφραντῷ δὲ καὶ πόματι, πρὸς τὰ κατὰ πνεύμονα καὶ θώρακα διὰ πάχος χυμῶν πάθη. καὶ πρὸς ἐσκιῤῥωμένον σπλῆνα. καὶ ὀδοῦσι δὲ τετρημένοις ἐντεθεὶς, τὴν ὀδύνην εὐθὺς ἔπαυσε. καὶ τοῖς περὶ νεῦρα πάθεσιν ἁρμόττει. ἡ δὲ ῥίζα, καὶ λεπίδας ὀστῶν ἀφίστησι, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται, θερμαίνουσά τε καὶ ξηραίνουσα κατὰ τὴν τρίτην τάξιν. Πεύκη. παραπλησίαν μὲν ἔχει τῇ πίτυϊ τὴν δύναμιν, μετριωτέραν δέ. Πήγανον. τὸ μὲν ἄγριον, τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων. τὸ δὲ ἥμερον, τῆς τρίτης, τέμνον τε καὶ διαφοροῦν τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. καὶ οὖρα κινεῖ, λεπτομερές τέ ἐστι καὶ ἄφυσον, ὅθεν καὶ τὰς συνουσίας ἐπέχει. Πίσσα μὲν ξηρὰ, ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, ἧττον θερμαίνουσα. ἡ δὲ ὑγρὰ, τὸ ἀνάπαλιν. ἔχουσι δέ τι καὶ ῥυπτικὸν καὶ συμπεπτικὸν, καὶ διαφορητικὸν καὶ δριμὺ, διὸ καὶ λεπροὺς ὄνυχας ἐξάγουσι, καὶ λειχῆνας ἀποῤῥύπτουσι, καὶ ὄγκους συμπέττουσιν. ἰσχυροτέρα δὲ ἡ ὑγρὰ, ὡς καὶ τοὺς ἀσθματικοὺς καὶ τοὺς ἐμπυϊκοὺς ὠφελεῖ ἐκλειχομένη. ἡ δὲ ξηρὰ τραύματα μᾶλλον κολλᾷ. Πισσέλαιον. ἐκ τῆς ὑγρᾶς γίνεται πίσσης, λεπτομερέστερον αὐτῆς ὑπάρχον κατ᾽ οὐσίαν. Πιστακίων ὁ καρπὸς, ἐσθιόμενος, εὐστόμαχός ἐστι μετρίως, καὶ τῶν περὶ τὸ ἧπαρ ἐκφρακτικὸς, καὶ μάλιστα τῶν λεπτῶν αὐτοῦ τῶν ἀρωματιζόντων τὸ ἀφέψημα ἐν οἴνῳ. βοηθεῖ δὲ καὶ ἑρπετοδήκτοις. Πιτυΐδες. ὁ καρπός ἐστι τῆς πίτυος, μικτῆς ὑπάρχων δυνάμεως στυφούσης τε καὶ δριμείας. ὅθεν καὶ ταῖς ἐκ θώρακος ἀναπτύσεσι συμπράττουσι. Πιτυοκάμπαι, αἱ ἐπ᾽ αὐτῆς, εἰσὶ κανθαρίδι καὶ βουπρήστει δυνάμεως. Πίτυος φλοιός.

ὑπερκα-

ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν δύναμιν, ὡς παρατρίμματά τε καὶ κατακαύματα πλαττομένην ὠφελεῖν. ἐπέχειν τε κοιλίαν εἰ ποθείη. τὰ δὲ φύλλα, καὶ τραύματα κολλᾷ. Πιτύουσα, καὶ ταύτην τινὲς εἶδος τιθυμάλλου φασίν, ὅτι τε ὀπὸν ἔχει, καὶ καθαίρει, παραπλησίως ἐκείνοις. Πλάτανος. ὑγροτέρας ἐστὶ καὶ ψυχροτέρας δυνάμεως, ὅθεν καὶ τὰ χλωρὰ φύλλα τὰς γινομένας φλεγμονὰς ὀνίνησιν. ὁ δὲ φλοιὸς καὶ τὰ σφαιρία, ξηραντικωτέρας ἐστὶ δυνάμεως. ὥστε τὸν μὲν ἐν ὄξει καθεψηθέντα, ὀδονταλγίας ἰᾶσθαι. τὰ δὲ, πυρίκαυστα μετὰ στέατος θεραπεύειν. ὁ δὲ φλοιὸς καυθεὶς, ξηραντικώτερος καὶ ῥυπτικώτερος γίνεται ὡς λέπρας τε καὶ τὰ κάθυγρα τῶν ἑλκῶν ἰᾶσθαι.

Πνεύμων. ὁ μὲν ἄρνειός τε καὶ χοίρειος, τὰ ἐξ ὑποδημάτων παρατρίμματα θεραπεύειν πεπίστευται. ὁ δὲ τῆς ἀλώπεκος σκελετευθεὶς, εἰ πίνοιτο, τοὺς ἀσθματικούς. ὁ δὲ θαλάσσιος, πρόσφατος λεῖος, ποδαγρικοὺς καὶ χειμεθλιῶντας ὠφελεῖ. Πολεμώνιον, οἱ δὲ φιλεταίριον. λεπτομερές ἐστι καὶ ξηραντικόν. ὅθεν ἔνιοι πρὸς ἰσχιάδα καὶ δυσεντερίαν καὶ σκιῤῥούμενον σπλῆνα, ποτίζουσι τὴν ῥίζαν αὐτοῦ μετ' οἴνου. Πόλιον τὸ μικρότερον, ᾧ καὶ πρὸς τὰς ἀντιδότους χρώμεθα, τῆς τρίτης ἐστὶ τῶν θερμαινόντων τε καὶ ξηραινόντων τάξεως. ἐκφράττει δὲ ἰσχυρῶς ἅπαντα τὰ σπλάγχνα, καὶ οὖρα καὶ ἔμμηνα κινεῖ. καὶ χλωρὸν μὲν ἔτι, κολλᾷ τὰ μεγάλα τραύματα. ξηρὸν δὲ, τὰ κακοήθη τῶν ἑλκῶν ἐπιπαττόμενον ἰᾶται. Πολύγαλον. αὐστηρὰ μετρίως ἔχει τὰ φύλλα. δοκεῖ δὲ πινόμενον γάλα γεννᾶν, θερμὴν δηλονότι καὶ ὑγρὰν ἔχον κρᾶσιν. Πολυγόνατον. μικτόν ἐστιν ἐκ στύψεώς τε καὶ δριμύτητος καὶ πικρότητος καί τινος ἀηδίας ἀῤῥήτου, διόπερ οὐδὲ πολύχρηστόν ἐστι. τὴν δὲ ῥίζαν αὐτοῦ τινὲς ἐπιπλάττουσι τραύμασι. καὶ τοὺς ἐν προσώπῳ σπίλους ἀποῤῥύπτουσιν αὐτῷ. Πολύγονον. ἔχει μέν τι καὶ στῦφον, ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ ὑδατῶδες ψυχρὸν κατὰ τὴν δευτέραν τάξιν. ὀνίνησι γοῦν ἐπιπλασσόμενον ψυχρὸν τοὺς ἐγκαιομένους τὸν στόμαχον. καὶ τὰ ἐρυσιπέλατα, καὶ τὰς θερμὰς φλεγμονάς. ἅτε δὲ τοιοῦτον ὑπάρχον, ἀποκρούεται ῥεύματα, καὶ ταύτῃ δοκεῖ ξηραντικὸν ὑπάρχειν. ἔστι δὲ τὸ ἄρσεν τοῦ θήλεως ἰσχυρότερον. Πολύκνημον, θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν, ὡς καὶ τραύματα κολλᾶν. Πολυπόδιον. ξηραντικῆς ἱκανῶς ἀδήκτου δυνάμεώς ἐστι. πινόμενον καθαίρει κάτω. Πομφόλυξ. ἀδήκτως ξηραίνει, ὥστε τοῖς σαρκώδεσι τῶν ἑλκῶν καὶ τοῖς ἄλλοις κακοήθεσι βοηθεῖν. μίγνυται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσιν. Πορφύραι καεῖσαι, παραπλησίας εἰσὶ τοῖς ὀστράκοις δυνάμεως. τὰ δὲ πώματα αὐτῶν σὺν ἐλαίῳ ἑψηθέντα, τρίχας ῥεούσας κρατύνει. σὺν ὄξει δὲ ποθέντα, σπλῆνας οἰδοῦντας ἰᾶται. ὑποθυμιαθέντα δὲ, διεγείρει τὰς ὑστερικὰς πνίγας, καὶ δευτέρας ἐκβάλλει. Ποταμογείτων. ψύχει καὶ στύφει παραπλησίως πολυγόνῳ, τῆς ὁμοίας αὐτῷ δυνάμεως ὑπάρχον. Ποτήριον, οἱ δὲ φρούνιον. οὗ αἱ ῥίζαι κοπεῖσαι, διακοπὰς νεύρων καὶ τραύματα κολλῶσι. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς πινόμενον, ταῖς περὶ νεῦρα διαθέσεσιν ἀρήγει. Πράσιον. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, μᾶλλον δὲ ξηραίνει. ἐκφράττει τε καὶ ἧπαρ καὶ σπλῆνα, καὶ τὰ κατὰ θώρακα καὶ πνεύμονα. ἔμμηνά τε προτρέπει. καταπλασσόμενον δὲ ῥύπτει τε καὶ διαφορεῖ. καὶ ἄλλως, ῥυπτικόν τε καὶ τμητικόν ἐστι. Πράσον. κακόχυμόν ἐστι καὶ δριμύ. ὡς δέ φησι Διοσκουρίδης, καὶ δυσόνειρον, εὐκοίλιον, οὐρητικόν, λεπτυντικόν. ἔχει δέ τι καὶ ῥυπτικὸν, ἄγει γὰρ καὶ τὰ ἐκ θώρακος, ἐν ἑψήσει πτισσάνῃ. τὸ δὲ σπέρμα αὐτοῦ, νεφριτικαῖς μίγνυται δυνάμεσι. τὰ δὲ φύλλα ἔχουσί τι καὶ στύψεως, ὅθεν ὁ χυλὸς αὐτῶν αἵματός ἐστιν ἐφεκτικός. Πρῖνος. παραπλησίαν μὲν ἔχει δρυὶ τὴν δύναμιν, πολλῷ δὲ αὐτοῦ ἐστιν ἰσχυρότερος. Πρόπολις, θερμαίνει μὲν ἐπὶ τῆς δευτέρας ἀποστάσεως, καὶ ῥύπτει μετρίως. λεπτομεροῦς τε καὶ ἐκφρακτικῆς ἐστι δυνάμεως. Πταρμικῆς, τὰ μὲν φύλλα πταρμοὺς κινεῖ. τὸ δὲ ὅλον θάμνιον χλωρὸν, ὑπώπιά τε καὶ τὰς ἄλλας ἐκχυμώσεις διαφορεῖ. ἔστι γὰρ θερμὴ καὶ ξηρά. χλωρὰ μέν ἐστιν κατὰ τὴν δευτέραν τάξιν, ξηρὰ δὲ κατὰ τὴν τρίτην. Πτελαία. ξηραντικῆς ἐστι δυνάμεως, καὶ ῥυπτικῆς, ὥστε καὶ τραύματα κολλᾶν. ὁ δὲ φλοιὸς ἔτι μᾶλλον, ἐὰν πρόσφατος ὢν ὥσπερ ἐπίδεσμος περιελιχθῇ τοῖς τραύμασιν. ἰᾶται δὲ καὶ λέπρας σὺν ὄξει. καὶ αἱ ῥίζαι δὲ, τῆς αὐτῆς εἰσὶ δυνάμεως, ὥστε καὶ τῷ ἀφεψήματι αὐτῶν τὰ πωρώσεως δεόμενα κατάγματα καταντλεῖν. Πτερίς. ξηραντικὴ τὴν δύναμίν ἐστιν καὶ πικρὰ, ὅθεν ἔμβρυά τε φθείρει καὶ πλατείας ἕλμινθας ἀναιρεῖ. τεσσάρων δραχμῶν ὁλκῆς σὺν μελικράτῳ. ὅτι δὲ μετρίως στύφει, ξηραντικὴ τῶν ἑλκῶν ἀδήκτως ἐστί. Πυκνόκομον. διαφορητικῆς τε καὶ ἑλκτικῆς καὶ δριμείας ἐστὶ δυνάμεως. τὰ μὲν οὖν φύλλα, φύματα καὶ δοθιῆνας διαφορεῖ. ὁ δὲ καρπὸς, πρὸς τοὺς καὶ σκόλοπας ἕλκει. ἡ δὲ ῥίζα, χολῆς τῆς ξανθῆς ἐστι καθαρτική. Πυρέθρου ἡ ῥίζα. καυστικὴν ἔχει δύναμιν, καὶ ὀδόντων ἐψυγμένων ὀδύνας πραΰνει. καὶ πρὸ τῶν κατὰ περίοδον ῥίγων ἀνατρίβεται μετ' ἐλαίου καὶ τοὺς ναρκώδεις τε καὶ παρειμένους ὠφελεῖ. Πυρός. θερμαίνει μὲν κατὰ τὴν πρώτην τάξιν. μέ-

σος δὲ τῶν τε ξηρῶν καὶ ὑγρῶν ἐστιν. ἔχει δέ τι καὶ γλίσχρον καὶ ἐμφρακτικόν. Πιτύα πᾶσα, δριμείας ἐστὶ καὶ λεπτυντικῆς καὶ διαφορητικῆς καὶ δηλονότι ξηραντικῆς δυνάμεως. ἀλλὰ τὴν μὲν τοῦ λαγωοῦ, ἐπιληπτικοὺς θεραπεύειν ἔγραψαν, εἰ μετ᾽ ὄξους πίνοιτο. καὶ ῥοῦν γυναικεῖον ἰᾶσθαι. καὶ γάλα τεθρομβωμένον ἐν κοιλίᾳ λύειν. ὁμοίως δὲ καὶ τὸ αἷμα. τινὲς δὲ καὶ τὰς ἐκ θώρακος πτύσεις τοῦ αἵματος ἐπέχειν αὐτὸν φασίν. ἱππείαν δὲ πιτύαν ἔγραψαν, κοιλιακοῖς τε καὶ δυσεντερικοῖς ἁρμόττειν. τὴν δὲ τῆς φώκης, καστορίου δύναμιν ἔχειν.

Ἀρχὴ τοῦ ρ.

Ῥάκος κεκαυμένον. τὸ μὲν ἐξ ἐρίου, ὁμοίαν ἐκείνοις ἔχει κεκαυμένοις δύναμιν. τὸ δὲ λινοῦν καιόμενον μὲν ἔτι, λεπτομερῆ καπνὸν ἐκδίδωσιν, ὡς καὶ κατάῤῥους ἐμφράττειν, καὶ ταῖς τῆς ὑστέρας ἁρμόττειν ἀναδρομαῖς. ἤδη δὲ καυθὲν, ἐγγὺς ἐστὶν ἐρίῳ τὴν δύναμιν. Ῥάμνος. ξηραίνει μὲν κατὰ τὴν δευτέραν ἀπόστασιν, ψύχει δὲ κατὰ τὴν πρώτην. ὅθεν ἕρπητας ἰᾶται, καὶ ἐρυσιπέλατα μὴ πάνυ θερμά. χρηστέον δὲ τοῖς ἁπαλοῖς φύλλοις. Ῥάφανος. θερμαίνει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν, ξηραίνει δὲ περὶ τὴν δευτέραν. ἡ δὲ ἀγρία, δραστικωτέρα ἐστίν. ἀμφοῖν δὲ τὸ σπέρμα ἰσχυρότερον. διαφοροῦσι γοῦν τά τε ὑπώπια, καὶ τὰ ἄλλα πελιδνά. Ῥῆον, οἱ δὲ ῥᾶ. σύνθετόν ἐστιν ἐκ γεώδους ψυχρᾶς καὶ λεπτομεροῦς οὐσίας, ἀερώδους τε καὶ θερμῆς καὶ δριμείας ἠρέμα. ὅθεν σπάσματα καὶ ῥήγματα καὶ ὀρθοπνοίας ὀνίνησιν, καὶ πελιώματα, τῷ διαφορεῖν. τῷ δὲ στύφειν, αἵματός τε πτύσεις καὶ κοιλιακοὺς καὶ δυσεντερικούς. δι᾽ ἄμφω δὲ, τοὺς ἡπατικοὺς ὠφελεῖ. Ῥητίναι πᾶσαι, θερμαίνουσί τε καὶ ξηραίνουσιν. ἀλλ᾽ ἡ μὲν τερεβινθίνη πρωτεύει, διαφορητική τε καὶ μαλακτικὴ καὶ λεπτομερὴς ὑπάρχουσα. καὶ ῥυπτική, διὸ καὶ ψώρας ἰᾶται. καὶ ἡ λάριξ ἐστίν. ἡ μέντοι πευκίνη, καὶ ταύτης ἔτι μᾶλλον ἡ στροβιλίνη, δριμυτέρα μέν ἐστιν, οὐ μὴν οὔτε διαφορεῖ πλεῖον οὔτε ἐπισπᾶται. μέσαι δὲ αὐτῶν εἰσιν, ἡ πιτυίνη τε καὶ ἡ ἐλατίνη. Ῥόδα. σύνθετα τὴν φύσιν ἐστὶν ἐξ ὑδατώδους οὐσίας θερμῆς καὶ στυφούσης τε καὶ πικρᾶς. τὸ δὲ ἄνθος αὐτοῦ ἔτι μᾶλλον ἐστὶ στυπτικόν. ὅθεν καὶ ξηραντικόν. Ῥοδία ῥίζα. θερμαίνει μὲν περὶ τὴν δευτέραν ἀπόστασιν. λεπτομεροῦς τε καὶ διαφορητικῆς ἐστὶ δυνάμεως. Ῥοιαὶ πᾶσαι μὲν τὴν στυπτικὴν δύναμιν ἐπικρατοῦσαν ἔχουσιν, δι᾽ ἣν ψύχουσί τε καὶ ξηραίνουσιν. ἀλλ᾽ αἱ μὲν γλυκεῖαι τῶν ἄλλων ἧσσον ἄμφω κέκτηνται. αἱ δ᾽ αὐστηραὶ, μᾶλλον μὲν ψύχουσιν. ξηρότεραι δέ εἰσι καὶ εὐστόμαχοι. αἱ δὲ ὀξεῖαι, ψύχουσιν καὶ πλέον, ἔχουσί τι καὶ τμητικόν. τὰ δὲ γίγαρτα, τοῦ χυλοῦ στυπτικώτερά τε ἐστὶ καὶ ξηραντικώτερα. τούτων δ᾽ ἔτι μᾶλλον τὰ λέμματα, σίδια προσαγορευόμενα. παραπλησίας δὲ τούτοις εἰσὶ δυνάμεως, οἱ κύτινοι. Ῥόος. τοῦ βυρσοδεψικοῦ καλουμένου τοῖς ἰατροῖς ὁ καρπὸς μάλιστα καὶ ὁ χυλὸς εἰς χρεῖαν ἥκουσιν, ἱκανῶς ὄντος στυπτικοῦ μὲν καὶ ξηραντικοῦ ἐκ τῆς τρίτης τάξεως, ῥυπτικοῦ δὲ τῆς δευτέρας. Ῥύπος ἀπὸ τῶν χαλκῶν ἀνδριάντων, ἢ σκευῶν ἐν οἷς ἄφθονον ἔλαιον ἐναπομένει, ἔχον τι καὶ ἰοῦ, διαφορητικός ἐστιν καὶ ξηραντικὸς μετρίως καὶ μαλακτικός. ἄπεπτα γοῦν φύματα διαφορεῖ. περὶ δὲ τοῦ κατὰ παλαίστρας, ὃν ἔνιοι καὶ πάτον καλοῦσιν ἐν τῷ περὶ ἱδρῶτος εἴρηται. ὁ δὲ ἐν τοῖς ὠσὶ ῥύπος, παρωνυχίας ἰᾶσθαι λέγεται.

Ἀρχὴ τοῦ σ.

Σαγαπηνόν. ὀπός ἐστιν οἷον νάρθηκος θερμὸς καὶ λεπτομερής. ἔχει δή τι καὶ ῥυπτικόν, ὡς καὶ ταῖς ἐν ὀφθαλμοῖς οὐλαῖς καὶ ὑποχύσεσιν ἁρμόττειν. Σαλαμάνδρας καυθείσης τὴν τέφραν, ἔνιοι μιγνύουσιν σηπτικαῖς τε καὶ λεπρικαῖς καὶ ψωρικαῖς δυνάμεσι. Σάμψυχον. θερμαίνει καὶ ξηραίνει περὶ τὴν τρίτην ἀπόστασιν. ἐστὶ δὲ καὶ λεπτομερὲς καὶ διαφορητικόν. Σανδαράχη. καυστικῆς ἐστὶ δυνάμεως, ὥσπερ καὶ τὸ ἀρσενικόν. Σάνδυξ ἢ σιρικόν. λεπτομεροῦς μέν ἐστι καὶ ξηραντικῆς δυνάμεως, οὐ μὴν θερμῆς. Σαπρότης ξύλων, καὶ μάλιστα τῆς πτελαίας. καθαίρει καὶ ἀναπληροῖ τὰ ὑγρὰ τῶν ἑλκῶν. Σάπων. ῥυπτικῆς ἐστὶ δυνάμεως. Σαρκοκόλλα. δάκρυόν ἐστι δένδρου περσικοῦ, ἐμπλαστικόν τε καὶ ἀδήκτως ξηραῖνον, καὶ διὰ τοῦτο καὶ τραύματα κολλᾷ. Σαρξιφαγές. διουρητικόν τε ἐστὶ καὶ λίθων θρυπτικόν. Σατύριον ἢ τρίφυλλον. ὑγρόν ἐστιν καὶ θερμὸν τὴν κρᾶσιν, καὶ φυσῶδες, ὅθεν εἰς ἀφροδίσια παρορμᾷ. τινὲς δὲ καὶ ὀπισθοτόνους αὐτὸ φασὶν ἰᾶσθαι, μετ᾽ οἴνου αὐστηροῦ πινόμενον. ἐν δὲ τῷ περὶ τῆς θηριακῆς ὁ Γαληνός φησι, τὴν τρίφυλλον τὴν τῷ ὑακίνθῳ ὁμοίαν, ὁπόταν τοῦ ἄνθους ἐγκύμων γενομένη τὸ σπέρμα ὅμοιον ἔχει τῇ ἀγρίᾳ κνίκῳ, ἀφεψομένης αὐτῆς τὸ ζέμα φαλαγγίου μὲν ἢ ἔχεως δήγματι καταντλούμενον, θεραπεύειν αὐτό. ὑγιεῖ δὲ τὸ ποτὸν προσφερόμενον, φησὶν, ὅμοιον πάθος ἐργάζεται τοῖς ὑπό τινος τούτων δηχθεῖσιν. Σαύρας, ἧπαρ μὲν καὶ κεφαλὴ κατὰ τὸν ἴδιον εἴρηται τόπον. ὅλη δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, σκορπιοπλήκτους ἰᾶται. Σέλινον. θερμὸν εἰς τοσοῦτον ἐστὶν, ὡς οὖρά τε κινεῖν καὶ καταμήνια. ἔστι δὲ καὶ ἄφυσον, καὶ μάλιστα τὸ σπέρμα.

μα. Σέρις. ὑπόπικρόν ἐστι λάχανον, ψυχρὸν ἱκανῶς καὶ ὑγραῖνον. ἔχει δέ τι καὶ στύψεως.

Σέριφον. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, ξηραίνει δὲ κατὰ τὴν πρώτην, παραπλήσιον μὲν ὑπάρχον ἀψινθίῳ. ἧττον δ᾽ αὐτοῦ στύφει, καὶ μᾶλλον θερμαίνει. καὶ ἕλμινθας κτείνει. ἔστι δὲ μετρίως κακοστόμαχον. Σεσέλεως ἡ ῥίζα. καὶ μᾶλλον ὁ καρπὸς, ἱκανῶς θερμαίνει μετὰ λεπτομερείας. ἔστι δὲ καὶ οὐρητικόν. πρὸς ἐπιληψίαν τε καὶ ὀρθοπνοίας ἁρμόττει. Σηπίας ὄστρακον. παραπλήσιον μέν ἐστι ὀστρέων τὴν δύναμιν. λεπτομερὲς δὲ ὂν μᾶλλον ῥυπτικόν. ὅθεν εἰ καυθείη, παρίσθμια λεπτυνεῖ σὺν ἁλσὶν ὀρυκτοῖς. ἄκαυστον δὲ, συκώσεις ἀποσμήχει παρατριβόμενον, καὶ τὰ περὶ τὸ δέρμα ῥύπτει. Σησαμοειδοῦς τοῦ λευκοῦ τὸ σπέρμα, θερμαίνει τε καὶ ῥύπτει καὶ ῥήσσει. Σήσαμον, οὐκ ὀλίγον ἔχει τὸ γλίσχρον καὶ λιπαρόν. ὅθεν ἐμπλαστικόν τε καὶ μαλακτικόν ἐστιν καὶ μετρίως θερμαῖνον. Σῆψις, ἣν ἔνιοι χαλκιδικὴν σαῦραν ἐκάλεσαν. ἐν οἴνῳ ποθεῖσα, τοὺς ὑπ᾽ αὐτοῦ δηχθέντας ἰᾶται. Σίαλον, τὸ τῶν ἀνθρώπων νηστευόντων. μάλιστα διαφορητικόν τε καὶ ῥυπτικόν ἐστι. λειχῆνας γοῦν παιδίων ἀποῤῥύπτει χριόμενον. καὶ δοθιῆνας πέττει μετὰ πυρῶν δηλονότι μασηθέντων ἐπιτιθέμενον. ὑπώπιά τε αἴρει. τοῖς δὲ τοὺς ἀνθρώπους ἀναιροῦσι θηρίοις, ἐναντιώτατόν ἐστιν. Σιδηρῖτις ἡρακλεία ἡ καὶ ἐλξίνη, εἴρηται. ἡ δὲ ἀχίλλειος σιδηρῖτις, ἐμφερὴς μέν ἐστιν ἐκείνῃ, μᾶλλον δὲ στύφει. ὅθεν τοῖς ῥοώδεσιν ἁρμόττει πάθεσιν. Σίδηρος, ἐναποσβεσθεὶς ὕδατι πολλάκις, ξηραντικὴν ἱκανῶς αὐτῷ δύναμιν προστίθεται. πινόμενον γοῦν ἁρμόττει σπληνικοῖς. εἰ δὲ εἰς οἶνον ἀποσβεσθείη, κοιλιακοῖς τε καὶ δυσεντερικοῖς καὶ χολέραις ἐκλελυμένοις στομάχῳ ἀρήγει. Σικύος, ὁ μὲν ἐδώδιμος χλωρὸς, ψύχει τε καὶ ὑγραίνει κατὰ τὴν δευτέραν τάξιν. καὶ ἡ μὲν σὰρξ αὐτοῦ ζέουσας παραμυθεῖται φλεγμονάς. τὸ δὲ σπέρμα, ῥυπτικόν τε καὶ τμητικόν ἐστιν, οὖρά τε οὖν κινεῖ καὶ λαμπρύνει τὸ σῶμα. ξηρὸς δὲ, ξηραίνει κατὰ τὴν πρώτην τάξιν, καὶ μᾶλλον ῥύπτει, τό, τε σπέρμα καὶ ἡ ῥίζα. Σικύου ἀγρίου, ὁ μὲν τοῦ καρποῦ χυλὸς ἐλατήριον εἴρηται. ὁ δὲ τῆς ῥίζης τε καὶ τῶν φύλλων, ὅμοιος μέν ἐστιν ἐλατηρίῳ, ἀσθενέστερος δέ. ἡ δὲ ῥίζα, ῥύπτει, διαφορεῖ, μαλάσσει. ξηραντικὸς δὲ ὁ χυλός. Σίλλυβον. ἀκανθῶδές ἐστι φυτὸν παραπλήσιον τῷ λευκῷ χαμαιλέοντι, ἐδώδιμον δέ. τῆς ῥίζης δὲ ὁ ὀπὸς < α. σὺν μελικράτῳ ποθεὶς, ἐμέτους κινεῖ. Σίλουρος ταριχηρὸς, βρωθεὶς ἀρτηρίαν κάθυγρον διακαθαίρει. καταπλασσόμενος δὲ σκόλοπας ἀνάγει.

Σιλφῆς, τῆς ἐν τοῖς ἀρτοποιίοις εὑρισκομένης τὰ ἐντὸς, ἑψόμενα, τριπτὰ, ὠταλγίας ἰᾶται.

Σίλφιον. θερμαίνει γενναίως. ἔστι δὲ καὶ φυσῶδες καὶ δύσπεπτον. ἔξωθεν δὲ τοῦ σώματος δραστικώτερον, καὶ μᾶλλον ὁ ὀπὸς, ἑλκτικῆς ὑπάρχων δυνάμεως. ἔχει δέ τι καὶ καθαιρετικόν.

Σίσων. θερμὸς οὐρητικός τε καὶ πεπτικός ἐστιν, ἔμμηνά τε ἄγει, καὶ ἐμφράττει τὰ σπλάγχνα.

Σίον, θερμὸν, οὐρητικὸν καὶ διαφορητικόν. λίθων τε τῶν ἐν νεφροῖς θρυπτικὸν, καὶ ἐμμήνων ἀγωγόν. Σισάρου ἡ ῥίζα ἑφθὴ, εὐστόμαχός τε ἐστι καὶ οὐρητικὴ, θερμὴ κατὰ τὴν τρίτην τάξιν. λεπτομερές τέ ἐστιν καὶ διαφορητικὸν ἰσχυρόν τε, τὸ σπέρμα. διὸ τοῖς τε λύζουσιν καὶ στροφουμένοις δίδοται σὺν οἴνῳ. Σισύμβριον, ὃ καὶ καρδαμίνην ὀνομάζουσιν, καρδάμῳ προσεοικός. ξηρὸν μὲν, θερμαίνει καὶ ξηραίνει κατὰ τὴν πρώτην τάξιν. ὑγρὸν δὲ, κατὰ τὴν δευτέραν.

Σκαμμωνία. θερμῆς καὶ διαφορητικῆς καὶ ῥυπτικῆς χολωδῶν ἐστι δυνάμεως, καὶ μᾶλλον ὁ ὀπός. ὃς δὴ καὶ φύματα διαφορεῖ, καὶ ἔμβρυα φθείρει, προστιθέμενος, καὶ λέπρας ἐξάγει. κεφαλαλγίας τε χρονίας ἐστὶν ἐπίβρεγμα σὺν ὀξυροδίνῳ. καὶ ἡ ῥίζα δὲ καθαίρει ποθεῖσα, αὐτή τε καὶ τὸ ἀφέψημα αὐτοῦ. σὺν ὄξει δὲ καὶ ἀλεύρῳ κριθίνῳ καθεψηθεῖσα, ἰσχιάσι καταπλάττεται.

Σκάνδιξ. ἄγριόν ἐστι λάχανον θερμαῖνον καὶ ξηραῖνον κατὰ τὴν δευτέραν τάξιν. οὐρητικόν τε, καὶ τῶν σπλάγχνων ἐκφρακτικόν. Σκίγκου τὰ περὶ τοὺς νεφροὺς, ὡς ἐντατικὸν τῶν αἰδοίων πίνεται. καὶ ἀντιπεπονθέναι τε αὐτοῖς δοκεῖ θρίδακος σπέρμα μεθ᾽ ὕδατος πινόμενον. καὶ τὸ τῶν φακῶν ἀφέψημα μετὰ μέλιτος. Σκίλλα. τμητικῆς ἐστι δυνάμεως. θερμαίνει δὲ καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. ἄμεινον δὲ αὐτὴν ὀπτὴν ἢ ἑψηθεῖσαν λαμβάνειν. Σκολόπενδρα θαλαττία, ἑψηθεῖσα ἐν ἐλαίῳ καὶ καταχρισθεῖσα, ψιλοῖ τρίχας. καυθεῖσα δὲ, κνησμὸν ἐργάζεται. Σκολοπένδριον, τὸ ἀσπλήνιόν ἐστιν. Σκόλυμον. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. ἡ δὲ ῥίζα αὐτοῦ πλῆθος οὔρων ἄγει δυσωδῶν σὺν οἴνῳ καθεψηθεῖσα, καὶ τὰς τῶν μασχαλῶν τε καὶ ὅλου τοῦ σώματος ἰᾶται δυσωδίας. Σκόρδιον. ποικίλον ἐστὶν πικρόν τε καὶ στρυφνὸν ὑπάρχον, καὶ δριμύ. καθαίρει γοῦν ἅμα καὶ θερμαίνει τὰ σπλάγχνα. καὶ οὖρα καὶ καταμήνια κινεῖ. καὶ τὰ κατεψυγμένα πάντα ἀναθερμαίνει. καὶ τραύματα κολλᾷ τε καὶ ἀνακαθαίρει. καὶ ἀφλεγμ. ξηρὸν ἐπιπλασσόμενον. Σκόροδον. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τετάρτην ἀπόστασιν. τὸ δὲ ὀφιόσκορδον, ἀγριόσκορδον, ἰσχυρότερον τοῦ ἡμέρου. Σκοροδόπρασον. καὶ τῇ γεύσει καὶ τῇ δυνάμει μικτόν ἐστιν ἀπὸ σκορόδου τε καὶ πράσου. Σκορπιοειδὲς, θερ

μαίνει μὲν κατὰ τὴν τρίτην τάξιν. ξηραίνει δὲ κατὰ τὴν δευτέραν. Σκορπίος, ὁ μὲν χερσαῖος, ὠμὸς ἐπιτιθεὶς βοήθημα τῆς ἰδίας γίνεται πληγῆς. ὁμοίως δὲ καὶ ὀπτὸς ἐσθιόμενος. ὁ δὲ θαλάττιος, τὴν χολὴν ἔχει χρήσιμον πρὸς τὰς ὑποχύσεις. Σκωρία, πᾶσα μὲν ἱκανῶς ξηραίνει. ἡ δὲ τοῦ σιδήρου, πλέον. ἥτις ἑψηθεῖσα λειοτάτη σὺν ὄξει, ὦτα πυορροοῦντα θαυμασίως ἰᾶται. καὶ τοῖς ἀκόνιτον δὲ ποιοῦσι βοηθεῖ, σὺν ὀξυμέλιτι ποθεῖσα. ἡ δὲ τοῦ μολύβδου, ἀναλογεῖ τῷ μολύβδῳ, στύφουσα μᾶλλον. Σμίλαξ ἡ κακτός. δένδρον ἐστὶ δηλητηρίου δυνάμεως. Σμύρνα. τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων. τά γ' οὖν ἐν κεφαλῇ τραύματα ἐπιπλαττομένη κολλᾷ. ἔχει δὲ καὶ πικρόν, ὅθεν ἕλμινς τε καὶ ἔμβρυα κτείνει. καὶ ῥύπτει, διὸ ταῖς ὀφθαλμικαῖς μίγνυται δυνάμεσι. καὶ τὰ κατὰ θώρακα διακαθαίρει, χωρὶς τοῦ τραχῦναι τὴν ἀρτηρίαν. ἡ δὲ βοιωτικὴ σμύρνα, δύναμιν ἔχει θερμαντικὴν μαλακτικὴν διαλυτικήν. Σμύρνιον, οἱ δὲ ἱπποσέλινον, οἱ δὲ σέλινον ἄγριον ὀνομάζουσι. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν, σελίνου μὲν ὂν ἰσχυρότερον, πετροσελίνου δὲ ἀσθενέστερον. ἐμμηνίων τε οὖν ἀγωγόν ἐστι καὶ οὐρητικόν. Σόγχος. στύφει τε καὶ σαφῶς ψύχει, καταπλαττόμενός τε καὶ ἐσθιόμενος. ξηρανθεὶς δέ, μετρίως θερμαίνει. Σπαργάνιον. ξηραντικῆς καὶ τοῦτο δυνάμεώς ἐστιν. Σπάρτος ᾧ τὰς ἀμπέλους δεσμοῦσι. τούτου ὁ καρπὸς καὶ τὸ ἄνθος ποθέντα σὺν μελικράτῳ ὀβολοῖς πέντε, καθαίρει ἄνω. ὥσπερ ἐλλέβορος λευκός, ἀκινδύνως. ὁ δὲ καρπός, καὶ κάτω καθαίρει. αἱ δὲ ῥάβδοι, ἰσχιάδας ὠφελοῦσι. Σπεκλάριον, οἱ δὲ διὰ τοῦ φ σφεκλάριον, ὅ τινες ἀντὶ σφέκλων ἐν ταῖς θυσίαις χρῶνται, διὸ καὶ διαφανὲς προσαγορεύεται. γυψῶδες ὑπάρχον τὴν οὐσίαν, δύναμιν ἔχει παραπλησίαν τοῖς κεκαυμένοις ὀστράκοις, ἤγουν ὀστρέοις. Σπόγγος. ὁ μὲν καινὸς ἔτι διασώζων τὴν τῆς θαλάττης ὀσμήν, ἐπιτιθέμενος σὺν ὕδατι ἢ οἴνῳ ἢ ὀξυκράτῳ, τραύματα κολλᾷ. καυθεὶς δέ, δριμείας ἐστὶ δυνάμεως καὶ διαφορητικῆς. σὺν ἀσφάλτῳ δὲ ἢ ὑγρᾷ πίττῃ καιόμενος, καὶ προστιθέμενος διάπυρος, αἱμορραγίας ἵστησιν. Σπόδιον. παραπλησίας ἐστὶ δυνάμεως τῇ πομφόλυγι. Σταφυλῖνος. οὖρά τε κινεῖ καὶ καταμήνια προτρέπει. μάλιστα τὸ σπέρμα καὶ ἡ ῥίζα. τὰ δὲ φύλλα ῥυπτικῆς ὄντα δυνάμεως, τοῖς φαγεδαινικοῖς ἁρμόττει πάθεσι, χλωρά καὶ μετὰ μέλιτος. ὁ δὲ ἄγριος, ἰσχυρότερος εἰς ἅπαντα τοῦ ἡμέρου. Στάχυς, ὁ παραπλήσιος τῷ πρασίῳ θάμνος, θερμαίνει κατὰ τὴν τρίτην τάξιν. καταμήνια γοῦν κινεῖ, καὶ ἔμβρυα κτείνει, καὶ χόρια ἐκβάλλει. Στέατα, πάντα μὲν ὑγραίνει τε καὶ θερμαίνει τὸ ἀνθρώπινον σῶμα. παρὰ δὲ τὴν διάφορον ζώων κρᾶσιν, ἡ δύναμις αὐτῶν ἐξαλλάττεται. τὸ μὲν οὖν τῶν ὑῶν, ὑγρότατον ἁπάντων ἐστίν, ἐγγὺς ἐλαίου τὴν δύναμιν. ὅθεν καὶ δήξεις ἀμβλύνει. τὸ δὲ αἴγειον, ξηρότερόν τε καὶ ταχέως πηγνύμενον, διὸ καὶ τοῖς τὸ ἀπευθυσμένον δακνομένοις γίνεται. τὸ δὲ χήνειον, θερμότερόν τε καὶ λεπτομερέστερόν ἐστι. μεταξὺ δὲ τούτων τὸ τῶν ἀλεκτρυόνων τε καὶ ἀλεκτορίδων. τὸ δὲ τῶν λεόντων, θερμότατον ἁπάντων καὶ λεπτομερέστατον. ὅθεν καὶ διαφορητικώτατον. τὸ δὲ τῶν βοῶν, μεταξὺ τὴν κρᾶσιν ἐστὶ τοῦ τε τῶν ὑῶν καὶ τῶν λεόντων. τὸ δὲ τῶν ἄρκτων, ἀλωπεκίας ἰᾶται. τὸ δὲ τῶν ἀλωπέκων, ὠταλγίας. ὥσπερ οὖν τὸ τῶν ἐχιδνῶν, ἄτριχόν τέ φασιν, καὶ ὑποχύσεις κωλύον γενέσθαι. ἐν ἅπασι δὲ θερμότερον ἀεὶ καὶ ξηρότερον τὸ τῶν ἀρρένων ἐστί. καὶ τούτων αὐτῶν τὸ τῶν ἐνόρχων μᾶλλον, τῶν ἐκτετμημένων τοὺς ὄρχεις. καὶ τὸ τῶν ἀκμαζόντων, τῶν ἄλλων. χρονίζον δὲ ἅπαν στέαρ ἑαυτοῦ γίνεται θερμότερον. Στίμμι. πρὸς τῷ ξηραίνειν, ἔχει καὶ στύψιν. ὅθεν καὶ τοῖς ὀφθαλμικοῖς μίγνυται κολλυρίοις. Στοιβῆς, ὁ καρπὸς καὶ τὰ φύλλα ξηραίνει κατὰ τὴν τρίτην τάξιν, στυπτικῆς ὄντα δυνάμεως. ὅθεν τραύματά τε μεγάλα κολλᾷ, καὶ δυσεντερίας καὶ αἱμορραγίας καὶ ὦτα πυορροοῦντα, τὸ ἀφέψημα αὐτῆς ὠφελεῖ. καὶ τὰς ἐκ πληγῆς τῶν ὀφθαλμῶν συγχύσεις ὀνίνησι καταπλαττόμενος. Στοιχάς. ἐκφράττει καὶ λεπτύνει καὶ ῥύπτει καὶ ῥωννύει τὰ σπλάγχνα πάντα, καὶ ὅλην τοῦ ζώου τὴν ἕξιν. Στρατιώτης. ὁ μὲν ἔνυδρος, ψυχρός ἐστι τὴν δύναμιν. ὁ δὲ χερσαῖος, ἔχει καὶ στύφον. ὅθεν ἕλκη τε κολλᾷ. τινὲς δὲ καὶ πρὸς αἱμορραγίας αὐτῷ χρῶνται, καὶ πρὸς σύριγγας. Στρύχνον. τὸ μὲν κηπευτὸν καὶ ἐδώδιμον, στύφει τε καὶ ψύχει κατὰ τὴν δευτέραν τάξιν. τὸ δὲ ἁλικάκαβον, παραπλήσιον τῷ κηπευτῷ, τὸν καρπὸν οὐρητικὸν ἔχει, ὅμοιον ὄντα ῥαγὶ σταφυλῆς. τοῦ δὲ ὑπνωτικοῦ στρύχνου τῆς ῥίζης ὁ φλοιός, σὺν οἴνῳ δραχμῆς πλῆθος πινόμενος, ὑπνωτικὸς γίνεται. καὶ οὐρητικὸν ἔχει τὸ σπέρμα, τρίτης ὂν τάξεως τῶν ψυχόντων, ὅθεν πλείω τῶν δεκαδύο κορύμβων πινομένη μανιώδης γίνεται. τὸ δὲ δὴ τέταρτον, ἔνδοθεν μὲν ἄχρηστόν ἐστιν, ἔξωθεν δὲ καταπλαττόμενον ἕλκη νομώδη θεραπεύει, δευτέρας ὂν τάξεως κατά τε τὸ ψύχειν καὶ ξηραίνειν. Στυπτηρία πᾶσα μὲν στρυφνοτάτη ἐστὶ καὶ παχυμερής. λεπτομερεστέρα δέ πως ἐστὶ τῶν ἄλλων ἡ σχιστή. μετὰ αὐτὴν δὲ ἡ στρογγύλη τε καὶ ἡ στραγαλωτή. παχυμερὴς δὲ ἱκανῶς ἡ ὑγρὰ καὶ ἡ πλακῖτις τε καὶ πλινθῖτις ὀνομαζομένη. Στύ-

ραξ

ραξ. θερμαίνει, μαλάττει, συμπέττει. βῆχάς τε οὖν καὶ καταῤῥοῦς καὶ κορύζας ὀνίνησιν, ἐμμηνά τε προτρέπει πινομένη καὶ προστιθεμένη. Σῦκα. τὰ μὲν ξηρά, θερμαντικὴν δύναμιν ἔχει, κατὰ τὴν δευτέραν ἐγγὺς τάξιν. ἀλλὰ τὰ μὲν λιπαρά, πέττει μᾶλλον τοὺς σκληροὺς ὄγκους. τὰ δὲ δριμύτερα, ῥύπτει τε καὶ διαφορεῖ. τὸ δὲ ἀφέψημα αὐτῶν μελιτῶδες γεγονός, ὃ δὴ καὶ αὐτὸ τινὲς σίραιον προσαγορεύουσιν. παραπλήσιόν ἐστι τὴν δύναμιν μέλιτι. τὰ δὲ χλωρά, τούτων ἀσθενεστέραν ἔχουσι τὴν δύναμιν. ἄμφω δὲ κοιλίαν ὑπάγει. τὰ δὲ τῶν ἐρινεῶν σῦκα, δριμείας τε καὶ διαφορητικῆς εἰσὶ δυνάμεως. ὥσπερ καὶ τῶν ἡμέρων οἱ ὄλυνθοι. Συκῆ. θερμῆς καὶ λεπτομεροῦς ἐστι κράσεως, ὥστε τὸν ὀπόν τε καὶ τῶν φύλλων τὸν χυλὸν μὴ δάκνειν μόνον ἢ ῥύπτειν σφοδρῶς, ἀλλὰ καὶ ἑλκοῦν, καὶ ἀναστομοῦν, καὶ μυρμηκίας ἐκβάλλειν. ἔστι δὲ καθαρτικόν. ἡ δὲ ἀγρία συκῆ, ἣν ἐρινεὸν καλοῦσιν, εἰς ἅπαντα τῆς ἡμέρου πλέον δύναται. Συκομόρου, ὁ μὲν καρπὸς ἄτροφός τε καὶ κακοστόμαχός ἐστιν. ὁ δὲ ὀπὸς τοῦ δένδρου, δύναμιν ἔχει μαλακτικήν, κολλητικὴν τραυμάτων, διαφορητικὴν ὄγκων. πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα, καὶ σπλῆνας ἐσκιῤῥωμένους, καὶ στομάχου ἀλγήματα, καὶ φρικώδη. Σύμφυτον, τὸ μὲν πετραῖον ἐξ ἐναντίων σύγκειται δυνάμεων. ἔχει μὲν γάρ τι καὶ τμητικόν, ᾧ καὶ τὸ ἐν θώρακι πῦον, καὶ τοὺς νεφροὺς ἐκκαθαίρει. ἔχει δέ τι καὶ στυπτικόν, ᾧ καὶ πρὸς αἱμοπτοϊκοὺς καὶ σπάσματα, καὶ ῥήγματα, καὶ ῥοῦν ἐρυθρόν, καὶ ἐντεροκήλας ἁρμόττει. ἔχει δὲ καί τινα θερμὴν ὑγρότητα, δι' ἣν ἄδηκτόν τέ ἐστιν καὶ τὰς ἐν ἀρτηρίᾳ τραχύτητας ἰᾶται. τὸ δ' ἕτερον τὸ μέγα, γλίσχρον τι καὶ κνησμῶδες ἔχει, σκίλλῃ παραπλήσιον. χρῶνται δὲ αὐτῷ εἰς ὅσα καὶ περὶ τοῦ πετραίου. Σφονδύλιον μὲν καρποὶ καὶ ῥίζα, δριμείας εἰσὶ καὶ τμητικῆς δυνάμεως. ὡς ἀσθματικούς τε, καὶ ἐπιληπτικοὺς καὶ ἴκτερον ἰᾶσθαι. ἡ δὲ ῥίζα περιξυομένη καὶ σύριγξιν ἐντεθεῖσα, ἐκτυλοῖ αὐτάς. εἰς δὲ τὰ ὦτα ὁ χυλὸς τοῦ ἄνθους αὐτοῦ ἐνστάζεται, χρονιωτάτοις ἕλκεσιν ἁρμόττων.

Σχῖνος. κατὰ πάντα τὰ μέρη αὐτοῦ ξηραίνει μὲν β' τάξεως πληρουμένης. ἐν δὲ τῷ θερμαίνειν καὶ ψύχειν, μέσος ἐστί. στύφων εἰς τοσοῦτον, ὡς ἐγγὺς εἶναι κατά γε τὴν στύψιν τῷ τῆς ὑποκυστίδος χυλῷ. Σχοίνου ἄνθος. θερμαίνει μετρίως, ἧττον δὲ στύφει. καὶ τῆς λεπτομεροῦς οὐκ ἀπήλλακται φύσεως. ὅθεν οὐρητικόν τέ ἐστι, καὶ καταμηνίων ἀγωγόν, καὶ ἐμφρακτικόν. ἔν πυρίαις τε καὶ πόμασι καὶ καταπλάσμασι παραλαμβανόμενον. ἔστι δ' αὐτοῦ στυπτικωτέρα μὲν ἡ ῥίζα. τὸ δ' ἄνθος, θερμότερον. Σχοῖνος ἑλεία, διττή ἐστι. ἀλλὰ τῆς μὲν ὀξυσχοίνου καλουμένης ὁ καρπὸς ὑπνωτικός ἐστι. τῆς δὲ ὁλοσχοίνου ἧττον. ἔστι δὲ καὶ κεφαλαλγής. ἄμφω δὲ φρυγέντες, εἰ μετ' οἴνου πίνοιντο, τὰ κατὰ τὴν γαστέρα ξηραίνουσι ῥεύματα, καὶ ῥοῦν γυναικεῖον ἐπέχουσιν. Σῶρι. παραπλησίας ἐστὶ τῷ μίσυϊ δυνάμεως, παχυμερέστερον ὑπάρχον ἐκείνου πολλῷ.

Ἀρχὴ τοῦ Τ.

Ταρίχων ἡ σάρξ, δριμείας ἐστὶ καὶ ξηραντικῆς δυνάμεως. τοῖς μὲν οὖν ὑπὸ πρηστῆρος ἐχίδνης δηχθεῖσι δίδοται ὡς ὅτι πλεῖστον φαγεῖν καὶ οἶνον πίνειν ὡς πλῆθος, καὶ ἐξεμεῖν. εἴς τε τὰς δριμυφαγίας ἁρμόττει. καταπλάσσεται δὲ καὶ ἐπὶ κυνοδήκτων ὠφελίμως. καὶ ἄλλων ἑρπετῶν. Ταυρόκολλα, οἱ δὲ ξυλόκολλα. ἐκ τῶν βοείων βυρσῶν γινομένη ῥυπτικῆς ἱκανῶς ἐστι δυνάμεως, ὅθεν ὄξει δευθεῖσα λειχῆνας καὶ λέπρας τὰς ἐπιπολαίους ἀφίστησι. καὶ τὰ πυρίκαυτα φλεγμαίνειν κωλύει, ὕδατι θερμῷ ἀνεθεῖσα. ἔστι δὲ καὶ τραυματική, ὀξυμέλιτι λυομένη. Τελλῖναι ταριχηραὶ καυθεῖσαι, καυστικὴν ἐργάζονται τέφραν. ἥτις μιγνυμένη κεδρίᾳ, τῶν τριχῶν τῶν βλεφαριτίδων ἐκ ῥίζης ἐκτιλληθεισῶν ἐνσταζομένη, κωλύει πάλιν φύεσθαι.

Τέρμινθος. θερμαίνει κατὰ τὴν δευτέραν τάξιν. ξηραίνει δέ, χλωρὸς μὲν ὤν, πρώτης τάξεως. ξηρὸς δέ, δευτέρας. ὁ δὲ καρπὸς ὁ ξηρός, τῆς τρίτης τάξεως ἐστὶ τῶν ξηραινόντων. ταῦτ' ἄρα καὶ οὐρητικός ἐστι καὶ σπλῆνας ὀνίνησιν. Τέττιγας οἱ μὲν ὠμοὺς ξηράναντες διδόασι τοῖς κωλικοῖς πίνειν ἢ τρεῖς ἢ πέντε ἢ ζ' μετὰ πεπέρεως ἴσων κόκκων ἀριθμῷ. οἱ δὲ ὀπτῶντες αὐτούς, παρέχουσι πίνειν τοῖς τὴν κύστιν πεπονθόσιν. Τεῦτλον, νιτρῶδές ἐστιν, ὅθεν καὶ ῥύπτει καὶ διαφορεῖ, καὶ διὰ ῥινῶν καθαίρει, πλέον δὲ τὸ λευκόν. ἑψηθὲν δὲ ἀφλεγμάντου γίνεται δυνάμεως, ἀτρέμα διαφορητικῆς. Τεύκριον. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, ξηραίνει δὲ κατὰ τὴν τρίτην. τμητικῆς τε καὶ λεπτομεροῦς ὑπάρχουσα δυνάμεως. ὅθεν καὶ σπλῆνας ἰᾶται. Τέφρα, οὐχ ἅπασα τὴν αὐτὴν ἀκριβῶς ἔχει κρᾶσιν, ἀλλὰ κατὰ τὴν τῆς καυθείσης ὕλης διαφορὰν ἐξαλλάττεται. ἡ μὲν δὴ τῶν στρυφνῶν τέφρα, οἷον δρυῶν τε καὶ πρίνων, στυπτικὸν οὐκ ὀλίγον ἔχει, ὥς τε καὶ αἱμοῤῥαγίαν ἐπέχειν μηδενὸς ἑτέρου παρόντος. ἡ δὲ τῶν δριμέων, οἷον συκῆς τε καὶ τιθυμάλλου ἡ τέφρα, δριμυτέρα τε καὶ ῥυπτικωτέρα γίνεται. Τηλέφιον. θερμαίνει μὲν κατὰ τὴν πρώτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν, ἔστι δὲ καὶ ῥυπτικόν, ὅθεν καὶ πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν ἁρμόττει, καὶ λεύκας καὶ

ἀλφοὺς ἰᾶται σὺν ὄξει. Τῆλις. θερμὴ μὲν ἐκ τῆς δευτέρας ἐστὶ τάξεως. ξηραίνει δὲ ἐκ τῆς πρώτης. ὅθεν τὰς μὲν ζεούσας φλεγμονὰς παροξύνει. τὰς δὲ ἧττον θερμὰς καὶ ὅσαι σκιῤῥώδεις, διαφοροῦσα θεραπεύει. Τιθύμαλλοι. πάντες μὲν ἐκ τῆς τετάρτης εἰσὶ τῶν θερμαινόντων τάξεως μετὰ δριμύτητος καὶ πικρότητος ἰσχυρᾶς. ἀλλ' ἡ μὲν ῥίζα ἀσθενεστέρα πως οὖσα, ἑψημένη σὺν ὄξει τὰ τῶν βεβρωμένων ὀδόντων ἀλγήματα παύει. οἱ δὲ ὀποὶ σφοδροτέραν ἔχοντες δύναμιν, εἰς μὲν τὸ τρῆμα τῶν ὀδόντων ἐντίθενται. τοῦ δ' ἄλλου σώματος ἐὰν ἅψωνται ἐπικαίουσιν αὐτό, διὸ καὶ τρίχας ἀφαιροῦσι περιχριόμενοι ἐπ' ὀλίγον. καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ τὰ τοιαῦτα ἀφαιροῦνται. καὶ τὰ περὶ τὸ δέρμα πάθη ἀποῤῥύπτουσι. καὶ τὰ κακοήθη καὶ φαγεδαινικὰ τῶν ἑλκῶν ἰῶνται. ἑπτὰ δὲ ὄντων, ἰσχυρότατοι μέν εἰσιν, ὅ, τε χαρακίας καὶ ὁ μυρσινίτης, καὶ ὁ ἐν ταῖς πέτραις δενδροειδής. ἐφεξῆς δὲ, ὅ, τε τῷ φλόμῳ προσεοικὼς καὶ ὁ κυπαρισσίας. εἶθ' οὕτως ὁ πάραλιος. εἶτα ὁ ἡλιοσκόπιος. Τίτανος. ἡ μὲν ἄσβεστος καίει σφοδρῶς. ὥστε καὶ ἐσχαροῦν. σβεσθεῖσα δὲ, παραχρῆμα μὲν ἐσχαροῖ, μεθ' ἡμέρας δὲ οὐκ ἔτι. συντείνει δ' ὅμως καὶ διατήκει τὰς σάρκας. εἰ δὲ πλυθείη, διαφορητικὴ ἱκανῶς γίνεται θαλάσσῃ πλυθεῖσα. Τραγάκανθα, παραπλησίαν ἔχει τῷ κόμμι δύναμιν. Τράγιον. φυτόν ἐστιν ἐν Κρήτῃ, σχίνῳ παραπλήσιον, θερμὸν τῆς τρίτης τάξεως. ἑλκτικῆς τε καὶ διαφορητικῆς καὶ λεπτομεροῦς ὑπάρχον δυνάμεως. σκόλοπας τε οὖν ἀνάγει. καὶ λίθους θρύπτει, καὶ καταμήνια κινεῖ, δραχμῆς ὁλκῆς πινομένης. τὸ δ' ἄλλο, τὸ τούτου πικρότερον, σκολοπενδρείῳ προσεοικός, φύεται μὲν πολλαχόθι. στυπτικὸν δὲ ἱκανῶς ἐστιν, ὥστε πρὸς τὰ ῥοώδη τῶν παθῶν ἁρμόττει. Τραγορίγανος, ὀριγάνῳ τὴν δύναμιν ἔοικεν, προσειληφυῖα καὶ στύψεως. Τρίβολος. ψύχει μετρίως. ἀλλ' ὁ μὲν χερσαῖος μετὰ τοῦ ξηραίνειν ἰσχυρός ἐστιν. ὁ δὲ ἔνυδρος ἠρέμα καὶ ὑγραίνει. ἄμφω δὲ πρός τε τὰς γενέσεις τῶν φλεγμονῶν καὶ τὰς ἄλλας ἐπιῤῥοίας ἁρμόττουσιν. τοῦ δὲ χερσαίου, λεπτομερὴς ὁ καρπὸς ὑπάρχων, τοὺς ἐν νεφροῖς λίθους θρύπτει. Τράγος σιτώδης. παραπλήσιός ἐστιν ζειᾷ, δύσπεπτος ἢ μᾶλλον, καὶ κοιλίας μαλακτικός. Τρίγλη ἡ ἰχθύς. συνεχῶς ἐσθιομένη ἀμβλυωπίας ἐργάζεται. ὠμὴ δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, θαλαττίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης ἰᾶται δῆγμα. Τριπολίου ἡ ῥίζα. θερμὴ τὴν δύναμίν ἐστιν κατὰ τὴν τρίτην ἀπόστασιν καὶ δριμεῖα. Τρίχες κεκαυμέναι. παραπλησίας εἰσὶ τοῖς κεκαυμένοις ἐρίοις δυνάμεως.

Τρυγόνος θαλασσίας κέντρον, ἐπικρουόμενον ὀδόντι ἀσθενεῖ, θρύπτει αὐτόν, καὶ ἐκπεσεῖν ποιεῖ. Τρὺξ οἴνου, ἡ μὲν ἄκαυστος. σύνθετός ἐστιν, ἱκανῶς ξηραίνουσα καὶ διαφοροῦσα. τὸ δὲ στύφον, αὐτῇ, πρὸς τὴν ἰδέαν τοῦ οἴνου ἐξ οὗ συνέστη προσγίνεται. χρηστέον οὖν αὐτῇ ἔν τε τοῖς ὑγροτέροις καὶ ῥοώδεσι τῶν παθῶν. καὶ φύγεθλα δὲ διαφορεῖ. καὶ μαστῶν σπαργώντων τὸ γάλα σβέννυσιν. ἡ δὲ κεκαυμένη, ἣν δὴ καὶ σφέκλην καλοῦσιν, καυστικὴ γίνεται. ὥς τε καὶ τοῖς καυστικοῖς αὐτὴν ἐπιμίγνυσθαι φαρμάκοις. ὄνυχας οὖν λεπροὺς ἐκβάλλει σὺν ῥητίνῃ. καὶ τρίχας ξανθίζει μετὰ σχινίνου ἐλαίου νύκτα ὅλην συγχρισθεῖσα. πεπλυμένη οὖν, ταῖς τῶν ὀφθαλμῶν ῥυπτικαῖς μίγνυται δυνάμεσιν. ἡ δὲ τοῦ ὄξους, ἰσχυροτέρα κατὰ πάντα τῆς τοῦ οἴνου καὶ στυπτικωτέρα ἐστίν. Τρωγλοδύτης. στρουθίον ἐστί, πάντων τῶν ὀρνέων μικρότερον, πλὴν τοῦ λεγομένου βασιλίσκου, ἐν φραγμοῖς μάλιστα διαιτώμενον. ὅπερ ὀπτόν τε καὶ ὠμὸν τεταριχευμένον ἐσθιόμενον, τοὺς ἐν νεφροῖς λίθους θρύπτει. καὶ καυθέντος δὲ αὐτοῦ ἡ τέφρα πινομένη, τὸ αὐτὸ δρᾷ. Τυρός. ὁ μὲν νεοπαγὴς καὶ μαλακός, ἀποκρουστικὴν ἔχει δύναμιν ἐμψύχων ἀτρέμα. ὥστε καὶ τραύματα κολλᾶν ἐπιτιθέμενος. ὁ δὲ ὀξυγαλάκτινος λεγόμενος, πρὸς ταύτῃ καὶ διαφορητικὴν ἐπικτᾶται βραχεῖαν, καὶ πλέον κολλᾷ τὰ τραύματα. ὁ δὲ παλαιὸς καὶ μᾶλλον, ὁ λιπαρὸς, διαφορητικός. ὥστε καὶ πρὸς ἀρθριτικῶν πώρους ἁρμόττει, καὶ μάλιστα μετὰ ἀφεψήματος ὑείου κρέως ταριχηροῦ τε καὶ λιπαροῦ.

Ἀρχὴ τοῦ υ.

Ὑακίνθου. ἡ μὲν ῥίζα βολβοειδὴς ὑπάρχουσα, τάξεώς ἐστι πρώτης μὲν ἐν τῷ ξηραίνειν, ἐν δὲ τῷ ψύχειν δευτέρας. ἀνήβους γοῦν τοὺς παῖδας ἐπὶ πολὺ διατηρεῖν πεπίστευται, σὺν οἴνῳ καταπλαττομένη. ὁ δὲ καρπός, ἀτρέμα ῥύπτει τε καὶ στύφει. τοῖς ἰκτερικοῖς γοῦν δίδοται σὺν οἴνῳ. ξηραίνων μὲν μᾶλλον ἧττον δὲ ψύχων. Ὕαλος. λεία πινομένη μετ' οἴνου λεπτοῦ καὶ λευκοῦ, τοὺς ἐν κύστει λίθους θρύπτειν λέγεται. Ὕδνα. γεωδεστέραν οὐσίαν κέκτηται μετά τινος δυνάμεως βραχείας λεπτομεροῦς. Ὑδράργυρος. εἰς μὲν ἰατρικὴν χρείαν οὐ πάνυ τι φέρεται δηλητήριος ὤν. τινὲς δὲ καύσαντες αὐτὸν ὡς τεφρωθῆναι, καὶ μίξαντες ἑτέροις εἴδεσιν, ἐπὶ κολικῶν τε καὶ τῶν εἰλεωδῶν ἐδίδωσαν πιεῖν. Ὑδροπέπερι. θερμόν ἐστι βοτάνιον, ἀλλ' οὐχ ὡς πέπερι. χλωρὸν δὲ μετὰ τοῦ καρποῦ καταπλασσόμενον, ὑπώπια

τε καὶ τοὺς ἐσκιῤῥωμένους ὄγκους διαφορεῖ. Ὕδωρ, τὸ ἄριστον καὶ ἀμιγεστέρας οὐσίας, ψύχει τε καὶ ὑγραίνει κατὰ τὴν οἰκείαν οὐσίαν. ἐπίκτητον δὲ θερμότητα προσλαβὸν, ἄχρις ἂν αὐτὴν διαφυλάττῃ θερμαίνει. ψυχρὸν δὲ γινόμενον, ψύχει. τὸ δέ τινα ἐπιμιξίαν ἔχον, οἷον τὸ νιτρῶδες ἢ ἀσφαλτῶδες, τῆς ἐπιμιγνυμένης οὐσίας προσκτᾶται τὴν δύναμιν. τὸ δὲ ὄμβριον, ἔχει τι καὶ στύψεως, δι' ἣν ταῖς ὀφθαλμικαῖς μίγνυται δυνάμεσιν. ὁποῖον δὲ δεῖ τὸ ἄριστον ὕδωρ εἶναι, κατὰ τὸ πρῶτον βιβλίον εἴρηται. Ὑοσκύαμος. ὁ μὲν τὸ μέλαν ἔχων σπέρμα καὶ ὁ τὸ ξανθὸν, δηλητηριώδεις εἰσίν. ἐπιτηδειότατος δὲ πρὸς τὰς ἰάσεις, οὗ καὶ τὸ σπέρμα καὶ τὸ ἄνθος λευκόν ἐστιν. ἐκ τῆς τρίτης ὢν τάξεως. Ὑπερικὸν, διττόν. τὸ μὲν ἕτερον ἀνδρόσαιμόν τε καὶ ἄσκυρον ὀνομαζόμενον, εἴρηται. θερμαίνει δὲ θάτερον καὶ ξηραίνει, λεπτομεροῦς ὑπάρχον οὐσίας. ὅθεν οὖρά τε κινεῖ καὶ καταμήνια ὅλος ὁ καρπὸς αὐτοῦ. μετὰ δὲ τῶν φύλλων ἐπιπλαττόμενος χλωρὸς, ἀπουλοῖ τραύματα. ξηρὰ δὲ ἐπιπλαττόμενα τῶν ἑλκῶν ἰῶνται. δίδοται δὲ καὶ τοῖς ἰσχιαδικοῖς πίνειν. Ὑπήκοον. ψύχει κατὰ τὴν τρίτην τάξιν ἐγγὺς ὂν μήκωνος. Ὑπόγλωσσον, θαμνίσκος ἐστίν. ἧς τε οὖν ῥίζα καὶ ὁ χυλὸς μαλακτικῆς εἰσι δυνάμεως. Ὑποκιστίς. χυλός ἐστι τῶν ὑποφυομένων παρὰ τὰς ῥίζας τοῦ κισσοῦ τε καὶ τοῦ κισθάρου καλουμένου, οἷον κυτίνων, δραστικὸν ἱκανῶς φάρμακον εἰς ἅπαντα τὰ ῥοώδη παθήματα, τῷ ξηραίνειν καὶ ῥωννύειν τὰ μόρια. Ὑπόφαιστον. εἶδός ἐστι κναφικῆς ἀκάνθης, ὥσπερ καὶ τὸ ἱπποφαὲς. τούτου τῆς κεφαλῆς καὶ τῶν φύλλων καὶ τῶν ῥιζῶν, ξηρανθεὶς ὁ χυλὸς, ὁλκὴ τριωβόλου μετὰ μελικράτου, ὕδωρ καὶ φλέγμα κενοῖ. ἁρμόζει δὲ μάλιστα ὀρθοπνοίαις, ἐπιληψίαις καὶ τοῖς περὶ τὰ νεῦρα πάθεσιν. Ὕσωπον. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔστι δὲ καὶ λεπτομερές.

Ἀρχὴ τοῦ φ.

Φακοί. ξηραίνουσι μὲν ἐπὶ τὴν δευτέραν τάξιν, θερμασίας δὲ καὶ ψύξεως ἐν τῷ μεταξύ. ἔχουσι δέ τι καὶ στύψεως. αὐτὸ μὲν οὖν αὐτοῦ τὸ σῶμα ξηραίνει τε καὶ γαστέρα ἵστησιν. τὸ δὲ ἀφέψημα, προτρέπει. διὸ καὶ ἀποχεῖται τὸ πρότερον ὕδωρ, ὅταν ἐπισχέσεως ἕνεκα λαμβάνωνται. Φακὸς, ὁ ἐπὶ τῶν τελμάτων. ὑγραίνει καὶ ψύχει κατὰ τὴν δευτέραν τάξιν. Φαλαρίδος, ὁ χυλὸς καὶ τὰ φύλλα, καὶ τὸ σπέρμα, πινόμενα, κύστεως ἀλγήμασι βοηθεῖ. ἔχουσα καὶ λεπτομερές. ἔστι δὲ καὶ θερμόν. Φαλαγγίτις, ὠνόμασται μὲν ἐκ τοῦ τοῖς φαλαγγιοδήκτοις βοηθεῖν. ἔστι δὲ καὶ λεπτομερής. ὅθεν καὶ στροφουμένοις ἀρήγειν δοκεῖ. Φελλοί, καὶ μάλιστα οἱ ἀπὸ τῶν οἰνηρῶν ἀγγείων, καυθέντες, ξηραντικωτάτην ἐργάζονται τέφραν. ἥτις ταῖς δυσεντερικαῖς μάλιστα μίγνυται δυνάμεσι. Φιλυρᾶς. τοῦ δένδρου τὰ φύλλα παραπλησίως στύφει, τοῖς τῆς ἀγρίας ἐλαίας. ὠφελεῖ δὲ τὰ ἐν τῷ στόματι ἕλκη διαμασσώμενα. καὶ διακλυζομένου τοῦ ἀφεψήματος αὐτῶν. ὃ καὶ πινόμενον, οὖρα καὶ καταμήνια κινεῖ. Φλόμοι, πλείονες μέν εἰσιν. ἐν αἷς καὶ ἡ καλουμένη θρυαλλίς. πασῶν δὲ τὰ μὲν φύλλα ξηραντικῆς καὶ μετρίως ῥυπτικῆς εἰσι δυνάμεως. καὶ μάλιστα τῆς χρυσιζούσης. καὶ δὴ στρυφναὶ οὖσαι, τοῖς ῥοώδεσιν ἁρμόττουσι πάθεσι. διακλύζονται δὲ αὐτὰς ἔνιοι καὶ πρὸς ὀδόντας. Φοῖνιξ, οἱ δὲ ῥουν. πόα ἐστὶ αἴρᾳ παραπλησία. δύναμιν δὲ ἔχει στυπτικήν. πινομένη δὲ ἐν οἴνῳ αὐστηρῷ, πάντα τὰ ῥοώδη στέλλει. Φοῖνιξ, τὸ δένδρον. τὸν μὲν καρπὸν ἤδη πεπανθέντα θερμὸν μετρίως ἔχει καὶ τονωτικὸν καὶ εὐστόμαχον, εἴσω τε λαμβανόμενον καὶ ἔξωθεν ἐπιτιθέμενον. τὸ δὲ λοιπὸν τοῦ φοίνικος, στύφον ἱκανῶς ἐστίν. ὅθεν στομαχικαῖς τε καὶ ἡπατικαῖς δυνάμεσι μίγνυται. πάντων δὲ στυπτικώτερόν ἐστι τὸ οἷον ἀμφίεσμα τοῦ καρποῦ τοῦ ἐκφυομένου. Φόρμιον. λεπτομεροῦς τε καὶ ῥυπτικῆς καὶ ἑλκτικῆς ἐστι δυνάμεως. λευκώματα γοῦν λεπτύνει μετὰ μέλιτος τὸ σπέρμα. καὶ σκόλοπας ἐξάγει. Φοῦ. νάρδου παραπλησίαν ἔχει τὴν ῥίζαν, καταδεεστέραν μὲν εἰς τὰ πλεῖστα, οὖρα δὲ μᾶλλον αὐτῆς προτρέπουσαν. ὁμοίως τῇ κελτικῇ. Φύλλον. τὸ τοῦ μαλαβάθρου φύλλον, περὶ οὗ ἐκεῖσε λέλεκται. Φῦκος. ψύχει καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, ἔχον τι καὶ στύφον μετρίως. Φυλλῖτις. στρυφνή τις οὖσα, ποιότητος οὐκ ἀπρόπου, διαῤῥοίας ὀνίνησι πινομένη.

Ἀρχὴ τοῦ χ.

Χαλβάνη. θερμαίνει μὲν πλησίον τῆς τρίτης ἀποστάσεως. ξηραίνει δὲ πλησίον τῆς δευτέρας. μαλακτικῆς τε καὶ διαφορητικῆς ὑπάρχουσα δυνάμεως. Χαλκῖτις. στυπτικῆς καὶ δριμείας καὶ καυστικῆς καὶ ἐσχαρωτικῆς ἐστι δυνάμεως. λεπτομερεία δὲ μεταξὺ μίσυός τέ ἐστι καὶ σώρεως. καυθεῖσα δὲ, λεπτομερεστέρα γίνεται. Χάλκανθος, ὕδωρ ἐστὶ πηγνύμενον ἐν τοῖς κατὰ κύπρον μετάλλοις, ἰσχυροτάτην ἔχον στύψιν, μετὰ θερμότητος οὐκ ἀγεννοῦς. πάντων μᾶλλον τὰς ὑγρὰς σάρκας ταριχεῦσαί τε καὶ ξηρᾶναι δυνάμενον. χρόνῳ δὲ πλείονι εἰς χαλκῖτιν μεταβάλλει. Χαλκὸς κεκαυμένος. ἔχει μέν τι καὶ δριμὺ, καὶ στύψεως μετέχει. κάλλιστον

ὂν ἐστὶ πρὸς σύνουλωσιν ἑλκῶν ἐπὶ τῶν ξηροτέρων σωμάτων. εἰ δὲ πλυθείη τοῦ ἀπλύτου χρησιμώτερός ἐστιν. Χαλκοῦ ἄνθος. λεπτομερεστέρας ἐστὶ δυνάμεως τοῦ κεκαυμένου χαλκοῦ, καὶ τῆς λεπίδος αὐτοῦ. μιγνύμενον γοῦν ἐν κολλυρίοις, ἀποῤῥύπτει τάς τε τραχύτητας καὶ συκώσεις τῶν βλεφάρων. Χαμαίδρυς. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. σπλῆνας τε οὖν τήκει, καὶ οὖρα καὶ καταμήνια κινεῖ, καὶ τὰς τῶν σπλάγχνων ἐμφράξεις ἐκκαθαίρει. Χαμαικίσσου τὸ ἄνθος. πικρὸν ἱκανῶς ὑπάρχον, ἐκφράττει τὰ καθ' ἧπαρ. δίδοται δὲ καὶ τοῖς ἰσχιαδικοῖς. Χαμαιλεύκη. θερμαίνει κατὰ τὴν τρίτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν πρώτην. Χαμαιλέοντος, τοῦ μὲν μέλανος ἡ ῥίζα θερμαίνει καὶ ξηραίνει πλησίον τῆς τρίτης τάξεως. ἔστι δὲ ῥυπτική τε τῶν περὶ τὸ δέρμα, καὶ διαφορητικὴ καὶ μαλακτικὴ τῶν σκληρῶν ὄγκων, καὶ φαγεδαινικὰ καταπλασθεῖσα ἰᾶται. ἔσω δὲ λαμβανομένη τοῦ σώματος, δηλητηριώδης ἐστίν. ἡ δὲ τοῦ λευκοῦ ῥίζα, παραπλησία μέν ἐστι τῆς τοῦ μέλανος, πικροτέρα δέ. ἥτις μετ' οἴνου αὐστηροῦ πλῆθος ὀξυβάφου πινομένη, πλατείας ἕλμινθας κτείνει. ποιεῖ δὲ καὶ πρὸς ὑδρωπικούς. Χαμαίμηλον ἢ ἄνθεμις. θερμαίνει καὶ ξηραίνει κατὰ τὴν πρώτην τάξιν. ἔστι δὲ καὶ λεπτομερὲς καὶ διαφορητικὸν καὶ χαλαστικόν, καὶ ἀρωματίζον τὴν δύναμιν. Χαμαιπίτυς. θερμαίνει μὲν κατὰ τὴν δευτέραν τάξιν. ξηραίνει δὲ κατὰ τὴν τρίτην. διὸ καθαρτικός τε καὶ ῥυπτικός τῶν σπλάγχνων ἐστί. καὶ μάλιστα τοῦ ἥπατος. ἄγει δὲ καὶ οὖρα καὶ καταμήνια. καὶ τὰ μεγάλα τραύματα κολλᾷ καὶ τὰ σηπεδονώδη ἰᾶται. καὶ σκληρίας διαφορεῖ. ποιεῖ δὲ καὶ ἰσχιαδικοῖς τὸ ἀφέψημα αὐτοῦ. Χαμαίδρωψ, οἱ δὲ καὶ τοῦτο χαμαίδρυν, οἱ δὲ καὶ τεύκριον, παραπλησίας ἐστὶ τῷ χαμαίδρυϊ δυνάμεως. Χαμαισύκη. ῥυπτικήν τε καὶ δριμεῖαν ἔχει δύναμιν, ὥστε καὶ μυρμηκίας καὶ ἀκροχορδόνας οἵ τε κλάδοι αὐτῆς καὶ ὁ ὀπὸς ἀφαιροῦσιν. ἀποῤῥύπτουσι δὲ σὺν μέλιτι τὰς ἐν ὀφθαλμοῖς παχείας οὐλάς. καὶ ἀμβλυωπίας καὶ ἀρχὰς ὑποχύσεως ἰῶνται. Χαμαιλέα. ῥυπτικῆς ἐστι δυνάμεως. διὸ τά τε ῥυπαρὰ τῶν ἑλκῶν καὶ τὰς ἐσχάρας καθαίρει, μετὰ μέλιτος. Χελιδόνιον, τὸ μὲν μέγα θερμαίνει κατὰ τὴν τρίτην τάξιν, ἔστι δὲ καὶ ῥυπτικὸν ἰσχυρῶς. ὁ χυλὸς δὲ αὐτοῦ, εἰς ὀξυωπίαν ἐστὶ χρήσιμος. ἡ δὲ ῥίζα, ἰκτερικοὺς τε σὺν οἴνῳ ἐκφράττει καὶ ἀνήσῳ πινομένη. μασσωμένη δέ, ὀδονταλγίας ὠφελεῖ. τὸ δὲ μικρότερον, τῆς τετάρτης ὂν τῶν θερμαινόντων ἀποστάσεως, δριμύτερόν ἐστιν, ὡς ἑλκοῦν τὸ δέρμα καταπλασσόμενον. ὄνυχάς τε λεπροὺς ἐκβάλλει. ὁ δὲ χυλὸς αὐτοῦ, διὰ ῥινῶν καθαίρει. Χελιδόνων καυθέντων ἡ τέφρα, σὺν μέλιτι διαχριομένη, κυναγχικὰς φλεγμονὰς ἰᾶται. ποιεῖ δὲ καὶ ὀξυδορκίαν. Χολή, πάντων τῶν ἄλλων τοῦ ζώου χυμῶν ἐστὶ θερμοτάτη. διαφέρει δὲ τῇ μὲν χροιᾷ, καθ' ὃ ἡ ξανθὴ τῆς ὠχρᾶς ἐστὶ θερμοτέρα, καὶ τῆς ξανθῆς ἡ ἰώδης. τῇ δὲ τῶν ἐχόντων αὐτὴν ζώων διαφορᾷ, καθ' ὅσον ἡ μὲν τῶν ὑῶν ἀσθενεστέρα πασῶν ἐστιν. ὥστε καὶ τοῖς ἐν ὠσὶν ἕλκεσιν ἀδήκτως ἁρμόζειν. δριμυτέρα δὲ ταύτης ἡ τῶν προβάτων. κἀκείνης ἡ τῶν αἰγῶν. ταύτῃ δὲ παραπλησία ἡ τῶν ἄρκτων τε καὶ βοῶν. ἡ δὲ τῶν ταύρων ἰσχυροτέρα, καὶ ταύτης ἡ τῶν ὑαινῶν, κἀκείνης ἡ τοῦ ἰχθύος τοῦ καλλιωνύμου καλουμένου. καὶ ἡ τοῦ σκορπίου, ἥτις ὑποχύσεσί τε καὶ ἀμβλυωπίαις καὶ λευκώμασιν ἁρμόζει. καὶ ἡ τῆς θαλαττίας χελώνης. ἡ δὲ τῆς ἀγρίας αἰγός, καὶ νυκταλωπιῶντας ὠφελεῖν λέγεται. αἱ δὲ τῶν πτηνῶν ζώων πᾶσαι, δριμύτεραί τε εἰσὶ καὶ ξηραντικώτεραι τῶν ἐν τοῖς τετράποσιν. αὐτῶν δὲ τούτων αἱ τῶν ἀλεκτρυόνων τε καὶ περδίκων ἀμείνους. αἱ δὲ τῶν ἱεράκων τε καὶ ἀετῶν, δριμύτεραί πως εἰσὶ καὶ διαβρωτικαί, καὶ ἰώδεις τὴν χροιάν, ἐνίοτε δὲ καὶ μέλαιναι. Χονδρίλη. στέρεως εἶδος ὑπάρχουσα, τὸ ὑπόπικρον ἔχει. διὸ καὶ ξηροτέρα πως αὐτῆς ἐστι. Χόνδρος, παραπλήσιός ἐστι πυρῷ. γλίσχρος δὲ πλέον ἐκείνου. Χρυσοκόλλα. ἔστι μὲν ἡ μεταλλευομένη. καὶ σκευάζεται δὲ ἐν θυίᾳ ἀπὸ ἐρυθροῦ χαλκοῦ, τριβομένου διὰ οὔρου παιδὸς ἀφθόρου, τριβομένου, ἐν τοῖς ὑπὸ κύνα καύμασιν. αὕτη οὖν ῥύπτει, διαφορητικὴν καὶ ξηραντικὴν τὴν δύναμιν ἔχουσα, μᾶλλον τῆς μεταλλευομένης, ὡς καὶ τήκειν σάρκα ἀδήκτως. ἕλκεσι γοῦν κακοήθεσιν ἁρμόττει. κἀκείνην δὲ καύσας, ἀδηκτοτέραν ἐργάσῃ. Χρυσοκόμη ἡ καὶ χρυσῖτις. δριμεῖαν ἅμα καὶ στύφουσαν ἔχει δύναμιν ἡ ῥίζα, διόπερ οὐδὲ πολύχρηστός ἐστι. πλὴν ἐν περιπνευμονίαις τε καὶ ἡπατικοῖς πάθεσιν ἐν μελικράτῳ καθεψηθεῖσα δίδοται. κινεῖ δὲ καὶ ἔμμηνα.

Ἀρχὴ τοῦ Ψ.

Ψευδοβούνιον. παραπλήσιον ὑπάρχον βουνίῳ τὴν ἰδέαν. θερμαίνει δὲ καὶ διαφορεῖ καὶ ῥύπτει. στρόφους γοῦν καὶ στραγγουρίας καὶ πλευρῶν ἀλγήματα λύει. διαφορεῖ δὲ καὶ χοιράδας, μεθ' ἁλῶν καὶ οἴνου καταπλασσομένη. Ψευδοδίκταμνον, ἀσθενοῦς δικτάμνου δύναμιν ἔχει. Ψιμύθιον. ἐμψυκτικόν τε ἐστί, καὶ ἐμπλαστικόν. Ψυλλίου τὸ σπέρμα. τῆς δευτέρας τῶν ψυχόντων ἐστὶ τάξεως. ἐν δὲ τῷ ξηραίνειν τε καὶ ὑγραίνειν, μέσον ἐστίν. Ψωρικόν, λιθαργύρου

μιγνυμένης διπλασίας χαλκίτεως γίνεται, λειουμένων τε ὄξει καὶ χωννυμένων εἰς κεραμίαν χύτραν ἐν κόπρῳ ἐπὶ τεσσαράκοντα ἡμέρας. ξηραντικώτερόν τε καὶ λεπτομερέστερον καὶ ἀδηκτότερον χαλκίτεως γίνεται.

Ἀρχὴ τοῦ ω.

Ὠὸν τὸ μὲν λευκόν τε καὶ λεπτὸν, τῶν ἀδηκτοτάτων ἐστὶ, μετρίως ἐμψύχον. χρηστέον οὖν αὐτῷ ἐπὶ ὀφθαλμῶν, καὶ τῶν ἐν αἰδοίοις ἑλκῶν, καὶ πάντων κακοήθων. μίγνυται δὲ καὶ τοῖς ἐναίμοις ἐμπλαστικοῖς φαρμάκοις. καὶ ἡ λέκυθος δὲ παραπλησίας οὖσα δυνάμεως, ἀφλεγμάντοις μίγνυται φαρμάκοις. ὀπτωμένη δὲ, ξηραντικωτέρα μὲν γίνεται, ἧττον δὲ παρηγορική. ὄξει δὲ ἑψηθὲν ὅλον ὠὸν, εἰ βρωθείη, ξηραίνει τὰ κατὰ γαστέρα ῥεύματα. εἰ δὲ καὶ προσλαβόν τι τῶν στρυφνῶν, οἷον κηκῖδος ἢ ῥοῦ ἢ βαλαυστίων, ταγηνισθείη, δραστικώτερον ἱκανῶς γίνεται. καὶ κατακαύμασι δὲ παραχρῆμα βοηθεῖ, ὅλον ὠμὸν ἐπιβαλλόμενον. ῥοφητὸν δὲ προσφερόμενον, τά τε κατὰ θώρακα συμπέττει καὶ παρηγορεῖ, καὶ τὰς τραχύτητας τῆς ἀρτηρίας καταλεαίνει. προκριτέον δὲ τὸ νέον τοῦ παλαιοῦ, καὶ τὸ τῶν ἀλεκτορίδων, τοῦ τῶν ἄλλων ζώων. Ὤκιμον ἐκ τῆς δευτέρας τάξεως ἐστὶ τῶν θερμαινόντων. ἔχει δὲ καὶ ὑγρότητα περιττωματικήν. ὅθεν οὐδὲ χρήσιμον ἐστὶν εἴσω τοῦ σώματος λαμβανόμενον. ἔξωθεν δὲ καταπλασσόμενον, διαφορεῖ καὶ συμπέττει. Ὠκιμοειδὲς, ἣν ἔνιοι φιλεταίριον ὀνομάζουσιν. ἄχρηστος μὲν ἡ ῥίζα. τὸ δὲ σπέρμα λεπτομερὲς, καὶ ξηραντικὸν ἀδήκτως ἐστίν.

Περὶ τῶν καθαιρόντων φαρμάκων ἁπλῶν ὅσα χολὴν ἄγει ξανθήν. δ´.

Ἀλόης < α. μετὰ μελικράτου πρωῒ διδόσθω. οἱ δὲ ἑσπέρας διδόντες ἢ μετὰ τροφὴν βλάπτουσι. διαφορεῖ γὰρ τὴν τροφήν. κενοῖ ξανθὴν χολήν. ἧττον διδομένη ὅσον τριώβολον, ἐκκοπρωτικὴ μόνον ἱκανῶς γίνεται. πάντων δὲ τῶν καθαρτικῶν κακοστομάχων ὑπαρχόντων, ἀλόη μόνον εὐστόμαχός ἐστι. τοῖς δὲ μὴ ἀνεχομένοις τῆς πικρίας αὐτῆς, εἰς καταπότια πλαττομένη διδόσθω. Ὅτι μὲν τὰ καθαρτικὰ τῶν φαρμάκων οὐχ ἁπλῇ τινὶ κενοῖ κράσει, οἷον θερμότητι. ἔδει γὰρ πάντα τὰ θερμὰ κενοῦν, οἷον πέπερι. ἀλλ' ἰδιότητι τῆς ὅλης οὐσίας, ὃν τρόπον ἡ μαγνῆτις λίθος ἕλκει τὸν σίδηρον, δέδεικται. τῶν δὲ καθαρτικῶν, τὰ μὲν μαλακτικὰ μόνον εἴρηται κατὰ τὸ πρῶτον βιβλίον. τοῖς δὲ δραστικοῖς αὐτῶν χρώμεθα ἤτοι πρὸς τὸ μεταγαγεῖν τὴν ὕλην, ἢ πρὸς τὸ μοχλεῦσαι διάθεσιν ἐσκιρρωμένην καὶ ἀνακινῆσαι, ἢ πρὸς τὸ μεταποιῆσαι τὸ σῶμα καὶ τρέψαι τὴν κρᾶσιν αὐτοῦ. ἢ πρὸς τὸ ἐξαγαγεῖν αὐτοῦ τὸ ἐνοχλοῦν ὑγρόν. εἰσὶ δέ τινες καὶ μικτοὶ τρόποι ἐκ τῶν εἰρημένων, ἀλλήλοις ἐπιπλεκόμενοι. χρηστέον δὲ καθαρτικοῖς ἐπὶ τῶν εὐτόνων τὴν δύναμιν, καὶ εὐρώστων τὴν προαίρεσιν. καὶ τῶν τὰς πρώτας ἡλικίας ἐκφευγόντων, οὔπω δὲ πρὸς τὰ ἔσχατα τῆς ἡλικίας ἀφιγμένων. στόμαχόν τε εὔτονον ἐχόντων, καὶ πολλὴν ὕλην ἀχρεῖαν ἐν τῷ σώματι συλλεγόντων, οὐ σφόδρα πολυαίμων. ὥρα δὲ τῶν καθαρσίων, εἰ μὴ κατεπείγοι, ἐαρινὴ μάλιστα. καὶ μετοπωρινή.

Περὶ τῶν χολὴν κενούντων.

Χολαγωγοῖς χρηστέον, ὥρᾳ μὲν πάσῃ, πλὴν χειμῶνος. ἐπὶ ἡλικίας δὲ ἀκμαστικῆς τε καὶ παρακμαστικῆς. ἕξεων δὲ, καταξήρων τε καὶ μυωδῶν καὶ μελανοχρώτων ἢ ἐρυθρῶν. καὶ ἀνδρῶν μᾶλλον ἢ γυναικῶν. τῶν τε συνεχῶς διαφθειρόντων τὰς τροφὰς, καὶ τῶν ὑπεστεγνωμένων τὴν γαστέρα, καὶ πικροχόλων, ὀργίλων, οὖρά τε ὀλίγα ἐκκρινόντων, τροφαῖς τε χρωμένων ξηραῖς καὶ θερμαῖς. ἐπὶ δὲ παθῶν ἰκτερικῶν τε καὶ ἡπατικῶν, πλευριτικῶν, φρενίτιδος, συνάγχης, μανίας, κεφαλαίας, ὀφθαλμίας, ἐρυσιπέλατος, λέπρας, πυρετῶν. καὶ οἷς τὸ χολῶδες πλεονάζει. δίδοται δὲ ἡ ἀλόη κεφαλὴν βαρουμένοις, ὀφθαλμιῶσι, διψώδεσι, τοῖς τε ἐν τοῖς ὕπνοις φαντασιώδεσιν ἄνευ πυρετοῦ, τοῖς τε διαδρομῆς φρικώδους αἴσθησιν ἔχουσιν, καὶ τοῖς φύσας δριμείας ἐκκρίνουσι, δακνομένοις τὰ ἔντερα. καὶ τοῖς περὶ στόμαχον πυρώσεως ἢ ἄσης ἀνατρεπτικῆς ἀντιλαμβανομένοις. καὶ τοῖς ἐπὶ πλήθει περιττωμάτων ἐπικλυσθῆναι μὴ δυναμένοις, ἱκανῶς γὰρ ἐκκενοῖ ὅλον μὲν οὐ συγκινοῦσα τὸ σῶμα εἰ μὴ σφόδρα πολλὴ δοθείη. τὴν δὲ παρακειμένην ἐν τοῖς ἐντέροις κοιλίᾳ τε καὶ στομάχῳ χολὴν ἄγουσα. ἁρμόζει δὲ ὁ ἐλλέβορος, καὶ τοῖς ὀξέως νοσοῦσι, καὶ τοῖς χρονίοις δεομένοις χολαγωγοῦ φαρμάκου, οἷον μαινομένοις, ἑτεροκρανικῶς ὀχλουμένοις, ῥευματιζομένοις ὄμμα, περὶ θώρακα διαθέσεις ἔχουσιν. ἐπιτηδειότατος δὲ ἐστὶν σπλάγχνοις τε καὶ ὑστέρᾳ καὶ κύστει φαρμακείας δεομένοις χολαγωγοῦ φαρμάκου. ἀγαθὸς δὲ καὶ ἐπὶ τῆς τραχείας ἀρτηρίας χρονίως πεπονθυίας, ἰκτεριῶσί τε καὶ τοῖς ἐξανθήματα ἔχουσι καὶ λειχῆνας, ἢ ἕρπητας, ἢ ἐρυσιπέλατα, ἢ λέπρας. Ἐλλέβορος μέλας, χολὴν ἄγει μάλιστα ξανθὴν ἐκ παντὸς τοῦ σώματος, χωρὶς περισκελίας. ὅθεν καὶ τοῖς μὴ βαρέως πυρέττουσι δίδοται, καὶ μᾶλλον ἀπυρέτοις, πλῆθος < α. τῶν ῥιζῶν λείων ἐν

μελικράτῳ ἢ ὕδατι, προενησδυκόσιν. ἢ μετὰ μέλιτος ὡς καταπότια. τινὲς δὲ μιγνύουσιν αὐτῷ γλήχωνα ἢ θύμβραν, ἤ τι τῶν ὀξυπόρων τῶν εὐστομάχων. Σκαμμωνία. παραπλησίως ἐλλεβόρῳ καθαίρει, καὶ μᾶλλον τὴν ξανθὴν χολήν. κακοστομαχωτάτη δὲ πάντων τῶν καθαρτικῶν ἐστί, δοτέον οὖν αὐτὴν ἀπυρέτοις τε καὶ εὐστομάχοις πλῆθος ὀβολῶν τεσσάρων. σὺν ἁλσὶν ἢ πεπέρει ἢ ζιγγιβέρει, ἢ ὀξυπόρῳ τινὶ τῶν εὐστομάχων. ἢ μετὰ μέλιτος. γίνεται δὲ καὶ καταπότια μετὰ κόμμεως. Κολοκυνθίδος ἐντεριώνη, κενοῖ μάλιστα μὲν χολήν. καὶ μυξώδη δὲ οὐκ ἀπὸ τοῦ αἵματος, καθάπερ ἐλλέβορός τε καὶ σκαμμωνία, ἀλλ' ἀπὸ τῶν νεύρων τε καὶ νευρωδῶν, πλῆθος < .α. ἐν μελικράτου κυάθοις δυσίν, ἐναφεψημένου αὐτῷ καὶ πηγάνου. λεκτέον δὲ περὶ πολύ, ὅτι αἱ τραχύτητες αὐτοῦ προϊσχόμεναι τοῖς ἐντὸς ἑλκώσεις τε καὶ νευρικὰς ἐργάζονται συμπαθείας. δοτέον δὲ αὐτὴν τοῖς κεφαλὴν πεπονθόσιν, ἤτοι τοῖς ἐπειδὰν μήνιγξ, ἢ ὁ περικράνιος κεκακῶσθαι τύχῃ, οἷον σκοτωματικοῖς, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαίας ὀχλουμένοις, ἐπιληπτικοῖς, ἀποπληκτικοῖς, κυνικῶς σπωμένοις, χρονίως ὄμματα ῥευματιζομένοις, ὀρθοπνοϊκοῖς τε καὶ ἀσθματικοῖς, καὶ βήσσουσι χρονίως. ἔτι δὲ ἀρθριτικοῖς καὶ τοῖς περὶ νεφρὸν ἢ κύστιν ἐσχηκόσι διάθεσιν. Ἐλατήριον. παραπλησίως κενοῖ σκαμμωνίᾳ. ἐκλεκτέον δὲ τὸ πρασίζον καὶ κοῦφον, καὶ μὴ παλαιότερον ἐνιαυτοῦ. πλῆθος τριωβόλου, λεῖον μετὰ γάλακτος κοτύλης α. Τιθύμαλλος, ἄγει χολήν, ἐλατηρίῳ καὶ σκαμμωνίᾳ παραπλησίως. δίδονται δὲ τοῦ ὀποῦ σταγόνες τέσσαρες ἢ πέντε σὺν ἀλφίτῳ φυραθεῖσαι, καὶ ταχέως καταπινόμεναι. καὶ γὰρ καταχυθεῖσαι ἐν τῷ στόματι ἐπὶ πολύ, τὴν γλῶτταν ἑλκοῦσι καὶ τὰ πέριξ. Λαθυρίδες, καθαίρουσι χολήν, ὥσπερ ἐλλέβορος καὶ σκαμμωνία. δοτέον οὖν ἑπτὰ ἢ η καὶ μέχρι πεντεκαίδεκα. τοῖς μὲν εὐτόνοις καὶ πλείονος δεομένοις καθάρσεως, διαμασᾶσθαι προστάσσοντας. τοῖς ἀσθενεστέροις δὲ καὶ κακοστομάχοις, ὁλοσχερεῖς αὐτὰς καταπίνειν. Πέπλιον τῶν ἀκραιμόνων ξηρῶν ἀεὶ ὄντων ὅσον ὀβολῶν ὀκτὼ ἐν μελικράτῳ δοτέον. ἄγει χολὴν παραπλησίως ἐλλεβόρῳ. καὶ φυσῶν ἐστιν καταῤῥηκτικόν. Ἀγαρικόν. παραπλησίαν κολοκυνθίδι τὴν δύναμιν ἔχει. βραδέως μὲν ἐνεργοῦν. οὐ πάνυ δὲ κακοστόμαχον. δίδοται δὲ λεῖον < .β. μετὰ μελικράτου. ἔστω δὲ λευκότατον καὶ εὐθρυπτότατον καὶ οὐ πάνυ ξυλῶδες οὐδὲ τερηδονισμένον. Ἶρις ἰλλυρική. παραπλησίως καθαίρει δοθεῖσα πλῆθος ὀβολῶν η ἐν μελικράτῳ, ἔστω δὲ μὴ παλαιὰ μηδὲ τερηδόνας ἔχουσα. Κενταύριον τὸ μικρόν. χολὴν καὶ μύξας καθαῖρον, ἰσχιαδικοῖς ἰδίως ἁρμόζει. πίνεται δὲ αὐτοῦ τὸ ἀφέψημα τοῦ κενταυρίου < .α. S. ἐν ὕδατος κοτύλῃ καθεψηθέντος, ἕως εἰς τὸ ἥμισυ κατέλθῃ. Τραγοριγάνου τὸ ἄνθος σὺν τῷ καρπῷ πλῆθος < .β. δίδοται ἐν μελικράτῳ, οἷς καὶ ὁ μέλας ἐλλέβορος. ἔστι δὲ εὐστομαχώτερον μὲν ἐλλεβόρου, ἧττον δὲ καθαίρει. Χαμαιλαίας < .δ. ἑψηθεῖσαι ἐν μελικράτου κοτύλαις β ὡς εἰς τὸ δ καθεψηθεῖσαι, παραπλησίως ἐλλεβόρῳ καθαίρει. ἔνιοι δὲ τῆς χαμαιλέας καὶ ἀψινθίου τὸ διπλάσιον καταπότια ποιήσαντες διδόασιν. Ἀριστολοχίας τῆς κληματίτιδος τοῦ καρποῦ < .α. ἐν μελικράτῳ δοθεῖσα, καθαίρει ὡς κολοκυνθίς. Πολυποδίου ἡ ῥίζα ξηρὰ λεία ἐπιπλασθεῖσα μελικράτῳ, ἢ συντριβεῖσα αὐτῷ τὸ αὐτὸ δρᾷ τῇ κολοκυνθίδι.

Ὅσα μέλαιναν χολὴν κενοῖ.

Τοῖς μέλαιναν χολὴν ἐξαλγοῦσιν, χρηστέον προηγουμένως ἐπὶ μελαγχολικῶν, εὐπαροξύντων, ὀργίλων, μισανθρωπούντων, ἢ ἀναχωρητικῶν, ἐν ἀναλήψει δεομένων καθάρσεως, ἐν φθινοπώρῳ πυρώδει, ἐπὶ ἕξεων καταξήρων ὀλιγομυωδῶν. Ἐπίθυμον. κράτιστόν ἐστιν τῶν μέλαιναν κενούντων χολήν. δοτέον δὲ αὐτοῖς < .ε. λείου σὺν γάλακτος κοτύλῃ. Ἐπιθύμβρον. τὸ ἐπὶ θύμβρᾳ γινόμενον, παραπλησίως μὲν ἐπιθύμῳ κενοῖ, ἀσθενέστερον δ' ἐστίν. Γλήχων, ἄγει μέλαιναν πλῆθος ὀξυβάφου ἐν μελικράτῳ ποθεῖσα. Τραγοριγάνου ἡρακλεωτικῆς τὸ αὐτὸ ποσὸν ὡσαύτως κενοῖ γλήχωνι. ἄμφω δὲ ξηραί. Ἄλυπον. εἴρηται καθαίρειν κάτω τὸ σπέρμα αὐτοῦ μέλαιναν χολήν, πλῆθος ἴσον ἐπιθύμῳ μεθ' ἁλῶν καὶ ὄξους. τὰ δ' ἔντερα ὥς φησι Διοσκουρίδης, ἐλαφρῶς ἑλκοῖ. ἔστι δὲ οἶμαι ἡ νῦν ἀλυπιὰς καλουμένη. δοτέον ἐν μελικράτῳ. Παρθένιον. ὁμοίως ξηρὸν ποθὲν τῶν αὐτῶν ἐστὶν ἀγωγόν. Ἄλυσσον. μεθ' ἁλῶν ποθέν, ὁμοίως τούτοις καθαίρει.

Ὅσα φλέγμα κενοῖ.

Τοῖς δὲ φλεγμαγωγοῖς χρηστέον, ἐπί τε τῶν ψυχροτέρων ἕξεων καὶ γεγηρακότων καὶ χειμῶνος. ἐπί τε παρέτων καὶ ἀποπλήκτων καὶ προῳδηκότων οἰδήμασι σομφοῖς. τῶν τε πολλὰ φλέγματα ἐν τῇ κοιλίᾳ, ἢ θώρακι ἢ στομάχῳ ἐχόντων. ἐπί τε γυναικείων ῥευματιζόντων. ἁρμόζει δὲ καὶ τοῖς πολλὰ ἀπομυσσομένοις καὶ παχέα ἀναχρεμπτομένοις, ἀνορέκτοις τε καὶ ἰσχιαδικοῖς, ἐπειδὰν τὸ ἄρθρον ὑπόμυξον ἢ ἐλεφαντῶδες ᾖ. μάλιστα δὲ κατάλληλα ὑδρωπικοῖς, τοῖς λεγομένοις ἀνασάρκα. Στύρακος λευκοῦ < .α. πλῆθος σὺν ῥητίνῃ τερεβινθίνῃ ἰσοσταθμῷ καταπινόμενον φλέγμα κενοῖ.

Ἐλαίας

Ἐλαίας τῆς ῥίζης ὁ φλοιὸς <.α. πλῆθος σὺν οἴνῳ ἢ ὕδατι. πυρέθρου ὀβολοὶ β. σὺν ὕδατι. λυχνίδος τοῦ σπέρματος <.β. κυκλαμίνου τῆς ῥίζης <.α. σὺν ὑδρομέλιτι. σκορδίου <.β. σὺν μέλιτι. χαμαιπίτυς λεανθεῖσα καὶ ἐν καταποτίοις δοθεῖσα. λεπίδιος κυπρίας <.S. μετὰ ῥητίνης ἴσης ἐν καταποτίοις, δυνατώτερον καθαίρει φλέγμα. δαφνίδος φύλλων χλωρῶν <.α.S. σικύου ἀγρίου ῥίζης φλοιοῦ, ὀβολοὶ δύο. κνίκεως κόκκοι μ. προσαγορευόμενοι κρότωνες, περιπτισθέντες ἐσθίονται, καὶ παραπλησίως δρῶσιν. ἀπίου τὸ ἥμισυ τὸ πρὸς τῇ ῥίζῃ ἐσθιόμενον, ὅ τινες χαμαιράφανον καλοῦσιν. Βδελλίου <.β. μεθ' ὑδρομέλιτος. ἰδίως δὲ τὸ κόμμι τοῖς ὄμματα ῥευματιζομένοις ἐπιτήδειον.

Ὅσα ὕδωρ κενοῖ.

Ὑδραγωγοῖς δὲ χρηστέον, ἐπί τε ὑδρωπικῶν τῶν ἀσκίτην ὕδρωπα νοσούντων, ἐπί τε γυναικῶν τῶν ἐνοχλουμένων ὑπὸ ῥοῦ λευκοῦ, ἐπί τε τῶν ἕλκη ῥευματικὰ ἐχόντων. Λεπίδιος κυπρίας <.α. σὺν μελικράτῳ, πινομένη ὕδωρ ἄγει. ὄξους δὲ ἐπιρροφεῖν βραχὺ, ἵνα μὴ ἀνεμεθῇ.

Κόκκος κνίδιος περιεπτισμένος, λεῖος, σὺν μέλιτι ἑφθῷ τεθεὶς πρὸς τὸ μὴ ἅπτεσθαι τῆς καταπόθεας, ὕδωρ ἄγει. δοτέον δὲ κόκκους ἢ κ ἢ κε ἢ λ. τοῖς δὲ ἰσχυροτέροις μ. Εὐφορβίου <.α. σὺν μέλιτι ἑφθῷ πινομένη ἄγει φλέγμα, μᾶλλον δὲ ὕδωρ. Λογχίτιδος σπέρματος ὀβολοὶ η σὺν μελικράτῳ, ὕδωρ ἄγουσιν. Κνεωρὸν ὁμοίως ὕδωρ καθαίρει, σὺν ἀλφίτῳ πινόμενον. Κνήκου σπέρμα <.ε. σὺν λεανθεῖσαι συνεψῶνται πτισάνῃ μετ' ὀλίγων ἁλῶν καὶ ῥοφοῦνται. Ἀμμωνιακοῦ θυμιάματος <.α. ἐν μελικράτῳ πινόμενα ὕδωρ ἄγουσι. τινὲς δὲ τοῖς σπληνικοῖς αὐτὸ μετ' ὀξυκράτου διδόασιν. Ἀκτῆς τοῦ φλοιοῦ τῆς ῥίζης ὁ χυλὸς πινόμενος ὅσον γο.β. σὺν οἴνῳ ὕδωρ ἄγει.

Περὶ συνθέτων καθαρτικῶν. καταπότια τὰ διὰ τῆς ἀλόης. ε.

Κολοκυνθίδος ἐντεριώνης μ. α. ἀψινθίου χυ. μ. α. ἀλόης μ. α. σκαμμωνίας μ. β. ὕδατι ποίει κοκκία ὀροβίνου τὸ μέγεθος. ἡ δόσις κόκκοι ια.

Ὀξυμέλιτος ἰουλιανοῦ.

Πηγάνου γο.γ. ὀριγάνου γο.γ. θύμου κόμης γο.δ. ἀννήθου γο.α.S. ἴρεως γο.α. μανδραγόρου ῥίζης γο.α.S. ἀγαρικοῦ γο.ϛ. δάδων λιπαρῶν γο.ιϛ. κόκκου κνιδίου γο.δ. λαθυρίδων γο.γ. ἀλυπιάδος γο.γ. πολυποδίου γο.β. φύλλου γο.α. κόστου γο.α. ναρδοστάχυος γο.α. ῥέου ποντικοῦ γο.α.S. σκίλλης γο.γ. ἀκτῆς ἀκρεμόνων γο.γ. κανώπου, ὅ ἐστιν ἀκτῆς φλοιὸς γο.γ. ἀσάρου γο.α. γλήχωνος γο.γ. ἐπιθύμου γο.β. ἐλλεβόρου γο.β. ἀκόρου γο.β. σίου γο.α. ἀμμώμου γο.α. ὑπερικοῦ γο.α. κυμίνου γο.α. ἀννήσου γο.β. ὄξους ℥.ι. μέλιτος ℥.ε. τὰς βοτάνας ἀπόβρεξον ἐν τῷ ὄξει ἐπὶ τρεῖς ἡμέρας. εἶτα ἑψήσας ἕως τὸ πλέον τοῦ ἡμίσεος ἀναλωθῇ, ἐπίβαλλε τὸ μέλι. καὶ σιρώσας πρόσπλεκε τὰς λαθυρίδας, καὶ τὸν κόστον καὶ τὸν κνίδιον κόκκον καὶ τὸ ναρδόσταχυ λειωθέν. καὶ εἰ βούλει μετὰ τὸ τέλεον ἑψηθῆναι, τὸ ὀξύμελι. ἡ τελεία δόσις. γο.α. ἢ πρὸς τὴν δύναμιν. ποιεῖ δὲ ποδαγρικοῖς πάθεσι καὶ ἐπιληπτικοῖς, καὶ ἐφ' ὧν κενῶσαί τε ἅμα καὶ ἐκφράξαι τοὺς παχεῖς δεόμεθα χυμούς.

Καθάρσιον ὑδραγωγὸν τὸ διὰ καρυοφύλλου.

Ἀλόης, ἐπιθύμου, καρυοφύλλου, κόκκου κνιδίου, πετροσελίνου, ῥέου ποντικοῦ ἀνὰ γο.S. εὐφορβίου γρ.δ. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις κοχλιάριον α.

Καθάρσιον τὸ διὰ τοῦ ῥοδομέλιτος Ἀλεξάνδρου.

Ῥόδων χυ. ℥.β. μέλιτος ℥.α. σκαμμωνίας γο.δ. ἡ δόσις ἡ τελεία κοχλιάρια ε. ἡ ἐλάττων κοχλιάρια β. ἡ μέση κοχλιάρια γ. Ἄλλως. Μέλιτος λι.α. ῥόδων χυ. λι.α. πεπέρεως <.β. σκαμμωνίας <.η. μαστίχης <.δ. καὶ ζιγγιβέρεως <.β. Ἄλλως. ᾯ ἐγὼ χρῶμαι. Ναρδοστάχυος, ἀσάρου, ἐπιθύμου ἀνὰ γο.S. βρέχε εἰς ὕδατος κο. ἐπὶ ἡμέρας γ. καὶ συμμέτρως ἑψήσας μίξον τῷ ὕδατι ῥόδων χυ. ℥.S. μέλιτος ℥.S. καὶ ἑψήσας ἕως συστάσεως, ἐπίβαλλε σκαμμωνίαν γο.α.S.

Καθάρσιον τὸ διὰ τῶν κυδωνίων μήλων.

Μήλων κυδωνίων ὀπτημένων γο.δ. πεπέρεως γο.ϛ. σκαμμωνίας <.α. μέλιτος γο.ε. τρίψας δίδου κοχλιάριον α. ἢ πρὸς δύναμιν.

Τὸ διὰ κιτρίου εὐστόμαχον.

Κιτρίου λέπους καὶ τῆς σαρκὸς λι. μία ἐν ὕδατι ℥.α.S. ἑψήσας ἕως οὗ λειφθῇ τὸ τρίτον, ἐπίβαλλε ℥.S. μέλιτος, καὶ ἑψήσας ἕως μελιτώδους συστάσεως ἐπίπαττε λεῖα, μακροπεπέρεως γο.α. σκαμμωνίας ὠπτημένης ἐν ζύμῃ γο.α.

Βουκέλλατος καθαρτικός.

Σκαμμωνίας ὀπῆς γο. α΄. πεπέρεως καὶ σελίνου σπέρματος ἀνὰ γρ. α΄. μαράθρου ἀνήσου ἀνὰ γο. α΄. μέλιτος λι. α΄. ὀπτήσας συμμέτρως δίδου εἰς κονδῖτον γο. α΄.

Ἐλαῖαι καθαρτικαί.

Σκαμμωνίας γο. α΄. πεπέρεως γο. α΄. ἐπιθύμου, κυμίνου πεφρυγμένου, πετροσελίνου, πηγάνου, φύλλων ἡδυόσμου χλωροῦ ἀνὰ < . δ΄, σιλφίου < . α΄. φοινίκων γο. ε΄. μέλιτος γο. ε΄. ὄξους κοτύλαι β΄. κολυμβάδων ξ. α΄. χιστῶν δηλονότι. τινὲς καὶ γάρου σύμμετρον. ἡ δόσις ε΄ ἢ ζ΄ ἢ θ΄.

Πάσιλλος καθαρτικός.

Σκαμμωνίας < . δ΄. εὐφορβίου < . δ΄. φύλλου < . β΄. πεπέρεως < . β΄. μέλιτος λι. α΄. ἡ δόσις γο. α΄.

Φοῦσκα καθαρτικὴ καὶ εὐστόμαχος.

Κυμίνου, μαράθρου, ἀνὰ γο. α΄. γλήχωνος, σελίνου, ἀνήσου ἀνὰ γο. Ϛ. ἐπιθύμου, σκαμμωνίας, ἀνὰ γο. α΄. ἁλῶν γο. β΄. ἡ δόσις ἡ τελεία γρ. β΄. ἐν τῷ ὀξυκράτῳ. τινὲς δὲ καὶ εὐφορβίου γρ. δ΄.

Οἶνος καθαρτικὸς ἐπὶ ὑδρωπιώντων.

Σκίλλης γο. γ΄. σελίνου σπέρματος γο. ς΄. πεπέρεως < . α΄. καππάρεως ῥίζης < . δ΄. κόκκου κνιδίου λελεπισμένου < . α΄. φύλλου μαλαβάθρου σφαιρία β΄. οἴνου κοτύλαι β΄. μέλιτος ξ. γ΄. κόψας τὴν σκίλλαν, ἔμβρεχε τῷ οἴνῳ. τὰ δὲ λοιπὰ λεῖα μίσγε.

Ἄλατα καθαρτικά.

Ἁλῶν κοινῶν πεφρυγμένων < . ς΄. σελίνου σπέρμα, ζιγγιβέρεως, ἄρτου ξηροῦ ἀνὰ γρ. ς΄. ἀνήσου, πεπέρεως ἀνὰ γο. Ϛ΄. σκαμμωνίας, ἐπιθύμου, ἀνὰ γο. α΄. ἡ δόσις κοχλιάριον α΄.

Ἡ διὰ ἑρμοδακτύλου ποδαγρική.

Ἑρμοδακτύλου γο. γ΄. ἀνήσου, κυμίνου αἰθιοπικοῦ, ἄμμεως, θύμου, κορύμβων, πεπέρεως λευκοῦ, ζιγγιβέρεως ἀνὰ γρ. γ΄. ἐπιθύμου γο. Ϛ΄. ἡ δόσις γρ. δ΄. τινὲς γρ. ς΄. δίδοται ἕωθεν μετὰ κονδίτου ἢ μελικράτου ἢ ζεστακράτου.

Ἄλλως ἡ αὐτὴ καθαρτική.

Ἑρμοδακτύλου γο. α΄. κυμίνου αἰθιοπικοῦ, ἀνήσου, ἀγαρικοῦ, ζιγγιβέρεως ἀνὰ γρ. ς΄. μαστίχης γρ. β΄. ναρδοστάχυος γρ. β΄. μόσχου κεράτ. α΄. κνήκου γρ. β΄. ἡ δόσις γρ. δ΄. μεθ' ὑδρομήλου. τὴν σκαμμωνίαν διὰ τὸ κακοστόμαχον παραιτούμεθα. εἰ δὲ χρεία πλείονος κενώσεως, μίγνυε τῇ δόσει σκαμμωνίας κερ. γ΄. δίδου λουσαμένῳ.

Καταπότια τὰ διὰ τοῦ ἀρμενικοῦ λίθου, ἐπὶ ἀρθριτικῶν ὡς μάλιστα διδόμενα.

Ἀλόης γο. δ΄. σκαμμωνίας γο. ς΄. ἀγαρικοῦ γο. α΄. ἐπιθύμου γο. α΄. λίθου ἀρμενικοῦ γρ. ιβ. κασσίας γο. α΄. ναρδοστάχυος γο. α΄. σκίλλης ὀπτῆς γο. β΄. κρόκου γρ. ιβ. ῥοδομέλιτι ἀναλάμβανε. ἡ δόσις γρ. β.

Ἡ διὰ τοῦ κορωνοπόδου, ποιοῦσα ἐφ' ὧν καὶ ἡ διὰ ἑρμοδακτύλου, εὐστόμαχος.

Ζιγγιβέρεως, γρ. β΄. πεπέρεως γρ. α΄. ἀγαρικοῦ ι΄. κνήκου, τοῦ ἐντὸς γρ. δ΄. κορωνοπόδου ῥίζης γρ. ς΄. ἡ δόσις γρ. γ΄. τοῖς δὲ δυσκοιλίοις, κεράτια κγ΄. ποιεῖ πάντως ὀβολοὺς, ζ΄ ἢ ὀκτὼ σύνεγγυς. γαστέρας *. καὶ μετὰ τὴν κένωσιν λούσας, θρέψον ὠὰ καὶ ἄρτον.

Τὸ διὰ τοῦ κυρηναϊκοῦ ὀποῦ πρὸς τεταρταίους.

Ὀποῦ κυρηναϊκοῦ, πεπεπέρεως, ζιγγιβέρεως, πηγάνου φύλλων ἀνὰ < . α΄. ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος.

Γόλτος καθαρτικὸς, ποιῶν ὠδιδικοῖς, ἐλεφαντιῶσιν ἐξαιρέτως. καὶ ἐφ' ὧν ἐκμοχλεῦσαι τὶς παχὺν ἐθέλει γλίσχρον χυμόν.

Κολοκυνθίδας β΄ περικόψαντα, τὸ σπέρμα κενῶσαι. τὴν ἐντεριώνην δὲ ἐάσαντα, γεμῆσαι αὐτὰς ἐλαίου γλυκέως. καὶ πωμάσαντα τοῖς ἰδίοις πώμασιν, ἐᾶσαι νυχθήμερον. τῇ δ' ἑξῆς κενωθέντος τοῦ ἐλαίου τὰς κολοκυνθίδας ἑψεῖν ἐν ὕδατι, ἕως τακερωθῶσιν. εἶτα αὐτὰς διαρρῖψαι, τῷ δ' ἐλαίου τῷ ὕδατι μιχθέντος προσεμβάλλειν μέλανος ἐλλεβόρου τριώβολον. σκαμμωνίας δὲ < . α΄. συνεψήσαντα δὲ τοῦτο, τοῖς πολτάριον ἐκ σεμιδάλεως ἢ ἄρτον ξηρὸν λεῖον, ἔπειτα ἀπ' αὐτοῦ τῷ πάσχοντι διδόναι, λιτῶς προδιαιτωμένῳ, μεγέθει καρύων ποντικῶν η΄ ἢ ι΄, ἢ τόγε πλεῖστον ιδ΄. καὶ ποτὸν ὕδωρ θερμόν.

Περὶ παραφυλακῆς τῶν καθαιρομένων. καὶ τί ποιητέον τοῖς μὴ καθαιρομένοις ἐπὶ τῇ καταπόσει τῶν καθαρσίων. ς΄.

Καθόλου μὲν ἐπὶ πάντων δραστικῶν καθαιρομένων. προδιαιτήσαντα τὸν ἄνθρωπον, νήστει καὶ εὐπεπτηκότι δεῖ διδόναι τὸ φάρμακον. καὶ κωλύειν, ὑπνοῦν μέχρι παντελοῦς καθάρσεως. καὶ κίνησιν μετρίαν, εἰ δυνατὸν, παραλαμβάνειν. καὶ τροφῆς ἁπάσης τηνικαῦτα καὶ πόματος ἀπέχειν.

ἀπέχειν. ἄχρι τῆς τελείας καθάρσεως.

Ἐκ τῶν Φιλαγρίου.

Εἰ δὲ μὴ φέροιεν τὴν ἀσιτίαν, ἤτοι διὰ τὸ ἔχειν τὸ στόμα τῆς γαστρὸς εὐεκχόλωτον, διὰ μακρᾶς ἀσιτίας προηγησαμένης, ἢ τινα τοιαύτην αἰτίαν. δοτέον αὐτοῖς ἄρτον ἐξ ὑδαροῦς οἴνου, ἢ πτισάνης χυλὸν ἢ χόνδρου, μὴ τῆς κενώσεως ἀρξαμένης, ἵνα μὴ διαφθαρῇ, ἀλλ' εὐθέως μετὰ τὴν τοῦ φαρμάκου πόσιν. οὕτω γὰρ ἐνίοτε καὶ πρὸς τὴν τοῦ φαρμάκου ταχεῖαν κίνησιν τῷ βάρει συνεργεῖ. Εἰ μέντοι γε πιὼν τὶς ὁτιοῦν τῶν ὑπηλάτων φαρμάκων, μὴ καθαίροιτο, μηδὲ κενοῖτο. χαλεποῦ μὲν ὑπάρχοντος οὐδενὸς, οὐδὲν περιεργάζεσθαι δεῖ. εἰ δὲ κατεπείγοι διὰ μέγεθος νοσήματος, ἢ σπαράττοιτο καὶ διατείνοιτο, καὶ πεπρισμένος ὁ κάμνων εἴη, κλύζειν μὲν ἐξ ἀνάγκης αὐτίκα. εἰ δὲ μὴ δ' οὕτως ὑπακούοι ἡ κοιλία. δακνομένου μὲν τοῦ σώματος καὶ ὥσπερ ἐκτρεπομένου, λούειν ἀλείφοντας δαψιλεῖ. πιμπλαμένου δὲ καὶ βαρουμένου, φλεβοτομεῖν, καὶ μάλιστα εἰ πολύαιμος ὁ ἄνθρωπος εἴη, καὶ τοὺς ὀφθαλμοὺς ἐρυθροὺς καὶ προπετεῖς, οὐ φυσικῶς ἀλλ' ἐπικτήτως διὰ τὸ ποθὲν φάρμακον ἔχων. τούτων δὲ οὐδενὸς ἐνοχλοῦντος, ἀλλὰ δήξεως καὶ σπαραγμοῦ, ἐπὶ τῷ λουτρῷ τρέφειν αὐτίκα, καὶ οἶνον διδόναι πίνειν δαψιλοῦς. κἂν δέῃ μεταξὺ κλύζειν, εἰ μὴ καθίσταται. καὶ αὖθις λούειν. ἔστω δὲ τοὔλαιον τὸ τοῦ κλύσματος, πηγάνινον, ἢ ἐξ ἄλλου τινὸς τῶν ἀφύσων ἐσκευασμένον.

Περὶ ὑπερκαθαιρομένων. ζ.

Τῶν δὲ ὑπερκαθαιρομένων τρίβειν τὸ δέρμα, καὶ λούειν θερμῷ, πρὸ τοῦ βαλανείου διδόντας οἴνου λεπτοῦ τε κιρροῦ καὶ ξανθοῦ. τάχιστα γὰρ ὁ τοιοῦτος εἰς ἀνάδοσιν ὁρμᾷ. καὶ ἄρτου διαβρόχου. καὶ ῥοιῶν. πεπαυμένης δὲ τῆς κενώσεως. διαδεῖν τε τὰ κῶλα, τῶν ἐπιδέσμων ἄνωθεν κάτω νεμομένων, καὶ ἀποσφιγγόντων, καὶ ἀπολαμβανόντων τι τοῦ αἵματος καὶ τοῦ πνεύματος. καὶ διδόναι πίνειν τῆς διὰ σαρκῶν θηριακῆς σύμμετρον. διατείνει γὰρ ἐπὶ τὸ δέρμα καὶ διὰ ταχέων ἀντισπᾶται τὴν εἰς τὴν κοιλίαν τῶν ὑγρῶν φοράν. ἀμαυροῖ τε τὸ οἷον ἰῶδες καὶ φαρμακῶδες τῶν καθαρτηρίων. καὶ ταύτης ἀπορῶν, τῶν τε θηριακῶν τροχίσκων, καὶ προσέτι τῆς διὰ σπερμάτων καὶ τῆς Φίλωνος προσαγορευομένης. ἀλλὰ καὶ σικύαις χρῆσθαι κατὰ τοῦ στομάχου, καὶ καταπλάσμασι τοῖς διὰ ἀλφίτου καὶ οἰνομέλιτος. μεθ' ἃ τοῖς στύφουσιν χρηστέον ἐπιθέμασι. μάλιστα δὲ ὀνίνανται ταῖς τοῦ ὅλου σώματος ῥίψεσι, καὶ ταῖς τῶν φαρμάκων πόσεσιν. ἀπέχειν δ' αὐτοὺς ἀέρος ψυχροῦ καὶ θερμοῦ λίαν. ὁ μὲν γὰρ συνελαύνει τὰς ὕλας ἔξωθεν εἴσω, καὶ αὔξει τὴν ῥύσιν. ὁ δὲ, διαφορεῖ, καὶ καταλύει τὴν δύναμιν. εἰ δὲ διὰ δῆξιν τῶν ἐντέρων ἐρεθιζομένων ἡ κένωσις αὔξοιτο. καταπλάττειν τε τοῖς εἰρημένοις, ἐνιέναι τε τὰ ἀμβλύνοντα. στέαρ χηνῶν καὶ οἶνον γλυκὺν καὶ νάρδον καὶ τὰ ὅμοια.

Περὶ τῶν ἱερῶν ἀντιδότων. ἡ Ἀντιόχου ἱερά. η.

Χαμαίδρυος, ἀγαρικοῦ, κολοκυνθίδος ἐντεριώνης, στοιχάδος ἀνὰ < ι. ὀποπάνακος, σαγαπηνοῦ, πετροσελίνου, ἀριστολοχίας κληματίτιδος, πεπέρεως λευκοῦ ἀνὰ < ε. κινναμώμου, ναρδοστάχυος, σμύρνης τρωγλοδύτιδος, κρόκου φύλλων ἀνὰ < δ. μέλιτος τὸ ἀρκοῦν. Κολοκυνθίδος ἐντεριώνης < η. σκίλλης ὀπτῆς, ἀγαρικοῦ, ἀμμωνιακοῦ θυμιάματος, ἐλλεβόρου μέλανος φλοιοῦ, σκαμμωνίας, ὑπερικοῦ ἀνὰ < γ. ἐπιθύμου, πολυποδίου ξηροῦ, βδελλίου, ἀλόης, χαμαίδρυος, πρασίου, κασσίας ἀνὰ < η. σμύρνης τρωγλοδύτιδος, ὀποπάνακος, σαγαπηνοῦ, πετροσελίνου πεπέρεως, κοινοῦ, καὶ μακροῦ καὶ λευκοῦ, κινναμώμου, κρόκου, κασοείου, ἀριστολοχίας μακρᾶς ἀνὰ δραχμῶν δ. μέλιτος τὸ ἀρκοῦν.

Ἡ Ἰούστου ἱερά.

Ἐπιθύμου < ιβ. πρασίου, στοιχάδος, χαμαίδρυος, ἐλλεβόρου μέλανος, σκαμμωνίας, ἀγαρικοῦ, πεπέρεως μακροῦ, σκίλλης ὀπτῆς ἀνὰ < ιϛ. εὐφορβίου, κολοκυνθίδος ἐντεριώνης, ἀλόης, κρόκου, γεντιανῆς, πετροσελίνου, ἀμμωνιακοῦ θυμιάματος, σαγαπηνοῦ ἀνὰ < η. ὀποπάνακος, πολίου, κινναμώμου, σμύρνης, ναρδοστάχυος, σχοίνου ἄνθους, γλήχωνος ἀνὰ < δ. ἀριστολοχίας μακρᾶς καὶ στρογγύλης ἀνὰ < β. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις γρ. β. ἢ γ. ἢ δ. μετὰ μελικράτου καὶ ἁλῶν.

Ἡ Γαληνοῦ ἱερά.

Χαμαίδρυος, πεπέρεως μακροῦ, πεπέρεως λευκοῦ, στοιχάδος, ἐλλεβόρου μέλανος, σκαμμωνίας, ναρδοστάχυος, σκίλλης ὀπτῆς. τινὲς καὶ ἐπιθύμου, ἀνὰ < ιϛ. σμύρνης, κρόκου, ἀμμωνιακοῦ θυμιάματος, εὐφορβίου ἀνὰ < η. ἀναλάμβανε μέλιτι.

Ἡ Ῥούφου ἱερά.

Σικυωνίας ἤτοι κολοκυνθίδος ἐντεριώνης < η. χαμαίδρυος < ι. σαγαπηνοῦ < η. πετροσελίνου < ε. ἀριστολοχίας στρογγύλης < ε. πεπέρεως λευκοῦ < ε. κινναμώμου < δ. ἢ κασσίας < η. στάχυος, κρόκου, πολίου, σμύρνης ἀνὰ δραχμῶν τεσσάρων. μέλιτος τὸ ἀρκοῦν.

Ἀρχιγένους ἱερά.

Πρασίου, ἀγαρικοῦ, χαμαίδρυος, κολοκυνθίδος ἐντεριώνης, στοιχάδος ἀνὰ < .ι'. ὀποπάνακος, σαγαπηνοῦ, πετροσελίνου, ἀριστολοχίας στρογγύλης, πεπέρεως λευκοῦ ἀνὰ < .ε'. κινναμώμου, ναρδοστάχυος, σμύρνης, πολίου, κρόκου ἀνὰ < .δ'. τὰ ξηρὰ κόπτειν ὁμοῦ καὶ σήθειν. τὸν δ' ὀποπάνακα καὶ τὸ σαγαπηνὸν καὶ τὴν σμύρναν τεθλασμένα, ἀποβρέχειν εἰς θυίαν μελικράτῳ νύκτα μίαν. εἶτα λεαίνειν. καὶ ἐπιβάλλειν τὰ ξηρά. καὶ ἀναλαβόντα μέλιτι καλλίστῳ ἀποτίθεσθαι εἰς ὑελοῦν ἢ μολιβοῦν ἀγγεῖον. οὗτος ὁ τρόπος κοινός ἐστι πασῶν τῶν ἱερῶν. ἡ δὲ δόσις αὐτῶν ἡ τελεία < .β'. προσλαμβανέτω δὲ καὶ ἁλῶν < .α'. μέλιτος κο. β'. ὕδατος τὸ ἀρκοῦν. εἰ δὲ καθαρτικωτέρας βουλόμεθα ποιῆσαι τὰς οὐκ ἐχούσας σκαμμωνίαν, ἐπιμικτέον καὶ ταύταις ἀνὰ ὀβολὸν αὐτῆς.

Διάχριστα ἕδρας, καὶ ἐπομφάλια καθαρτικά. θ'.

Διάχρισμα ἕδρας πρὸς ἔκδοσιν φυσῶν. Πήγανον μέλιτι συλλειοτριβεῖται ὡς ἐν ᾗ χ' γενέσθαι, καὶ ἐσωτάτω διαχρίεται τῆς ἕδρας. πρακτικώτατον δέ ἐστιν εἰ προσλάβοι κυμίνου βραχὺ καὶ νίτρου, ἢ κυκλαμίνου χ'. καὶ κροκύδι δὲ ἀναληφθὲν ἐντίθεται. ἢ διαπλασθὲν βαλάνιον τοῦ μέλιτος προστεθέντος. φῦσαι γὰρ ἐπεξίασιν ἱκαναί, κουφίζουσαι.

Διάχρισμα ἕδρας, κινοῦν γαστέρα. λέγεται χεζανάγκη.

Στυπτηρία σὺν μέλιτι λειανθεῖσα ἕψεται ἄχρις οὗ κιρρὰ γένηται, καὶ ἐν τούτῳ διαχρίεται ἡ ἕδρα. ῥᾳδίως γὰρ πολλὰ μὲν, οὐκ ἀπόνως δὲ προσβιβάζεται.

Ἐπομφάλιον ὑπακτικὸν κοιλίας.

Κυκλαμίνου < .δ'. νίτρου < .γ'. ἐλλεβόρου μέλανος καὶ λευκοῦ ἀνὰ < .β'. κολοκυνθίδος < .ϛ'. σκαμμωνίας < .β'. ἐλατηρίου χ' < .δ'. κόκκου κνιδίου < .δ'. ἰσχάδων λιπαρῶν γο. β'. χολὴν ταυρείαν γο. α'.

Ἄλλο κάλλιστον.

Ἐλατηρίου, λαθυρίδων, χαλβάνης, κυκλαμίνου, ἐλλεβόρου μέλανος ἀνὰ < . δ'. κολοκυνθίδος ἐντεριώνης < .η'. σικύου ἀγρίου νεαροῦ, σκαμμωνίας, κόκκου κνιδίου ἀνὰ < . β'. τιθυμάλλου < .β'. τερεβινθίνης < .γ'. ἀναλάμβανε ταῦτα χολῇ ταυρείᾳ. καὶ ὡς χρίσματι χρῆσθαι. τινὲς δὲ προσπλέξαντες κηρίου γο. ζ'. καὶ σικυωνίου τὸ ἀρκοῦν, ὡς ἔμπλαστρον ἐπετέθηκαν.

Φάρμακα ἐμετικὰ καὶ τρόποι ἐλλεβορισμοῦ. ι'.

Ἐμέτοις μὲν χρῶνται καὶ οἱ ὑγιαίνοντες, ὑπὸ πλήθους τροφῆς ἢ χυμῶν βαρούμενοι. καὶ νοσοῦντες δὲ ὀξέως, ἐπειδὰν ὑπὸ φλέγματος, ἢ τοιούτου τινὸς ἐνοχλῶνται. ἐμετικοῖς δὲ φαρμάκοις, οὔτε ὑγιαίνουσιν ἐπιτρεπτέον οὔτε τοῖς ὀξέως νοσοῦσι χρῆσθαι, ἀλλ' ἐπὶ τῶν χρονίων διαθέσεων, καὶ μάλιστα τῶν ἐσκιρρωμένων. καὶ μοχλείας ἰσχυρᾶς δεομένων, οἷον ποδάγρας, ἐπιληψίας τῆς ἀπὸ στομάχου, ἐλέφαντος, ὕδερου, μελαγχολίας, καὶ τῶν παραπλησίων. ἐναντιοῦνται δὲ πτύσεσιν αἵματος καὶ κακοστομάχοις πνιγομένοις. προχειρότατον μὲν οὖν τῶν ἐμετικῶν ἐστιν κύπρινον, εἰς αὐτὸ τῶν δακτύλων ἢ πτερῶν βρεχομένων καὶ καθιεμένων εἰς τὸν γαργαρεῶνα. καὶ νάρδου δὲ κελτικῆς ῥιζῶν ζ' δραχμαὶ μελικράτῳ ποθεῖσαι ἄνω καθαίρουσιν ἰσχυρῶς. ὁμοίως δὲ, καὶ κίστου ε' ἢ ϛ' δραχμαὶ μελικράτῳ ποθεῖσαι. καὶ δαφνοειδοῦς γ'. φύλλα χλωρὰ λεανθέντα καὶ βρωθέντα. καὶ ἐλατηρίου ὀβολὸς ἐν ὕδατι ποθεὶς, ἄνω καθαίρει φλέγμα καὶ χολήν. καὶ σταφίδος ἀγρίας κόκκοι ιε' μετὰ μελικράτου παχέος. τῶν δὲ βολβῶν οἱ μὲν συνήθως ἐσθιόμενοι, ὠμοὶ βρωθέντες, οἱ δὲ τοῦ ναρκίσσου, ἑφθοὶ ἄνω καθαίρουσι. καὶ ἀπίου τῆς ῥίζης τὸ ἄνω, τὸ πρὸς τῷ ἀέρι, βρωθὲν ἄνω καθαίρει. καλοῦσι δέ τινες αὐτὸ χαμαιράφανον. τὸ δὲ πρὸς τῇ ῥίζῃ, κάτω καθαίρει. ὅλη δὲ βρωθεῖσα, ἄνω τε καὶ κάτω. ῥαφανῖδες δὲ τῶν προειρημένων ἔλαττον μὲν καθαίρουσιν, ὠφελιμώτερον δέ. δεῖ δ' αὐτὰς δριμείας τε σφόδρα καὶ νεαρὰς ὑπαρχούσας εἰς λεπτὰ κατατέμνειν. καὶ πρὸ δυοῖν, ἢ γ' ὡρῶν ἐν ὀξυμέλιτι βραχείσας αὐτὰς λαμβανέτωσαν ὅσας δύνανται, περιμένοντες γ' ἢ δ' ἀπὸ δείπνου. ἅπαξ δὲ νήστεις. καὶ πλειστάκις ἀπορροφείτωσαν τοῦ ὀξυμέλιτος. β' δὲ περιπατήσαντες ὥρας, χλιαρὸν πίνοντες ὕδωρ, καθέσει δακτύλων ἢ πτερῶν ἐμείτωσαν.

Τρόποι ἐλλεβορισμοῦ.

Δοτέον ἐλλέβορον τοῖς χρονίως καὶ ἰσχυρῶς νοσοῦσι. καὶ τοῖς ἐκ τῶν ἄλλων βοηθημάτων ἀφῃρημένοις ἐλπίδα, τῷ πάντων αὐτῶν ἰσχυρότερον εἶναι τὸ νόσημα. δοτέον δὲ αὖ τε συνεχῶς ἐνοχλοίη ὕδερος, ἐλέφας, καχεξία, παράλυσις, καὶ τὰ παραπλήσια. ἄν τε περιοδίζῃ κατά τινας καιροὺς, ὡς ἐπιληψία, ποδάγρα. πλειόνων δὲ τῶν τοῦ ἐλλεβορισμοῦ τρόπων ὑπαρχόντων, ἁπλούστερος μὲν καὶ προπαρασκευὴ μᾶλλον εἰς ἐλλεβορισμὸν, ὁ τρόπος οὗτός ἐστι. προδιακεντήσαντα γὰρ καλάμῳ τὰς ῥαφανῖδας, ἐλλεβόρου τοῦ καλλίστου τοῦ λευκοῦ τῶν ῥιζῶν τὰ καρ-

φώδη

φῷδη ἐμπείρειν δεῖ τοῖς κεντήμασι, καὶ μείναντα αὐτὰ τὴν νύκτα ἀφελεῖν. τὰς δὲ ῥαφανίδας κερματίσαντα, σὺν ὀξυμέλιτι διδόναι κατὰ τὸν εἰρημένον τρόπον, προσδιδόντι δηλονότι τοῖς ἐμέτοις τῷ κάμνοντι. καὶ διαστήσαντα τὰς εἰρημένας ὥρας, προσαναγκάζειν ἐμεῖν.

Ἐλλεβορισμοῦ δὲ τρόπος κύριος οὕτως ἂν εἴη. ἐλλεβόρου τοῦ καλλίστου ℥. β. εἰς κοτύλην ὕδατος προαποβρέξας ἡμέρας ε. ἕψειν ἕως τὸ τρίτον λειφθῇ τοῦ ὕδατος. ἀποπιέσαντα δὲ τὸν ἐλλέβορον, τῷ ὕδατι μιγνύειν ἴσον μέλιτος. ἑψήσαντα δὲ ἕως πάχους, μετὰ τὸ προγυμνασθῆναι τοῖς ἐμέτοις κατὰ τὸν εἰρημένον τρόπον, διδόναι τῷ κάμνοντι νήστει καὶ εὐπέπτῳ, καὶ διαχωρήσαντι κάτω, ἢ αὐτομάτως ἢ καὶ διὰ κλύσματος. α. ἢ β. πρὸς τὴν δύναμιν.

Ὁ δὲ δὴ πάντων δραστικώτατος τρόπος τοιοῦτός τίς ἐστι. κατατέμνων τοῦ ἐλλεβόρου τὰς ῥίζας εἰς μεγέθη παραπλήσια σησάμοις. τὸ γὰρ χνοῶδες, πνιγμὸν ἐμποιεῖ, τῷ δραστικῷ τῆς ἐνεργείας. ἐπὶ μὲν τῶν ἀσθενεστέρων, χυλῷ πτισάνης ἢ ἄλικος ἢ τοιούτου τινός, ∠. β. τὸ πλεῖστον. τοὐλάχιστον δὲ μίαν τοῦ ἐλλεβόρου συνεψήσας δὸς πιεῖν. ἐπὶ δὲ τῶν ἐρρωμενεστέρων, εἰς θερμὸν ὕδωρ ἢ μελίκρατον. ἄρχεται δὲ τῆς καθάρσεως μετὰ τρεῖς ἢ τέσσαρας ὥρας. οἱ δὲ βραδύτερον ἀρξάμενοι, κάλλιον καθαίρονται. βραδυνόντων δὲ τῶν ἐμέτων, μελίκρατον διδόντα πιεῖν ἀναγκάζειν ἐμεῖν καθιέντα πτερὸν εἰς ἔλαιον βραχέντων. εἰ δὲ μηδ' οὕτως ἐμοίη, εἰς βαλανεῖον αὐτὸν ἀπενεγκτέον. ἀρξαμένων δὲ αὐτῶν ἐμεῖν. εἰ μὲν κατὰ λόγον ἡ κένωσις γένοιτο, μηδὲν παρενοχλεῖν. σπαραττομένων δὲ αὐτῶν ἢ καὶ ἀσωμένων, ὑδρέλαιον διδόναι πιεῖν. ἅμα τε κάτω διὰ γαστρὸς αὐτοῖς ὁ ὑποβιβασμὸς γίνεται τούτου. καὶ ἄλλως ἐπὶ τῶν ἐλλεβοριζομένων ἔσθ' ὅτε γινόμενος. καὶ τοῦ φαρμάκου τὸν ἐπισωρευμὸν εὐμαρέστερον φέρουσιν. λειποθυμοῦντας δὲ αὐτούς, ὀσφραντοῖς τε καὶ τοῖς παραπλησίοις, ἀνακτᾶσθαι. καὶ πρὸς τὰ ἄλλα δέ, ὡς εἰκός, ἐπιγινόμενα συμπτώματα παραπλησίως ἁρμόζεσθαι. πολλῆς δὲ γενομένης τῆς κενώσεως, τρέφειν τε καὶ ὑπνοῦν ἐπιτρέπειν, καὶ ἄλλα ὡς ἐπὶ τῶν ὑπερκαθαιρομένων ἐλέγετο πρακτέον. ἐπιμενούσης δέ, σικύας τῷ στομάχῳ προσενεγκτέον καὶ τὰ κῶλα διαδετέον. κατὰ λόγον δὲ γινομένης τῆς κενώσεως. μελίκρατον αὐτοῖς πιεῖν δοτέον σύμμετρον, ὑπὲρ τοῦ ἐκπλῦναι τὰ ἐκ τοῦ φαρμάκου περιττώματα. καὶ μετ' ὀλίγον τροφὴν εὔπεπτον ἐπιδοτέον. ἐπὶ δὲ τῶν ὑπόπτως μὲν ἐχόντων πρὸς τὰς διὰ στόματος, χρηζόντων δὲ πάντως τοῦ ἐλλεβορισμοῦ. ὁ Ἀντύλλος χρῆται τοιούτῳ τινὶ κλύσματι. ἀποβρέξαντες ἐλλεβόρου λευκοῦ ∠. β. ἐν ὕδατι ξ. α. καὶ ἐάσαντες μεῖναι νυχθήμερον, τῇ ἐπιούσῃ ἕψομεν τὸν ἐλλέβορον ἐν τῷ ὕδατι ὥστε καταλειφθῆναι τὸ ἥμισυ. ἔπειτα τοῦτο ἐνίεμεν διὰ τῆς ἕδρας, ὥσπερ ἐμεῖν. ἄνω καθαίρει, ὀλίγον ἀσθενέστερον τῆς τοῦ ἐλλεβόρου πόσεως. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν, βαλανεῖον δριμὺ, πρὸ δὲ ἐν τοῦ ὀρθίζομεν τὴν ἔκκρισιν, ὥς τε τὸ ἔνεμα ἀποδοθῆναι καὶ μηκέτι ἐμεῖν αὐτούς. καὶ μετὰ τὴν ἔκκρισιν μελικράτῳ ἅπαξ ἢ δὶς ἐνίεμεν, ὑπὲρ τοῦ τὰ ἐντὸς ἀπονίψαι. ὁ δὲ αὐτός φησι. γίνεται δὲ καὶ βάλανος δι' ἐλλεβόρου λευκοῦ κοπέντος καὶ σηθέντος, εἶτα ἑφθῷ μέλιτι ἀναληφθέντος. ὁμοίως καθαίρουσι τὴν ἄνω κοιλίαν, ὥσπερ καὶ ὁ κλυσμὸς διὰ τοῦ ἐλλεβόρου καθαίρει. εὐδοκιμώτερος δέ ἐστιν οὗτος ὁ τρόπος. ἐφ' ἡμῖν γὰρ ταμιεύεσθαι τὴν κάθαρσίν ἐστι. πλῆθος μὲν οὖν ἔστω ∠. β. τοῦ ἐλλεβόρου. περιπλασσέσθω δὲ ἢ περιδεδέσθω κρόκῃ στερεᾶς ἡ βάλανος, καὶ ἡ ἀρχὴ τῆς κρόκης ἔξωθεν διὰ τῆς ἕδρας ἀπολαμβανέτω, ἵνα μετὰ τὴν αὐτάρκη κάθαρσιν ἐξείη κομίζεσθαι τὴν βάλανον ἡμῖν. οὗτος ὁ τρόπος, καθαίρει μὲν ἐντελέστατα, οὔτε δὲ πνιγμὸν οὔτε ἄλλον τινὰ κίνδυνον ἐπιφέρει.

Περὶ διαφορᾶς ἀντιδότων. ια.

Προοίμιον τοῦ περὶ ἀντιδότων Γαληνοῦ. Τὰς ἰωμένας τὰ πάθη δυνάμεις, οὐκ ἔξωθεν ἐπιτιθεμένας, ἀλλ' εἴσω τοῦ σώματος λαμβανομένας, ἀντιδότους ὀνομάζουσιν οἱ παλαιοί. τρεῖς δὲ αὐτῶν εἰσὶν αἱ διαφοραί. τινὲς μὲν γὰρ ἕνεκα τῶν θανασίμων φαρμάκων προσφέρονται. τινὲς δὲ τῶν ἰοβόλων ὀνομαζομένων θηρίων. τινὲς δὲ τοῖς ἐκ φαύλης διαίτης γινομένοις πάθεσιν ἀρήγουσιν. ἔνιαι δὲ τὰς τρεῖς ἐπαγγέλλονται χρείας, ὥσπερ καὶ ἡ θηριακὴ καλουμένη.

Ἡδυχρόου τοῦ ἐν τῇ θηριακῇ σκευασία.

Ἀσπαλάθου ῥίζης φλοιοῦ, καλάμου ἀρωματικοῦ, κόστου, ἀσάρου, ξυλοβαλσάμου, φοῦ, ἀμαράκου, μαστίχης ἀνὰ ∠. ς. καρποβαλσάμου ∠. β. μάρου ∠. ιs. σχοίνου ἄνθους ∠. ϛ. κινναμώμου ∠. κδ. ἀμώμου, κασσίας, ῥέου ἀνὰ ∠. η. ναρδοῦ ἰνδικῆς, φύλλου ἀνὰ ∠. ιβ. σμύρνης ∠. κδ. κρόκου ∠. ιβ. οἴνῳ καλῷ ἀναλάμβανε καὶ ἀνάπλασσε τροχίσκους, ὀποβαλσάμου παρακειμένου.

Ἀρτίσκων σκιλλητικῶν σκευασία

Σκίλλαν πηλῷ ἢ στέατι περιπλάσας ὄπτησον συμμέτρως. καὶ λαβὼν τοῦ ἐντὸς αὐτῆς μ. β. καὶ ἀλεύρου ὀροβίνου μ. α. καὶ λειώσας ὁμοίως ποίει ἀρτίσκους.

Ἀρτίσκων θηριακῶν σκευασία.

Λαβὼν ἔχεις τέσσαρας ἢ ε΄ πυῤῥοτέρας καὶ νεοθηράτους, ἄφελε αὐτῶν τὰ πρὸς τῇ κεφαλῇ, καὶ τὰ πρὸς τῇ οὐρᾷ μέρους ἀνὰ δ΄. δακτύλων μέγεθος. καὶ πᾶσαν τὴν φολίδα, καὶ τὰ ἐντὸς αὐτῶν ἀφελὼν, καὶ τὰ λοιπὰ ἕψε ἐν καινῇ χύτρᾳ μετὰ ἀνήθου καὶ ἁλῶν συμμέτρων, ἕως οὗ χωρισθῶσιν αἱ ἄκανθαι τῶν σαρκῶν. εἶτα ἀνελόμενος καὶ καθάρας ἀκριβῶς τῶν ἀκανθῶν, τὰς σάρκας, καὶ ἐπιμίξας αὐταῖς ἄρτου καθαροῦ τὸ ἴσον, καὶ λειώσας ὁμοίως α΄. ἀνάπλαττε κυκλίσκους, ὀποβαλσάμου παραπτόμενος. καὶ ψύχε ἐν σκιᾷ.

Σκευὴ τῆς θηριακῆς ἀντιδότου.

Ἀρτίσκων σκιλλητικῶν <. μη΄. ἀρτίσκων θηριακῶν <. κδ΄. ἡδυχρόου <. κδ΄. κινναμώμου <. κδ΄. πεπέρεως κοινοῦ <. κδ΄. ὀποῦ μήκωνος <. κδ΄. ῥόδων ξηρῶν <. ιε΄. σκορδίου βουνιάδος σπέρματα, ἴρεως ἰλλυρικῆς. ἀγαρικοῦ, γλυκυῤῥίζης, ὀποβαλσάμου ἀνὰ <. ιβ΄. σμύρνης, κρόκου, ζιγγιβέρεως, ῥοῦ ποντικοῦ, πενταφύλλου ῥίζης, καλαμίνθης, σχοίνου ἄνθους, πρασίου, πετροσελίνου, στοιχάδος, κόστου, πεπέρεως λευκοῦ καὶ μακροῦ, δικτάμνου ἄνθους, λιβάνου ἄῤῥενος, τερεβινθίνης, μαστίχης, κασσίας μελαίνης, ναρδοστάχυος, πολίου ἄνθους, στύρακος, σελίνου σπέρμα, σεσέλεως, θλάσπεως, ἄμμεως, χαμαίδρυος, χαμαιπίτυος, ὑποκυστίδος χυ΄. μαλαβάθρου, νάρδου κελτικῆς, νάρδου, μήου, γεντιανῆς, ἀνήσου, μαράθρου σπέρμα, λημνίας σφραγῖδος, χαλκίτεως ὀπτῆς, ἀμώμου, ἀκόρου, βαλσάμου, φοῦ, ὀποῦ, ὑπερικοῦ, ἀκακίας, κόμμεως, καρδαμώμου ἀνὰ <. δ΄. δαύκου σπέρμα, χαλβάνης, σαγαπηνοῦ, ἀσφάλτου, ὀποπάνακος, καστορίου, κενταυρίου, ἀριστολοχίας κληματίτιδος ἀνὰ <. β΄. μέλιτος ἀττικοῦ λι. ι΄. οἴνου φαλερίνου ξε. β΄. βαλὼν εἰς ὅλμον, ὄπιον, ὑποκυστίδα, σμύρναν, σαγάπηνον, γλυκυῤῥίζαν, στύρακα, ἀκακίαν, ὀποπάνακα, προσάζων μέλι ὀλίγον καὶ κόπτων διάλυε. εἶτα τὸν οἶνον ἐπιβαλὼν ὥστε ὑπερέχειν, βρέχε ἡμέρας γ΄. εἶτα τὰ λοιπὰ κόψας ἕνωσον. ἀπηφρίσθω τὸ μέλι. ἀποτίθεται δὲ εἰς ἀργυρᾶ ἢ ὑέλινα σκεύη μὴ πάνυ πλήρη. πρὸς ἕκαστα ἀρωματίζεται. ἡ δὲ χρῆσις αὐτοῦ, ἐπέξεως μὲν οὔσης, ἐπί τε θηριοδήκτων, καὶ δηλητήριον εἰληφότων μετὰ ἑπταετίαν ἐστὶ, καρύου ποντικοῦ μέγεθος μετ' οἴνου κυάθων γ΄. δὶς τῆς ἡμέρας πινομένης. ὁμοίως δὲ καὶ πρὸς τοὺς ὑπό τινος αἰτίας ἀδήλου κινδυνεύσαντας, τῆς ἐν τῷ σώματι διαφθορᾶς μιμησαμένης θανασίμου φαρμάκου ποιότητα, καθάπερ ἐπὶ τῶν λοιμωδῶν μάλιστα γίνεται, ἅπαξ τῆς ἡμέρας. ἐπὶ δὲ τῶν ἄλλων παθῶν, μετὰ δεκαετίαν ἡ χρῆσις αὐτοῦ ἐστι καὶ μέχρις κ΄. ἐτῶν. ἐπὶ δὲ βηχῶν καὶ θώρακος ἀλγημάτων ἢ πλευροῦ, ἀπυρέτοις μὲν μετ' οἰνομέλιτος. πυρέττουσι δὲ μεθ' ὑδρομέλιτος, εἰς νύκτα, κυάμου αἰγυπτίου μέγεθος. αἱμοπτοϊκοῖς δὲ πᾶσι, προσφάτοις μετ' ἐν ὀξυκράτῳ. χρονίοις δὲ, ἐν ἀφεψήματι συμφύτου, κυάμου αἰγυπτίου μέγεθος, πρωῒ καὶ ὀψέ. ἐμπνευματουμένοις δὲ καὶ στροφουμένοις ἢ κοιλιακοῖς, ὕδατος θερμοῦ κυάμου αἰγυπτίου ἕωθεν. ὄρεξιν δὲ ἐπιτεταμένην ἀνεγείρει, ῥίγους τε καὶ περιψύξεις καὶ χολεμεσίας προπινομένη τῶν προσκαταβολῶν ἀπαλλάσσει. ἔμμηνά τε κινεῖ, καὶ τὰ νεκρὰ τῶν ἐμβρύων ἐκβάλλει, κυάμου αἰγυπτίου τὸ μέγεθος πινομένη μετὰ μελικράτου, ἢ γλυκέως ἐναφεψημένου ἐν αὐτῷ πηγάνου ἢ δικτάμνου. πρός τε τὰς τῆς φωνῆς ἀποκοπὰς, κατ' ἰδίαν τε καὶ μετὰ διπλῆς τραγακάνθης δι' οἰνομέλιτος ἢ γλυκέος πινομένη. ὑπὸ τῇ γλώττῃ τε κατεχομένη καὶ ἀποτηκομένη, σπληνικοῖς τε καὶ ἡπατικοῖς μετ' ὀξυκράτου. εἰ δὲ σκίῤῥον ἔχει, δι' ὀξυμέλιτος ἢ ὄξους σκιλλητικοῦ κυάθου α΄ S. ἐπὶ νεφριτικῶν μετ' ὀξυμέλιτος κυάμου αἰγυπτίου μέγεθος. δυσεντερικοῖς τε ἴσον μετὰ ἀφεψήματος ῥοῦ πρωῒ καὶ ὀψέ. πρὸς ἀμβλυωπίας δὲ καὶ ἄκρως ποιεῖ οὕτω. τῆς ἀντιδότου καὶ ὀποβαλσάμου Γο. β΄. μέλιτος Κο. α΄. μίξας κατ' ὀλίγον ἔγχριε. σμήχει δὲ καὶ ὀδόντας. πολλοὶ δὲ προφυλακῆς χάριν κατὰ νουμηνίαν, ἑλληνικοῦ κυάμου μέγεθος λαμβάνουσιν αὐτὴν εὐπέπτοις σὺν μέλιτος κοχλιαρίῳ α΄. καὶ ὕδατος Κο. β΄. ὁμοίως δὲ καὶ κατὰ τὰς ἀποδημίας αὐτῇ χρῶνται. ὅταν ὑπονοοῦσιν μοχθηρούς τινας ἀέρας ἢ ὕδατα ἔνθα πορεύονται.

Ἄλλοι θηριακοί.

Λαβὼν ἐχίδνας νεοθηράτους δ΄. εἶτα ἁλῶν ἀμμωνιακῶν ἢ κοινῶν μο ἰταλικὸν α΄. βαλὼν εἰς ὅλμον κόπτε ἀδρομερῶς, μετ' αὐτῶν γεντιανῆς λι. α΄ S. ἀριστολοχίας ⊙ λι. α΄ S. κενταυρίου λεπτοῦ κόμης λι. β΄. καρδαμώμου, πρασίου. ἀνὰ Γο. ς΄. σκορδίου, σελίνου, χαμαίδρυος κρητικοῦ ἀνὰ λι. α΄. πηγάνου ἡμέρου σπέρματος ξε. β΄. μέλιτος ἀττικοῦ ἑνώσας αὐτὰ, καὶ βαλὼν τὸ ἥμισυ αὐτῶν εἰς χύτραν καινὴν, εἶτα τὰς τέσσαρας ἐχίδνας ζώσας. προσεπιβαλὼν αὐτοῖς καὶ σκίλλας ἁπαλὰς νεαρὰς εἰς λεπτὰ κατατεμὼν πέντε. οὕτως ἐπίβαλλε τὸ ἄλλο ἥμισυ τοῦ μίγματος ἐπάνω. καὶ πωματίσας ἐπιμελῶς τὴν χύτραν, τρισὶν ἢ τέτρασιν που τρήμασι περίτρησον αὐτοῦ τὸ πῶμα, ἵνα δι' αὐτῶν ὁ ἀτμὸς διασημαίνῃ σοι τὸ μέτρον τῆς ὀπτήσεως. τὸ μὲν

γὰρ

γὰρ πρῶτον φανήσεται καπνὸς πολὺς δριμὺς, ζοφώδης καὶ τεθολωμένος πάνυ, σημαίνων ὅτι τὸ πῦρ ἅπτεται τῶν θηρίων. τότε σὺ πρόσεχε ἀκριβῶς, μήποτε ἀναπνεύσῃ τούτου τοῦ καπνοῦ κεκαυμένου τοῦ ἀέρος ὑπὸ τῆς ἀναθυμιάσεως τῶν ἐχιδνῶν. εἶτα ὅταν παύσηται ὁ ἀτμὸς, ἀναβαλλομένην δὲ φλόγα τινὰ λεπτὴν διὰ τῶν τρημάτων ἴδοις, τότε νόμιζε ὡς ἄριστα ὠπτῆσθαι. καὶ οὕτως βαστάσας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ψύξας ὅλην ἡμέραν τε καὶ νύκτα, εἶτα ἀνοίξας, καὶ ἀνελόμενος τοὺς ἄνθρακας ἐπιμελῶς κόπτε, καὶ σῆθε μετὰ τούτων τῶν μιγμάτων. πηγάνου ἀγρίου σπέρματος, ὑσσώπου κρητικοῦ. ἀνὰ Γο. θ. μαράθρου σπέρματος, νάρδου κελτικῆς, στάχυος σκυθικοῦ. ἀνὰ Γο. ς. πετροσελίνου μακεδονικοῦ, μαλαβάθρου φύλλων ἀνὰ Γο. α. ἀμώμου βότρυος, ὁρμίνου σπέρματος πεφρυγμένου ἀνὰ Γο. γ. ὀριγάνου κορύμβων, θύμου κορύμβων ἀνὰ Γο. β. ἀρκευθίδων, πεπέρεως λευκοῦ, μαράθρου ἀνὰ λι. η. σιλφίου ῥίζης Γο. ι. καρείου σπέρματος, ζιγγιβέρεως ἀτρήτου, σατυρείου σπέρματος ἢ ῥίζης, γλήχωνος, σεσέλεως μασσαλεωτικοῦ, ἡδυόσμου Γο. ς. κασσίας σύριγγος Γο. β. κινναμώμου Γο. α. σκευάσας δὲ αὐτὸς ἐγὼ μὴ καύσας τὰ θηρία, ἀλλὰ τοὺς ἐξ αὐτῶν ἀρτίσκους, ὥσπερ ἐπὶ τῆς θηριακῆς, μίξας τοῖς μετὰ τῶν θηρίων, καιομένοις καὶ αὐτοῖς, ἵνα ἥντινα ἔχει πικρότητα ἐν ἑαυτοῖς, ἐν τῇ καύσει ταύτην ἀποβάλλῃ. τοσοῦτον μέτρον τῶν ἀρτίσκων ἐμβαλὼν, ὅσονπερ ἐτεκμηράμην ἔχειν τὸ ποσὸν τῶν τεσσάρων ἐχιδνῶν. καὶ ἐπέβησαν ὡς ἀληθῶς ἄριστοι.

Ἡ μιθριδάτειος διὰ σκίγκου.

Σμύρνης τρωγλοδύτιδος, ζιγγιβέρεως, κινναμώμου ἀνὰ <. ι. ναρδοστάχυος, λιβάνου, θλάσπεως, ὀποβαλσάμου, σχοίνου ἄνθους, κόστου, στοιχάδος, σεσέλεως, χαλβάνης, τερεβινθίνης, πεπέρεως μακροῦ, καστορίου, ὑποκυστίδος χυ, στύρακος, μαλαβάθρου φύλλων ἀνὰ <. δ. κασσίας μελαίνης, πολίου, πεπέρεως λευκοῦ, σκορδίου, δαύκου σπέρμα, καρποβαλσάμου, κύφεως, βδελλίου κελτικῆς, κόμμεως, πετροσελίνου, ὀπίου, καρδαμώμου, μαράθρου σπέρμα, γεντιανῆς, ῥόδων φύλλων ἀνὰ <. η. δικτάμνου, ἀνήσου, ἀκόρου, φοῦ ἀνὰ <. γ. μήου ἀθαμαντικοῦ, ἀκακίας, γαστρὸς σκίγκου, ὑπερικοῦ σπέρματος ἀνὰ <. α. S. οἴνου καὶ μέλιτος τὸ ἀρκοῦν. σκεύαζε παραπλησίως τῇ θηριακῇ. φησὶν ὁ Γαληνός, πρὸς ἅπερ ἐκείνη καὶ ταύτην ἐνεργεῖν, πλὴν τῶν ὑπ' ἐχίδνης δηχθέντων. εἰς ταῦτα γὰρ ἐκείνη δραστικωτέρα ἐστίν.

Ἡ διὰ τῶν αἱμάτων, ποιοῦσα πρὸς πάντα τὰ ἰοβόλα καὶ πρὸς τὰ θανάσιμα φάρμακα.

Πεπέρεως λευκοῦ καὶ μακροῦ, κόστου, ἀκόρου, φοῦ, ἀνήσου, δικτάμνου κρητικοῦ ἀνὰ <. β. ἀμώμου, ὀποβαλσάμου, πηγάνου ἀγρίου σπέρμα, μαράθρου σπέρμα, κυμίνου αἰθιοπικοῦ, ἀνήθου, νήσσης ἄρρενος αἵματος ξηροῦ, ἐρίφου αἵματος, χηνὸς αἵματος, θηλείας νήσσης αἵματος, βουνιάδος ἀγρίας σπέρμα. ἀνὰ <. γ. γεντιανῆς ῥίζης, τριφύλλου, σχοίνου ἄνθους, λιβανωτοῦ, ῥόδων ξηρῶν ἀνὰ <. δ. κινναμώμου <. β. σκορδίου <. η. πετροσελίνου, πολίου, σμύρνης, νάρδου ἀνὰ <. ς. κασσίας <. γ. ὀποῦ κυρηναϊκοῦ <. γ. στοιχάδος <. ε. ἀσάρου <. β. ἀμμωνιακοῦ θυμιάματος <. γ. μήου ἀθαμαντίνου <. β. ἀγαρικοῦ <. β. καρποβαλσάμου κόκκους η. μέλιτος ἑφθοῦ τὸ ἀρκοῦν.

Ὀξύμελι τὸ ἁπλοῦν.

Ὄξους δριμυτάτου λευκοῦ ξ. α. ὕδατος ξ. β. μέλιτος ξ. α. ἕψε ἕως μέλιτος ὑγροτέρου συστάσεως ἐξαφρίζων τὸ μέλι.

Ὄξος σκιλλητικόν.

Σκίλλης λευκῆς κατακεχαραγμένης καὶ ξηρανθείσης ἐν σκιᾷ ἐπὶ ἡμέρας μ. μνᾶς ς. καὶ πάλιν καθαρθείσης. ὄξους καλοῦ ξ. ι β. ἀφὲς ἡμέρας ξ. πωμάσας τὸ ἀγγεῖον ἐγκεῖσθαι ἐν ἡλίῳ. μεθ' ἃς τὴν μὲν σκίλλαν ἐκπιέσας ῥῖψον. τὸ δὲ ὄξος ὑλίσας καταγγίζε. Ἔνιοι δὲ σκίλλης μνᾶν α. εἰς ὄξους ξ. ς. ἄλλοι δὲ χλωρᾶς τῆς σκίλλης τὸν αὐτὸν σταθμὸν εἰς τὸ ὄξος καταγγίζουσι. καὶ ἐῶσι μῆνας ς. καὶ ἔστι τμητικώτερον. ποιεῖ δὲ πρός τε τὰ περὶ τὸ στόμα ῥεύματα διακλυζόμενον, καὶ πρὸς πολλὰ τῶν ἐντὸς πινόμενον, πλὴν τῶν μεθ' ἑλκώσεως. καὶ πρὸς ἕτερα πλείονα.

Ὀξύμελι σκιλλητικόν.

Σκίλλης τῶν ἐντὸς τῶν ἁπαλῶν λι. β. ὄξους δριμέος λευκοῦ ξ. ιε. πεπέρεως, πετροσελίνου μακεδονικοῦ ἀνὰ Γο. β. δαύκου κρητικοῦ, ἄμμεως, ἀνήσου, νάρδου κελτικῆς, λυβιστικοῦ, ἀσάρου, καρδαμώμου, ναρδοστάχυος, ἀμώμου, ῥέου ποντικοῦ ἀνὰ S. μαράθρου σπέρματος, κυμίνου, σιλφίου, ζιγγιβέρεως, πυρέθρου, ὑσσώπου κρητικοῦ, κόστου, γλήχωνος. ἀνὰ Γο. α. ἡδυόσμου χλωροῦ δέσμην α. πηγάνου χλωροῦ κλῶνας ε. μέλιτος ἀττικοῦ ξ. α. ἑψήματος ξ. β. σελίνου χλωροῦ δέσμην α. τὰ ἐντὸς τῆς σκίλλης τὰ λευκὰ συγκόψας, βάλλε εἰς τὸ ὄξος καὶ ἔα ἐν βραχείαις ἡμέραις ζ. ἐν τοῖς ὑπὸ κύνα καύμασιν. εἶτα τὴν σκίλλαν ἐπάρας, τὰ μὲν ξηρὰ ἤδη

κοπέντα, τὰ δὲ χλωρὰ ἄκοπα βάλε εἰς τὸ ὄξος. καὶ πάλιν μετὰ ζ ἡμέρας ταῦτα σιρώσας ἐπίβαλλε τῷ ὄξει τὸ μέλι καὶ τὸ ἕψημα. καὶ ἑψήσας ἄχρις συστάσεως, κατάγγιζε ἐν ὑελίνῳ σκεύει. χρῶ δὲ τῷ βοηθήματι καὶ νῆστις, ὡς πρὸ ποτίσματι. καὶ μετὰ τροφῆς, ὡς ἐμβάματι. πολυχρηστότατον γάρ ἐστιν.

Γαληνοῦ φάρμακον διὰ σκίλλης, ποιοῦν μάλιστα ἐπιληπτικοῖς.

Σκίλλαν εἰς λεπτὰ διαθρύψας ταῖς χερσί, βάλε εἰς μελιτηρὸν ἀγγεῖον, καὶ πωμάσας ἰσχυρῶς ἀπόθου ἐν χωρίῳ πρὸς μεσημβρίαν ἐστραμμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασι. μετὰ δὲ μ ἡμέρας τῆς τοῦ κυνὸς ἐπιτολῆς λύσας, εὑρήσεις ἐξερρυηκὸς τὸ σῶμα τῆς σκίλλης. ἀνελόμενος οὖν τὸν χυλὸν αὐτῆς, ἥδυνον μέλιτι καλλίστῳ καὶ δίδου τούτοις καθ' ἑκάστην ἡμέραν κοχλιάριον, τοῖς μὲν παιδίοις μικρόν, τοῖς δὲ τελείοις μέγα. καὶ αὐτὸ δὲ τὸ σῶμα τῆς σκίλλης λειώσας μετὰ μέλιτος, δίδου κοχλιάριον. δεύτερον δέ ἐστι τούτου τῇ δυνάμει.

Ἡ Φίλωνος ἀντίδοτος.

Πεπέρεως λευκοῦ ∠ κ. ὑοσκυάμου ∠ κ. ὀποῦ μήκωνος ∠ ι. κρόκου ∠ ε. πυρέθρου, εὐφορβίου, ναρδοστάχυος ἀνὰ ∠ α. μέλιτος ἀττικοῦ ἢ ἄλλου καλοῦ ἀπέφθου τὸ ἀρκοῦν. δίδου τελείοις καρύου ποντικοῦ μέγεθος, ὑποδεεστέροις δὲ κυάμου, παισὶν ὀροβίνου. ἀνώδυνόν ἐστι μάλιστα φάρμακον καὶ ὑπνοποιοῦν.

Ἀθανασία ἀνώδυνος πλευριτικὴ Ὀριβασίου.

Κασσίας ∠ η. ναρδοστάχυος, ἀμώμου, κρόκου, ὀπίου, στύρακος, σμύρνης, κόστου ἀνὰ ∠ δ. μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. ἡ δόσις ὡς ἡ Φίλωνος.

Ἡ διὰ δύο πεπέρεων παραπλησίας δυνάμεως.

Καρδαμώμου, κασσίας, ὀπίου ἀνὰ ∠ γ. σμύρνης, κόστου, πεπέρεως λευκοῦ καὶ μακροῦ, χαλβάνης ἀνὰ ∠ γ. κρόκου ∠ γ. ἀναλάμβανε μέλιτι ἀπέφθῳ, καὶ δίδου κυάμου μέγεθος.

Ἡ διὰ κωδυῶν καὶ ἑψήματος.

Κωδύας χλωρὰς, ἀνύδρους η ἢ ι, ἑψήσας μετὰ τὸ ἐμβραχῆναι ἡμέρας α. καὶ γλυκυρρίζης Γο. α. ἀποβρέξας ἐν ἑψήματος ℥ α. ἐπὶ μίαν ἕψε, ἕως τακερωθῶσι. καὶ μετὰ τὸ ἔχειν μετρίαν σύστασιν, ἄρας ἀπὸ τοῦ πυρὸς κατάγγιζε, καὶ χρῶ ἐπί τε πυρετικῶν ἀγρυπνούντων, καὶ ἐὰν ἀπὸ κεφαλῆς εἰς θώρακα φέρηται ῥεῦμα λεπτόν.

Ἡ διὰ κωδυῶν καὶ μέλιτος.

Τὰς δὲ κωδύας ὡς εἴρηται καὶ τὴν Γο. τῆς γλυκυρρίζης ἑψήσας ἐν ὕδατι ὀμβρίῳ ἢ πηγαίῳ, ℥ α. ἄχρι τακερώσεως, καὶ ἐκπιέσας ἐπίβαλλε τῷ ἀφεψήματι μέλιτος ἡμίξεστον. καὶ ἑψήσας ἄχρι συστάσεως, δίδου, ἐφ' ὧν μετὰ τοῦ ἀπόνου τε καὶ ὑπνωτικοῦ προσέτι καὶ δέεται διακαθάρσεώς τε καὶ ἀπορρύψεως τῶν θωρακικῶν ἢ τῶν περὶ τὸν πνεύμονά τε καὶ νεφρούς.

Διὰ κωδυῶν σύνθετος.

Τοῦ ὕδατος ἐν ᾧ αἱ κωδύαι ἡψήθησαν κατὰ τὴν εἰρημένην συμμετρίαν ℥ α. οἴνου γλυκέος κο. β. μέλιτος λι. α. κρόκου, ὑποκυστίδος χυλοῦ ἀνὰ ∠ δ. ἕψε ἄχρι συστάσεως. εὐστομωτέρα δέ ἐστιν ἡ διὰ μέλιτος καὶ κωδυῶν ἀφεψήματος καὶ μήλων κυδωνίων. ἀνυτικωτέρα δὲ εἰ πρὸς ταῖς κωδύαις συνεψηθείη τῷ ὕδατι μελιλώτου καὶ γλυκυρρίζης.

Διὰ πρασίου, ἐκλεικτόν, ἁπλοῦν. πρὸς φθισικοὺς μάλιστα.

Πρασίου κόμης λι. α. ἑψήσας ἐν ὕδατι κο. ς, ἕως οὗ τὸ τρίτον λειφθῇ, τὴν μὲν βοτάνην ῥῖψον. ἐπιβάλλων δὲ τῷ ὕδατι μέλιτος πόσον, ἕψε ἕως μελιτώδους συστάσεως. καὶ δίδου κοχλιάριον α.

Διὰ πρασίου τὸ σύνθετον.

Πρασίου κόμης, ἴρεως ἰλλυρικῆς, ὑσσώπου, γλήχωνος, γλυκυρρίζης, σελίνου ἀνὰ Γο. β. ἰσχάδων λιπαρῶν Γο. γ. στροβίλους ἐρρυπωμένους Γο. γ. κόψας ἁδρομερῶς, τὰ ξηρὰ ἀπόβρεχε μετὰ τῶν ἰσχάδων, εἰς ὕδατος ℥ γ. καὶ ἕψε ἕως ἀποτριτωθῇ. εἶτα σιρώσας τὸ ὕδωρ, ἐπίβαλλε μέλιτος λι. β. καὶ ἕψε ἕως μελιτώδους συστάσεως.

Τὸ δι' ὀρόβων.

Ἀμυγδάλων πικρῶν Γο. β. ἀλεύρου ὀροβίνου Γο. δ. ὑσσώπου Γο. δ. ἴρεως Γο. S. στροβίλων πεφρυγμένων Γο. β. μέλιτος ℥ α. ἢ τὸ ἀρκοῦν.

Τὸ δωδεκάθεον.

Ἴρεως ἰλλυρικῆς Γο. δ. ὀρόβων Γο. δ. ὑσσώπου Γο. ϛ. κνίδης σπέρμα Γο. ϛ. γλυκυρρίζης Γο. ϛ. τήλεως Γο. β. βολβῶν Γο. δ. λινοσπέρμου πεφρυγμένου Γο. δ. μελανθίου γρ. ιη. γλήχωνος γρ. ς. στροβίλων πεφρυγμένων Γο. β. πεπέρεως γρ. ς. μέλιτος τὸ ἀρκοῦν.

Ἀντι-

Ἀντίδοτος ἡ σώτειρα.

Ναρδοστάχυος γρ. λθ. σμύρνης γρ. κζ. κρόκου γρ. λζ. καστορίου γρ. λθ. ὀπίου γρ. λς. πετροσελίνου γρ. με. ἀνήσου γρ. θ. σελίνου γρ. ζ. σχοίνου ἄνθους γρ. λς. κασσίας γρ. ιβ. πεπέρεως μακροῦ γρ. ιβ. σίνωνος σπέρμα γρ. ς. στύραξ γρ. ιη. ἀμώμου γρ. ιβ. σεσέλεως γρ. ιβ. ἡδυχρόου γρ. ιη. κόστου γρ. ιη. ἀσάρου γρ. ιη. μέλιτος τὸ ἀρκοῦν.

Τὸ διὰ στύρακος βηχικόν.

Ἀμώμου, κασσίας ἀνὰ Γο. β. στύραξ, ναρδοστάχυος ἀνὰ Γο. α. S. κρόκου, πεπέρεως λευκοῦ ἀνὰ Γο. α. μέλιτος ℥. α. δίδου κοχλιάριον.

Τὸ Φιλοξένου ἐμπυϊκοῖς καὶ χρονίως ῥευματιζομένοις.

Τερεβινθίνης < κη. νάρδου < ις. σμύρνης στακτῆς < ς. καρδαμώμου, βολβῶν < ς. κρόκου < ιβ. χαλβάνης < ις. ἀμύγδαλα πικρὰ π. μέλιτος ἡμίνα. δίδου ὕδατος ποτίζεται κυάμου αἰγυπτίου τὸ μέγεθος.

Ἡ ἔσδρα πολύχρηστος. ἔστι γὰρ τῶν ἄγαν ξηραινουσῶν.

Ἀμώμου γρ. ς. κρόκου γρ. ιη. δαύκου σπέρμα γρ. α. S. μαράθρου σπέρμα γρ. γ. κασσίας γρ. α. S. σχοίνου ἄνθους γρ. δ. S. κινναμώμου γρ. γ. ὑποκυστίδος χυλοῦ γρ. δ. S. θείου Γο. ε. μήκωνος σπέρματος γρ. ε. πυρέθρου γρ. γ. πετροσελίνου γρ. α. S. ἴρεως ἰλλυρικῆς γρ. ζ. S. ὑοσκυάμου σπέρμα γρ. ιγ. S. ναρδοστάχυος γρ. ζ. S. πηγάνου σπέρματος γρ. α. S. ἀνήθου γρ. γ. καρδαμώμου Γο. γ. ῥόδων ξηρῶν γρ. δ. S. νυμφαίου ἄνθος γρ. α. S. ἔστι δὲ οἷον λωβὸς δὲ οὗ ἀνίσχει τὸ ῥόδον. τῆς ῥοδοδάφνης καὶ τοῦ ῥόδου αὐτῆς ἀνὰ γρ. γ. ῥέου γρ. ς. γεντιανῆς γρ. ς. ἡδυχρόου γρ. α. S. τραγακάνθης γρ. ιε. λυκίου γρ. ς. κυφίου φύλλων γρ. ς. ὠκίμου σπέρματος γρ. α. S. ἀνήσου γρ. γ. εὐφορβίου γρ. γ. φύλλου γρ. β. νάρδου κελτικῆς γρ. ς. μήου γρ. γ. κόστου, σμύρνης ἀνὰ γρ. ς. βδελλίου γρ. ις. ἀρτεμισίας χυλοῦ γρ. ιγ. ῥοῦ συριακοῦ γρ. κε. S. ἀσάρου, νάρδου ἀθήρας, λίθου ἰάσπεως ἀνὰ γρ. γ. πεπέρεως γρ. ιε. καστορίου γρ. α. S. κιμωλίας γρ. ς. σίσωνος γρ. θ. στύρακος γρ. θ. ὀποβαλσάμου γρ. ιβ. σεσέρεως βοτάνης γρ. α. S. μέλιτος Γο. κη. οἴνου τὸ ἀρκοῦν.

Τὸ διὰ μήλων ζαρκῶν.

Μήλων κυδωνίων καθαρῶν λι. γ. ἕψονται ἐν οἴνου παλαιοῦ ℥. γ. εἶτα τρίβονται καὶ ἐπιβάλλονται αὐτοῖς λειωθέντα, πεπέρεως, ἀνήσου, λυβιστικοῦ ἀνὰ Γο. α. τινὲς καὶ ζιγγιβέρεως Γο. S. ἔνιοι ἀντὶ τοῦ οἴνου ὄξος ἔβαλον.

Τὸ διὰ τῶν χυλῶν τῶν μήλων, πρὸς ἀνορέκτους καὶ δυσπεπτοῦντας, δόκιμον.

Μήλων κυδωνίων πεπείρων τοῦ χυλοῦ ℥. β. μέλιτος καλοῦ ℥. β. ὄξους ℥. α. ζιγγιβέρεως Γο. γ. πεπέρεως λευκοῦ Γο. β. ἕψε ἕως συστάσεως. τοῦτο πρὸς τοὺς κατεψυγμένους ὁ Γαληνὸς σκευάζει. ἐφ' ὧν δέ φησι χολὴ πλεονάζει, δίχα τοῦ πεπέρεως καὶ τοῦ ζιγγιβέρεως σκεύαζε.

Μηλοπλακουντίου σκευή.

Μήλων κυδωνίων καθαρῶν λι. ς. ἕψονται εἰς οἶνον ἕως οὗ τακερωθῶσι. εἶτα σειρωθέντα καὶ τριβέντα. ἔνιοι δὲ προσβάλλουσι μέλιτος λι. η. καὶ ἕψονται βληχρῷ πυρὶ κινουμένων νάρθηκι, ὡς ἀμόλυντόν πως τὸ ὅλον γένηται. καὶ τότε προσλαμβάνουσι κοπέντα πεπέρεως Γο. γ. ἀνήσου Γο. γ. πετροσελίνου Γο. α. ἔνιοι καὶ ζιγγιβέρεως Γο. α. καὶ μαστίχης Γο. α. εἶτα μιχθέντα πλάσσονται ὡς ἄρτοι ἡμιογγίου, καὶ μετὰ φύλλων δάφνης συντίθενται.

Κυδωνάτον τριπλοῦν ἔχον σῶα τὰ τεμμάχη.

Μήλων κυδωνίων καθαρῶν τεμμαχισθέντων λι. η. ἕψονται εἰς οἴνου ℥. η. συμμέτρως, ὥστε μὴ διαλυθῆναι. εἶτα μίγνυνται αὐτοῖς μέλιτος ἐξαφρισθέντος λι. η. πεπέρεως Γο. η. πετροσελίνου, ἀνήσου ἀνὰ Γο. γ. ζιγγιβέρεως Γο. ε. ναρδοστάχυος Γο. α. S. καρυοφύλλου Γο. α. ταῦτα κοπέντα καὶ συμμέτρως ἑψηθέντα ἄχρι ζωμοῦ συστάσεως, ἄφελε. καὶ ψύξας, σώθου ὁμοῦ τὰ τεμμάχη σὺν τῷ ζωμῷ.

Ἡ διὰ γ. πεπέρεων.

Πεπέρεως κοινοῦ καὶ λευκοῦ. καὶ μακροῦ ἀνὰ < ζ. ζιγγιβέρεως, ἀνήσου, θύμου, κορύμβων ἀνὰ < β. μέλιτος τὸ ἀρκοῦν.

Ἄλλη Ὀρειβασίου.

Πεπέρεως λευκοῦ Γο. β. πεπέρεως μέλανος καὶ μακροῦ, ναρδοστάχυος, κινναμώμου, ἄμεως, καρύου, ὑσσώπου, σεσέλεως, δαύκου, πετροσελίνου, ἀνὰ Γο. α. ζιγγιβέρεως < δ. μέλιτος λι. γ.

Ἄλλη.

Πεπέρεως κοινοῦ Γο. γ. λευκοῦ Γο. α. μακροῦ Γο. α. πετροσελίνου, κινναμώμου ἢ κασσίας τὸ διπλοῦν, ζιγγιβέρεως ἀνὰ Γο. α. μέλιτος Γο. κα. ἢ τὸ ἀρκοῦν. ἐγὼ καὶ θύμου κορύμβων Γο. α. ἔμιξα.

Ὁ διοσπολίτης.

Κυμίνου ἀποβραχέντος ὄξει καὶ πεφρυγμένου οὐγγ. α. πεπέρεως, ζιγγιβέρεως ἀνὰ οὐγγ. β. πηγάνου χλωροῦ οὐγγ. α. S. νίτρου ∠ β. S. μέλιτι.

Τὸ διὰ καλαμίνθης.

Πετροσελίνου, γλήχωνος, σεσέλεως, καλαμίνθης ἀνὰ οὐγγ. γ. σελίνου σπέρματος οὐγγ. α. θύμου κορύμβων οὐγγ. α. λιβυστικοῦ οὐγγ. δ. πεπέρεως ∠ ιβ. μέλιτος τὸ ἀρκοῦν.

Τὸ διὰ κιτρίου, τοῖς βραδυπεπτοῦσιν.

Ὄξους κο. γ. κιτρίου σαρκὸς λι. α. ὑσσώπου, πηγάνου, ὀριγάνου ἀνὰ δυμίδιον. νυχθήμερον βραχέντα ἐν τῷ ὄξει ἕψεται εἰς ἀπαρτίτωσιν. καὶ ἐμπιασθέντα ῥίπτονται. τῷ δ' ὄξει μίγνυται μέλιτος ξ. α. καὶ πάλιν ἕψεται ἕως μελιτώδους συστάσεως. ὅταν δὲ συστῇ ἐπιπλάσσεται ἀσάρου, μήου, πεπέρεως λευκοῦ ἀνὰ οὐγγ. β. ἡ δόσις, κοχλιάριον α. πρωῒ καὶ εἰς κοίτην.

Ἡ πικρὰ Γαληνοῦ.

Ἀλόης ∠ ρ. ξυλοβαλσάμου, μαστίχης, κρόκου, ναρδοστάχυος, ἀσάρου, κινναμώμου ἀνὰ ∠ ς. τινὲς καὶ σχοίνου ἄνθους καὶ κασσίας ἀνὰ ∠ ς. δίδου ∠ α. ἐν ὑδρομέλιτι.

Ἡ διὰ ὀξυμέλιτος πικρὰ πρὸς στομαχικούς, κολικούς, ὑστέραν, ὕδρωπα.

Ἀλόης οὐγγ. δ. φύλλου οὐγγ. β. κόστου, κασσίας, ἀμώμου, ἴρεως ἀνὰ ∠ α. μαράθρου ῥίζης φλοιοῦ λι. α. μαστίχης, νάρδου κελτικῆς, ζιγγιβέρεως ἀνὰ ∠ α. πεπέρεως ∠ α. μήου ∠ α. ὄξους ξ. α. S. μέλιτος ξ. α. S. τὸ μάραθρον προεψηθὲν ἐν τῷ ὄξει, ῥίπτεται. εἶτα ἐπιβάλλεται τὸ μέλι. καὶ μετὰ τὸ ἑψηθῆναι ἄχρι μελιτώδους συστάσεως, τὰ λοιπὰ λειωθέντα ἐπιπάσσεται.

Τὸ διὰ λυκίου ἧπατος, κάλλιστον.

Γεντιανῆς, χαμαιπίτυος, πετροσελίνου, πρασίου, χ' ἀρκίου, νάπυος, σκολοπενδρίου, πάνακος ῥίζης, μίλτου, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, ναρδοστάχυος, κόστου, εὐζώμου σπέρματος, ἠρυγγίου ῥίζης, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων, λυκίου ἧπατος, ἐλαφείου ἴσα. μέλιτι ἀπέφθῳ ἀναλάμβανε. ἡ δόσις ποντικοῦ καρύου τὸ μέγεθος, σὺν οἰνομέλιτι ἀπέφθῳ.

Θεοδώρητος διὰ ἀνακαρδίων.

Ἀνακαρδίων οὐγγ. α. S. κρόκου, κασσίας, φύλλου, ναρδοστάχυος, καρυοφύλλου, μήου, ἀγαρικοῦ, σχοίνου ἄνθους, ῥέου, ἐπιθύμου ἀνὰ ∠ δ. ἀκόρου, πεπέρεως ἀνὰ οὐγγ. α. S. ἀλόης οὐγγ. γ. σαρξιφαγοῦς, μαστίχης, ἴρεως ἰλλυρικῆς, ἀνὰ οὐγγ. α. S. μυροβαλάνων οὐγγ. α. μέλιτος λι. ς. ἢ τὸ ἀρκοῦν.

Θεοδώρητος ἡ δίχα ἀνακαρδίων.

Ἀλόης ∠ ξ. ἀγαρικοῦ ∠ κδ. κρόκου, κασσίας, ῥέου ποντικοῦ, ἀκόρου, κινναμώμου, μαστίχης, ἀνὰ ∠ ι. κόστου, πηγάνου σπέρματος, πεπέρεως λευκοῦ ἀνὰ ∠ η. ναρδοστάχυος ∠ γ. ξυλοβαλσάμου, ἀσάρου, χαμαίδρυος, μήου ἀνὰ ∠ δ. μέλιτος τὸ ἀρκοῦν. τινὲς κἀνταῦθα, ἀνακάρδια δύο. ἡ δόσις ∠ β. μετὰ μελικράτου.

Κυφοειδὴς πρὸς ἡπατικοὺς καὶ πρὸς τὰ ἐν θώρακι.

Σταφίδος σαρκὸς ∠ κε. κρόκου ∠ α. καλάμου ∠ β. βδελλίου ∠ β. S. κασσίας ∠ α. S. κινναμώμου τριώβολον. νάρδου τριώβολον. σχοίνου ∠ β. σμύρνης ∠ δ. τερεβινθίνης ∠ δ. ἀσπαλάθου ῥινήματος ὀβολοὶ ιβ. μέλιτος ∠ ις. οἴνου τὸ ἀρκοῦν.

Ἄλλο, ἡ κυφοειδὴς Ἀλεξάνδρου.

Κρόκου, κινναμώμου, βδελλίου ἀνὰ ∠ δ. σμύρνης καλάμου ἀνὰ ∠ β. ἀσφάλτου, σχοίνου ἄνθους ἀνὰ ∠ γ. κασσίας, νάρδου ἀνὰ ∠ α. τερεβινθίνης ∠ ις. σταφίδος σαρκὸς ∠ ρξ. μέλιτος κο. α. S. οἴνου χίου τὸ ἀρκοῦν.

Τὸ διὰ βακάνου ἡπατικόν.

Βακάνου οὐγγ. α. κόστου οὐγγ. α. φύλλου γρ. η. πεπέρεως λευκοῦ γρ. ς. ναρδοστάχυος γρ. ς. μέλιτος τὸ ἀρκοῦν. δίδου κοχλιάριον μετὰ κράσεως κονδίτου.

Ἡ ζωπύρειος.

Σμύρνης ∠ ε. κρόκου, κασσίας ἀνὰ δραχμὰς δ. κινναμώμου ∠ γ. ναρδοστάχυος ∠ β. σχοίνου ἄνθους ∠ β. πεπέρεως λευκοῦ ∠ α. S. λιβάνου ∠ α. κόστου ∠ α. μέλιτος τὸ ἀρκοῦν.

Ἡ παιονία.

Στύρακος καλαμίτου ∠ ς. λιβάνου, ἀμώμου, κρόκου ἀνὰ οὐγγ. α. S. ναρδοστάχυος ∠ ς. φύλλου ∠ β. πεπέρεως λευκοῦ ∠ ς. καὶ κοινοῦ ∠ η. σμύρνης οὐγγ. α. κόστου οὐγγ. α. μέλιτος τὸ ἀρκοῦν.

Τὰ Δοσιθέου καταπότια, ἡπατικά.

Ἀλόης οὐγγ. α. ναρδοστάχυος, φύλλου, κόστου ἀνὰ γρ. β. ἀγαρικοῦ γρ. η. μαστίχης γρ. ιγ. ἐπιθύμου γρ. δ. ῥέου γρ. α.

Ὀξύμελι

Ὀξύμελι σπληνικόν.

Καππάρεως ῥίζης φλοιοῦ, σκολοπενδρίου, ναρδοστάχυος, ἀσάρου, ἴρεως, σχοίνου ἄνθους, κυπέρεως ἄνθους, ἀννήσου, κυμίνου, μαράθρου, ἀκόρου, σρίκης καρποῦ ἀνὰ Γο. α. μυρσίνης φύλλων, ἰτέας φύλλων, σελίνου ῥίζης, δενδρολιβάνου, σκίλλης ἀνὰ Γο. β. ὄξους ξ. γ. μέλιτος ξ. γ. ἀμμωνιακοῦ θυμιάματος Γο. γ. σκεύαζε ὡς τὸ σκιλλητικόν. δίδου κοχλιάρια. β.

Ὀξύμελι ποιοῦν πρὸς λιθιῶντας.

Σαρξιφαγοῦς, βετονίκης, ἀγρώστεως, ἀδιαντου, ναρδοστάχυος, καρπησίας, ἀσάρου, ἠρυγγίου ἀνὰ Γο. α. πετροσελίνου μακεδονικοῦ, πηγάνου σπέρματος Γο. S. μαράθρου χλωροῦ, ἴρεως, σκίλλης ὀπτῆς, χαμαιδάφνης ἀνὰ Γο. β. καππάρεως ῥίζης φλοιοῦ Γο. γ. σίων Γο. β. ὕδατος, ὄξους, μέλιτος ἀνὰ ξ. β.

Φύσημα λίθων θρυπτική.

Γλήχωνος, μαστίχης, σελίνου σπέρμα, ἡδυόσμου ξηροῦ ἀνὰ Γο. α. ἁλὸς κοινοῦ πεφρυγμένου λι. α. κορίου σπέρμα, ναρδοστάχυος, ἀννήσου, ἄμμεως ἀνὰ γρ. ς. φύλλου γρ. δ. πεπέρεως λευκοῦ Γο. S. ἢ κοινοῦ Γο. α. λιθοσπέρματος Γο. ς. βετονίκης Γο. ς. ὄξους καλοῦ ξ. ε. πάντα κόψας καὶ σήσας καὶ ῥίψας λειότατα, ἐπὶ ἡμέρας γ. μίγνυε τῷ ὄξει, καὶ ἡλίου ἡμέρας μ. ἐπὶ δὲ τῆς χρείας ἀφέψημα ποιήσας μελαίνων ἐρεβίνθων, καὶ ἀσπαράγων ῥίζης, σελίνου τε καὶ ἀδιάντου, ἐπίβαλλε εἰς κρᾶσιν αὐτοῦ β. καὶ τοῦ ὄξους καὶ πότιζε τὸν κάμνοντα ἐν τῇ θερμῇ τοῦ βαλανείου ἐμβάσει. Τινὲς δὲ τῶν ἀπὸ τῶν λεχθέντων εἰδῶν ξηρείου γρ. ιβ. σὺν ὀξυκράτῳ ἐκ τῶν εἰρημένων βοτανῶν τοῦ ἀφεψήματος κιρναμένῳ διδῶσι. καὶ οὐδὲν ἧττον δρᾷ τὸ φάρμακον.

Κονδίτον λίθων θρυπτικόν.

Πεπέρεως λευκοῦ, σαξιφάγου, ναρδοστάχυος, λιθοσπέρμου, βετονίκης ἀνὰ Γο. α. πετροσελίνου, φύλλου ἀνὰ Γο. α. S. πηγάνου ἀγρίου σπέρματος Γο. S. μέλιτος ξ. α. οἴνου ἀσκαλωνίτου ξ. ις.

Τὸ διὰ τοῦ τραγίου αἵματος.

Ὅταν ἄρξηται ἡ σαφυλὴ περκάζειν, τοῦ τράγου τὴν ἡλικίαν ἀκμαίου τὸ αἷμα λαβὼν καὶ ξηράνας ἐν ἡλίῳ, δίδου τοῖς λιθιῶσιν ἀπ' αὐτοῦ κοχλιάριον α. μετὰ γλυκέος κρητικοῦ. τινὲς δὲ καὶ ἀμώμου καὶ φύλλου μίσγουσιν ἀνὰ Γο. γ. ἄλλοι καὶ σμύρνης γρ. δ.

Ἡ διὰ τεττίγων νεφριτική.

Λιθοσπέρματος, ῥαφίδος τοῦ ἰχθύος καὶ σεσέλεως ἀνὰ Γο. α. ἄμμεως, σικύου ἡμέρου σπέρματος, σαξιφάγου, σαφίδων ἐκγιγαρτισμένων, ἀλθαίας σπέρματος, φασιόλου λευκοῦ, λυγγούρου ἀνὰ Γο. S. ναρδοστάχυος, φοῦ, μήου, λίθων ἀπὸ σπόγγων, ἀνὰ < . α. ἀδιάντου, παλιούρου σπέρματος τοῦ ἐν τοῖς, σίων ξηρῶν, βάτου ῥίζης, ἀγρώστεως, πολυποδίου ἀνὰ < . γ. τραγίου αἵματος ξηρανθέντος ὡς εἴρηται γρ. ς. τεττίγων ξηρῶν χωρὶς κεφαλῆς, πτερῶν, ποδῶν Γο. δ. πεπέρεως λευκοῦ < . ς. μέλιτος ἀπέφθου τὸ ἀρκοῦν. ἡ δόσις καρύου ποντικοῦ μέγεθος εἰς κόνδιτον ἢ ἀπόζεμα τριβόλου ἢ σαξιφαγοῦς ἢ σίνων ἢ ῥίζης ἀσπαράγων ἢ ἀγρώστεως ἢ πενταφύλλου ἢ σρουθίου ῥίζης.

Ἡ διὰ τοῦ λιθοσπέρμου.

Λιθοσπέρμου, βετονίκης, σαξιφαγοῦς, πετροσελίνου, πεπέρεως λευκοῦ, ἴσα μέλιτι.

Ἡ διὰ πρασοσπέρμου.

Πεπέρεως λευκοῦ καὶ μέλανος, δαύκου κρητικοῦ, σικύου ἡμέρου σπέρματος, μαράθρου σπέρματος. πρασίου σπέρματος, πετροσελίνου μακεδονικοῦ, πυρέθρου, ζιγγιβέρεως, φύλλου ἀνὰ Γο. α. μέλιτος τὸ ἀρκοῦν.

Ἡ διὰ τηκολίθου.

Ναρδοστάχυος, ὑσσώπου, τηκολίθου ἀνὰ γρ. η. πεπέρεως γρ. ιβ. ζιγγιβέρεως, πετροσελίνου, κόστου σαξιφαγοῦς ἀνὰ γρ. ς. κασσίας, σελίνου σπέρματος ἀνὰ γρ. γ. κυπέρου γρ. ς. πρίσματος ἐλέφαντος γρ. δ. καρδαμώμου ξύλου γρ. ς. λινοσπέρμου γρ. δ. μέλιτος τὸ ἀρκοῦν.

Ἡ διὰ τοῦ σπέρματος τῆς ἀγρίας μαλάχης.

Σικύου ἡμέρου σπέρματος < . ιβ. ὑοσκυάμου σπέρματος < . ς. κωνίου σπέρματος. < . γ. οἱ δὲ < . ς. ὀπίου, μαράθρου, μαλάχης ἀγρίας σπέρματος, κρόκου ἀνὰ < . γ. σελίνου σπέρματος < . ς. κασσίας < . δ. ἀμύγδαλα βασιλικὰ ι. κάρυα ποντικὰ ι. ἀσάρου < . δ. γλυκεῖ κρητικῷ ἀναλάμβανε. καὶ δίδου τριόβολον ἀπυρέτοις μετὰ ἑψήματος. τινὲς δὲ μέλιτι ἀναλαμβάνουσιν.

Διὰ τραγημάτων νεφριτικόν. καὶ πρὸς ἕλκωσιν κύστεως καὶ νεφρῶν.

Σταφίδος λευκῆς ἀφῃρημένης τὰ γίγαρτα, σροβίλων προσφάτων ἀνὰ Γο. β. σικύου σπέρματος λελεπισμένου, μύρτων ἐξοσαϊσμένων, πικρῶν ἀμυγδάλων, φοινίκων λιπαρῶν, σελίνου σπέρματος, μήκωνος σπέρματος, κρόκου ἀνὰ < . α. σμύρνης Γο. β. γλυκεῖ πότιζε νήστιν. < . α.

Σατυριακὴ ἀντίδοτος,

Ζιγγιβέρεως, σατυρίου ἀνωτέρου ἀνὰ < . η. σκίγκου τὰ οὐρὰς, μήου, ἀσάρου, πετροσελίνου, καρ-

δαμώμου, σεσέλεως ἀνὰ <. δ. σιζώμου σπέρματος, κινναμώμου ἀνὰ <. γ. ὀρμίνου, πεπέρεως λευκοῦ, κνίκου σπέρματος ἀνὰ <. β. σχοίνου ἄνθους, ναρδοστάχυος ἀνὰ <. α. αἵματος τραγίου μύστρον. δίδοται <. α. τοῖς ἀσθενεστέροις μετὰ γάλακτος.

Καταπότια διὰ ξυλομάκερος, δυσεντερικοῖς.

Ξυλομάκερος, ὀπίου, ῥοῦ ἀνὰ γρ. ς. κηκίδος, σμύρνης ἀνὰ Γο. α. ἀναλάμβανε οἴνῳ σαβίτῃ.

Ποδαγρικὰ βοηθήματα. ἡ διὰ κοραλλίου ποδαγρική.

Ῥέου βαρβαρικοῦ, παιωνίας, σμύρνης τρωγλωδύτιδος, ναρδοστάχυος, ἀνὰ Γο. β. φύλλου Γο. α. καρυοφύλλου κόκκοι ιε. ἀναγαλλίδος τῆς τὸ ῥούσιον ἄνθος ἐχούσης ἣν καλοῦσι κοράλλιον Γο. ς. ἀριστολοχίας μακρᾶς Γο. δ. καὶ στρογγύλης Γο. δ. ἡ δόσις γρ. α. καθ' ἡμέραν εὐπεπτηκότι. δεῖ δὲ ἄρχεσθαι ἀπὸ ἰσημερίας μεθοπωρινῆς, ἥτις γε περὶ τὴν κδ. τοῦ σεπτεμβρίου μηνός. καὶ λαμβάνειν ἐφεξῆς ἐπὶ ἡμέρας ν. καὶ διϊστᾶν ἡμέρας ιε. καὶ οὕτω ποιεῖν ἕως οὗ πληρωθῶσιν αἱ λαμβανόμεναι ἡμέραι τξε. τὰ δὲ ὑπὸ κύνα πάντα σχολάζειν. τουτέστιν ἀπὸ κδ. τοῦ ἰουνίου ἕως αὐγούστου συμπληρουμένου. ἀπέχεσθαι δὲ ἀφροδισίων, κρεῶν μάλιστα χοιρείων,, καὶ ταρίχου, καὶ γάρου καὶ σεύτλου, καὶ δαύκου, καὶ ἡδυόσμου καὶ θριδάκων ἀπέφθων, καὶ πεπόνων. ἰχθύων δὲ, κεφάλων, γόμφων, καὶ τῶν μαλακῶν, καὶ τῶν ὀστρακοδέρμων. καὶ ὀσπρίων πάντων. καὶ πάντων ἁπλῶς τῶν παχυχύμων. καὶ οἴνου μέλανός τε καὶ πλείονος. λούεσθαι δὲ καθ' ἡμέραν καὶ γυμνάζεσθαι, ἢ ἐκ ποδὸς ἢ διὰ ἵππου, ἢ φορείου. οἱ δὲ ξηροτέρας ὄντες ἕξεως, καὶ πλατύτερον διαιτηθέντες οὐκ ἐβλάβησαν.

Ἡ τοῦ ἀγαπητοῦ ποδαγρική.

Φύλλου, ῥοῦ βαρβαρικοῦ, κρόκου, ναρδοστάχυος, σμύρνης τρωγλωδύτιδος, κόστου, χαμαίδρυος ἀνὰ Γο. β. ἀλόης ἡπατίτιδος Γο. ε. ὑπερικοῦ, παιωνίας ἀνὰ Γο. γ. ἀριστολοχίας μακρᾶς καὶ φοῦ, μήου, δαμασωνίου, ἀναγαλλίδος ἀνὰ Γο. δ. ὁ τρόπος τῆς χρήσεως ὁ αὐτὸς τῇ διὰ κοραλλίου.

Ἡ ἄτακτος ποδαγρική.

Φύλλου, μήου, δαμνασωνίου, ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης, ἐρυθροδάνου, μαστίχης, κρόκου, κασσίας, ἀλόης ἡπατίτιδος, γεντιανῆς, χαμαίδρυος ἀνὰ Γο. α. καρυοφύλλου, ἀσάρου * λευκοῦ καὶ μέλανος, ἀνὰ Γο. ς. ναρδοστάχυος, σμύρνης, ῥοῦ βαρβαρικοῦ, παιωνίας ῥίζης, ἀριστολοχίας μακρᾶς καὶ στρογγύλης ἀνὰ Γο. β. ἡ χρῆσις ὁμοίως.

Ἡ Πρόκλου ποδαγρικὴ καὶ πρὸς ἰσχιάδας.

Χαμαίδρυος Γο. θ. κενταυρείου Γο. η. ἀριστολοχίας Γο. ζ. γεντιανῆς Γο. ς. ὑπερικοῦ Γο. ε. πετροσελίνου μακεδονικοῦ Γο. δ. μήου Γο. γ. ἀγαρικοῦ Γο. β. φοῦ Γο. α. μέλιτος ἀττικοῦ ξε. β.

Τὸ διὰ τῶν ζ πρὸς τὰ αὐτά.

Ὑπερικοῦ, ἀριστολοχίας μακρᾶς ἀνὰ Γο. α. κενταυρείου, χαμαιπίτυος, ἀγαρικοῦ ἀνὰ Γο. γ. χαμαίδρυος Γο. ς. γεντιανῆς Γο. ε. τινὲς καὶ πετροσελίνου Γο. α. μέλιτος <. ε. ἡ δόσις <. α.

Περὶ τροχίσκων. ιβ.

Τροχίσκοι. ὀνομάζονται μὲν ἀπὸ τοῦ σχήματος. εἴδη δὲ αὐτῶν γ. οἱ μὲν γάρ εἰσι πότιμοι, οἱ δὲ ἐνετικοί, οἱ δὲ κατάχριστοι. τῶν μὲν οὖν ποτίμων οἱ μέν εἰσιν ἐπισχετικοὶ κοιλίας ἢ αἵματος, ἢ ἄλλης τινὸς ῥύσεως, τῷ ψύχειν ἢ στύφειν ἢ παρεμπλάσσειν ἢ ξηραίνειν ἐπέχοντες, ὡς ὁ διὰ ἀκάνθης αἰγυπτίας, καὶ διὰ σπερμάτων, καὶ οἱ παραπλήσιοι. οἱ δὲ ἀνώδυνοι. ἢ παρὰ τὸ ναρκοῦν τὴν αἴσθησιν, ὡς ὁ κρονώδης, ἢ τῷ διαχεῖν, ὡς οἱ διὰ τῶν ἀρωμάτων. οἱ δὲ ἐκφρακτικοὶ σπληνὸς ἢ νεφρῶν ἢ ἥπατος, ὡς ὁ διὰ ἀμυγδάλων πικρῶν. τῶν δὲ ἐνετῶν. οἱ μὲν εἰσὶν ἀμβλωτικοὶ τῶν δριμέων, ὡς ἐπὶ δυσεντερίας, ὥσπερ οἱ διὰ πομφόλυγος καὶ ἀμύλου καὶ γῆς σαμίας, διὰ χυλοῦ πλιασάνης ἢ ῥιούτου τινὸς ἐνιέμενοι. οἱ δὲ στυπτικοὶ τῶν περὶ κοιλίαν ἢ αἵματος ῥύσεως, ὡς οἱ διὰ στυπτηρίας, ἀκακίας, ὀμφακίου. οἷός ἐστιν ὁ Φιλίππου. ἢ διὰ ἀκάνθης αἰγυπτίας μετὰ χυλοῦ ῥόδων, ἢ ἀρνογλώσσου ἐνιέμενοι. οἱ δὲ καυστικοὶ ἐπὶ τῶν νομωδῶν δυσεντεριῶν ἁρμόζοντες, ἀπὸ σανδαράχης, ἀρσενικοῦ, τιτάνου, χάρτου κεκαυμένου συντιθέμενοι. ἐνιέμενοι δὲ μετὰ χυλοῦ φακῶν, ἢ ὀρύζης. προαποκλυσθέντος ἅλμῃ τοῦ ἐντέρου. προβεβρωκότων δὲ καὶ πεπωκότων τῶν καμνόντων, ὥστε μηδέν τι τῆς τῶν φαρμάκων δυνάμεως πρὸς τὸν στόμαχον ἀναρπάζεσθαι. χρήσιμοι δὲ οἱ ἐνετοὶ τροχίσκοι ἐπὶ τῶν κατωτέρω τοῦ ὀμφαλοῦ μάλιστα διαθέσεων, ἀνωτέρω γὰρ ἡ δύναμις αὐτῶν οὐκ ἐξικνεῖται. οἱ δὲ κατάχριστοι, δυνάμεως μὲν ὁμοίας εἰσὶ τοῖς ἐνιεμένοις. ἀλλ' οἱ μὲν στυπτικοὶ ποιοῦσιν ἐπὶ ἑρπήτων, ἐξανθημάτων, παρατριμμάτων, αἱμορραγίας, ῥευματικῶν ἑλκῶν. ὥσπερ ὁ ἄνδρωνος, ὁ πολυείδους. οἱ δὲ ἀμβλωτικοί, ἄνθραξί τε καὶ κακοήθεσι τῶν ἑλκῶν, ἁρμόζοντες, ὅ, τε λευκὸς καὶ ὁ διὰ λωταρίων. οἱ δὲ καίοντες. ὡς οἱ λεχθέντες, οἷοίπερ οἱ φαυστιανοί, ἐπὶ τῶν ἐν αἰδοίοις καὶ ἕδρᾳ νομωδῶν ἑλκῶν, ἐπί τε πτερυγίων καὶ σαρκωμάτων ἁρμόζοντες.

Τροχί-

Τροχίσκος ὁ ἀστήρ.

Κρόκου, ὀπίου, καστορίου, ναρδοστάχυος, κασσίας, σμύρνης, λημνίας σφραγῖδος, μανδραγόρου φλοιοῦ ἀνὰ γο. δ̄. δαύκου, σελίνου, ἀνήσου, σεσέλεως, ὑοσκυάμου σπέρματος, στύρακος, ἀνὰ < .η̄. οἴνῳ λέου.

ὁ τρίγωνος.

Σελίνου σπέρματος, ὑοσκυάμου σπέρματος ἀνὰ < .ϛ̄. ἀνήσου < .δ̄. ὀπίου < .γ̄. ὕδατι λέου.

ὁ διὰ σπερμάτων.

Ἀνήσου, ἄμμεως, μαράθρου σπέρματος ἀνὰ < .δ̄. σελίνου σπέρματος ὀπίου, ὑοσκυάμου σπέρματος ἀνὰ < .β̄. ὕδατι.

ὁ κροκώδης.

Ἀνήσου, δαύκου κρητικοῦ σπέρματος ἀνὰ < .δ̄. σμύρνης, καστορίου ἀνὰ < .β̄. κρόκου ὀπίου ἀνὰ < .γ̄. σελίνου σπέρματος, στύρακος ἀνὰ < .δ̄. ὑοσκυάμου σπέρματος < .ϛ̄. ὕδατι λέου.

ὁ διάρροδος.

Ἀκακίας, κόμμεως, ῥόδων ἄνθους, βαλαυστίων, ὑποκυστίδος χυ., κικίδων ἀνὰ < .γ̄. ῥόδων χλωρῶν χυ., ἀρνογλώσσου σπέρματος ἀνὰ < .ᾱ. λυκίου ἰνδικοῦ < .ᾱ.

ὁ διὰ κοραλλίου.

Ὑοσκυάμου σπέρματος λιβάνου ἀνὰ < .η̄. γῆς σαμίας, κοραλλίου, μίλτου σινώπιδος, ὀπίου ἀνὰ < .δ̄. ἀμύλου, βαλαυστίων ἀνὰ < .β̄. χυ. πολυγόνου ἀναλάμβανε.

ὁ δι' ἠλέκτρου.

Ψυλλίου γο. ε̄. μαστίχης γο. δ̄. ἠλέκτρου ῥινήματος, ἴρεως, κρόκου ἀνὰ γο. δ̄. ὀπίου γο. β̄.

ὁ δι' ἀκάνθης αἰγυπτίας.

Ἀκάνθης αἰγυπτίας, ῥοῦ, λιβάνου, ἀκακίας, στυπτηρίας σχιστῆς, ὑποκυστίδος χυ., κικίδος, λημνίας σφραγῖδος, κοραλλίου, συμφύτου, σαμίου ἀστέρος, ἀλόης, λαδάνου, τὸ ἴσον. οἴνῳ.

Ἄλλος, ὃν Γαληνὸς ἀφροδισιαστικὸν κλειδίον ἐπιγράφει.

Κυτίνων ῥοιῶν, ἀκάνθης αἰγυπτίας, βαλαυστίων, ὑποκυστίδος χυ., ἀκακίας ἀνὰ < .ϛ̄. λυκίου, ῥέου ποντικοῦ, ὀπίου ἀνὰ < .δ̄. σμύρνης < .β̄. ἀναλάμβανε οἴνῳ μυρτίτῃ, ἢ ἀφεψήματι ῥόδων ἢ μύρτων.

Τὸ κλειδίον ὀριβασίου δυσεντερικὸν καὶ κοιλιακόν.

Κικίδος ὀμφακίτιδος < .η̄. ὀπίου < .δ̄. ὕδατι πλάσας καταπότια, δίδου γ̄ ἢ δ̄.

ὁ δι' ἐλαφείου κέρατος. δυσεντεριῶσι καὶ αἱμοπτοϊκοῖς.

Κοχλίων < .ιβ. κέρατος ἐλάφου κυ. κικίδος πεφωγμένης, ἀκακίας πεφωγμένης, ἀνὰ < .ε̄. ὀβολοὶ ιβ. μύρτων μελάνων < .ιε. ὀπίου πεφωγμένου, ὑποκυστίδος χυ. ἀνὰ < .ε̄. οἰνάνθης < .ϛ̄. μανδραγόρου ῥίζης χυ. γῆς ἀστέρος ἀνὰ < .ιβ. ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα < .ιδ. σιδίων πεφωγμένων < .ζ̄. λιβάνου < .η̄. πίτυος φλοιοῦ πεφωγμένου < .ιδ. ὑοσκυάμου σπέρματος πεφωγμένου < .ι̅. ῥοῦ σκυτοδεψικοῦ ξ. β̄. οἴνου μέλανος ὅσον ἑψῆσαι τὸν ῥοῦν ὡς παχύτατον γενέσθαι τὸν οἶνον, καὶ τούτῳ διηθημένῳ τὰ λοιπὰ ἀναλαβόντα πλάσσειν τροχίσκους.

ὁ τῶν ἀμαζόνων.

Σελίνου σπέρματος, ἀνήσου ἀνὰ < .ϛ̄. ἀψινθίου κόμης < .δ̄. σμύρνης, πεπέρεως, ὀπίου, καστορίου ἀνὰ < .β̄. κινναμώμου < .ϛ̄. ὕδατι.

ὁ διὰ πικρῶν ἀμυγδάλων.

Ἀνήσου, σελίνου σπέρματος, ἀσάρου, ἀμυγδάλων πικρῶν, ἀψινθίου κόμης, τὸ ἴσον. ὕδατι πλάττε τροχ. < .ᾱ. καὶ δίδου ἀπυρέτοις μετ' οἰνομέλιτος. πυρέσσουσι δὲ μεθ' ὑδρομέλιτος.

ὁ διὰ τῆς ἐρίκης σπληνικός.

Ἐρείκης καρποῦ < .δ̄. πεπέρεως λευκοῦ, νάρδου συριακῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < .β̄. τὸ ἀμμωνιακὸν ὄξει διαλύεται καὶ τοῖς ξηροῖς ἐπιβάλλεται, καὶ ἀναπλάσσονται τροχίσκοι ἀνὰ < .ᾱ. ἡ δόσις τροχ. ᾱ. μετ' ὀξυμέλιτος κυ. ᾱ.

ὁ διὰ φυσαλίδων.

Σικύου ἡμέρου λελεπισμένου σπέρματος γο. δ̄. ὑοσκυάμου σπέρματος, κωνείου ἀνὰ γο. β̄. μαράθρου, λαπάθου σπέρματος, κρόκου, στροβίλων, ἀμυγδάλων πικρῶν, ὀπίου ἀνὰ γο. ᾱ. φυσαλίδος ξ. γ̄. οἴνου τὸ ἀρκοῦν.

ὁ Φιλίππου δυσεντερικός.

Βαλαυστίων, ἀκακίας, ὑποκυστίδος χυ., ὀπίου. ῥοῦ, λιβάνου, σμύρνης, κρόκου, κικίδος, ἀλόης, ῥέου ποντικοῦ, σιδίων, μύρτων ἀνὰ < .δ̄. ἀναλάμβανε οἴνῳ αὐστηρῷ, καὶ ποίει τροχίσκους τριωβολιαίους. δίδου δὲ ἀπυρέτοις, μετ' οἴνου, πυρέσσουσιν δὲ μεθ' ὑδρομέλιτος.

ὁ μουσᾶ.

Ὁ μουσᾶ.

Στυπτηρίας, ἀλόης, σμύρνης, χαλκάνθου ἀνὰ ℥.α. S. σιδίων, κρόκου, κροκομάγματος ἀνὰ <.ς. οἴνῳ.

Κροκομάγματος σκευή.

Κρόκου ℥.β. ῥόδων, ἀμύλου, σμύρνης, ἀλόης, λιβάνου, κόμμεως ἀνὰ ℥.α. κόστου, ναρδοστάχυος ἀνὰ <.α. οἴνῳ. γίνεται τῷ περὶ κροκίνου ἐλαίου καὶ ἑτέρα κροκομάγματος λέγεται ποίησις.

Νάρη τροχίσκος ἐκ τῶν ἥρα.

Σμύρνης, ἀλόης, κρόκου ἀνὰ <.η. στυπτηρίας σχιστῆς <.ρ. ὕδατι.

Ἡ πολυείδους σφραγίς.

Στυπτηρίας σχιστῆς <.γ. λιβάνου <.δ. σμύρνης <.η. χαλκάνθου <.β. κυτίνων <.ιβ. χολῆς ταυρείας <.ς. γίνεται ἄλλως <.ις. ἀλόης ℥.α. οἴνῳ αὐστηρῷ ἀναλάμβανε.

Ὁ πασίωνος.

Λεπίδος χαλκοῦ <.ιβ. χαλκοῦ κεκαυμένου, ἁλὸς ἀμμωνιακοῦ, στυπτηρίας στρογγύλης, ἰοῦ ξυστοῦ, λιβάνου ἀνὰ <.η. οἴνου τὸ ἀρκοῦν.

Ὁ Ἀνδρώνιος.

Κυτίνων <.ι. σμύρνης <.δ. κικίδων <.η. ἀριστολοχίας στρογγύλης <.δ. χαλκάνθου, κρόκου, σχιστῆς, κροκομάγματος, μίσυος, λιβάνου ἀνὰ <.β. οἴνῳ στυφῷ ἢ ὄξει λέαινε.

Φαυστίνου.

Ἀρσενικοῦ <.ιβ. σανδαράχης <.ς. ἀσβέστου <.η. χάρτου Κχ <.α. χ μύρτων ἢ ἀφεψήματι ἀναλαβὼν, ποίει τροχίσκους. καὶ γίνεται μετὰ ἀφεψήματος μύρτων καὶ φακῶν καὶ βάτου ῥιζῶν.

Ὁ διὰ χάρτου.

Χάρτου Κχ λι.β. τιτάνου, ἀρσενικοῦ, σανδαράχης ἀνὰ ℥.α. ἀρνογλώσσου χ ἀναλάμβανε.

Θρόνος Μαρκέλλιος.

Χάρτου κεκαυμένου <.ι. σανδαράχης, ἀρσενικοῦ, λεπίδος χαλκοῦ, σχιστῆς ἀνὰ <.δ. βαλαυστίου <.γ. ὀπίου <.β. ἀσβέστου <.γ. ὀμφακίου <.α. ὑποκυστίδος χ <.γ. οἴνῳ μυρτίτῃ ἀναλαβὼν ποίει τροχίσκους τετραδραχμιαίους. καὶ ἑψήσας εἰς οἶνον σίδια καὶ μύρτα καὶ ῥόδα ἕως ἀποβρώσεως, δίδου εἰς ς κυάθους οἴνου τροχίσκον α. ἢ ἁπλῶς <.δ.

Ὁ διὰ φελλῶν.

Κικίδων Κχ, χάρτου Κχ, φελλοῦ Κχ, ἄρτου Κχ ἀνὰ <.ιε. γίνεται ἄλλως. καὶ κεράτων ἐλαφείων Κχ <.ιε. ἀρσενικοῦ <.β. σανδαράχης, τιτάνου ἀνὰ <.ιε. ἀκακίας, ψιμυθίου ἀνὰ <.ε. λιθαργύρου <.γ. οἴνῳ λέαινε.

Ὁ Βιθυνός.

Σιδίων <.ι. καδμίας ℥.γ. ἀριστολοχίας, κικίδων, πάνακος ῥίζης, ἴρεως, χαλκάνθου, σχιστῆς, χαλκίτεως, μίσυος, λεπίδος χαλκοῦ, μάννης. γίνονται καὶ κόστου, ἀνὰ ℥.α. S. ὄξει.

Ὁ διὰ κασσιτέρου πρὸς ἕλκη καὶ νομὰς καὶ ῥεύματα.

Κρόκου, ἀλόης, λιβάνου ἀνὰ ℥.α. κυτίνων, στυπτηρίας σχιστῆς, κασσιτέρου, μάννης, ἰοῦ ξυστοῦ ἀνὰ ℥.α. μίλτου σινώπιδος λι.α. ἀναλάμβανε οἴνῳ παλαιῷ.

Ὁ διὰ κασσιτέρου κωλικοῖς.

Σμύρνης, κασσιτέρου ἀνὰ γρ.ς. κρόκου, ὀπίου ἀνὰ γρ.θ. ἀνήσου, σελίνου σπέρματος, δαυκίου σπέρματος ἀνὰ ℥.S. ὑοσκυάμου σπέρματος γρ.ιη.

Ὁ δι' οἰνελαίου τροχίσκος ἑδρικὸς καὶ αἰδοιϊκός.

Ψιμυθίου ℥.ι. λιθαργύρου ℥.ε. λιβάνου, σκωρίας μολίβδου, σχιστῆς στυπτηρίας, ἀνὰ ℥.β. θαλασσίῳ οἴνῳ λέαινε. παρὰ δὲ τὸν καιρὸν τῆς χρήσεως οἰνοροδίνῳ ἢ οἰνομυρσίνῳ ἀνάλυε.

Διὰ λίθου φρυγίου αἰδοιϊκοῖς.

Λίθους φρυγίους Κχ καὶ ἐσβεσμένους τρεῖς. τὸν μὲν πρῶτον, βουτύρῳ ἢ ῥοδίνῳ. τὸν δὲ β, οἴνῳ. τὸν δὲ γ, μέλιτι ℥.β. ῥόδων ἄνθους ℥.δ. σιδίων ℥.α.

Ὁ διὰ λωταρίων ἑδρικὸς καὶ αἰδοιϊκός.

Ψιμυθίου, ἀμύλου, γλαυκίων, κρόκου, στυπτηρίας. ἴσα λέαινε χυλῷ λωταρίων ἢ οἴνῳ.

Ὁ λευκός.

Γῆς ἀστέρος ℥.δ. πομφόλυγος, ψιμυθίου, ἀμύλου ἀνὰ ℥.β. ὀπίου γρ.δ. ὕδατι.

Ὁ διὰ τοῦ ἁλικακάβου.

Λιθαργύρου <.η δ. ψιμυθίου <.ιβ. ἢ η α. ἁλικακάβου <.η. χαλκάνθου <.δ. σχιστῆς <.δ. μίλτου ὥστε χρῶσαι. ὕδατι ἀναλάμβανε.

Ὁ διὰ

ὁ διὰ δύο ἐλλεβόρων. ὁ δὲ αὐτὸς καὶ διὰ δύο ἀκακίων.

Ἀκακίας μελαίνης καὶ κιῤῥᾶς, κόλλης τεκτονικῆς, ἐν ἄλλῳ ἰχθυοκόλλης ἀνὰ γο. δ. ἀμμωνιακοῦ θυμιάματος, γλαυκίου, ἀλόης ἀνὰ γο. β. λιβάνου ἄῤῥενος, ἐλλεβόρου μέλανος καὶ λευκοῦ ἀνὰ γο. α. ὄξει σκιλλιτικῷ ἀναλάμβανε. ἐπὶ δὲ τῆς χρήσεως τῷ αὐτῷ ἢ κοινῷ λύσας, χρίε πρὸ λουτροῦ καὶ αὖθις μετὰ λουτρόν.

ὁ κεροογένης.

Σμύρνης, χαλκοῦ κεκαυμένου, ἀριστολοχίας στρογγύλης, ἰοῦ ξυστοῦ, λεπίδος στομώματος, περιστερεῶνος ὀρθοῦ, στυπτηρίας ⊙ ἀνὰ γο. α. ὄξους τὸ ἀρκοῦν. ἄρξαι δὲ δεῖ τῆς περιστερεῶνα ἡλίου ὄντος ἐν κριῷ. γίνεται δὲ καὶ ἔμπλαστρος οὕτως. τοῦ τροχίσκου, κηροῦ, κολοφωνίας, ἐλαίου τὸ ἴσον. ὄξους τὸ ἀρκοῦν εἰς τὴν λείωσιν τοῦ τροχίσκου.

ὁ μελάγχλωρος.

Σμύρνης, ἀλόης, λεπίδος χαλκοῦ κεκαυμένου, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, ἴρεως, χαλκίτεως, μίσυος, ἁλὸς ὀρυκτοῦ, χαλκάνθου, ψιμυθίου, νίτρου, λιθαργύρου, πάνακος ῥίζης, καδμίας, σιδίων, κηκίδων, ἀριστολοχίας ⊙, λεπίδος στομώματος, ἰοῦ ξυστοῦ ἀνὰ γο. α. ὄξους τὸ ἀρκοῦν. γίνεται δὲ καὶ ἔμπλαστρος οὕτως. τοῦ τροχίσκου γο. β. κολοφωνίας, κηροῦ, ἐλαίου, ἀνὰ γο. ς. ὄξους τὸ ἀρκοῦν εἰς τὴν τοῦ τροχίσκου λείωσιν.

ὁ παντόλμιος πρὸς χρόνια καὶ κακοήθη καὶ πρὸς ῥεύματα.

Κασσίας, χαλκοῦ κεκαυμένου, ψιμυθίου, λιθαργύρου, ἰοῦ ξυστοῦ, στυπτηρίας σχιστῆς καὶ ⊙ καὶ ὑγρᾶς καὶ πλινθίτιδος, πάνακος ῥίζης, ἀριστολοχίας μακρᾶς καὶ ⊙, σιδίων, χαλκάνθου, ἀνδράχνης, ἴρεως, ἀστραγαλίτιδος, χαλκίτεως, μίσυος, ἀμμωνιακοῦ θυμιάματος, ἁλὸς ἀμμωνιακοῦ, ἰοῦ, σιδήρου, λεπίδος χαλκοῦ, ἀλόης, διφρυγοῦς, λιβάνου, κηκίδων, σαρκοκόλλης, μολύβδου κεκαυμένου, φύλλων ἐλαίας, σώρεως, σμύρνης, μελαντηρίας ὑγρᾶς, βαλαυστίων, ἀκάνθης αἰγυπτίας, θείου ἀπύρου, νίτρου, ῥοῦ ἐρυθροῦ, ῥοῦ σιριακοῦ, χρυσοκόλλης, ῥόος βυρσοδεψικῆς, ἀκακίας, ἁλὸς ἀφροῦ, ὀμφακίου, ἀρσενικοῦ τὸ ἴσον. λεάνας ἐν τοῖς ὑπὸ κύνα καύμασιν σὺν ὄξει, ἐπὶ ἡμέρας λ.

ὁ νυμφοδότου.

Ἀφρονίτρου γο. α. νίτρου ἀλεξανδρίνου, σάπωνος γαλλικοῦ ἀνὰ γο. α. ἁλὸς καππαδοκικοῦ, μαστίχης, κηκίδων ἀνὰ < . δ. ῥοδοφύλλων, ἀμώμου, ἀμύλου ἀνὰ γο. α. φύλλου < . α. στυπτηρίας σχιστῆς, κόστου ἀνὰ < . β. οἴνου μυρτίτου τὸ ἀρκοῦν.

ὁ διὰ θαψίας ἡμικρανικός.

Χυλοῦ θαψίας < . ις. σμύρνης < . η. ὀποπάνακος, εὐφορβίου ἀνὰ < . ς. νίτρου, ὀποῦ περσικοῦ ἀνὰ < . δ. πεπέρεως, σαγαπηνοῦ ἀνὰ < . β. ὄξους τὸ ἀρκοῦν. ἐπὶ δὲ τῆς χρήσεως ὄξει καταχρίσας, μετὰ ς ὥρας λοῦε. εἰ δὲ βούλει ὑφειμένως χρήσασθαι, κηρωτῇ ἴσῃ ἀναλαβὼν ἔμπλασσε, καὶ ἔα νυχθήμερον.

Ὑπόθετον πρὸς δυσεντερίαν, καὶ δακτυλίων πόνους.

Γῆς ἀστέρος, ἀμύλου ἀνὰ γο. γ. κρόκου γο. β. ἀκακίας, τραγακάνθης ἀνὰ γο. α. κασσίας, λιβάνου, λυκίου ἀνὰ γο. S. ἐπὶ τῶν θερμοτέρων, καὶ ὀπίου γο. S. ψυλλίου χυλῷ ἀναλάμβανε, καὶ πλάττε ἐπὶ μήκει κολλυρίου * S.

Περὶ ξηρίων καὶ σμηγμάτων. ιγ.

Τῶν ξηρίων φαρμάκων, ἃ δὴ καὶ καταπάσματα καλεῖται, τὰ μὲν ἕλκεσιν ἁρμόττει, τὰ δὲ τῷ δέρματι προσφέρεται. καὶ τῶν μὲν ἕλκεσιν ἁρμοττόντων, τὰ μέν εἰσι σαρκωτικὰ τῶν κοίλων. τὰ δὲ καταστaλτικὰ τῶν ὑπερσαρκούντων. τὰ δὲ, κατουλωτικά. τὰ δὲ καυστικά τε καὶ στυπτικά. τὰ δὲ ἴσχαιμα. τὰ μὲν οὖν σαρκωτικὰ, ἢ διὰ καθαίρειν τὰ ῥυπαρὰ σαρκοῖ, ὡς τὰ διὰ ὀρόβων, ἀριστολοχίας, ἴρεως, πάνακος, σμύρνης, λιβάνου, ἀλόης. ἢ παρὰ τὸ ξηραίνειν τὴν περιττὴν σαρκῶν ὑγρασίαν, ὡς τὰ διὰ χαλκοῦ, διφρυγοῦς, λεπίδος, χάρτου κεκαυμένου, πίτυος φλοιοῦ, ἀκάνθης. αὐτὰ δὲ ταῦτα καὶ κατουλοῖ. ἢ διὰ τὰς δριμύτητάς τε καὶ δήξεις ἀμβλύνειν, ὡς τὰ διὰ πομφόλυγος, ἀμύλου, ψιμυθίου, σφέκλης, τοῦ διαφανοῦς, ὀστρέων κεκαυμένων. γῆς σαμίας, καὶ τῶν παραπλησίων. καὶ τῶν συνθέτων ἐκ τούτων ἔχει δυνάμεις. τῶν δὲ κατασταλτικῶν πρᾳέα μέν ἐστιν. τὰ διὰ λεπίδος χαλκοῦ, τὰ διὰ μίσυος χαλκίτεως, κεκαυμένων, κηκίδος. ἰσχυρότερα δὲ τὰ διὰ χαλκάνθου, ἰοῦ, μίσυος, χαλκίτεως, ἀκαύστων. καυστικὰ δὲ καὶ στυπτικὰ, διὰ τιτάνου τε καὶ ἀρσενικοῦ καὶ σανδαράχης καὶ σφέκλης, ἥτις ἐστὶ τρὺξ οἴνου κεκαυμένη. συντίθεται δὲ ταῦτα πάντα. τὰ χνοώδεστατα μὲν ἐπιπαττόμενα τοῖς ἕλκεσιν, ἀδηκτότερα γίνεται. ἁδρομερέστατα δὲ, μᾶλλον δάκνει. τὰ δὲ ἴσχαιμα, ἢ τῷ στύφειν ἢ τῷ ψύχειν ἢ τῷ ξηραίνειν ἢ τῷ περιεμπλάσσειν ἐν τῷ καίειν τε καὶ ἐσχάρουν ἐπέχει. ὧν τὴν ὕλην ἐν τῷ περὶ τροχίσκων ἐμάθομεν. τῶν δὲ διὰ

δέρματι προσφερομένων, τὰ μὲν ῥύπτει τε καὶ σμήχει, ὡς τὰ διὰ κιμωλίας, κιοσήρεως, βρέγμου, ζύμης κριθίνων, πεπόνων σαρκός, ἁλὸς ἄνθους. τὰ δὲ λεπτύνει τε καὶ διαφορεῖ, ὡς τὰ δι' ἐλλεβόρου, ἀλκυονίου, θείου, σταφίδος ἀγρίας, νάπυος, πυρέθρου, κάχρυος, λημνίτιδος, σηπίας, ὀστράκου. καὶ ταῦτα δὲ προσλαμβάνοντα τίτανόν τε καὶ ἀρσενικὸν σύν τινι τῶν ὑγρῶν, ψιλωτικά τε καὶ σμήγματα γίνεται. τὰ δὲ τῇ κεφαλῇ προσφέρεται, διὰ τὸ ξηραίνειν τὸ ἐπιφερόμενον ἐξ αὐτῆς ῥεῦμα, ὡς τὰ διὰ νίτρων, ἁλῶν, κικίδων, σιδίων, καὶ τῶν παραπλησίων. ἅπαντα δὲ τὰ σμήγματα δεῖ ἀναλείπτως προσφέρειν τῷ χρωτί.

Κεφαλικὸν ξηρόν.

Ὀρόβων Γο. ε̄. ἴρεως Γο. ᾱ. S̄. μάννης Γο. ᾱ. S̄. ἀριστολοχίας, λεπίδος χαλκοῦ ἀνὰ Γο. ᾱ S̄.
Ἄλλο. Πίτυος φλοιοῦ < . ς̄. λιβάνου < . δ̄. κιοσήρεως < . δ̄. ἴρεως < . β̄. ῥητίνης ξηρᾶς < . ς̄. ἀριστολοχίας < . β̄.

Δι' ἀλόης.

Ἀλόης < . ς̄. ὀρόβου < . η̄. μάννης < . δ̄. κικίδος < . γ̄. χιστῆς < . β̄.

Διὰ σφέκλης μανέθωνος.

Καδμίας κεκ. καὶ πεπλυμένης Γο. ᾱ. γῆς ἀστέρος Γο. ᾱ. σφέκλης κεκ. Γο. δ̄. τοῦ διαφανοῦς Γο. δ̄. λιβάνου Γο. δ̄. τινὲς δὲ καὶ ἀμύλου Γο. δ̄.

Ἡ μελιτοβρὰ Ὀρειβασίου.

Χαλκίτεως, λεπίδος χαλκοῦ, κικίδος, βαλαυστίων, ἀριστολοχίας μακρᾶς ἀνὰ Γο. ᾱ. σιδίων, χιστῆς ἀνὰ Γο. S̄.

Δι' ὀστρέων.

Καδμίας, λιβάνου ἀνὰ Γο. ᾱ. ὀστρέων κεκ. Γο. γ̄.

Διὰ λιβάνου.

Λιθαργύρου, λιβάνου, καδμίας, ψιμυθίου, τὸ ἴσον.

Ἀφροδιταῖον.

Λιβάνου, λεπίδος χαλκοῦ, ῥοιάδιου, ἀμύλου, ψιμυθίου ἴσον.

Ἡ ῥοδία ἴσχαιμος καὶ πρὸς νομὰς καὶ ὑπερσαρκώσεις.

Κικίδος ὠμῆς < . ς̄. κικίδος κεκ. καὶ ἐσβεσμένης οἴνῳ, ξηρᾶς < . ιβ. λεπίδος χαλκοῦ μελαίνης, εἰ δὲ μὴ, ἐρυθροῦ < . η̄. χαλκάνθου < . κδ. χιστῆς < . κζ. λέου ἐπὶ ἱκανὰς ἡμέρας.

Τὸ ξανθόν.

Χαλκίτεως κεκ. < . μ̄. χαλκάνθου κεκ. < . η̄. μίσυος κεκ. < . ῑ. χαλκοῦ κεκ. < . ε̄.

Τὸ ψαρόν.

Μίσυος Γο. ε̄. κικίδων Γο. δ̄. χαλκίτεως Γο. β̄. λεπίδος χαλκοῦ Γο. β̄. Χαλκάνθου Γο. ᾱ. ἰοῦ ξυστοῦ Γο. β̄.

Τὸ ἡλιοκαὲς καυστικόν.

Ἀρσενικοῦ λι. ᾱ. ἀσβέστου λι. β̄. ὕδατι λέου ἐν ταῖς ὑπὸ κύνα ἡμέραις, εἶτα ξηράνας χρῶ.

Τὸ ἀνθηρόν

Κυπέρου < . η̄. σμύρνης < . ιβ. σανδαράχης < . γ̄. ῥόδων ἄνθους < . β̄. κρόκου < . ᾱ κροκομάγματος, χιστῆς, ἴρεως ἰλλυρικῆς ἀνὰ < . β̄.

Τὸ διὰ χάρτου πρὸς νομὰς στόματος μάλιστα καὶ τὰ δι' αἰδοίων.

Λεπίδος χαλκοῦ, χάρτου κεκ. ἀνὰ < . η̄. ἀρσενικοῦ, θείου ἀπύρου ἀνὰ < . ιβ. μολίβου κεκ. < . ς̄. πρὸς μὲν τὰς ὑγροτέρας σηπεδόνας ξηρῷ χρῶ, πρὸς δὲ τὰς ξηρὰς ῥοδίνῳ φυρῶν. ἐνίοτε καὶ μέλιτι σὺν ῥοδίνῳ.

Τὸ δι' ὀξυμυρσίνης πρὸς τὰ αὐτά.

Ῥοὸς βυρσοδεψικῆς Γο. ιβ. ὀξυμυρσίνης φύλλων, σανδαράχης ἀνὰ < . η̄. ἰτέας φύλλων ξηρῶν, σιδίων ἀνὰ < . ς̄. χιστῆς, χρυσοκόλλης, ἀλόης, χαλκίτεως ὠμῆς, λεπίδος, ἀρσενικοῦ, ἁλῶν κοινῶν ἀνὰ < . δ̄.

Τὸ τοῦ μασσαλιώτου.

Νίτρου, ὀπίου, χρυσοκόλλης, λίθου ἀσίου, σανδαράχης, μίσυος, χαλκίτεως, χιστῆς, διφρυγοῦς, ἴσα. ξηρῷ χρῶ.

Σμῆγμα ξηρὸν ὁ Ἀσκληπιός.

Δαφνίδων, νίτρου ἀλεξανδρίνου, ἁλὸς πεφρυγμένου, ἁλὸς καππαδοκικοῦ, ἀμμωνιακοῦ θυμιάματος, ἀφρονίτρου, κιοσήρεως ἀνὰ λι. ᾱ. ἐλλεβόρου μέλανος, στρουθίου, πυρέθρου, σφέκλης ἢ τῆς ἐκ τρυγὸς οἴνου κεκαυμένης, σταφίδος ἀγρίας, νάπυος, κυπέρου, στυπτηρίας σχιστῆς, σχοίνου ἄνθους, ἴρεως, κικίδων ἀνὰ Γο. ς̄. σαμψύχου λι. ᾱ. ἄγνου σπέρματος, γλήχωνος, κυαμίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ Γο. ς̄. χαμαιλέοντος μέλανος, θείου, κόμμεως, λιβάνου, πεπέρεως, σικύου ἀγρίου ῥίζης, πρασίου,

πρασίου, κιμωλίας, πευκωνίας, σηπίας ὀστράκου, τήλεως φύλλου, κόστου, κυμίνου, εὐφορβίου, ναρδοστάχυος ἀνὰ γο. γ΄. ὁ δὲ Ἀλέξανδρος καὶ ταῦτα προστίθησιν. ἁλῶν πικρῶν, ἁλῶν νιτροπηγικῶν, ἁλῶν τραγασαίων ἀνὰ λι. α΄. ἀδάρκης γο. α΄. στυπτηρίας ὑγρᾶς, κελτικῆς, κνήκου, κόκκου κνιδίου, ἀγρώστεως ξηρᾶς, βρυωνίας ξηρᾶς ἀνὰ γο. γ΄.

Σμῆγμα πεπόνειον.

Λιβάνου, μαστίχης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. α΄. τραγακάνθης γο. α΄. S. χυλοῦ ὄμφακος γο. θ΄. πέπονος σπέρματος προσφάτου γο. γ΄. σεμιδάλεως ξ. ε΄. ὠῶν ἡ α. τὰ λευκά. ἴρεως γο. δ΄. τινὲς καὶ ἐλλεβόρου μέλανος γο. β΄.

Ἄλλως τὸ κρεῖττον.

Ἐρεγμοῦ μοδ. α΄. σεμιδάλεως ξ. δ΄. τριφύλλου, μυροβαλάνου, ἴρεως ἰλλυρικῆς ἀνὰ λι. δ΄. ἀμμωνιακοῦ θυμιάματος λι. α΄. κόστου λι. α΄. ὠῶν ἑπτὰ, τὰ λευκά. πεπόνων σαρκός. ξ. β΄. ὄμφακος χυλοῦ ξ. β΄. φύρα καὶ ἀναπλάσας ἀρτίσκους ξήραινε. εἶτα κόψας καὶ σήσας χρῶ. Ἄλλως.

Τραγακάνθης, λιβάνου, μαστίχης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < . ι΄. ὄμφακος χυλοῦ < . ε΄. σεμιδάλεως ξ. ε΄. ὠῶν τοῦ λευκοῦ γο. α΄. πεπόνων σαρκῶν γο. ι΄. σκεύαζε ὡς προείρηται.

Σμῆγμα κεφαλῆς ῥυπαινομένης ξηραντικόν.

Νίτρου ἀλεξανδρίνου πυῤῥοῦ γο. ε΄. ἁλῶν κοινῶν πεφρυγμένων α΄. S. ἁλῶν καππαδοκικῶν γο. α΄. ταῦτα φυράσας ὄξει δριμυτάτῳ ἔμβαλε λινῷ σακελλίῳ, καὶ καῦσον ἐν καμίνῳ ἕως ἂν θρακωθῇ. εἶτα ψύξας, λείοις σμῆχε οἴνου ἐπιστάζων, ἐν βαλανείῳ.

Σάπων Κωνσταντίνου.

Ῥόδων ξηρῶν, ἀλόης, κικίδων, σιδίων, μαλαβάθρου, σαρκοκόλλης ἀνὰ γο. γ΄. βαλαυστίων, σμύρνης, σανδαράχης, ναρδοστάχυος ἀνὰ γο. β΄. κόστου γο. α΄. σάπωνος γαλλικοῦ λι. α΄. ἀναλάμβανε ζέματι θέρμων.

Ξηρίον τὸ ψίλωθρον ποδαγρικόν.

Μαστίχης, λιβάνου ἄῤῥενος, σταφίδος ἀγρίας, ἐλλεβόρου λευκοῦ, λιθαργύρου ἀνὰ γο. γ΄. φύλλου, ἀμύλου, ἐλλεβόρου μέλανος, λίθου ἀσίου ἄνθους ἀνὰ γο. α΄. ἀλκυονίου, κιοσήρεως ὀπτῆς, κιμωλίας, σαμψύχου ἀνὰ γο. γ΄. ναρδοστάχυος γο. α΄. τινὲς δὲ καὶ ἀλόης γο. α΄. κόψας ἔχε τὸ ξηρίον ἐν ἀγγείῳ. ἐπὶ δὲ τῆς χρήσεως βάλλε χυλοῦ ὀρύζης καὶ πτισάνης ἐν χύτρᾳ, καὶ μετὰ τὸ βράσαι ἐπίβαλλε τοῦ ξηρίου γο. α΄. S. σάπωνος γαλλικοῦ γο. α΄. S. ἀρσενικοῦ, σχιστῆς ἀνὰ γο. α΄. S. σανδαράχης γο. α΄. S. ἀσβέστου νεαρᾶς λι. α΄. χρήσθω δὲ τῷ χρίσματι γ΄. τοῦ μηνὸς τῇ θ΄ τῆς σελήνης καὶ τῇ ιθ. καὶ τῇ κθ. ἐπὶ ἐνιαυτόν. μετὰ δὲ τοῦτον ἅπαξ τοῦ μηνὸς, τῆς σελήνης ἀγούσης κθ.

Περὶ διαχρίστων στοματικῶν. καὶ πρὸς φάρυγγας. ιδ΄.

Ὅσῳ περ ἀραιοτέρα καὶ μαλακωτέρα τοῦ δέρματός ἡ ἐπιφάνεια τοῦ κατὰ στόμαχου χιτῶνός ἐστι, τοσούτῳ καὶ τῶν στοματικῶν φαρμάκων ἡ χρῆσις ἐξαλλάττεται. κατ᾽ ἀρχὰς μὲν οὖν τῆς φλεγμονῆς, τῶν ἀπωθουμένων τὸ ἐπιῤῥέον ἐστὶ χρεία φαρμάκων, οἷά περ ἐστὶ. ξηρὰ μὲν, ὀμφάκιον τε καὶ κηκὶς ὀμφακίτης, ῥοῦ τε χυλὸς καὶ ὑποκυστίς καὶ στυπτηρία, πίτυός τε καὶ λιβάνου φλοιός, καὶ τὰ βαλαύστια. καὶ καθόλου πάντα τὰ στύφοντα, πλὴν τῆς ἀηδοῦς τε καὶ δηλητηρίου δυνάμεως. ὑγρὰ δὲ, χυλοῦ μόρων τῶν τε βατίνων καὶ τῶν συκαμίνων προσαγορευομένων, ὅ, τε τῶν χλωρῶν καρύων τοῦ φλοιοῦ καὶ ῥοιῶν, καὶ μάλιστα τῶν ὀξέων, καὶ μήλων κυδωνίων. καὶ γλεῦκος. καὶ ἀμιναῖον. τὸ δὲ μέλι κατ᾽ ἀρχὰς διαμονῆς τῶν φαρμάκων καὶ μόνον ἕνεκα μίγνυται. ὅταν δὲ ἐπιστῇ τὸ ῥεῦμα, τὰ συμπέττοντα καὶ μετρίως διαφοροῦντα μικτέον, οἷά περ ἐστὶν ὅτε κρόκος καὶ σμύρνα καὶ τῆς γλυκείας ῥίζης ὁ χυλὸς. καὶ παρ᾽ ὅλον τὸν μεταξὺ χρόνον τῆς τε ἀκμῆς καὶ τῆς παρακμῆς μικτοῦ τινὸς ἐξ ἀμφοῖν ἐστι χρεία, τοῦ τε ἀποκρουομένου καὶ τοῦ διαφοροῦντος. καὶ πρότερον μὲν κρατείτω τὰ ἀποκρουστικά. εἶτα δὲ τὰ διαφοροῦντα. ἐν δὲ τῇ παρακμῇ, μόνοις τοῖς διαφοροῦσιν ἄνευ τοῦ στύφειν χρηστέον. οἷά περ ἐστὶ νίτρον τε καὶ ἀφρόνιτρον, ὀρίγανόν τε καὶ ὕσσωπον καὶ θύμος καὶ καλαμίνθη τε καὶ ἶρις καὶ βήσασα καὶ τὰ παραπλήσια. τὸ δὲ ὑγρὸν τηνικαῦτα σίραιον ἔστω, τό, τε ἀπὸ τοῦ γλεύκους ἑψόμενον, καὶ τὸ ἀπὸ τῶν ἰσχάδων καὶ φοινίκων, καὶ αὐτὸ τὸ γλυκὺ γλεῦκος σὺν τῷ μέλιτι. ὅταν δὲ οἷόν τι λείπηται τῆς φλεγμονῆς, καὶ θείου μικτέον ἀπύρου. ἑψεῖν δὲ δεῖ πρότερον τοὺς χυλοὺς σὺν τῷ μέλιτι ἄχρι μέλιτος ὑγροτέρου συστάσεως. εἶθ᾽ οὕτως ἐπιπάττειν τὰ ξηρὰ λειότατα. κἄπειτα μετρίως ἑψεῖν ἕως ἂν ἅπαντα ἀκριβῶς ἑνωθῇ, καὶ τότε καταγγίζειν ἐν ὑαλίνοις σκεύεσιν.

Ἡ διὰ μόρων ἁπλῆ.

Μόρων χυλὸς ξ. γ΄. προεψήσας ὡς τὸ γ΄ δαπανηθῆναι, ἐπίβαλλε μέλιτος ξ. α΄. καὶ ἕψε ἕως μελιτώδους πάχους.

Ἡ διὰ μόρων σύνθετος.

Μόρων χυλοῦ κο. ς. ἕψε ἕως γλοιοῦ πάχος. εἶτα πρόσμιξον λεῖα, κρόκου ∠. α. σμύρνης ∠. ϛ. ὀμφακίου ∠. α. σχιστῆς τριόβολον. μέλιτος κοτύλην α. καὶ ἕψε ἕως πάχους.

Περὶ βατίνων μόρων.

Καὶ τὸ διὰ τῶν βατίνων τῶνδε ὡσαύτως σκευάζεται, συσταλτικώτερον ὑπάρχον.

Τὸ διὰ καρύων ἁπλοῦν.

Τῶν χλωρῶν καρύων τοῦ φλοιοῦ κοπέντος τοῦ χυλοῦ κο. ε. μέλιτος κο. α. ἕψεται ἕως τὸ διάμετρον.

Διὰ καρύων σύνθετον.

Ἐν ἀρχῇ μὲν καὶ ἀκμῇ τῶν ἐν στόματι φλεγμονῶν, μιγνύειν δεῖ κρόκου καὶ στυπτηρίας ἀνὰ ∠. α. σμύρνης ∠. β. ἐν παρακμῇ δὲ διὰ τὸ διαφορῆσαι, νίτρου ∠. α. θείου ∠. α. τῶν προειρημένων ποσῶν τοῦ τε χυλοῦ καὶ τοῦ μέλιτος. 1

Τὸ διὰ χυλοῦ τῶν ῥοῶν.

Ῥοῶν ἀπυρήνων γλυκειῶν χυλοῦ ℥. δ. ῥοῶν ὀξειῶν χυλοῦ ℥. β. μέλιτος ℥. α. σμύρνης ἡμιννέας ∠. η. κρόκου μάγματος, κηκῖδος, ἀνὰ ∠. η. στυπτηρίας σχιστῆς ∠. δ. ἴρεως ἰλλυρικῆς ὀμφακίου ἀνὰ ∠. η. σκεύαζε ὡς τὸ διὰ μόρων.

Ἄλλως τὸ αὐτό.

Ῥοῶν γλυκειῶν σὺν τοῖς λεπύροις κεκαυμένων τοῦ χυλοῦ ℥. ς. μέλιτος καλοῦ ℥. α. σχιστῆς Γο. α. σμύρνης Γο. S.

Τὸ διὰ γλεύκους.

Γλεύκους ℥. ς. κηκῖδος, στυπτηρίας σχιστῆς ἀνὰ ∠. β. κρόκου, σμύρνης ἀνὰ ∠. α. εἰ μὲν παραμυθήσασθαι βούλει, γλυκὺ ἔστω τὸ γλεῦκος. εἰ δὲ ἀποκρούσασθαι, αὐστηρόν. τὸ δὲ μέσον μεταξὺ πῶς ὄν. 2

Ἡ αἰγυπτία στοματική.

Μέλιτος λι. α. ἐλαίου Γο. η. τερεβινθίνης Γο. β. κρόκου ∠. δ. διπλώματι τήκεται.

Ἡ διὰ τοῦ βησασᾶ.

Ἀννήσου σπέρμα, σελίνου σπέρμα, σχοίνου ἄνθος, ἄμμεως σπέρμα, στυπτηρίας σχιστῆς, ἴρεως ἰλλυρικῆς, βησασᾶ ὃ τινὲς ἁρμαλὰ καλοῦσιν, ἔστι δὲ τὸ ἄγριον πήγανον. κινναμώμου, σμύρνης τρωγλοδύτιδος, κρόκου, κηκῖδος, ἀνὰ Γο. α. ἀριστολοχίας μακρᾶς, κασσίας, κροκομάγματος, ῥόδων ξηρῶν ἀνὰ Γο. α. κόστου, χελιδόνων, σποδοῦ προσφάτου ἀνὰ Γο. γ. νάρδου ἰνδικῆς, ἀμώμου ἀνὰ Γο. S. μέλιτος τὸ ἀρκοῦν.

Ἡδέα καὶ ὠφέλιμα πόματα. ιε.

Τῶν ἡδέων ἅμα τε καὶ ὠφελίμων πομάτων τὰ μὲν ἐξ οἴνου συντίθενται, ἐμβαλλομένων 3
ἐν αὐτῷ τινῶν εἰδῶν, οἷον πεπέρεως, ἀψινθίου, κασάμου, καὶ ἑτέρων πλειόνων, ἐξ ὧν καὶ τὰς ὀνομασίας ἐνίοτε λαμβάνει. ὅτε μὲν μιγνυμένου μέλιτος, ὅτε δὲ οὔ. τὰ δὲ ἐξ ὕδατος, ἐν ᾧ περ ἀφεψοῦνται μῆλα ἢ ῥόδα κυδωνίων, οἷον ὄμφακος, ῥοιῶν, μύρτων. μίγνυται διὰ τοῦτο μέλιτος καλλίστου ἀπαφρισθέντος, τοῦ τε μονίμου χάριν καὶ ἡδέως, ἐνίοτε καὶ ὠφελίμου, πλὴν τὸ ἀπὸ κρατῆρος ἐν τοῖς μικροῖς ἀγγείοις φερομένου αὐστηροῦ καὶ οἰνώδους ὑδρομήλου. τοῦτο γὰρ οἶδε καὶ χωρὶς γενέσθαι μέλιτος, ὥσπερ αὖ τὸ ἀπόμελι ἐκ μέλιτος μόνου καὶ ὕδατος ἄνευ τινὸς ἑτέρας οὐσίας. ἀλλὰ καὶ τὰ μὲν ἐξ οἴνου συντιθέμενα, ἃ δὴ καὶ προπόματα καλοῦσι, τοῦ μέλιτος ἀπαφρισθέντος ℥. α. λαμβάνει πρὸς τέσσαρας τοῦ οἴνου καὶ συντίθεται μὴ ἑψόμενα. τὰ δὲ ἐξ ὕδατός τε καὶ χυλοῦ, εἰ μὲν ἑψοῖτο, ἕνα τοῦ μέλιτος πρὸς γ. λαμβάνει, τοῦ ὑγροῦ δαπανωμένου ἐν τῇ ἑψήσει, περίπου β. μοίρας. εἰ δὲ μὴ ἑψοῖτο, ἕνα τοῦ μέλιτος πρὸς β. τοῦ ὑγροῦ. τὰ δὲ μὴ ἑψόμενα δεῖ 4
πάντως ἡλιοῦν ἐφ' ἱκανόν, καὶ μάλιστα τὸ ὀμφακόμελι. ἕψειν δὲ προσήκει τὰ ἐξ ὕδατος, ὅτι διὰ τὴν ἀσθένειαν ῥᾳδίως τρέπεται. πάντα δὲ καταγγίζειν ὀστρακίνοις ἀγγείοις μικροῖς κεκονιαμένοις, ἀσφαλῶς τε πωμάσαντες ἀποτίθεσθαι ἐν ἀνωγέοις τόποις ἄχρι πέψεως. λεπτύνουσι δὲ καὶ καλῶς χρῆσθαι κεραννυμένοις ὕδατι. τὸ δὲ ὀμφακόμελι μετὰ τὸ ἀναζέσαι καθάπερ τὸ γλεῦκος καὶ καταστῆναι, τότε πωμάζειν. τοῖς μὲν οὖν ἐξ οἴνου συντιθεμένοις ἐπὶ τῶν ἀπυρέτων μάλιστα χρώμεθα, ἤτοι μόνης ἡδονῆς χάριν, πλὴν τὸ διὰ σκαμμωνίας ἢ κόκκου κνιδίου, ἢ τῶν τοιούτων καθαρτικῶν, καὶ παθῶν ἕνεκα τῶν τοιούτων ἐφ' ὧν καὶ τοῖς ἐκβαλλομένοις φαρμάκοις διὰ στόματος ἄν τις χρήσαιτο. τοῖς δὲ ἐξ ὕδατος ἢ χυλοῦ κυδωνίων ἐπὶ τῶν πυρεσσόντων, ὅτε μὲν ὡς ἡδύσμασι, μὴ συγχωροῦντος αὐτοῖς οἴνῳ χρῆσθαι τοῦ νοσήματος. ὅτε δὲ καὶ καταλλήλως τοῖς πάθεσιν, ὥσπερ ἀπομέλιτι μὲν ὑπὲρ τοῦ πτύελον ἀνάγειν, ἢ οὖρα κινῆσαι, ἢ κοιλίαν λαπάξαι, ἢ χυμὸν λεπτῦναι. ὑδρομήλῳ δὲ 5
καὶ ὑδροροσάτῳ, ἐπί τε διψωδῶν καὶ καυσουμένων καὶ ἐκλύτων καὶ κακοστομάχων. ὀμφακομέλιτι δὲ καὶ μυρτίτῃ καὶ ῥοδοστάκτῳ καὶ ῥοίτῃ, ἐπί τε κοιλιακοῖς καὶ δυσεντερικοῖς, ἐμούντων τε καὶ τῶν ἄλλων ῥοωδῶν. τούτοις δὲ καὶ διακλύσμασι πολλάκις ἐπὶ στοματικῶν χρώμεθα παθῶν.

Ὑδρό-

Ὑδρόμηλον διὰ χυλοῦ μήλων.

Κυδωνίων μήλων καθαρῶν κοπέντων τοῦ χυλοῦ ξ. β. μέλιτος ξ. γ. ὕδατος ξ. ϛ. ἕψε διαφείζων ἕως ἀποτριτωθῇ. Ἄλλο. Μήλων κυδωνίων τεμμαχισθέντων καθαρῶν λι. ε. εἰς ὕδατος πηγαίου ξ. ι. ἕψε ἕως τακερὰ γένηται. καὶ ἄρας ἔξω μετὰ τὸ ψυγῆναι σίρωσον. καὶ ἐκπιάσας τὰ μῆλα ῥίψον. τὸ δὲ ὕδωρ μετρήσας, μίξον αὐτῷ μέλιτος τὴν ἡμίσειαν ποσότητα. καὶ αὖθις ἕψε διαφείζων ἕως οὗ τὸ ὄγδοον δαπανηθῇ. τινὲς δὲ καὶ ἀπὸ τῶν γλυκέων μήλων ὡσαύτως συντιθέασιν ὑδρόμηλον.

Ὑδροροσάτου σύνθεσις.

Ῥόδων διωνυχισμένων λι. δ. ὕδατος ξ. ε. μέλιτος ξ. β.

Ῥοδομήλου σκευή.

Χυλοῦ μήλων κυδωνίων ξ. α. ῥόδων λι. γ. μέλιτος ξ. γ. ὕδατος ξ. ε. ἀλλ' ἐπεὶ κατὰ τὸν αὐτὸν χρόνον τοῖς ῥόδοις οὐχ εὑρίσκεται τὰ μῆλα, δεῖ κατὰ τὸν οἰκεῖον καιρὸν συντεθῆναι αὐτὰ μετὰ τοῦ μέλιτος, καὶ ὅτε τὰ μῆλα φανῶσι, ποιεῖσθαι τὴν ὅλην σύνθεσιν.

Ὀμφακομέλιτος σκευή.

Ὄμφακος χυλοῦ ξ. γ. μέλιτος ξ. α. μίξας ἡλίου ἐπὶ ἡμέρας μ. ἢ ἕψε.

Μυρτίτου σκευή.

Μύρτων χυλοῦ ξ. γ. μέλιτος ξ. α. ἕψε ἕως τὸ τρίτον δαπανηθῇ.

Ἀπόμελι ἐκ τῶν φαλαγγίου.

Κηρίων πεπληρωμένων μέλιτος λευκῶν λι. α. ὕδατος πηγαίου λι. γ. S. διαθρύψας τὸν κηρὸν καὶ ἑνώσας ἕψε τὸ ὕδωρ σὺν τῷ μέλιτι ἕως ὅ, τε ἀφρὸς αὐτοῦ καὶ τὸ οἷον κιῤῥῶδες ἀνα πλέον κατὰ μέρος ληφθῇ, καὶ τότε ψύξας ἐπιμελῶς κατάγγιζε.

Ῥοδοσακχάρου σύνθεσις.

Ῥόδων ὠνυχισμένων τοῦ χυλοῦ ξ. ϛ. μέλιτος ξ. α. ἕψε ἀπαφείζων ἕως δαπανηθῇ τὸ δ. μέρος.

Ῥοΐτου σκευή.

Ῥοῶν χυλοῦ ξ. γ. μέλιτος ξ. α. ἕψε ἕως ἀποτριτωθῇ.

Περὶ κολλουρίων καὶ ἀνακολλημάτων. ιϛ.

Ποικίλη τῶν ὀφθαλμικῶν φαρμάκων ἐστὶν ἡ ὕλη. καὶ γὰρ ὀποὶ, καὶ χυλοὶ, καὶ σπέρματα, καὶ καρποὶ, καὶ μόρια φυτῶν, καὶ μεταλλικὰ τούτοις ἐμβάλλεται. τούτων, τὰ μὲν τῶν δριμέων πραϋντικὰ καὶ οἷον ἐμφρακτικά, καθάπερ πομφόλυξ, σπόδιον, ἄμυλον, μόλιβδον, σάμιος ἀστὴρ, καδμία, πάντα πεπλυμένα. καὶ ὡσαύτως τὸ λευκόν. οἷς χρηστέον πεπληρωμένης τῆς κεφαλῆς. εἰ γὰρ εἴη πεπληρωμένη, κίνδυνος ὑπὸ τῆς διατάσεως ῥαγῆναι τοὺς χιτῶνας τῶν ὀφθαλμῶν. τὰ δὲ τούτοις ἐναντία, τῆς δριμείας ὄντα φύσεως, ἐκφρακτικά τε καὶ κενωτικὰ τῶν ἐμπεφραγμένων χρονίως ὑπάρχει. ὥσπερ οἱ ὀποὶ κυρηναϊκός τε καὶ μηδικὸς, καὶ σαγαπηνὸν καὶ εὐφόρβιον, καὶ τὰ παραπλήσια. τὰ δὲ ῥυπτικὰ τῶν ῥυπαρῶν ἑλκῶν, οἷον λεπὶς χαλκοῦ, χαλκός τε καὶ χαλκῖτις, καὶ μίσυ, καὶ σῶρι, καὶ ἄνθος χαλκοῦ, καὶ στίμμι, κεκαυμένα. τὰ δὲ τούτοις παρακείμενα, σμηκτικὰ καλούμενα, οἷον ἀρσενικὸν, σανδαράχη, λίθου ἀσίου ἄνθος. τὰ δὲ στυπτικά. καὶ τούτων τὰ μὲν μετρίως στύφοντα πολυχρήστως ταῖς ὀφθαλμίαις τε καὶ ἕλκεσι καὶ ῥεύμασιν ἁρμόττοντα, οἷον ῥόδων φύλλα καὶ ἄνθη καὶ καρπὸς, καὶ ναρδοστάχυος, φύλλον τε καὶ κρόκος καὶ γλαύκιον, καὶ ὑποκυστίς. τὰ δὲ τὴν στύψιν ἰσχυροτέραν ἔχοντα ταῖς ὀξυδορκικαῖς μάλιστα μιγνύμενα δυνάμεσιν, οἷον ὀμφάκιον, ἀκακία, βαλαύστια, κυτῖνοι, κηκῖδες. τὰ δὲ πεπτικά τε καὶ διαφορητικά, οἷον σμύρνα, κρόκος, κασσία, λιβανωτὸς, χυλοὶ τήλεως. τῶν δὲ συνθέτων ὀφθαλμικῶν. τὰ μὲν ἐστι πλαστά, καὶ ἁπλῶς λέγεται, τὰ δὲ ξηροκολλούρια, τὰ δὲ ὑγροκολλούρια. τὰ μὲν οὖν πλαττόμενα, πάσης τῆς εἰρημένης ὕλης ἐστι δεκτικά, καὶ πάσαις ἁρμόττοντα ταῖς διαθέσεσι. σκευαστέον οὖν ἔαρος μάλιστα, θέρους μὲν γὰρ ἡ δύναμις αὐτῶν διαπνεῖται, χειμῶνος δὲ φρισσόντων τῶν εἰδῶν οὐκ ἀνακίρναται. τρίβειν δὲ παραχέαντας τὸ ὑγρὸν οὐκ ἀθρόον, ἵνα μὴ τὰ μὲν μεταλλικὰ ὑφιζήσῃ, τὰ δὲ ἀρώματα ἐπιπολάσῃ. ἀλλὰ κατὰ βραχὺ, ὥστε γλοιῶδες τρίβεσθαι. τὸ δὲ ὕδωρ, ὄμβριον ἔστω διά τε τὸ λεπτομερὲς καὶ τὸ μετρίως στῦφον αὐτοῦ. εἰ μὴ, οἴνῳ ἢ χυλῷ τινὶ λειοῦν τε καὶ τρίβειν αὐτὰ, τὰ μὲν μεταλλικὰ πολλῷ χρόνῳ, τὰ δὲ διὰ χυλῶν ὀλίγῳ. τελευταῖον δὲ μετὰ τὴν αὐτάρκη λέανσιν ἐπιβάλλειν τὸ κόμμι, καὶ πλάσαντα ἀποτίθεσθαι ἐν ἀγγείοις μάλιστα χαλκοῖς, ἢ ὑαλίνοις. χρῆσθαι δὲ τοῖς μὲν διὰ χυλῶν εὐθέως. τὰ δὲ μεταλλικὰ μένοντα βελτίω γίνεται. τῶν δὲ ξηροκολλουρίων, τὰ μέν εἰσιν ἐκτήκοντα καὶ σμήχοντα τύλους, συκώσεις, πτερύγια καὶ ψωρώδη, διά τε χαλκίτεως καὶ ἰοῦ καὶ μίσυος συντεθέμενα. τὰ δὲ ἀποδακρυτικὰ, ἐμφράξεσί τε καὶ ἀμβλυωπίαις ἁρμόττοντα, διά τε τούτων καὶ

πεπέρεως καὶ στάχυος νάρδου. τὰ δὲ προφυλακτικὰ, περὶ προανείργειν τὰς ὑπορροίας, οἷα τὰ διὰ λίθου φρυγίου καὶ σαρκοκόλλης καὶ γλαυκείου καὶ ἀλόης, καδμίας τε καὶ στίμμεως καὶ κρόκου. ταῦτα χνοωδέστατα προστιθέσθω τοῖς ὀφθαλμοῖς. τὰ δὲ ὑγροκολλύρια, σκευάζεται μὲν διὰ μέλιτος ἀττικοῦ καὶ ὀποβαλσάμου καὶ ἐλαίου τοῦ λεπτομεροῦς διὰ παλαιότητα, καὶ μαράθρου χυλοῦ καὶ χολῶν ἀπὸ διαφόρων ζώων, καὶ ὀποῦ κυρηναϊκοῦ, καὶ ἑτέρων πλειόνων. χρησιμεύει δὲ πρὸς ἀμβλυωπίας τε καὶ ἀρχομένας ὑποχύσεις λεπτύνοντα καὶ θερμαίνοντα καὶ καθαίροντα. χρῆσθαι δὲ καὶ τούτοις καὶ πᾶσι τοῖς δριμέσι, κεφαλῆς ἀσυμπληρώτου τυγχανούσης, ἐν αἰθρίᾳ τε καὶ καθαρῷ καὶ βορείῳ μὴ ἄγαν ψυχρῷ μήτε μὴν θερμῷ λίαν περιέχοντι. τὰ δὲ ἀνακολλήματα προσαγορευόμενα, σκευάζεται μὲν ἐκ τῶν ἐμπλασσόντων τε καὶ κολλώντων, καὶ σφιγγόντων ἢ ψυχόντων ἢ στυφόντων ἢ ξηραινόντων, οἷον γύψεως, μάννης, γῆς σαμίας, σμύρνης, κοχλιῶν, ἀκακίας, ὀπίου, σὺν ὠοῦ τῷ λευκῷ. κολλᾶται δὲ τῷ μετώπῳ, ἐφ' ὧν οὐχ ὑποκύφειον τὸ ὑγρὸν ἀλλ' ἔξωθεν ἐστίν.

Μονήμερον πρὸς ἀρχομένας καὶ παλαιὰς ὀφθαλμίας.

Ἀκακίας < .λ̄ ς. κόμμεως < .λ̄ β. καδμίας < .κ̄ δ. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου < .η̄. ὀπίου < .ᾱ. οἴνῳ αὐστηρῷ λείου. διαφορεῖ καὶ ξηραίνει.

Χιακὸν κολλύριον.

Μίλτου σινωπικῆς, κηκῖδος ὀμφακίτιδος, κρόκου, ῥόδων νεαρῶν ἀπωνυχισμένων τοῦ ἄνθους ὃ θύλακα καλοῦμεν, κόμμεως ἀνὰ γο. δ̄. ὀπίου γο. ᾱ. οἴνῳ ἀμιναίῳ ἢ φαλερνῷ, ἢ χίῳ αὐστηρῷ λείου. ἔστω δὲ ἀθάλασσος ὁ οἶνος.

Τὸ κυκνάριον.

Καδμίας κεκαυμένης καὶ πεπλυ. γο. ς̄. ψιμυθίου πεπλυ. γο. δ̄. πομφόλυγος γο. δ̄. ἀμύλου γο. β̄. τραγακάνθης, ὀπίου πεφωγμένου, κόμμεως ἀνὰ γο. β̄. ὕδατι ὀμβρίῳ λείου.

Ὁ κιρρὸς κύκνος.

Καδμίας κεκαυμένης καὶ πεπλυ. γο. β̄. γῆς ἀστέρος γο. β̄. ψιμυθίου γο. δ̄. πομφόλυγος γο. η̄. ἀμύλου γο. β̄. ὀπίου γο. β̄. ἀκακίας, τραγακάνθης ἀνὰ γο. ᾱ. κόμμεως γο. δ̄. ὕδατι ὀμβρίῳ.

Ὁ λευκὸς κύκνος.

Καδμίας γο. ι̅ ε. ψιμυθίου γο. ι̅ ζ. ὀπίου < .η̄. λιβάνου < .ζ̄. ἀμύλου γο. ζ̄. κόμμεως < .ι̅ γ. ὕδατι ὀμβρίῳ.

Πηλάριον πρὸς ἕλκη.

Καδμίας, ψιμυθίου ἀνὰ < .κ̄ δ. ἀκακίας, ὀπίου ἀνὰ < .ι̅ η. κόμμεως, τραγακάνθης, ἀμύλου ἀνὰ < .θ̄. σμύρνης < .γ̄. χαλκοῦ, κρόκου ἀνὰ < .ᾱ. S. ὕδατι ἐκλείου.

Φαιὸν πρὸς ὑποπύους καὶ μεγάλας διαθέσεις.

Καδμίας ἁπαλῆς < .κ̄ δ. ψιμυθίου < .ι̅ ς. ἰοῦ ξυστοῦ < .ι̅ β. στίμμεως < .η̄. στυπτηρίας σχιστῆς < .γ̄. χαλκίτεως κεκαυμένης < .γ̄. νάρδου ἰνδικῆς < .δ̄. ὀμφακίου < .β̄. χαλκοῦ < .ᾱ. λεπίδος χαλκῆς < .η̄. ὀρίνης καρποῦ < .ι̅ γ. ὀποῦ μήκωνος < .κ̄ δ. κρόκου < .δ̄. κασσίας < .γ̄. σμύρνης < .ς̄. λυκίου ἰνδικοῦ, ἀκακίας, κόμμεως ἀνὰ < .δ̄. ῥόδων νεαρῶν < .β̄. S. οἴνῳ φαλερνῷ. ἢ σουρρεντίνῳ ἢ ἀμιναίῳ ἢ χίῳ αὐστηρῷ λείου. ἐγχεῖται γ̄ τῆς ἡμέρας, ὑδαρὲς ἐγχυματιζόμενον διὰ χυλοῦ τήλεως. εἶτα ὠοῦ ἢ γάλακτος. ἐπὶ τέλει ὕδατος παχύτερον.

Σβεννυμένον (?) — Στεβη ειανόν.

Καδμίας γο. ς̄. ψιμυθίου γο. ι̅ β. τραγακάνθης γο. γ̄. λείου χυλῷ τήλεως. τὴν δὲ καδμίαν δεῖ καύσας γάλακτι σβεννύναι καὶ τότε πλύνειν.

Διὰ ζεμάτων.

Καδμίας γο. ι̅ ς. ψιμυθίου γο. η̄. ἀμύλου, ὀπίου, τραγακάνθης, ἀκακίας ἀνὰ γο. β̄. κόμμεως γο. ς̄. λείου ἀπὸ ζέματι ῥόδων ξηρῶν, μελιλώτων, μήκωνος, κωδειῶν, γλυκυρρίζης, ἐξ ἴσου.

Δι' ὕδρας ἀκηράσιον (?) — Δι' ὕδρας ἀκηρασινόν.

Πώρου τοῦ ἐν τοῖς θερμοφορείοις ἀγγείοις εὑρισκομένου λι. γ̄. καδμίας κεκαυμένης καὶ πεπλυ. λι. ᾱ. ψιμυθίου πεπλυ. πομφόλυγος πεπλυμένου, γῆς ἀστέρος πεπλυ. ἀνὰ γο ς̄. λιβάνου γο ᾱ. σμύρνης γο ᾱ. χυλοῦ λινοσπέρμου, ψυλλίου, πτισάνης, τήλεως ἀνὰ λι. ᾱ. τραγακάνθης γο. ς̄. κόμμεως λι. ᾱ.

Τὸ νιλάμβωνος.

Καδμίας γο. η̄. πομφόλυγος γο. δ̄. ψιμυθίου λι. ᾱ. τραγακάνθης, κόμμεως, ὀπίου ἀνὰ γο. δ̄. ὕδωρ ὄμβριον.

Σποδιακὸν πρὸς φλεγμονὰς καὶ ῥεύματα καὶ χυμώσεις.

Λιβάνου, στίμμεως ἀνὰ < .ρ̄. καδμίας, ψιμυθίου ἀνὰ < .κ̄ δ. γῆς σαμίας, ὀποῦ μήκωνος ἀνὰ

< .γ

< .γʹ. κόμμεως < .ιεʹ. λεαίνε θαλίας χυλῷ. ποίει δὲ τὸν χυλὸν οὕτως. τὰ ἁπαλώτερα φύλλα τῆς ἐλαίας πλυθέντα κόψας ἐν ὅλμῳ, σύμμετρον ὕδατος παραχέων, διὰ ὀθονίου ἀπόθλιψον.

Διὰ θαλίας ἁπαλόν.

Λιβάνου < .δʹ. στίμμεως < .ιεʹ. καδμίας < .κηʹ. ψιμυθίου < .μθʹ. γῆς σαμίας < .ιηʹ. ὀπίου < .ςʹ. κόμμεως < .αʹ. μολίβδου κεκ. καὶ πεπλυ. < .ηʹ. ἀναλάμβανε χυλῷ θαλίας.

Διὰ θαλίας πυῤῥόν.

Χαλκοῦ κεκ. < .ιβʹ. σπόδιον ℥ .κδʹ. φύλλων ἐλαίας ℥ .βʹ. ὀπίου ℥ .βʹ. κόμμεως ℥ .ιʹ. οἴνῳ σαβίτῃ ἢ ἀμινναίῳ.

Διὰ σμύρνου, τὸ κλαυδιακόν.

Γλαυκίου, σαρκοκόλλης ἀνὰ < .μηʹ. κρόκου < .κδʹ. ὀπίου, σμύρνης, αἱματίτου ἀνὰ < .ςʹ. τραγακάνθης < .μηʹ. κόμμεως < .ιςʹ. οἴνῳ ἰταλικῷ. ἡ χρῆσις δι᾽ ὠοῦ.

Ἄλλο διὰ σμύρνου. πρὸς ῥυάδας καὶ αἰγύλωπας.

Καδμίας πεπλυ. λίθου αἱματίτου πεπλυ. ἀνὰ < .κηʹ. σμύρνης, σποδίου, κυπρίας, ἀνὰ < .κδʹ. ὀπίου < .ηʹ. κρόκου < .δʹ. οἱ δὲ < .ηʹ. πεπέρεως λευκοῦ κόκκοι λʹ. κόμμεως < .ιςʹ. οἴνῳ ἰταλικῷ. ἡ χρῆσις δι᾽ ὠοῦ. μετὰ τῶν προσφάτων ὑδαρές.

Στακτικὸν προσεχές.

Καδμίας, κόμμεως ἀνὰ < .ηʹ. στίμμεως, χαλκάνθου ἀνὰ < .ηʹ. ὀπίου < .ιδʹ. ἰοῦ ξυστοῦ < .ιʹ. πεπέρεως λευκοῦ < .ςʹ. κρόκου < .ηʹ. μίσυος ὠμοῦ < .ηʹ. ὀποβαλσάμου < .δʹ. ὕδωρ.

Ὑγίδιον ἀμμωνίου.

Καδμίας, χαλκοῦ ἀνὰ < .ιςʹ. ψιμυθίου, κασσίας, ἀλόης, κρόκου ἀνὰ < .δʹ. λεπίδος < .εʹ. ῥόδων ἄνθους, μολίβδου κεκ. ἀνὰ < .ηʹ. λυκίου < .γʹ. λίθου σχιστῆς < .δʹ. ὀπίου < .ιʹ. ἀκακίας < .μʹ. κόμμεως < .μηʹ. ὕδωρ.

Ὄλυμπος ἢ ὀλυμπιακόν.

Ἀκακίας, ναρδοστάχυος, λιβάνου ἀνὰ < .ηʹ. χαλκοῦ κεκ. καὶ πεπλυ. στίμμεως κεκ. καὶ πεπλυ. ψιμυθίου κεκ. καὶ πεπλυ. καδμίας ἀνὰ < .ιβʹ. σμύρνης, ὀπίου πεφωγμένου ἀνὰ < .δʹ. κρόκου < .εʹ. ἰοῦ ξυστοῦ < .γʹ. λίθου σχιστοῦ, λεπίδος ἐρυθρᾶς, λυκίου ἰνδικοῦ, ὀμφακίου ἀνὰ < .αʹ. κασσίας, ῥόδων ἄνθους ἀνὰ < .βʹ. φοινικοβαλάνων < .δʹ. ὁμοίως τὰ ὀστᾶ τῶν φοινίκων κεκ. ἀριθμῷ εʹ. κόμμεως ℥ .εʹ. ὕδωρ ὄμβριον. ἔστωσαν δὲ εἰς τὸ ὕδωρ ἐμβρεχόμενα τρία νυχθήμερα, καλάμου ἀρωματικοῦ, ὑοσκυάμου σπέρματος, ῥόδων ξηρῶν ἀνὰ < .δʹ. φύλλου < .αʹ.

Ναρδινον.

Καδμίας, κρόκου, κόμμεως ἀνὰ < .λςʹ. χαλκοῦ κεκ. < .ιηʹ. στίμμεως, ἀκακίας, ἀνὰ < .κʹ. νάρδου συριακῆς < .ιβʹ. ὀπίου, σμύρνης ἀνὰ < .ιςʹ. ὕδατι.

Θεοδότιον τὸ μικρόν.

Στίμμεως, ἀκακίας ἀνὰ < .ηʹ. χαλκοῦ κεκ. < .ηʹ. ψιμυθίου < .δʹ. σμύρνης < .δʹ. ἰοῦ < .βʹ. ἀλόης, μηκωνίου, λυκίου ἀνὰ < .αʹ. ὄμβριον ὕδωρ.

Τὸ ῥινάριον.

Λίθου αἱματίτου, λίθου σχιστοῦ ἀνὰ < .ιςʹ. χαλκοῦ κεκ. καδμίας, ἰοῦ ἀνὰ < .ηʹ. ὀπίου < .εʹ. χαλκίτεως < .βʹ. κόμμεως < .ηʹ. οἴνῳ.

Ὁ ξυστήρ.

Κισσήρεως κεκ. μίσυος κεκ. ὀστρέων κεκ. ἀνὰ ℥ ςʹ. καδμίας, ὀπίου, χαλκίτεως κεκ. κρόκου, ἀλόης ἡπατίτιδος, κασσίας, φύλλου ἀνὰ < .βʹ. στίμμεως, ἀκακίας ἀνὰ ℥ .αʹ. χαλκοῦ κεκ. ℥ .δʹ. σμύρνης τρωγλοδύτιδος < .δʹ. ναρδοστάχυος < .αʹ. ψιμυθίου < .ηʹ. κόμμεως < .δʹ. ὕδωρ ὄμβριον. τινὲς καὶ οἶνον μιγνύουσιν.

Ἡ ἑκατόμβη, πρὸς οὐλὰς παχείας.

Καδμίας κεκ. καὶ πεπλυ. χαλκοῦ κεκ. καὶ πεπλυ. ἀνὰ < .ηʹ. στίμμεως κεκ. ἀκακίας κιῤῥᾶς, κόμμεως ἀνὰ < .ιεʹ. ἀλόης, κικίδος, ἰοῦ, σκώληκος, κασσίας, λυκίου, ναρδοστάχυος, κρόκου, ὀπίου, σμύρνης, ψιμυθίου, ἐβένου ῥινήματος, χαλκίτεως ἀνὰ < .αʹ. ῥόδων < .ξʹ. ὕδωρ ὄμβριον.

Ὁ διὰ κέρατος ἐκ τῶν Γαληνοῦ.

Μολίβδου κεκ. κέρατος ἐλαφείου κεκ. ἀνὰ ℥ .βʹ. ψιμυθίου, λεπίδος χαλκοῦ, ἀμύλου, λιβάνου, σηπίας, ὀστράκου κεκ. ἰοῦ, σμύρνης, κόμμεως ἀνὰ ℥ .αʹ. ὕδωρ ὄμβριον.

Διὰ λιβάνου.

Λιβάνου ℥ .ςʹ. καδμίας, πομφόλυγος, γῆς ἀστέρος, ἀμύλου, κόμμεως ἀνὰ ℥ .γʹ. ψιμυθίου ℥ .ςʹ. λεπίδος χαλκοῦ ℥ .δʹ. τραγακάνθης ℥ .γʹ. ὀπίου ℥ .ςʹ. ὕδωρ ὄμβριον.

Λιβάνιον.

Καδμίας πεπλυ. ἀμύλου ἀνὰ < . ιβ. ψιμυθίου < . ιβ. σποδίου, πομφόλυγος, γῆς ἀστέρος, μολύβδου κεκ. καὶ πεπλυ. τραγακάνθης ἀνὰ < . η. ὀπίου < . ιβ. κόμμεως < . δ. ὕδωρ ὄμβριον. καὶ ὠῶν ἐκ τοῦ ἐπὶ τὰ λευκά. τινὲς καὶ σμύρνης < . δ.

Ἀστὴρ μάγνου.

Πομφόλυγος, καδμίας, ψιμυθίου ἀνὰ < . ις. μολύβδου < . η. ἀμύλου < . ιη. λιβάνου < . ι. γῆς ἀστέρος < . ιβ. σμύρνης < . β. τραγακάνθης, κόμμεως ἀνὰ < . η. ὕδωρ.

Οὐράνιον.

Γῆς ἀστέρος, πεπλυ. γο. γ. σποδίου πεπλυ. γο. α. κόμμεως γο. δ. στίμμεως κεκ. καὶ πεπλυ. γο. β. λεπίδος πεπλυ. γο. α. ὀπίου < . ς. καδμίας κεκ. καὶ πεπλυ. < . β. ὕδωρ ὄμβριον. ξηροῖ καὶ ἀκρεῖ.

Διὰ χυλοῦ τήλεως.

Καδμίας, τραγακάνθης ἀνὰ γο. η. ψιμυθίου γο. λ. ἀμύλου γο. λ. ὀπίου γο. α. λεῖου χυλῷ τήλεως.

Τὸ κλέον.

Πομφόλυγος, μολύβδου ἀνὰ γο. ε. κρόκου γο. α. S. λεπίδος στομώματος γο. α. κόμμεως γο. β. ὕδωρ ὄμβριον. ὑδαρὲς ἐγχρίε.

Διάρροδον τὸ διὰ τῶν οβ.

Ῥόδων χλωρῶν γο. οβ. καδμίας κεκ. καὶ πεπλυ. < . η δ. ἰοῦ ξυστοῦ < . β. ναρδοστάχυος < . α. λεπίδος χαλκοῦ πεπλυ. < . β. στίμμεως κεκ. καὶ πεπλυ. ὀπίου, σμύρνης ἀνὰ < . γ. κρόκου < . η. ἀμύλου < . β. κόμμεως < . η δ. ὕδωρ ὄμβριον.

Λευκὸν διάρροδον.

Καδμίας κεκ. καὶ πεπλυ. ψιμυθίου πεπλυ. ἀνὰ λι. α. ἀμύλου, ὀπίου, τραγακάνθης ἀνὰ γο. γ. ἀλόης γο. α. S. κόμμεως γο. γ. κρόκου γο. α. S. ῥόδων ὠνυχισμένων γο. ς. ὕδωρ.

Δι' ἀλόης.

Καδμίας, ψιμυθίου, ἀλόης ἀνὰ γο. ι. ῥόδων χλωρῶν γο. ς. ἀμύλου γο. γ. ὀπίου γο. α. τραγακάνθης γο. β. κόμμεως γο. γ. ὕδωρ ὄμβριον.

Κρόκινον διάρροδον.

Ναρδοστάχυος, ῥόδων ξηρῶν, ἀλόης, ἀνὰ < . β. ὑοσκυάμου λευκοῦ < . α. S. κρόκου < . δ. S. γλαυκίου γο. ς. σαρκοκόλλης γο. ς. ὀπίου < . β. τραγακάνθης γο. α. ὕδωρ ὄμβριον.

Νείλου διάρροδον.

Ῥόδων ἁπαλῶν < . δ. κρόκου < . β. μήκωνος, ὀβολὸς α. κόμμεως < . δ. ὕδωρ ὄμβριον.

Ὁ λυγκεὺς ὀξυδορκικός.

Καδμίας, χαλκοῦ κεκ. ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < . ιβ. σμύρνης, λίθου αἱματίτου, ὀπίου θηβαϊκοῦ ἀνὰ < . ς. ἀλόης ἡπατίτιδος, χολῆς ταυρείας, χαλβάνης, σαγαπηνοῦ ἀνὰ < . δ. ἰοῦ ξυστοῦ, ὀποπάνακος, ἁλὸς ἀμμωνιακοῦ ἀνὰ < . α. κόμμεως < . ς. ὕδωρ ὄμβριον.

Πρωτεὺς πρὸς ταῦτα καὶ οὐλὰς λεπτύνει.

Καδμίας, ψιμυθίου, χαλκίτεως ὠμῆς ἀνὰ < . μ. πεπέρεως < . α. S. ὀποῦ κυρηναϊκοῦ < . η. κρόκου < . ιβ. ὀπίου θηβαϊκοῦ < . ι. σαγαπηνοῦ < . ιβ. ἐλαίας αἰθιοπικῆς < . ιβ. ἀρσενικοῦ, στυπτηρίας σχιστῆς ἀνὰ < . η. σμύρνης < . ιβ. ἀμμωνιακοῦ θυμιάματος < . κ. ὀποπάνακος < . ις. ὀποβαλσάμου < . ι. κόμμεως < . η. ὕδατι ὀμβρίῳ.

Τὸ διὰ χυλοῦ μαράθρου.

Καδμίας < . ιζ. μέλανος ἰνδικοῦ < . ις. πεπέρεως μακροῦ < . ιγ. καὶ λευκοῦ < . ιβ. ὀποῦ κυρηναϊκοῦ < . η. ὀποβαλσάμου < . ς. ναρδοστάχυος < . ς. σαγαπηνοῦ, ὀποπάνακος ἀνὰ < . ε. ὀπίου < . δ. εὐφορβίου < . α. κόμμεως < . α. λεῖου χυλῷ μαράθρου.

Τὸ δι' ὀποβαλσάμου.

Καδμίας, ψιμυθίου ἀνὰ < . η. ὀμφακίου < . δ. πεπέρεως λευκοῦ γο. ις. ὀπίου < . δ. ὀποβαλσάμου, κόμμεως ἀνὰ < . ις. ὕδωρ ὄμβριον.

Ὁ θαλασσερός.

Καδμίας γο. η. ἰοῦ γο. β. μέλανος ἰνδικοῦ γο. η. πεπέρεως λευκοῦ γο. δ. ὀποῦ μηδικοῦ γο. α. ὀποβαλσάμου γο. β. κόμμεως γο. ς. ὕδωρ.

Τὸ ἁρμάτιον.

Ἀμμωνιακοῦ θυμιάματος, χαλκοῦ κεκ. φλοιοῦ λιβάνου ἀνὰ < . δ. ἰοῦ < . α. κόμμεως < . δ. ὕδωρ ὄμβριον.

Μαλαβάθρινον. ὃ καὶ ἰσόθεον.

Καδμίας < . ις. χαλκοῦ κεκ. καὶ πεπλυ. < . ι δ. ὀπίου, λυκίου ἰνδικοῦ, μαλαβάθρου, νάρδου ἰνδικῆς,

κῆς,

κῆς, κρόκου, ἀλόης ἀνὰ < .β̄. ψιμμυθίου < .η̄. κασσιτέρου < .β̄. σμύρνης < .δ̄. ἀκακίας, στίμμεως ἀνὰ < .μ̄. ὕδατι. ἡ χρῆσις δι᾽ ὠοῦ.

Παχύτερον δι᾽ οἴνου.

Καδμίας, λίθου αἱματίτου καὶ σχιστοῦ ἀνὰ < .μ̄. χαλκοῦ κεκαυμένου < .λ̄. χαλκίτεως < .λβ. μήκωνος σπέρματος < .ιγ. ὕδατι ἀποζέσας τὸ μηκώνιον, καὶ τὸν χυλὸν ἐκθλίψας, ἐπίβαλλε, καὶ λέαινε οἴνῳ σπαθίτῃ ἢ ἀμιναίῳ.

Ἄλλο δι᾽ οἴνου.

Χαλκοῦ κεκαυμένου, καδμίας πλακίτιδος ἀνὰ γο.θ̄. λίθου αἱματίτου πεπλυμένου γο.ς̄. κρόκου, σμύρνης, ἀλόης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο.γ̄. λυκίου ἰνδικοῦ, ναρδοστάχυος ἀνὰ γο.α̅. πεπέρεως λευκοῦ κόκκοι ρ̄ν. ἀκακίας κιῤῥᾶς γο.θ̄. κόμμεως γο.γ̄. οἴνῳ φαλερίνῳ ἢ ἀμιναίῳ λέαινε.

Τὸ διὰ δύο λίθων τραχωματικόν.

Λίθου αἱματίτου, καὶ σχιστοῦ, κασσίας ἀνὰ < .ιη. χαλκοῦ, καδμίας, ὀπίου, ἰοῦ ξυστοῦ ἀνὰ < .θ̄. κόμμεως < .θ̄. χαλκίτεως κεκαυμένου < .ς̄. ὕδωρ.

Ξηροκολλύριον. Γαληνοῦ προφυλακτικόν.

Λίθου φρυγίου κατατμηθέντος εἰς λεπτὰ, καὶ καυθέντος ἐν χυτριδίῳ ἄχρις οὗ διάπυρος γένηται, καὶ σβεσθέντος βουτύρῳ μὴ παλαιῷ, εἶτα πάλιν ὁμοίως καυθέντος καὶ σβεσθέντος, οἴνῳ φαλερινῷ κάκτρίτου καυθέντος καὶ σβεσθέντος μέλιτι καὶ ξηρανθέντος, λι.α̅. χαλκοῦ κεκαυμένου, πεπέρεως λευκοῦ, φύλλου ἀνὰ γο.α̅. στίμμεως γο.α̅.S. κἄπειτα ἅπαντα λειωθῇ, καὶ μέλλεις ἀναιρεῖσθαι τὸ φάρμακον, ἐπιμβάλλεις ὀπὸν βαλσάμου μὴ παχέως, κωλύει γὰρ τὸ πρῶτον ξηρὸν γενέσθαι τὸ φάρμακον, ἀλλὰ τοῦ διαφανεστάτου γο.α̅. χρῆσθαι δὲ αὐτῷ ἐπὶ τῶν βλεφάρων μόνων, περιφέροντα τὴν μήλην, μὴ ἁπτόμενον τῶν χιτώνων, ἀλλ᾽ ὥστε μόνων ἰῶσαι τὸ φάρμακον ἀνεστραμμένων τῶν βλεφάρων. ὑπαλείφειν δὲ μὴ πρὸς ἅπαξ, ἀλλὰ πλεονάκις, πρὸ ῥοφῆς τε καὶ μετὰ ῥοφήν. καὶ μᾶλλον ἤδη συναισθήσεως οὔσης ὀφθαλμίας. θαυμαστῶς γὰρ ὅπως προφυλάττει πλέον παντὸς ἑτέρου φαρμάκου.

Ξηρὸν διάκρονον.

Σαρκοκόλλης < .η̄. κρόκου < .δ̄. γλαυκίου < .δ̄. ἔγχριε πολλάκις τῆς ἡμέρας. τινὲς δὲ καὶ ἀλόης. Ἄλλο ξηρίον πρὸς ξηροφθαλμίαν, σύκωσιν, σηπεδόνας, ὑπερσαρκώματα.

Καδμίας < ῑ. χαλκίτεως < .η̄. πεπέρεως κόκκοι ιε. νάρδου κελτικῆς < .α̅. ῥίνει καδμίαν καὶ χαλκῖτιν μετ᾽ οἴνου. καὶ ὅταν ξηρανθῇ, ἐπίβαλλε τὰ λοιπὰ, καὶ χνοώδη ποίει.

Ὑγρὰ ἡ διὰ καυκαλίδος.

Καυκαλίδος χυλοῦ, χαμαίδρυος, κορωνόποδος, ἐνίοτε δὲ καὶ ὀθόνης χυλοῦ, τὸ ἴσον. ἔστι δὲ τὸ μέγα χελιδόνιον ἡ ὀθόνα.

Ἄλλο πρὸς συκώσεις καὶ ἐγκανθίδας καὶ σαρκώματα.

Μίσυος ὀπτῆς < .ς̄. χαλκάνθου < .δ̄. μέλιτος ἀττικοῦ ξε.α̅. Ἡ Ἐρασιστράτου πάγχρηστος ὑγρὰ, θαυμαστὴ, ἐπί τε ὀφθαλμικῶν καὶ παρισθμίων, αἰδοίων τε καὶ ὤτων πυοῤῥοούντων.

Χαλκοῦ < .ς̄. μίσυος ὀπτοῦ, σμύρνης ἀνὰ < .γ̄. κρόκου < .α̅.S. πεπέρεως < .α̅. οἴνου χίου, καὶ γλυκέως κρητικοῦ ἀνὰ κο.α̅.S. λεάνας πάντα ἐν τῷ οἴνῳ ἕως ξηρανθῇ ἐπίχει τὸν γλυκὺν, καὶ ἕψε ἕως μέλιτος σχῇ πάχος.

Ἀνακολλήματα ὀφθαλμῶν ῥευματιζομένων.

Γῆς σαμίας, μάννης, λιβάνου, σμύρνης, ἴσα ἀναλαβὼν ὠοῦ τῷ λευκῷ, ἐπιτίθει ἐμπλάσας εἰς ὀθόνιον ἐπὶ τοῦ μετώπου. Ἄλλο. Ὑοσκυάμου σπέρματος < .α̅. ὀπίου < .α̅. σμύρνης < .β̄. κρόκου < .α̅. γύρεως < .δ̄. ὠῶν ὀπτῶν λεκίθους β̄. ὠοῦ τῷ λευκῷ ἀναλάμβανε.

Περὶ ἐμπλάστρων καὶ ἐμβαλλομένων εἰς τὰς ἑψήσεις αὐτῶν ἐκ τῶν Ἀντύλλου. καὶ Περὶ συμμετρίας κηροῦ πρὸς ἔλαιον. ιζ.

Τῶν δὲ εἰς τὰς ἐμπλάστρους ἐμβαλλομένων φαρμάκων, τὰ μέν ἐστι γεώδη, καθάπερ τὰ μεταλλικὰ, τά, τε τῶν λίθων καὶ τῆς γῆς εἴδη. ῥύπες, καὶ τέφρα, καὶ κογχύλια. τὰ δὲ ἐλαιώδη, τὰ δὲ δάκρυα, τὰ δὲ τηκτὰ, τὰ δὲ ὀποὶ, τὰ δὲ χυλός. σπέρματα δὲ καὶ βοτάνας καὶ ῥίζας ὀλίγαι λαμβάνουσιν. Αὐτῶν δὲ τῶν ἐμπλάστρων. αἱ μὲν εἰσὶ τραυματικαὶ, ἃς ἐναίμους τε καὶ κολλητικὰς καὶ καταγματικὰς καλοῦμεν. ἃ χρὴ διὰ τῶν ξηραινόντων, οὐκ ἄκρων, ἀλλὰ τῶν β̄ συμπληρουμένης καὶ τῶν γ̄. ἀρχομένης, συντιθέναι τάξεως. οἷάπερ εἰσιν, ἰτέα, δρῦς, κυπάρισσος, πίτυός τε καὶ πεύκης φλοιοί. σμύρνα, λιβανωτὸς, ἄσφαλτος, ἀλόη, ἀριστολοχία, τέφρα κληματίνη, ψιμύθιον, λιθάργυρος, καὶ τὰ πλείω τῶν μεταλλικῶν. ἕψονται δὲ, ἄχρις ἀμολύντου συστάσεως. Αἱ δὲ ἀφουλωτικαὶ, συντιθέμεναι μὲν καὶ αὗται διὰ τῶν ξηραινόντων, μᾶλλον

δὲ ἡ κατὰ τὰς κολλητικάς. οἵαπερ εἰσὶ χαλκὸς κεκαυμένος, καὶ λεπὶς, αὐτοῦ τε καὶ τοῦ σιδήρου, ἰὸς, χαλκῖτις, χαλκοῦ ἄνθος κεκαυμένον, συπτηρία, κικὶς, μολύβδαινα, καδμία, κίσσηρις. καὶ τὰ ὀστρεώδη.

Αἱ δὲ διαφορητικαὶ, διὰ τῶν θερμαινόντων τε καὶ ξηραινόντων μετρίως, οἷον ἀριστολοχίας, θαψίας, ἐλαίου παλαιοῦ καὶ ῥαφανίνου, μέλιτος, ὀποβαλσάμου, πίσσης, τερεβινθίνης, χαλβάνης, ἁλῶν κεκαυμένων, ἁλὸς ἄνθους. Αἱ δὲ μαλακτικαὶ, διά τε λιθαργύρου, καὶ στεάτων, καὶ μυελῶν, ἐλαίου παλαιοῦ, προπόλεως, ἀμμωνιακοῦ, στύρακος, χαλβάνης, βδελλίου, μαστίχης, τερεβινθίνης ἢ ῥίζης ἀλθαίας τε καὶ ἀγριοσίκυος. Αἱ δὲ ξηραντικαὶ, διὰ θείου, νίτρου, ἁλῶν, τέφρας, ἀσφάλτου. Αἱ δὲ ἐπισπαστικαὶ, διὰ ἁλῶν καὶ νίτρου, προπόλεως, ἰοῦ, ζύμης, κόπρων, θείου, τερεβινθίνης. Σκευαζόμεναι δὲ συμπεπτικαὶ, διὰ κηροῦ, λαδάνου, σταφίδος ἡμέρου, ἀμώμου, κρόκου, λιβάνου, πίσσης, μαστίχης αἰγυπτίας, στύρακος, σμύρνης, χαλβάνου, βουτύρου, ὑσσώπου, στέατος, ἰοῦ. Αἱ δὲ ἐκπυητικαὶ, διὰ ὑδρελαίου, γύρεως, ἄρτου πυρίνου, χόνδρου, βουτύρου, στέατος χοιρείου τε καὶ μοσχείου, λιβάνου, πίσσης, ῥητίνης. Αἱ δὲ παρηγορικαὶ, διὰ λιθαργύρου, ψιμυθίου, ἐλαίου, ἀνήθου, χαμαιμήλου, ἀμύλου κηροῦ θράκτου. Χρὴ δὲ τὰς μὲν γνάμους νεαρῶν ὄντων τῶν θραυμάτων τε καὶ καταγμάτων ἐπιβάλλειν. καὶ προσβοηθεῖν αὐταῖς, ἄνωθεν τῶν σπληνίων σπόγγους ὀξυκράτῳ διαβρόχους συνεπιδέοντας. λύειν τε διὰ τρίτου, πάλιν τὰ αὐτὰ σπλήνια καὶ μὴ ἕτερα ἐπιβάλλοντας. αἱ δὲ μαλακτικαὶ ἐπισπαστικαὶ καὶ διαφορητικαὶ, ἔτι τε συμπεπτικαὶ καὶ ἐμπυητικαὶ, παραλαμβάνονται μετὰ τὴν τῶν καταπλασμάτων καὶ κηρωτῶν χρῆσιν. αἱ δὲ παρηγορικαὶ, καὶ κατ' ἀρχὰς εὐθὺς ἐπὶ τῶν ἀκρῶν μᾶλλον συντιθοῦσιν. περὶ δὲ τῆς ἑψήσεως αὐτῶν ἑξῆς ἐροῦμεν.

Τὸ βασιλικὸν τετραφάρμακον. 2

Κηροῦ, κολοφωνίας, πίσσης, στέατος ταυρείου τὸ ἴσον.

Ἡ διὰ χυλοῦ λινοσπέρμου διαφοροῦσα καὶ ῥήσσουσα.

Ἐλαίου παλαιοῦ λι. β΄. κηροῦ γο. κ΄. κολοφωνίας, στέατος χοιρείου ἀνὰ λι. α΄ S. λιθαργύρου λι. α΄. ψιμυθίου γο. ς΄. χυλοῦ λινοσπέρμου γο. ς΄. γύρεως γο. α΄. λιβάνου γο. δ΄.

Ἡ διὰ μέλιτος.

Λιθαργύρου, κηροῦ, ἐλαίου ἀνὰ λι. δ΄. τερεβινθίνης λι. β΄. μέλιτος, στέατος χοιρείου ἀνὰ λι. α΄. Ἄλλο. Λιθαργύρου λι. ς΄. ἐλαίου λι. ε΄ S. κολοφωνίας λι. ζ΄ S. κηροῦ λι. γ΄ S, μέλιτος λι. γ΄.

Ἡ διὰ χυλοῦ.

Λιθαργύρου λι. ς΄. ἐλαίου θέρους μὲν λι. ζ΄. χειμῶνος δὲ λι. θ΄. τήλεως ξ. S. λινοσπέρμου ξ. S. ἀλθαίας λι. γ΄. τὴν ἀλθαίαν καὶ τὰ σπέρματα ἕψε ἐν ὕδατος ξ. κ΄. ἕως ὀλίγου περιλειφθῇ. 3
ἐξ αὐτοῦ τε λι. δ΄. μίξας ἐλαίῳ ἕψε ἕως οὗ αἱ πομφόλυγες παύσωνται. εἶτα ἐπιπάσσας λειοτάτην τὴν λιθάργυρον, ἕψε μαλθακῷ πυρὶ ἕως ἀμολύντου.

Ἡ διὰ γύρεως.

Γύρεως, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ λι. α΄. πιτυΐνης, κηροῦ, στέατος χοιρείου ἀνὰ λι. β΄. χυλοῦ λινοσπέρμου τὸ ἀρκοῦν.

Τὸ βοτανικόν.

Λαπάθου, ῥυπελαίου, ἀγχούσης τῆς χοιροσπελέθου, ἔστι δὲ ἡ ὀνοκλεία. ἑπταπλεύρου, ἀρνογλώσσου ἀνὰ γο. γ΄. ἐλαίου λι. ς΄. στέατος χοιρείου λι. ς΄. αἱ βοτάναι εἰς τὸ ἔλαιον ἑψηθεῖσαι ῥίπτονται. τὰ δὲ λοιπὰ σὺν τῷ ἐλαίῳ τήκονται.

Ἡ δι' ἀσφοδέλλων. 4

Ἀσφοδέλλου ῥίζης χυλοῦ λι. α΄. ῥοδίνου, χαμαιμηλίνου, στεάτων χηνείων ἀνὰ γο. β΄. στέατος χοιρείου γο. γ΄. κηροῦ γο. δ΄.

Τὸ διὰ ζύμης ῥησσόντων ἀποστήματα.

Ζύμης, ὀξυγγίου ἀνὰ γο. ς΄. ἁλῶν γο. δ΄. πιτυΐνης γο. γ΄. κηροῦ γο. δ΄. ἀφρονίτρου γο. α΄. ἀμμωνιακοῦ θυμιάματος γο. β΄. μέλιτος γο. ς΄. σάπωνος γο. β΄.

Ἡ δοθιλών.

Ἀμμωνιακοῦ θυμιάματος λι. α΄. νίτρου ἀλεξανδρίνου γο. ς΄. ἀφρονίτρου γο. ς΄. στέατος χοιρείου λι. β΄. κηροῦ λι. β΄. τερεβινθίνης λι. α΄. ἐλαίου παλαιοῦ γο. α΄. ὄξους τὸ ἀρκοῦν.

Ἡ διὰ στρουθίου διαφοροῦσα χοιράδας.

Λιθαργύρου, στρουθίου, ἀριστολοχίας ἀνὰ γο. δ΄. χαλβάνης, λεπίδος χαλκοῦ, ἀλόης ἀνὰ γο. α΄. 5
μάννης γο. β΄. ἀμμωνιακοῦ θυμιάματος γο. ς΄. πιτυΐνης γο. ις. ὄξους σκιλλητικοῦ ξ. δ΄. εἰς τὴν τῶν ξηρῶν λείωσιν.

Τὸ σμίλιον πρὸς ἀποστήματα.

Ἐλαίου παλαιοῦ λι. α΄ S. λιθαργύρου, νίτρου ἐρυθροῦ, ἁλὸς ἀμμωνιακοῦ, κονίας συκίνης πρωτο-

στάκτου,

σῆκτου, ῥητίνης ἀνὰ λι. α. χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. γ. χαλκάνθου γο. δ. κηροῦ γο. ς. ἰοῦ ὀποπάνακος ἀνὰ γο. α. ὄξους. ἕψε τὸ λιθάργυρον καὶ τὸν ἰὸν εἰς τὸ ἔλαιον, ἕως ἀμολύντου. εἶθ' οὕτως τὰ λοιπὰ ἐπίβαλλε.

Τὸ διὰ σκόρδων ῥηκτικόν.

Κηροῦ γο. ς. κολοφωνίας γο. δ. πιτυΐνης γο. γ. στέατος ταυρείου γο. δ. νίτρου πυῤῥοῦ γο. α. S. σκόρδα καθαρὰ κ. ἐλαίου ξ. S. τὰ σκόρδα εἰς τὸ ἔλαιον ἑψήσας ῥῖψον. καὶ τὰ λοιπὰ μῖξον.

Ἡ διὰ ἀπυράνου διαφορητική.

Στέατος χηνείου, καὶ φασιανῶν ἀνὰ γο. γ. ἐλαίου παλαιοῦ γο. κς. ψυλλίου γο. γ. κνίδου σπέρμα, ῥίζης ἀπυράνου χλωρᾶς ἀνὰ λι. α. κηροῦ ποντικοῦ γο. ι. τοῦ διὰ χυλοῦ γο. β. τερεβινθίνης γο. α. τὴν ῥίζαν εἰς λεπτὰ σχίσας βρέχε εἰς τὸ ἔλαιον σὺν τῷ ψυλλίῳ καὶ τὸ κνιδόσπερμον νυχθήμερον. καὶ τότε ἑψήσας, αὐτὰ μὲν ῥῖψον. τὰ δὲ τηκτὰ μίξας μετ' ἐλαίου ἀνάλυε.

Ηυρίνη πρὸς σκληρίας καὶ σκιῤῥώματα.

Ἀλθαίας, φοινίκων ἢ νικολάων ἀνὰ λι. β. τήλεως, λινοσπέρμου ἀνὰ ξ. S. χαμαιμήλου, μελιλώτου, ἐλατηρίου ἀνὰ γο. ς. οἴνου ἀμιναίου ἀνὰ ξ. S. λιθαργύρου λι. α. ψιμυθίου, κολοφωνίας ἀνὰ λι. β. κηροῦ, τερεβινθίνης ἀνὰ λι. α. ἐλαίου παλαιοῦ λι. ε. ὕδατος λι. β. ἄρτου ξηροῦ κοπέντος καὶ σηθέντος λι. ε. ἐν τῷ οἴνῳ ἑψηθεῖσαι αἱ βοτάναι χυλοῦνται, καὶ τῷ χυλῷ ὁ ἄρτος βρέχεται. τῇ δὲ ἐπιθέσει λέγεται, λιθάργυρος, ψιμύθιον, ἐν τῷ ὕδατι. κἄπειτα ἐπιβληθέντος τοῦ ἐλαίου ἕψεται ἕως ἀμολύντου. εἶτα ἐπιβάλλεται τὰ λοιπά. ἐπαρθέντα δὲ τοῦ πυρὸς ἐμβάλλεται ὁ ἄρτος, σπαθίζεται εὐτόνως. ἐπιβάλλεται δὲ καὶ ἰοῦ ξυστοῦ, καὶ ἁλὸς ἄνθους ἀνὰ γο. ς. ἴρεως, ἀριστολοχίας ἀνὰ γο. ς. τερεβινθίνης λι. α.

Ηλάτειον διὰ ἑλκύσματος πρὸς ἀκροχορδόνας ὅμοια.

Κηροῦ, στέατος ταυρείου γο. ε. ἑλκύσματος γο. ς. κολοφωνίας γο. δ. πίσσης, ἐλαίου ἀνὰ γο. β. τὸ ἕλκυσμα ξηρὸν λεῖται οἴνῳ, ἢ χυλῷ τήλεως. μὴ παρόντος δὲ τοῦ ἑλκύσματος, μολυβδαίνῃ χρώμεθα.

Τὸ διὰ ἀλθαίας ἐπί τε ποδαγρικῶν καὶ ἄλλων σκληριῶν.

Χυλοῦ τήλεως καὶ λινοσπέρμου καὶ ἀλθαίας ἀνὰ λι. ς. ἐλαίου λι. β. ἑψήσας ἕως ὅτου ὁ χυλὸς δαπανηθῇ. ἐπίβαλλε κολοφωνίας λι. α. τερεβινθίνης λι. α. κιοσσοῦ δάκρυον γο. γ. ὅτε δὲ λυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίβαλλε κηροῦ λι. α. χαλβάνης γο. δ. ἀμφότερα ὁμοῦ κοπέντα. καὶ λύσας σπάθιζε.

Τὸ κίσσινον πρὸς νευροτρώτους, καὶ νύγματα, καὶ μάλιστα χρόνια.

Λεπίδος ἐρυθρᾶς γο. δ. S. λιβάνου γο. α. μίσυος γο. α. S. χαλκίτεως ≤. δ. ὄξους ς. λέου θερινῷ ἡλίῳ ἕως ἀναλωθῇ. εἶτα λύσας κηροῦ γο. η. ἐλαίου γο. ιη. μίσγε. εἰ δὲ διαιρεθείη, καὶ γυμνὸν νεῦρον. ἀντὶ χαλβάνης βάλλε τερεβινθίνης γο. β.

Τὸ μελάγχλωρον πρὸς τὰ αὐτά, καὶ ἔναιμον.

Σιδίων, χαλκοῦ κεκαυμένου, κνίδου, ἀριστολοχίας ⊙, ἁλὸς ἀμμωνιακοῦ, λεπίδος χαλκοῦ, στυπτηρίας σχιστῆς καὶ ὑγρᾶς, οἱ δὲ ἀντὶ ὑγρᾶς ⊙, ἴρεως, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυστοῦ, καδμίας, ἀλόης, σμύρνης, λιβάνου, πάνακος ῥίζης, λιθαργύρου, ψιμυθίου. ἴσα πάντα λεῖται ἐν ἡλίῳ θέρους ὥρᾳ μετ' ὄξους ἐπὶ ἱκανὰς ἡμέρας, καὶ πλάσσε τροχίσκους. ἔμπλαστρος δὲ γίγνεται οὕτως. φαρμάκου γο. β. κηροῦ γο. ς. ἐλαίου γο. η. ἐπὶ μὲν νευροτρώτων παλαιοῦ, ἐπὶ δὲ ἄλλων κοινοῦ.

Τὸ διὰ ἠριγέροντος.

Ἠριγέροντος χυλοῦ λι. β. ἐλαίου παλαιοῦ λι. α. S. ἐλαίου κυπρίνου γο. δ. ὀξυγγίου παλαιοῦ λι. α. τερεβινθίνης γο. α. χαλβάνης γο. S. πιτυΐνης γο. ς. ἰοῦ, λιβάνου, ὑσσώπου φαρμακοῦ ἀνὰ γο. α. λεπίδος χαλκοῦ γρ. η. κηροῦ γο. ι. ἀποχύματος γο. ιδ. ἕψε τὸ ἔλαιον μετὰ τοῦ χυλοῦ ἕως γλοιώδους συστάσεως σὺν τῷ χοιρείῳ. καὶ τὰ ξηρὰ λέου μετὰ κυπρίνου. τὴν δὲ χαλβάνην κόψον μετὰ τοῦ κηροῦ, καὶ ἐπίβαλλε τῇ κακάβῃ. καὶ τὸ ἀπόχυμα εἰ μὲν ξηρὸν εἴη, λεῖον κοσκινίσας στάθμιζε καὶ ἐπίπλασσε. εἰ δὲ μή οἷόν τε λειωθῆναι, μετὰ μέρους τοῦ ἐλαίου διαλυθέντος στρέφθω. καὶ τότε πάντα μιγνύσθωσαν.

Ἡ μνασαίου διαφορητική.

Κηροῦ, ὀξυγγίου χοιρείου ἀνὰ λι. α. κολοφωνίας γο. ς. λιθαργύρου λι. β. οἴνου καλοῦ λι. δ.

Ἡ ἀρχιβαρζάνιος πρὸς τὰς αὐτὰς διαθέσεις.

Λιθαργύρου γο. α. S. ψιμυθίου λι. α. γο. ε. ὕδατος θαλασσίου γο. κε. ἐλαίου παλαιοῦ. λι. α. S. κηρύκων κεκαυμένων γο. ζ. S. κηροῦ πυῤῥοῦ γο. θ. τερεβινθίνης γο. ς. λιβάνου γο. γ. γρ. γ. S.

Ἡ διὰ τοῦ δρακοντίου.

Κηροῦ κολοφωνίας, πίσσης ξηρᾶς, ὀξυγγίου, ῥητίνης ἀνὰ λι. δ. ἀμμωνιακοῦ θυμιάματος λι. β. δρακοντίου ῥίζης λι. ε. ἡ ῥίζα ξηρὰ λεία τοῖς ἄλλοις ἐπιπάσσεται λυθεῖσιν.

Τὸ πι-

Τὸ πιστάκιον.

Κηροῦ, κολοφωνίας, στέατος χοιρέου, ὑοσκυάμου φύλλων ἁπαλῶν ἢ τοῦ χυλοῦ αὐτοῦ, ἴσον. ἐν Ἀλεξανδρείᾳ δέ. κηροῦ λι. β. S. ὑοσκυάμου λι. β. ὀξυγγίου λι. ε. S. κολοφωνίας λι. ι. καὶ μᾶλλον διαφορεῖ.

Τὸ μυρσινάτον.

Λιθαργύρου, ψιμυθίου, στάνδυκος, μολύβδου κεκ. καὶ πεπλυ. ἀνὰ Γο. α. κηροῦ Γο. ϛ. ἐλαίου μυρσινάτου λι. α. οἴνου τὸ ἀρκοῦν.

Τὸ διὰ ψιμυθίου ἢ διὰ ὠῶν.

Κηροῦ τρακτοῦ Γο. ϛ. ῥοδίνου λι. α. S. λιθαργύρου Γο. β. ψιμυθίου Γο. β. ἀμύλου Γο. γ. ὠῶν ε τὰ λευκά. Γαληνοῦ, ὀρειβασίου.

Λιθαργύρου Γο. α. S. ψιμυθίου Γο. α. S. κηροῦ Γο. δ. λίπους ὑείου Γο. ζ, κολοφωνίας Γο. θ. λινοσπέρμου χυλοῦ, ἐλαίου ἀνὰ Γο. ι. θαυμασίως ποιεῖ πρὸς πτερνῶν ῥαγάδας. ἐπὶ ἑλκῶν δέ, φησί, φυλακτέον. δυσώδης γὰρ ἀποτελεῖται.

Διὰ καδμίας ἀφλωτικόν.

Χαλκίτεως κεκ. Γο. β. καδμίας, μάννης, ἀνὰ Γο. α. κηροῦ, κολοφωνίας, ἐλαίου μυρσινάτου ἀνὰ λι. α. οἴνου τὸ ἀρκοῦν.

Ἡ φοινικίνη.

Ὀξυγγίου παλαιοῦ λι. ε. ἐλαίου παλαιοῦ λι. γ. λιθαργύρου λι. γ. χαλκίτεως ὠμῆς Γο. ϛ. πρῶτον μὲν ἡ χαλκῖτις μετὰ ἐλαίου προσλειούσθω εἰς ἴγδιον καλόν, ἢ καὶ ἐν ἡλίῳ. μετὰ δὲ τὸ γλοιώδης γενέσθαι, καὶ τὴν λιθάργυρον προσλειωθεῖσαν ἐπεμβάλλειν. ὕστερον δὲ καὶ τὸ στέαρ. καὶ μετὰ τὸ καλῶς λειωθῆναι ἕψει ἐπὶ μαλθακοῦ πυρὸς ἕως ἀμολύντου, σπαθίζων ταῖς τοῦ φοίνικος ῥάβδοις.

Διὰ ἀγχούσης πρὸς τὰ πυρίκαυτα.

Κηροῦ ῥάκτου Γο. θ. ῥοδίνου Γο. ιη. τούτοις τακεῖσιν ἐπιπάττεται τῆς πορφυρᾶς ἀγχούσης τῆς ῥίζης ξηρᾶς λειοτάτης Γο. δ. Ἄλλο. Ἀγχούσης ῥίζης χλωρᾶς, πρασίου, κόμμεως ἀνὰ Γο. γ. ἑψήσας ἐλαίου Γο. θ. καὶ ῥίψας ἐπίβαλλε τῷ ἐλαίῳ κηροῦ ῥάκτου Γο. ιε. καὶ λύε. S.

Τὸ πομφολύγηρον.

Πομφόλυγος Γο. β. λιθαργύρου Γο. γ. λειοῦνται μετὰ χυλοῦ λινοσπέρμου, καὶ ἐπιβάλλεται τακέντα καὶ ψυγέντα κηροῦ Γο. ϛ. στέατος χηνείου ἢ ὀρνιθείου Γο. β. χαμαιμήλου Γο. ϛ.

Φιλοκτύχη ἀνώδυνος ἑδρική.

Λιβάνου Γο. ιζ. σμύρνης Γο. ζ. ὀπίου < . δ. σχιστῆς < . β. βουτύρου < . δ. ὠῶν ὀπτῶν λέκυθοι δ. καδμίας κεκ. καὶ πεπλυ. < . δ. πομφόλυγος < . ϛ. κηροῦ τυρρηνικοῦ < . η. στέατος χηνείου < . ιϛ. μυελοῦ ἐλαφείου < . ια. μολίβδου κεκ. καὶ πεπλυ. < . η. λίθου αἱματίτου < . α. ὑσσώπου ὑγροῦ < . δ. τὰ ξηρὰ λείου μετ' οἴνου ἰταλικοῦ, καὶ μίσγε τὰ τηκτά.

Τὸ ἀμυθάωνος πρὸς ἀγκύλας καὶ ἐσπασμένα ἄρθρα.

ἔστι δὲ καὶ ἐπισπαστικόν.

Ἀμμωνιακοῦ, κηροῦ, βδελλίου ἀνὰ < . η. τερεβινθίνης, ἴρεως ἰλλυρικῆς, χαλβάνης ἀνὰ < . η.

Τὸ ἀριστοφάνειον μαλακτικόν.

Πίσσης λι. δ. ἀποχύματος λι. ε. κηροῦ λι. α. ὀποπάνακος Γο. α. τοῦ δ' ὄξους κο. α.

Τὸ διὰ μολυβδαίνης πρὸς θερμὰς διαθέσεις.

Μολυβδαίνης Γο. δ. λιθαργύρου Γο. ε. ψιμυθίου Γο. ε. κηροῦ Γο. η. μυρσίνου λι. ε. οἴνῳ λείου τὰ ξηρά. Κόρακος διὰ ὀξυμέλιτος αἰδοιϊκὸν καὶ πρὸς νομάς.

Κηκίδος Γο. β. λεπίδος Γο. α. S. χαλκίτεως, λιβάνου ἀνὰ Γο. α. λείου ὄξει ἐπὶ ἱκανὰς ἡμέρας. ἔπειτα μίξον μέλιτος Γο. ε. χωρὶς δὲ ποιήσας κηρωτὴν ἀπὸ μυρσίνου ἢ ῥοδίνου Γο. ε. καὶ ταυρείου στέατος Γο. η. κηροῦ Γο. δ. τερεβινθίνης Γο. α. μίξας συλλέαινε καὶ χρῶ, ὡς τὸ διὰ χάρτου, διά τε πυούλκου, καὶ διὰ μοτοῦ.

Ἡ διὰ ὀξελαίου.

Λιθαργύρου μ. α. ἐλαίου, ὄξους ἀνὰ μ. β. ζύτους γ.

Ἡ διὰ τοῦ ἀχάτου, διαφοροῦσα καὶ μαλάσσουσα.

Λίθου ἀχάτου ἡμικαύστου Γο. α. S. κηροῦ Γο. ε. φρυκτῆς Γο. γ. ἐλαίου Γο. α.

Ἡ ἶσις ἔναιμος κολλητική, σαρκοῦσα καὶ καθαίρουσα.

Λεπίδος χαλκοῦ, χαλκοῦ κεκ., ἀριστολοχίας ⊙ ἀνὰ < . η. στυπτηρίας σχιστῆς < . ϛ. ἁλῶν ἀμμωνιακῶν < . η. λιβάνου < . η. ἀμμωνιακοῦ θυμιάματος < . η. σμύρνης < . ιβ. ἀλόης < . ιβ. χαλβάνης < . ιβ. δρακοντίου ῥίζης χυλοῦ < . η. κηροῦ λι. α. κολοφωνίας λι. ε. ἐλαίου παλαιοῦ Γο. γ. ὄξους τὸ ἀρκοῦν.

Ἡ ἀθηνᾶ πρὸς ἕλκη ῥυπαρὰ, σφηνώσεις, νευροτρώτους.

Σιδίων, χαλκοῦ κεκ., κικίδων, ἀριστολοχίας ⊙ καὶ μακρᾶς, ἁλὸς ἀμμωνιακοῦ, ἀμμωνιακοῦ θυμιάματος, λεπίδος χαλκοῦ, στυπτηρίας σχιστῆς καὶ ⊙, ἴρεως, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυστοῦ, καδμίας, ἀλόης, σμύρνης, λιβάνου, προπόλεως, χαλβάνης ἀνὰ γο. α΄. κηροῦ ∠. σ΄. πίσσης ∠. σ΄. κολοφωνίας ∠. ρ΄. ἐλαίου γο. ϛ΄. ὄξους τὸ ἀρκοῦν.

Ἡ διὰ δικτάμνου κολλητικὴ πρὸς κακοήθη καὶ παντοῖα ἕλκη.

Λιθαργύρου λι. β΄. λεπίδος χαλκοῦ γο. α΄. S. ἐλαίου παλαιοῦ ℥. β΄. διφρυγοῦς γο. γ΄. γεντιάνης γο. α΄. S. ἀριστολοχίας σχιστῆς γο. β΄. S. δικτάμνου γο. β΄. S. κολοφωνίας λι. α΄. μάννης γο. γ΄ ἀμμωνιακοῦ θυμιάματος γο. ϛ΄. προπόλεως γο. β΄. κηροῦ γο. ϛ΄. S. δεῖ πρῶτον ἕψειν τοὔλαιον μετὰ τοῦ λιθαργύρου ἕως ἀμολύντου. εἶτα ἄραντα ἔξω, ἐπεμβάλλειν ἰὸν καὶ λεπίδα. καὶ πάλιν ἕψειν ἕως μὴ μολύνῃ. καὶ πάλιν ἄραντα βαλεῖν ῥητίνην, ἀμμωνιακὸν σεσησμένον, καὶ κινεῖν ἕως παύσηται ζέον. ἐπιτιθέναι τε. καὶ ἐπὰν μικρὸν ζέσῃ, ἐπεμβάλλειν χαλκὸν καὶ διφρυγές, καὶ πάλιν ἕψειν ἕως μολυνθῇ. εἶτα κηρόν. καὶ ἑψήσαντα ἕως ἀμολύντου, πρόπολιν βάλλειν. καὶ μετ᾽ ὀλίγον, ἀλόην, μάνναν, δίκταμνον, ἀριστολοχίαν, γεντιανὴν ἐπεμπάσσειν λεῖα, διαψύξας ὀλίγως.

Βαρβάρα, ἔναιμος καὶ πώρους καταγμάτων δείκνυσι.

Ἀσφάλτου ἰουδαϊκοῦ, πίσσης ξηρᾶς, κηροῦ, ῥητίνης ἀνὰ λι. α΄. τερεβινθίνης γο. β΄. λιθαργύρου γο. α΄. ψιμυθίου γο. α΄. S. μάννης γο. β΄. ὀποπάνακος γο. β΄. ζιγγιβέρεως γο. β΄. ἐλαίου γο. γ΄. ὄξους τὸ ἀρκοῦν.

Ἡ διὰ ἰτεῶν κολλητική. καὶ πρὸς αἱμοπτοϊκοὺς, ἐμπύους, κατὰ τοῦ θώρακος ἐπιτιθεμένη.

Μίσυος, χαλκίτεως, ἰοῦ, ψιμυθίου, κικίδος, στυπτηρίας σχιστῆς καὶ ⊙, μελαντηρίας ἀνὰ γο. ϛ΄. κηροῦ λι. β΄. πιτυΐνης λι. β΄. πίσσης λι. β΄. σιδίων γο. ϛ΄. ἀσφάλτου λι. β΄. ἰτέας φύλλων λι. ϛ΄. ἐλαίου ῥοδίνου γο. δ΄. χαλκάνθου γο. ϛ΄. ὄξους τὸ ἀρκοῦν, τινὲς καὶ τερεβινθίνης γο. θ΄.

Ἡ νικολάου, ἔναιμος, κολλητικὴ κόλπων.

Λεπίδος χαλκοῦ γο. δ΄. ἰοῦ ξυστοῦ γο. α΄. S. λιθαργύρου γο. α΄. S. ἀριστολοχίας μακρᾶς καὶ ⊙ ἀνὰ γο. α΄. στυπτηρίας σχιστῆς καὶ ⊙ ἀνὰ γο. α΄. χαλκάνθου γο. α΄. θείου ἀπύρου γο. α΄. κικίδος ὀμφακίτιδος γο. δ΄. ἁλῶν ἀμμωνιακῶν γο. α΄. μίσυος γο. α΄. ὀριγάνου γο. α΄. χαμαιλέοντος γο. α΄. καδμίας βοτρυΐτιδος γο. α΄. ἐλλεβόρου λευκοῦ γο. α΄. πευκεδάνου γο. γ΄. σελίνου σπέρματος γο. β΄. συμφύτου ῥίζης γο. α΄. S. ψιμυθίου γο. α΄. S. μανδραγόρου χυλοῦ γο. S. χαλκίτεως γο. α΄. S. σαμίου ἀστέρος γο. α΄. λιβάνου ἄρρενος γο. α΄. ἀλόης γο. α΄. βδελλίου γο. β΄. ὀπίου θηβαίου γο. β΄. ζιγγιβέρεως τρωγλοδυτικοῦ γο. S. ἀμμωνιακοῦ θυμιάματος γο. α΄. τήλεως γο. ϛ΄. πορδαλιάγχου χυλοῦ γο. ϛ΄. κηροῦ ξανθοῦ λι. γ΄. κολοφωνίας λι. ϛ΄. πιτυΐνης λι. α΄. ἀσφάλτου λι. α΄. μαστίχης γο. ϛ΄. πίσσης μελαίνης λι. β΄. ἐλαίου παλαιοῦ λι. α΄. στύρακος γο. α΄. ὀποπάνακος γο. α΄. S. ὄξους τὸ ἀρκοῦν.

Ἡ ἱκέσιος πρὸς χοιράδας καὶ ἀποστήματα, καὶ σπλῆνα, καὶ ἄρθρα, καὶ ἰσχιαδική.

Λιθαργύρου ∠. ρκ΄. ἐλαίου παλαιοῦ ℥. β΄. ὄξους ℥. α΄. ἰοῦ ∠ α΄. S. πίτυος φλοιοῦ ∠. η΄. χαμαιλέοντος σὺν τῇ ῥίζῃ ∠. ιϛ΄. εὐφορβίου ∠. ιϛ΄. ὑποκυστίδος χυλοῦ ∠. ιϛ΄. προπόλεως ∠. ιϛ΄. ζιγγιβέρεως ∠. ιϛ΄. ἐλατηρίου ∠. ιϛ΄. πυρέθρου. ∠. ιϛ΄. κηροῦ λι. γ΄.

Ἡ νέρωνος πρὸς πλήγματα, καὶ πᾶσαν ὀδύνην τῶν σαρκωδῶν μορίων.

Ἐλαίου παλαιοῦ λι. α΄. S. λιθαργύρου λι. α΄. κηροῦ, πιτυΐνης ἀνὰ γο. ζ΄. S. ἀμμωνιακοῦ θυμιάματος γο δ΄. ψιμυθίου γο. δ΄. χαλβάνης, μάννης, ζιγγιβέρεως. λιβάνου ἀνὰ γο. α΄.

Ὀξυρὰ πολύχρηστος.

Πίσσης ξηρᾶς λι. ϛ΄. κηροῦ λι. α΄. ἀμμωνιακοῦ θυμιάματος γο. α΄. τερεβινθίνης λι. S. χαλβάνης γο. β΄. μάννης γο. β΄. ὄξους ℥. α΄. S.

Ἡ ἀκήρατος γαληνοῦ κολλητική. ἔστι δὲ καὶ πεπτική, πυοποιοῦσα τὰ ἕλκη μετὰ κικίνου ἢ παλαιοῦ ἐλαίου ὡς ἔμμοτον ἀναλυομένη.

Λιθαργύρου λι. γ΄. ἐλαίου κικίνου ἢ παλαιοῦ λι. δ΄. ὄξους δριμυτάτου λι. β΄. λεπίδος χαλκοῦ μελαίνης, χαλκίτεως, ἰοῦ ἀνὰ γο. β΄. τὸ λιθάργυρον μετὰ τοῦ ἐλαίου ἕψε μέχρι γλοιώδους συστάσεως. εἶτα ἐπέμβαλε τὰ μεταλλικὰ λελειωμένα πλείοσιν ἡμέραις μετ᾽ ὄξους

Ἡ διὰ τῶν μεταλλικῶν.

Χαλκίτεως γο. α΄. μίσυος γο. β΄. λεπίδος χαλκοῦ γο. γ΄. λιβάνου γο. γ΄. κολοφωνίας γο. β΄. χαλβάνης γο. α΄. S. κηροῦ λι. α΄. ἐλαίου γο. ιε΄. ὄξους τὸ ἀρκοῦν. Ἡ ἀρμενία καταστατική.

Χαλκίτεως γο. δ΄. λεπίδος χαλκοῦ γο. β΄. S. χαλκοῦ κεκ. γο. α΄. λιβάνου γο. β΄. ἐλαίου λι. α΄. ὄξους

λι.

λι. α΄. ἕψε τὰ μεταλλικὰ εἰς τὸ ὀξέλαιον ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε τὸν λίβανον.

Ἡ μυλλὼν σαραπίωνος.

Λιθαργύρου λι. α΄. κηροῦ γο. ζ΄. ἀμμωνιακοῦ θυμιάματος γο. γ΄. S΄. χαλβάνης, ἰοῦ ἀνὰ < . θ΄. κολοφωνίας γο. ζ΄. σμύρνης < . α΄. ἐλαίου κο. α΄. S΄. ἕψε τὸ λιθάργυρον σὺν ἐλαίῳ ἕως ἀμολύντου. εἶτα ἐπίβαλλε τὰ λοιπά.

Ἡ ἀνίκητος κολλητικὴ, διαφορητικὴ, λεπίδας ἀφιστᾶσα, καὶ πρὸς ἀγκυλώσεις.

Δαφνίδων, ἴρεως ξηρᾶς, λιβάνου ἀνὰ < . ξ΄. χαλκοῦ κε΄ < . η΄. νίτρου, ἁλῶν ἀμμωνιακῶν ἀνὰ < . η΄. πυρέθρου, σταφίδος ἀγρίας, κάχρυος, κόκκου κνιδίου, νάπυος, περιστερῶν κόπρου, ἀριστολοχίας, κυμίνου, ἰοῦ, κυπέρου, σύζωμου σπέρματος ἀνὰ < . η΄. ὄξους κο. ι΄ β. λειοτριβεῖ τοῖς ὑπὸ κύνα καύμασιν ἕως τὸ ὄξος ἀναλωθῇ, εἶτα ἐπίβαλλε ἀφεψήματος ἰσχάδων παχυτάτου γο. θ΄. καὶ μίξας πλάσσε τροχίσκους, καὶ ξήραινε. ἐν δὲ τῇ χρήσει δὸς αὐτῶν τῶν τροχίσκων γο. ϛ΄. λειώσας ὄξει, μίσγε ῥητίνης γο. γ΄. κηροῦ τυῤῥηνικοῦ γο. ϛ΄. ἐλαίου γο. ϛ΄.

Ἡ διὰ αἴρων.

Πίσσης λι. β΄. πιτυΐνης γο. θ΄. κηροῦ τυῤῥηνικοῦ γο. ε΄. ἐλαίου γο. γ΄. ἀσφάλτου σεσησμένου γο. ϛ΄. αἰρίνου ἀλεύρου ξ. α΄. ὄξους τὸ ἀρκοῦν.

Τὸ διὰ τοῦ συκαμίνου ὀποῦ.

Λιθαργύρου, πίσσης ξηρᾶς, ταυρείου στέατος ἀνὰ γο. η΄. τερεβινθίνης γο. γ΄. κηροῦ γο. ε΄. ἰοῦ ξυστοῦ, ὀποπάνακος, χαλβάνης ἀνὰ γο. α΄. ἐλαίου κικίνου ἢ σησίνου ἢ παλαιοῦ πάνυ κο. α΄. πίσσης ὑγρᾶς κο. α΄. ὀποῦ συκαμίνου, ἧς ὁ καρπὸς συκόμορα καλεῖται κο. α΄. 2

Ἡ δίχρωμος.

Χαλκοῦ κε΄, στυπτηρίας σχιστῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. α΄. κηροῦ λι. α΄. κολοφωνίας λι. α΄. στέατος χοιρείου λι. α΄. ὄξους τὸ ἀρκοῦν.

Ἡ ἰνδὴ κολλητικὴ, πρὸς νομὰς τε καὶ αἱμοπτοϊκούς.

Κηροῦ, ῥητίνης φρυκτῆς, πίσσης ξηρᾶς, ἀσφάλτου ὑγρᾶς ζακυνθίας ἀνὰ λι. α΄. ψιμυθίου, χαλκίτεως, μίσυος, μελαντηρίας, στυπτηρίας σχιστῆς καὶ Θ, κικίδος ὀμφακίτιδος, σιδίων ἀνὰ γο. ϛ΄. ὄξους τὸ ἀρκοῦν.

Ἡ διὰ τῆς ἀποδύσεως τῶν ἀσπίδων, διαφορητικὴ χοιράδων καὶ ποδάγρας.

Τερεβινθίνης, λίθου αἱματίτου, ἀσφάλτου ἰουδαϊκοῦ ἀνὰ < . τ΄ ξ. κηροῦ, δαφνίδων, ἀμμωνιακοῦ θυμιάματος, ἀφρονίτρου, στέατος μοσχείου ἀνὰ < . τ΄ μ. λίθου πυρίτου ἀσβέστου < . ρ΄ μ. ἀσπίδων ἀποδύσεως < . ρ΄ μ. ἐλαίου παλαιοῦ κο. β΄. ψυγέντι τῷ φαρμάκῳ τὴν ἀπόδυσιν ἐπίπασσε. σκευάζεται δὲ καὶ δίχα τῆς ἀποδύσεως, διὰ τὸ τινὰς ἀπαρέσκεσθαι. καὶ οὐδὲν ἧττον δρᾷ. 3

Ἡ λέαινα, ξηραίνουσα καὶ διαφοροῦσα.

Ἀμμωνιακοῦ θυμιάματος, μολυβδαίνης ἀνὰ < . ρ΄. νάπυος < . η΄. χαμαιλέοντος ῥίζης < . ι΄ ς. κολοφωνίας < . ρ΄. λεπίδος χαλκοῦ, στρουθίου ῥίζης, εὐφορβίου καὶ ἰοῦ ἀνὰ < . η΄. ἀριστολοχίας < . ι΄ ς. πυρέθρου < . η΄. ἐλαίου παλαιοῦ κο. α΄. καὶ ῥαφανίνου, τὸ ἀρκοῦν. Ἄλλο. Ἡ λέαινα, μετασυγκριτικὴ καὶ κενωτικὴ ὑγρῶν. Χαλκάνθου γο. β΄. ἀρσενικοῦ γο. α΄. ἐλλεβόρου μέλανος, κανθαρίδων θωρακικῶν ἀνὰ < . α΄. S΄. σανδαράχης γο. γ΄. κηροῦ λι. α΄. S΄. φρυκτῆς λι. α΄. ἐλαίου κο. β΄.

Τὸ μακεδονικόν.

Κηροῦ κολοφωνίας, πίσσης, ταυρείου στέατος, λιβανωτοῦ, ἴσα τήξας καὶ ἐπάρας ἀπὸ τοῦ πυρὸς, προσέμπλασσε τὸν λιβανωτόν. 4

Τὸ σφαιρίον, πρὸς τὰ πυρώδη.

Ψιμυθίου, λιθαργύρου ἀσβέστου ζώσης ἀνὰ γο. γ΄. κηροῦ γο. α΄. S. βερνικαρίου, ῥοδίνου ἀνὰ γο. α΄. τὰ τηκτὰ καταχέας τῶν ξηρῶν, πλάττε σφαιρία. εἶτα ἐπὶ τῆς χρείας ἐλαίου γο. ς΄. τῆκε μετὰ β΄ γο. κηροῦ, καὶ ἐπίβαλλε τοῦ φαρμάκου γο. α΄. καὶ σπάθιζε. ψυγὲν δὲ ἀνάκοπτε μεθ᾽ ὕδατος γο. θ΄. ἐγὼ καὶ ῥοδίνου γο. γ΄.

Τὸ διὰ ὤχρας ἀφλέγμαντον, αὐτομάτης τε καὶ τοῖς ἐν δικαστηρίῳ βασανισθεῖσι.

Ὤχρας ἀττικῆς λι. β΄. κηροῦ λι. α΄. λιθαργύρου γο. η΄. οἴνῳ λειοῦ, κηροῦ κολοφωνίας, πίσσης, πιτυΐνης ἀνὰ λι. α΄. τερεβινθίνης γο. η΄. ἐλαίου λι. ϛ΄. ἀναλύεται δὲ οὕτως. κηροῦ λι. α΄. ἐλαίου παλαιοῦ λι. γ΄. τοῦ φαρμάκου λι. α΄. οἴνῳ ἀνάκοπτε. 5

Ἡ διὰ κεδρίας, κολλητικὴ, διαφορητικὴ, σμηκτική.

Κηροῦ, πίσσης ξηρᾶς ἀνὰ λι. α΄. κολοφωνίας γο. η΄. κεδρίας γο. ς΄. τήξας ὁμοῦ ἕψε ἕως ἀμολύντου.

Ἄλλο

Ἄλλο μαλακτικόν.

Κηροῦ, πίσσης ἀνὰ γο. η. κολοφωνίας < . κε. προπόλεως < . ιζ. κεδρίας < . κ.

Διὰ κισσήρεως ἀφυλωτική.

Μυρσίνου λι. β. κηροῦ λι. α. κισσήρεως κζ. καὶ οἴνῳ ἀποβεβρεγμένης < . ϛ. λεπίδος στομώματος < . ϛ. χαλκοῦ κζ. κιμωλίας ἀνὰ < . ε. ἐπάνω μοτὸν καὶ σπόγγον ἐξ ὕδατος.

Ἡ παῦλα, χοιράσι καὶ βουβῶσι.

Κηροῦ, κολοφωνίας, νίτρου ἀνὰ λι. α.

Διὰ νίτρου πρὸς ἄνθρακας.

Νίτρου ὀπτοῦ γο. γ. κηροῦ, ἐλαίου, κολοφωνίας ἀνὰ < . α. S. ὀποῦ κυρηναϊκοῦ ἢ μηδικοῦ < . ι. ἐπιτίθεται ἔμμοτον ἀνειμένον.

Τὸ διὰ ἀνεμώνης.

Ἀνεμώνης ἐξωνυχισθείσης γο. ϛ. κηροῦ γο. ε. ἐλαίου γο. δ. ῥητίνης γο. ε. S. κολοφωνίας λι. ϛ. S.

Ἡ μαχαιρίωνος χλωρά. ἰσχιαδικῶν, ἄρθρων σφηνώσεσιν, ἀποστήμασιν.

Ὀποπάνακος, χαλβάνης, ἰοῦ, σμύρνης, ἴρεως, ἀμμωνιακοῦ θυμιάματος, ἀριστολοχίας ἀνὰ γο. α. τερεβινθίνης, κηροῦ, ἐλαίου ὀμφακίνου ἀνὰ γο. ζ.

Χλωρὰ ἄλλη ἁπλῆ.

Ῥητίνης λι. γ. κηροῦ λι. α. ἰοῦ ξυστοῦ λι. S. λιβάνου < . κε. ὄξους τὸ ἀρκοῦν.

Ἄλλη χλωρά. ποιοῦσα πρὸς κακόηθη καὶ ὑπερσαρκοῦντα.

Κολοφωνίας γο. ϛ. ἰοῦ ξυστοῦ γο. α. S. κηροῦ γο. β. ἁλῶν καππαδοκικῶν γο. α. ῥοδίνου γο. β. ὄξους τὸ ἀρκοῦν.

Ἡ πηγανηρά. πρὸς πλευριτικούς.

Πηγάνου χλωροῦ λι. α. βουτύρου λι. α. S. τερεβινθίνης γο. ιε. ὑσσώπου φαρμάκου γο. ιε. ὀποπάνακος γο. γ. χαλβάνης γο. γ. ἀννηθίνου λι. α.

Ἡ διὰ στάκτης, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, οἰδηματώδεσιν.

Κηροῦ, ἐλαίου παλαιοῦ, κονίας πρωτοστάκτου ἀνὰ λι. α. φρυκτῆς, νίτρου ἀλεξανδρίνου, νίτρου λευκοῦ. τερεβινθίνης ἀνὰ γο. ϛ. τὰ νίτρα λεῖα τῇ κονίᾳ.

Τὸ διὰ νίτρου, πρὸς ἀποστάσεις, καὶ σκίρρους ὄγκους.

Ἐλαίου παλαιοῦ, κηροῦ, ἀφρονίτρου, σάπωνος, κονίας ἀνὰ λι. α. τερεβινθίνης γο. ϛ. χαλβάνης, προπόλεως, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. α. σκεύαζε ὡς τὸ πρὸ αὐτοῦ.

Ἡ διὰ ἁλῶν.

Κηροῦ γο. δ. ἐλαίου λι. α. ἁλῶν κοινῶν γο. δ. ἀφρονίτρου γο. δ. ψιμυθίου γο. η. ὄξους γο. β. εἰς τὴν λείωσιν. Ἄλλως. Ἁλῶν κοινῶν, νίτρου ἀνὰ γο. δ. κηροῦ, ἐλαίου παλαιοῦ ἀνὰ γο. ϛ. ὕδατος θαλασσίου τὸ ἀρκοῦν.

Ἡ διὰ πιτύρων, πώρων λυτική.

Πιτύρων χοιρείας παλαιᾶς λίπους, ἀμμωνιακοῦ θυμιάματος, τυροῦ παλαιοῦ βοείου ἢ αἰγείου, στέατος ταυρείου, ἀποχύματος. ὅπερ ἐστὶ πλοίου ξύσματος ἀνὰ λι. α. μυελοῦ ἐλαφείου γο. η. ὑσσώπου κηρωτῆς γο. γ. κυπρίνου γο. ϛ. οἴνου αἰγυπτίου τὸ ἀρκοῦν.

Τὸ διὰ κινναβάρεως πρὸς πώρους καὶ ἄλλους παντοίους σκιρρώδεις ὄγκους. λέγεται ἡ παμπαθής.

Λιθαργύρου λι. α. ἐλαίου παλαιοῦ ξ. α. λεπίδος χαλκοῦ γο. α. χαλκοῦ κζ. γο. α. κινναβάρεως γρ. ιη. μαγνήτου ζῶντος γο. α. λίθου φρυγίου < . ϛ. λίθου πυρίτου, καδμείας, ἰοῦ ξυστοῦ, λιβάνου ἀνὰ γο. α. διφρυγοῦς γο. β. ἁλόης γο. α. S. χαλβάνης γο. α. S. λίθου ὀνυχίου σκυθικοῦ γρ. ιη. λίθου αἱματίτου γο. α. προπόλεως λι. α. γρ. κη. κηροῦ γο. ιζ. λίθου περδικίτου γο. α. ἐν ἄλλῳ περδικιάδου ἔχει. βετονίκης γο. α. γρ. η. γεντιανῆς γο. α. ἀριστολοχίας μακρᾶς καὶ ☉ < . δ. ✳. γο. S. χαμαιλέοντος μέλανος γο. α. δικτάμνου γρ. μβ. ῥητίνης ξηρᾶς λι. α. στέατος στρουθοκαμήλου λι. α. τοὺς λίθους μετὰ τῆς λιθαργύρου, τρίβε προσεπιβάλλων ἁλὸς ἄνθους λι. β. κατὰ μέρος, ἕως οὗ πᾶν ἀναλωθῇ.

Τὸ διὰ λεπτοκαρύων πρὸς πώρους ἄρθρων δεδοκιμασμένον.

Πρωτοστάκτου γο. ϛ. λεπτοκαρύων τῶν ἐντὸς γο. β. ἀφρονίτρου γο. ϛ. ἐλαίου παλαιοῦ λι. α. σάπωνος γαλλικοῦ γο. δ. μέλιτος γο. η. ᾠῶν ϛ τὰ λευκά. κηροῦ γο. ι. τερεβινθίνης γο. β. λείου τῷ πρωτοστάκτῳ.

Διὰ τυρπαίνης κηρωτὴ πρὸς ποδάγραν, ἀνώδυνος, θαυμαστή.

Πέμπτην ἄγοντος ἡμέραν τοῦ μαρτίου μηνὸς. ἐν οἴκῳ καταγείῳ εἰς κακκάβην ἐλαίου κοινοῦ ξ. β. βαλὼν, ἕψε ξύλοις ἀμπελίνοις, καὶ ὅτε βράσῃ ἐπίβαλλε τυρπαίνης θαλασσίου

ἰχθύος λι. α. καὶ ἀσπάλακος τοῦ ζώου, ὅν τινες μαδαμουδίαν καλοῦσι τοῦ αἵματος γο. δ. καὶ συνέψει ἕως διαλυθῶσιν αἱ σάρκες τοῦ ἰχθύος, ἢ φρυγῶσιν. εἶτα σηρώσας, ἐπίβαλλε τοῦ ἐλαίου, κηροῦ, τὸ σύμμετρον πρὸς τὴν σύστασιν, ὡς ἁπαλωτάτην γενέσθαι κηρωτήν. καὶ ἐπιπλάσας εἰς ὀθόνιον, ἐπιτίθει.

Τὸ διὰ τοῦ οὔρου τῆς ἡμιόνου, ποδαγρικόν.

Οὔρου ἡμιόνου ἄρρενος ξ. δ. λιθαργύρου λι. β. ἐλαίου παλαιοῦ μ´ α. λειώσας ἐπὶ πολὺ πάντα ὡς γλοιώδη γενέσθαι, ἕψε ἕως ἀμολύντου.

Τὸ διὰ λίθου ἀσίου ἄνθους Φιλαγρίου πρὸς σκίρρους.

Πευκεδάνου ῥίζης, ἀσίου λίθου ἄνθους. εἰ δὲ μὴ παρείη, ἁλῶν, ἀμμωνιακοῦ θυμιάματος, ἐρίων οἰσυπηρῶν κεκαυμένων ἀνὰ γο. α. ἀριστολοχίας ⊙, κισσήρεως, κυνείας κόπρου, ἰοῦ ξυστοῦ, λεπίδος χαλκοῦ, μίσυος ἀνὰ γρ. ιη. καστορίου γρ. ιη. σμύρνης γο. γ. ὄξους δριμυτάτου γο. γ. κηροῦ γο. ιβ. S. πιτυΐνης, πίσσης Βρυτίας γο. ιη. S. γρ. ς. ἐλαίου παλαιοῦ, καὶ ὄξους δριμυτάτου τὸ ἀρκοῦν.

Τοῦ αὐτοῦ Γαληνοῦ.

Κηροῦ, τερεβινθίνης ἀνὰ λι. α. λίθου ἀσίου, μάννης ἀνὰ γο. γ. κυπρίνου γο. β. ὕδατος πηλοποιοῦ τὸ ἀρκοῦν.

Τὸ διὰ ἁλὸς ἄνθους ἀρθριτικόν, ἐν παρακμαῖς.

Τερεβινθίνης, φρυκτῆς, πιτυΐνης, κηροῦ ἀνὰ λι. α. πίσσης ξηρᾶς, στυπτηρίας σχιστῆς, ἁλὸς ἄνθους ἀνὰ λι. S. ἕψε ἐν διπλώματι.

Ἡ τροφοσαρκωτικὴ ἑλκῶν.

Ῥοδίνου, τερεβινθίνης, μέλιτος ἀνὰ γο. β. ψιμυθίου, βουτύρου ἀνὰ γο. α. οἱ δὲ καὶ λιβάνου γο. α.

Τὸ ἰταλικὸν καθαῖρον τὰ ῥυπαρὰ καὶ σαρκοῦν.

Ἐρειναίου. λέγω δὲ περὶ ἀγρίας συκῆς τὸν ἁπαλὸν φλοιὸν ἑψήσας ἐν ἐλαίῳ ῥίψον, καὶ τήξας ἐν τῷ ἐλαίῳ κηροῦ πυρροῦ τὸ αὔταρκες. ἐμμότῳ χρῶ.

Ἐντατικόν.

Σατυρείου, αἰδοίου ἐλαφείου, σκίγκου οὐρᾶς ἀνὰ <. β. εὐζώμου σπέρματος, πυρέθρου, κάχρυος, κηροῦ ἀνὰ <. δ. τερεβινθίνης γο. α. ὠά, στρουθῶν προγλωδυτῶν γ. ἀσκαλαβώτας γ. ἐλαίου δαφνίνου ἢ ἰρίνου τὸ ἀρκοῦν. βρέχονται ζῶντες ἐν ὄξει οἱ ἀσκαλαβῶται ἕως ἡμερῶν μ, ἐν κόπρῳ χωσθέντος τοῦ ἀγγείου.

Ἡ χρυσῆ, ἔναιμος.

Λιβάνου, στυπτηρίας σχιστῆς ἀνὰ γο. β. κολοφωνίας, ῥητίνης ἀνὰ λι. α. ἐλαίου γο. γ. ἀρσενικοῦ γο. β. ὄξει λείου τὸ ἀρσενικόν.

Καταγματικὴ Ὀρειβασίου.

Πίσσης Βρυτίας λι. α. γο. δ. λιθαργύρου λι. α. γο. δ. λιβάνου γο. η. τερεβινθίνης γο. ε. στέατος ταυρείου λι. α. γο. δ. χαλβάνης, ὀποπάνακος ἀνὰ γο. α. κηροῦ γο. δ. ἐλαίου παλαιοῦ λι. α. ὄξους γο. ε.   Καταγματικὴ πρὸς τὰ σὺν τραύματι καὶ ἄνευ τραυμάτων, ἐκ τοῦ Ἡρακλείτου.

Πίσσης ξηρᾶς μ´ α. λιθαργύρου μ´ α. μάννης μ´ S. στέατος μοσχείου μ´ α. κηροῦ τυρρηνικοῦ γο. κς. ὀποπάνακος <. η. ἰοῦ ξυστοῦ, κυπρίου χαλκοῦ, ἀνὰ μνᾶς ε καὶ δέκατον. τερεβινθίνης μ´ α. S. ε. χαλκοῦ γο. α. κίκεως ἢ ἐλαίου παλαιοῦ κο. α. ὄξους, κο. S.

Ὑγροῦ οἰσύπου τοῦ φαρμάκου σκευή.

Μελιλώτου γο. δ. καρδαμώμου γο. β. ἐρίων ῥυπαρῶν πάνυ γο. ς. βρέξας εἰς οἴνου ξ. β. ἐπὶ ἡμέρας γ ἕψε ἕως ὀλίγον περιλειφθῇ. καὶ σηρώσας μίξον τῷ οἴνῳ ἐλαίου γο. γ. καὶ ἕψε ἕως ὀλίγον περιλειφθῇ καὶ τοῦ οἴνου. καὶ τότε ἐπίβαλλε κολοφωνίας γο. ι. τερεβινθίνης γο. ι. τινὲς δὲ καὶ κηροῦ μίσγουσιν γο. ι. καὶ ὑσσώπου βοτάνης γο. α. συνέψουσι τοῖς ἄλλοις. ἕτεροι πλύνουσι τὰ ἔρια οἴνῳ καὶ ξηράναντες τὸν οἶνον μετὰ τοῦ ῥύπου, ὃν δὴ καὶ πίνον προσαγορεύουσιν. ἐπὶ δὲ τῆς χρείας, βάλλουσιν ἐξ αὐτοῦ γο. γ. καὶ τὰ λοιπὰ ὡς εἴρηται.

Περὶ μαλαγμάτων καὶ ἐπιθεμάτων.   ιη.

Τῶν μαλαγμάτων καλουμένων, τὰ μὲν τοῖς μέρεσιν ἐπιβάλλεται, φλεγμαίνουσι χρονίως ἢ σκληρυνομένοις, ἢ πυρουμένοις, ἢ κατεψυγμένοις, ἢ ῥευματιζομένοις. τὰ δὲ, τοῖς ἄρθροις ἐσφηνωμένοις, ἢ νεύροις κατεψυγμένοις. ἢ καὶ ἑτέροις μορίοις ἐσκιρρωμένοις ἁρμόττει. περὶ μὲν οὖν τούτων ἔν τε τῷ περὶ ἐμπλάστρων εἴρηται, κἂν τῷ περὶ ἀκόπων εἰρήσεται. Τῶν δὲ τοῖς μέσοις ἁρμοζόντων, ἃ δὴ καὶ ἰδίως ἐπιθέματα προσαγορεύεται. τὰ μὲν τῷ στομάχῳ καὶ ἥπατι προσφερόμενα, ὁποῖα ἂν εἴη καὶ τῆς τονούσης χρῄζει δυνάμεως διὰ τῶν στυφόντων. ἄνευ γάρ τοι τις κίνδυνος ἕψεται περὶ τὴν ζωήν, κοινοτέρων τούτων ὑπαρχόντων. ὅθεν διὰ τῶν ἀρωμάτων μάλιστα συντίθεται. στομάχῳ μὲν οὖν ἀπεπτοῦντι ἢ ἀτονοῦντι ἢ πνευματουμένῳ,

τά τε

τατε διὰ τῶν σπερμάτων, καὶ μελιλώτου καὶ ἀλόης καὶ ἀψινθίου, καὶ σαμψύχου καὶ νάρδου καὶ μαστίχης ἐπιβλητέον. ἢ πάλιν δέ. τὰ διὰ μυροβαλάνου, ἀμμωνιακοῦ, στέατος καὶ χαμαιμηλίνου. σπληνὶ δέ. τὰ διὰ ἀσβέστου, ἀρσενικοῦ, καππάρεως, ἰτεῶν, καρδαμώμου, ἰοῦ, ἀμμωνιακοῦ, ὄξους ῥευματιζομένοις δὲ τοῖς περὶ κοιλίαν. τὰ δὲ οἰνάνθης, στυπτηρίας, μηλίνου, καὶ τῶν ἄλλων στρυφνῶν. καὶ ταῦτα γὰρ καταχρώμενοι, κοινῶς μαλάγματα προσαγορεύουσιν, καίπερ ἐναντίας τῆς μαλάττειν δυναμένων ὄντα δυνάμεως. πυρουμένοις δὲ τοῖς σπλάγχνοις, ὡς ἐν πυρετοῖς καυσώδεσι. διὰ κρόκων, ῥοδίνου, χυλοῦ λινοσπέρμου, ἢ στέρεως ἢ πολυγόνου, στέατος ὕος, λιθαργύρου. κατεψυγμένοις δέ. τὰ διὰ ὀποβαλσάμου, φύλλου, κοστάμου, πεπέρεως. θώρακι δέ, ἐν μὲν αἵματος ἀναγωγαῖς, τὰ στύφοντα καὶ ξηραίνοντα διά τε στυπτηρίας καὶ ἰτέας καὶ ἀσφάλτου συντεθειμένα. ἐν δὲ φθίσεσι, τὰ διὰ δαφνίδων, πρασίου, καρδαμώμου, κονίας.

Τὸ διὰ μελιλώτων.

Κρόκου, νάρδου κελτικῆς, κυπέρου, καρδαμώμου, ἴρεως, σμύρνης ἀνὰ γο. β. μελιλώτων λι. α. ἀμμωνιακοῦ θυμιάματος λι. α. κηροῦ λι. γ. τερεβινθίνης λι. α. κυπρίνου λι. γ. γλευκίνου λι. ϛ. βδελλίου γο. ϛ. σῦκα καὶ κύφεως γο. β. οἴνου τὸ ἀρκοῦν.

Τὸ πολυάρχιον ἐκ τῶν κατὰ τόπους Γαληνοῦ.

Κηροῦ, τερεβινθίνης, βδελλίου, ἀμμωνιακοῦ θυμιάματος, καρδαμώμου, κυπέρου ἀνὰ μ α. ἀμώμου, νάρδου ἰνδικῆς, κρόκου, σμύρνης, λιβάνου, ξυλοκινναμώμου ἀνὰ < . η ε. ἐλαίου κυπρίνου κο α. οἴνου ἰταλικοῦ ὅσον ἐξαρκεῖ. σκεύαζε καὶ χρῶ ποτὲ μὲν ἀκράτῳ, ἔστι δ᾽ ὅτε ἀνειμένῳ κηρωτῇ κυπρίνῃ.

Ἄλλως. τὸ πολυάρχιον.

Ξυλοβαλσάμου, κόστου, ἴρεως, κυπέρου, σμύρνης, σχοίνου ἄνθους, καρδαμώμου, λιβάνου, ναρδοστάχυος, μαστίχης, στύρακος, βδελλίου, ἀμώμου, φύλλου, κρόκου, κασσίας, πυρέθρου, ἀριστολοχίας μακρᾶς ἀνὰ γο. α. ἀμμωνιακοῦ θυμιάματος γο. α. S φρυκτῆς γο. γ. τερεβινθίνης λι. α. μυελοῦ ἐλαφείου γο. β. κηροῦ λι. β. ὀποβαλσάμου γο. ϛ. οἴνου γο. η.

Τὸ Φιλαγριανόν.

Κρόκου γο. α. S. ἀλόης, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, στύρακος ἀνὰ γο. α. στέατος χηνῶν γο. β. οἰσύπου φαρμακοῦ γο. δ. φοινίκων γο. β. κηροῦ λι. α. νάρδου γο. ϛ. μηλίνου γο. ϛ. οἴνου τὸ ἀρκοῦν εἰς τὴν τῶν ξηρῶν λείωσιν. βραχέντα γ ἡμέρας, καὶ κινούμενα τρὶς τῆς ἡμέρας φοινικίνῃ σπάθῃ. εἶτα συνεψόμενα τῷ ἐλαίῳ. τῇ δὲ ϛ τὸ καρδάμωμον, ὕδατι πρὸ μιᾶς ἀποβραχέν. τῇ γ δέ, ὁ κρόκος οἴνῳ. τινὲς δὲ σὺν τῷ κρόκῳ καὶ ἑτέρας ε γο. σμύρνης προστιθέασι. διασιρώσαντες δέ, τὸ μὲν ἔλαιον καθαρὸν ἀποτίθενται. τὴν δὲ τῶν εἰδῶν ὑπόστάθμην ἅπασαν τροχίσκους πλάσαντες, καὶ ξηράναντες, ἔχουσι τὸ καλούμενον κροκόμαγμα.

Μενδήσιον.

Εἴρηται μέν, διὰ τὸ ἐν αἰγύπτῳ εὑρῆσθαι, ἔνθα καὶ ὁ μένδης τρέφεται. λαμβάνεται δὲ ἐλαίου βαλανίνου λι. ι. ἐν ἄλλῳ ξε. ι. σμύρνης, κασσίας σύριγγος ἀνὰ γο. γ. τερεβινθίνης λι. α. ἐν ἄλλῳ ξε. ι. κινναμώμου γο. γ. τοῦτο οὐχ ἕψεται, ἀλλ᾽ ἐμβληθέντα ξηρὰ κινεῖται ἐπὶ ἡμέρας ξ. εἶτα τακεῖσα ἡ τερεβινθίνη, εἰς μέρος τοῦ ἐλαίου ἐμβάλλεται, εἶτα πάλιν κινεῖται ἑτέρας ἡμέρας ζ. καὶ οὕτως ἀποτίθεται.

Μαρκιάτον.

Μαστίχης, κηροῦ, στύρακος, ἀνὰ γο. γ. οἰσύπου φαρμακοῦ γο. S. ὀποβαλσάμου γο. α. S. ναρδίνου, γλευκίνου, ἐλαίου ὀμφακίνου ἀνὰ γο. γ. μυελοῦ ἐλαφείου γο. α. S. τερεβινθίνης γο. α.

Διὰ ὄμφακος. α ἐμβολή.

Ἀσπαλάθου, σπάθης φοινίκων, μελιλώτων, ἴρεως, σχοίνου ἄνθους, ξυλοβαλσάμου, ῥόδων ξηρῶν, καλάμου ἀρωματικοῦ ἀνὰ γο. γ. ἐλαίου ὀμφακίνου λι. ι. ὄμφακος χυλοῦ ξε. ι.

Β ἐμβολή. διὰ καρυοφύλλου.

Ἀμμωνιακοῦ, ναρδοστάχυος, κόστου, καρυοφύλλου, κασσίας. κοστάμου ἀνὰ γο. γ. ἐν ἄλλῳ, καὶ ἀρνάβω γο. γ. οἴνου τὸ ἀρκοῦν.

Γ ἐμβολή.

Λιβάνου, ἀμμωνιακοῦ θυμιάματος, στύρακος, βδελλίου, σμύρνης, μαστίχης ἀνὰ γο. γ. οἴνου τοῦ ἀρκοῦν. κηροῦ τρίτου γο. ε. ὀποβαλσάμου γο. ϛ. σῦκα γο. η. προαποβρέχεται α ἡμέρα, τὰ μὲν τῆς πρώτης ἐμβολῆς ἐν τῷ χυλῷ τοῦ ὄμφακος καὶ τῷ ἐλαίῳ. τὰ δὲ τῆς β. ἐν ἑτέρῳ λεκανιδίῳ, ἐν οἴνῳ ἀμιναίῳ ἢ ἄλλῳ παλαιῷ, καὶ εὐόσμῳ. κινῶν ἑκάστης ἡμέρας σπάθῃ φοινικίνῃ. τρίτης, ἐπὶ τρεῖς ἡμέρας, μεθ᾽ ἃς ἕψε ἐν κακκάβῃ γεγανωμένῃ, πρῶτον τὰ τῆς α ἐμβολῆς ἄχρις ὀλίγον

προαλειφθῇ τοῦ ὀμφακίνου. εἶτα εὐθέως ἐπίβαλλε τὰ περὶ δεύτερας σὺν τῷ οἴνῳ. κάλλιον δὲ προσιρώσαντα, οὕτως αὐτὰ ἐπιβάλλειν καθαρῷ τῷ ἐλαίῳ. καὶ ὅτε ἑψηθῶσιν ἄχρις οὗ ἐλάχιστον τοῦ οἴνου λειφθῇ, ὡς μὴ καυθῆναι τὸ ἔλαιον, ἐπάρας ἀπὸ τοῦ πυρὸς σίρωσον, καὶ ἐπίβαλλε πάλιν τῷ ἐλαίῳ καθαρῷ τὰ περὶ γ̄ ἐμβολῆς ὀπηρά, προεκλεωθέντα ἐν ἰγδίῳ μετὰ τοῦ οἴνου οἷον εἶπον, πλὴν τοῦ στύρακος. οὗτος γὰρ ἐπιβληθεὶς σὺν τοῖς ἄλλοις, ἑτοίμως λύεται. καὶ ἕψειν ἀνθραξὶν ἄχρις οὗ δόξῃ καλῶς ἔχειν. καὶ ἐπάρας ἀπὸ τοῦ πυρός, ἔα ψυγῆναι. τῇ δὲ ὑστεραίᾳ σιρώσας ἐπιμελῶς τὸ ἔλαιον, καὶ θερμαίνας αὐτάρκως ἐπὶ τοῦ πυρός, ἐπίβαλλε τὸν κηρόν. καὶ ἐπάρας ἀπόθιζε. μετὰ δὲ τὸ ψυγῆναι ἐπίβαλλε τὸ ὀποβάλσαμον. καὶ κατάγγιζε ἐν βικίοις ὑελοῖς.

Γλεύκινον ᾱ ἐμβολή.

Ἐλαίου ξε. ῑ. γλεύκους ἀμιναίου ξε. ϛ̄. ἀσπαλάθου γο. δ̄. σπάθης φοίνικος γο. ϛ̄. σχοίνου ἄνθους γο. ϛ̄. μελιλώτων γο. δ̄. ῥόδων γο. ᾱ. σμύρνης γο. ῑ. δαφνοφύλλων γο. β̄. δενδρολιβάνου γο. ϛ̄. ξυλοβαλσάμου γο. ϛ̄. ἐλενίου γο. ϛ̄. ἀριστολοχίας μακρᾶς γο. γ̄. ἴρεως γο. γ̄. ταῦτα βρέχε εἰς τὸ γλεῦκος.

β̄ ἐμβολή.

Κελτικῆς γο. δ̄. κασσάμου γο. β̄. κυπέρου, κασσίας, ναρδοστάχυος, ἀσάρου, ἀμώμου, κόστου, σαμψύχου ἀνὰ γο. γ̄. καλάμου ἀρωματικοῦ, καρυοφύλλων, φύλλου ἀνὰ γο. ᾱ. καρδαμώμου γο. δ̄. βρέχε οἴνῳ εὐώδει.

γ̄ ἐμβολή.

Μαστίχης γο. δ̄. σμύρνης τρωγλοδυτικῆς, βδελλίου ἀνὰ γο. β̄. λαδάνου γο. ῑ. στύρακος ὑγροῦ, λιβάνου ἄρρενος ἀνὰ γο. δ̄. ὀποβαλσάμου γο. ϛ̄. τινὲς καὶ κρόκου γο. β̄. σκεύαζε καθάπερ καὶ τὸ διὰ ὄμφακος, πλὴν τοῦ κηροῦ. ἐνταῦθα δὲ ἑπτὰ ἡμέρας δεῖ τὰ εἴδη τῶν δύο ἐμβολῶν ἀποβρέχεσθαι.

Νάρδος κιζικηνὴ ᾱ ἐμβολή.

Ἐλαίου πρωτείου ξε. ῑ. ἀσπαλάθου, κυπέρων, ἐλενίου, ἴρεως, ξυλοβαλσάμου, ἀριστολοχίας, καρδαμώμου, σχοίνου ἄνθους ἀνὰ γο. ϛ̄. σαμψύχου γο. δ̄. βράθυος γο. β̄. τινὲς καὶ καλάμου ἀρωματικοῦ γο. β̄. βρέχε ταῦτα εἰς οἴνου εὐώδους ξε. δ̄.

β̄ ἐμβολή.

Κασσίας, κασσάμου, ἀρνάβω ἀνὰ γο. β̄. ναρδοστάχυος γο. γ̄. καρυοφύλλου γο. ᾱ. κόστου, ἀμώμου ἀνὰ γο. β̄. τινὲς καὶ κελτικῆς γο. β̄. καὶ ταῦτα εἰς οἶνον.

γ̄ ἐμβολή.

Σμύρνης τρωγλοδυτικῆς, ἀλόης, λιβάνου ἀνὰ γο. β̄. στύρακος γο. γ̄. μαστίχης γο. δ̄. ὀποβαλσάμου γο. ϛ̄. τινὲς καὶ κρόκου οἴνῳ λειωθέντος γο. ᾱ. σκεύαζε καὶ τοῦτο ὡς εἴρηται.

Δεκάμυρον.

Ναρδοστάχυος, φύλλου, εὐφορβίου, πεπέρεως, κόστου, ἀδάρκης ἀνὰ γο. ᾱ. μαστίχης γο. ᾱ S. ὀποβαλσάμου γο. ϛ̄. ναρδίνου λι. ᾱ. κηροῦ λι. γ̄.

Πεντάμυρον.

Στύρακος γο. ᾱ. μαστίχης γο. β̄. κηροῦ λευκοῦ γο. γ̄. ὀποπάνακος γο. δ̄. νάρδου γο. ε̄. φολεάτρου. φύλλου γο. γ̄. ἀμμωνιακοῦ γο. ᾱ. κασσίας γο. ϛ̄. λαδάνου.

Τὸ εὐῶδες.

Κρόκου, ἀλόης, μαστίχης, ἀψινθίου, στύρακος, οἰνάνθης, κασσάμου, καρυοφύλλου ἀνὰ γο. γ̄. νάρδου λι. ᾱ. κηροῦ λι. ᾱ. μηλίνου γο. ϛ̄. φοίνικας ῑβ, οἴνου τὸ ἀρκοῦν.

Τὸ βαΐον.

Καρδαμώμου, κασσίας, οἰνάνθης κελτικῆς, βαλαυστίων, πεντεπόλεως ἀνὰ γρ. η̄. βράθυος, κασσάμου, ἀμώμου ἀνὰ γρ. ϛ̄. σχοίνου ἄνθους γρ. ιη. ἴρεως γρ. δ̄. καρυοφύλλου γρ. ᾱ S. θυμιάματος κεινάτου γο. β̄. λιβάνου, σμύρνης ἀνὰ γο. ᾱ. λαδάνου γο. ϛ̄. βδελλίου, μαστίχης, ἀλόης, νάρδου, σχινίνου, ἀνὰ γο. S. ζυγίας, πιτυΐνης, τερεβινθίνης ἀνὰ γο. γ̄. ὀποβαλσάμου γο. ᾱ. ἀμμωνιακοῦ θυμιάματος γρ. ϛ̄. κηροῦ γο. ϛ̄. οἰνανθίῳ λείου τὰ ὀπηρά, καὶ τὰ ξηρὰ κοπέντα. ἐν ἄλλῳ καὶ πεπέρεως γρ. ιη. τινὲς καὶ μόσχου γρ. ᾱ.

Τὸ γαλλώνιον.

Κρόκου γο. S. ἀλόης γο. ᾱ. μαστίχης γο. γ̄. ἀψινθίου καρποῦ γρ. η̄. οἰνάνθης γρ. η̄. φοίνικας μεγάλους γ̄. κηροῦ γο. γ̄. ἐλαίου μηλίνου γο. ϛ̄.

Τὸ ἐρυθρέον.

Στύρακος γο. ε̄. μήλων κυδωνίων γο. η̄. μασουχὰ ἢ μασουαφίου, κρόκου ἀνὰ ∠. ῑ. ψιχῶν, κύφεως ἀνὰ ∠. ε̄. οἰνάνθης γο. β̄ S. κασσάμου, ἀψινθίου ἀνὰ ∠. ῑ. καρυοφύλλου γρ. ιε. ἀμμωνιακοῦ θυμιάματος γρ. ῑ. ὀποβαλσάμου γρ. ϛ̄ S. νάρδου γο. ε̄. κολοφωνίας, γλευκίνου, μηλίνου,

μηλίνου, ἀνὰ γο. ι. ῥοδίνου < . ι. προπόλεως γο. ε. τερεβινθίνης γο. ι. μέλιτος κοχλιάρια ι. φύλλου < . ι. ναρδοστάχυος < . ι. κηροῦ γο. ζ. S. οἴνῳ φαλερίνῳ ἢ ἀμιναίῳ λέου.

Τὸ νείλου σπληνικὸν καὶ πρὸς πᾶσαν σκληρίαν.

Κηροῦ λι. α. ἀμμωνιακοῦ θυμιάματος λι. α. ἐλαίου κυπρίνου λι. α. κρόκου γο. S. οἱ δὲ γο. α. ὄξους τὸ ἀρκοῦν.

Τὸ κίτρινον.

Κηροῦ, κολοφωνίας ἀνὰ λι. α. ἀμμωνιακοῦ θυμιάματος, ἀρσενικοῦ, ἰτάνου, στυπτηρίας, ὄξους ἀνὰ κο. η. λέου διὰ ὄξει τὰ ξηρά.

Τὸ τοῦ κυρέως.

Πίσσης ξηρᾶς λι. α. κηροῦ, πιτυΐνης, ἀμμωνιακοῦ θυ. νίτρου, δαφνίδων ξηρῶν, στέατος ταυρείου ἀνὰ λι. β. ἀλεύρου τηλίνου ξε. α. γύρεως ξε. α. χαμαιλέοντος μέλανος τῆς ῥίζης ξηρᾶς λι. α.

Διὰ αἰγείας κόπρου ὀριβασίου. σπληνικὸς, ὑδρωπικὸς, ἥπατος ἐσκιρρωμένους.

Κυπρίνου ἢ παλαιοτάτου ἐλαίου λι. γ. κηροῦ λι. β. S. πυρέθρων αἰγῶν, δαφνίδων λελεπισμένων, ἴρεως ἰλλυρικῆς ἀνὰ ξε. ι. τερεβινθίνης λι. α. νάπυος, νίτρου, κυπέρου, ῥαφανίου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ ἀνὰ γο. γ. κολοκυνθίδος ἐντεριώνης γο. β. τήλεως γο. α. ὅτε δὲ ξηρὰ ἀναλαμβάνεται τοῖς τηκτοῖς, ὅτε ὄξει φυραθέντα. εἰ δὲ ῥέοι γαστὴρ, μὴ βλητέον κολοκυνθίδα. Διὰ αἰγείας κόπρου. τὸ σπόγγιον, ὑδρωπικοῖς.

Πίσσης βρυτίας λι. β. S. νίτρου λι. α. κολοκυνθίδος ἐντεριώνης, πυρέθρου, ὀποπάνακος, κόκκου κνιδίου, ἀνὰ γο. γ. καππάρεως ῥίζης φλοιοῦ, λιβάνου, ἴρεως, στέατος ταυρείου, ἐλατηρίου, λεπίδος χαλκοῦ, σελίνου σπέρματος, λαθυρίδων ἀνὰ γο. ς. δαφνίδων ξε. S. τήλεως ἀλεύρου γο. S. χολῆς ταυρείας γο. β. ἐλαίου κυπρίνου ξε. S. κηροῦ λι. α. φρυκτῆς λι. γ. αἰγείας κόπρου ὀρεινῆς, κάχρυος, κυπέρου, καρδαμώμου ἀνὰ γο. ς.

Τὸ διὰ δαφνίδων.

Κηροῦ, ῥητίνης, πίσσης, δαφνίδων, στέατος ταυρείου ἀνὰ λι. α. νίτρου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο. ς. ὄξους τὸ ἀρκοῦν.

Τὸ διὰ σπερμάτων.

Καρδαμώμου, κυπέρου, βράθυος, νίτρου, δαφνίδων, κασσίας, μελιλώτου, τήλεως, νάρδου κελτικῆς, σελίνου σπέρματος, σαμψύχου, ἀννήσου, πάνακος ῥίζης, λιβάνου, ἀμμωνιακοῦ θυμιάματος, τερεβινθίνης ἀνὰ γο. γ. μέλιτος, κηροῦ, νάρδου ἀνὰ λι. α. στέατος ταυρείου.

Τὸ δυσώδες πλευριτικόν.

Πιτυΐνης λι. α. κηροῦ, πηγάνου χλωροῦ, κυπρίνου ἀνὰ γο. ς. θείου ἀπύρου, ὀποπάνακος, σαγαπηνοῦ ἀνὰ < . δ. ἰνὲς καὶ χαλβάνης < . δ.

Τὸ διὰ σαμψύχου.

Κηροῦ λι. α. τερεβινθίνης λι. β. σαμψύχου, δαφνίδων, τήλεως ἀνὰ ξε. α. νάρδου τὸ ἀρκοῦν.

Τὸ ἀπολλωφάνους, πρὸς ἡπατικούς.

Κηροῦ < . π. τερεβινθίνης, μάννης ἀνὰ < . μ. ἰρίνου ὑποστάθμη ἀναλαμβάνεται καὶ ὑπάλειφε τὸν ὀλμόν. Κοπτὸν πρὸς σκληρίαν στομάχου καὶ ἥπατος. Προπόλεως γο. ς. στύρακος γο. β. μαστίχης γο. α. τερεβινθίνης γο. S. τρυγὸς νάρδου τὸ ἀρκοῦν.

Τὸ διὰ οἰνάνθης.

Οἰνάνθης, ἀλόης, κρόκου, ἀκακίας, στυπτηρίας σχιστῆς, ῥόδων ξηρῶν, ἀψινθίου χυ. κικίδος, ὀμφακίου, ῥοὸς συριακοῦ, μάννης ἀνὰ < . α. ἐλαίου μυρσινάτου, κηροῦ ἀνὰ λι. α. φοίνικας μεγάλους ε. οἴνου ἀμιναίου τὸ ἀρκοῦν.

Τὸ αὐτύλιον.

Στυπτηρίας σχιστῆς γο. S. ἀλόης γο. α. μαστίχης γρ. ς. οἰνάνθης γρ. ς. ὀμφακίου γρ. η. ῥόδων ξηρῶν γρ. κ. ῥοῦ συριακοῦ γρ. ι. ἀκάνθης αἰγυπτίας γρ. ι. βαλαυστίων γρ. κ. κικίδων γρ. ιε. κηροῦ γο. ε. ἐλαίου μηλίνου, τὸ ἀρκοῦν. Τὸ διὰ γιγάρτων.

Κρόκου, σπάνδικος, οἰνάνθης ἀνὰ γο. α. στυπτηρίας ξηρᾶς γο. δ. βαλαυστίων, ὀμφακίου, ῥόδων ἄνθους, μύρτων ξηρῶν ἀνὰ γο. β. κηροῦ τρακτοῦ λι. α. ἐλαίου μηλίνου λι. β. μήλων κυδωνίων γο. δ. φοίνικας νικολάους ι. οἴνου ἀμιναίου τὸ ἀρκοῦν. γιγάρτων ξηρῶν γο. η. ἐν δὲ τῇ χρήσει τοῦ φαρμάκου γο. γ. κηροῦ. α. Η ἀνηθίνη.

Ἀνήθου χλωροῦ γο. ς. μελιλώτου γο. β. χαμαιμήλου γο. β. κωδύας χλωρὰς ι. ἕψησας βάλλε τοῦ ζέματος λι. γ. καὶ ἐλαίου. ὅτε δὲ δαπανηθῇ τὸ ζέμα, ἐπίβαλλε στέατος χοιρείου προσφάτου λι. β. ἀφώσας τε κατ' ἰδίαν σκίλλης ὀπτῆς τοῦ ἐντὸς γο. β. καὶ μυελοῦ ἐλαφείου γο. β. πάντα μίσγε.

Ἡ ἀμβροσία λιξιπύρετος.

Λιθαργύρου λι. α. στέατος χοιρείου προσφάτου γο. ς. λινοσπέρματος χυλοῦ γο. ς. κηροῦ ξανθοῦ γο. θ. ῥοδίνου λι. α. μέλιτος γο. γ. κρόκου γο. α. τινὲς καὶ ὠῶν λεκύθους ι ὠμάς.

Περὶ ἀκόπων καὶ συγχρισμάτων καὶ δρωπάκων καὶ σιναπισμῶν. ιθ.

Ἄκοπα μὲν λέγεται ἐκ τοῦ πρώτως πρὸς τὰς κοπώδεις συναισθήσεις ἐξευρῆσθαι, οἷον τονώδεις, ἑλκώδεις, ὀστοκοπώδεις. ἁρμόζει δὲ καὶ ἑτέροις πλείοσιν. τὰ μὲν γὰρ αὐτῶν ἐστι θερμαντικά. τὰ δὲ μαλακτικά. τὰ δὲ ἀμυντικά. τὰ μὲν οὖν θερμαντικά, διά τε πεπέρεως, πυρέθρου, κάχρυος, καὶ τῶν ὁμοίων σκευαζόμενα. νεύρων τε πάθεσιν ἁρμόττει, καὶ ψύξεσιν ἰσχυραῖς καὶ δυσεκθερμάντοις. τὰ δὲ μαλακτικά, σκληρίαις τε καὶ σκίρροις καὶ σφηνώσεσιν ἄρθρων. ὧν τὴν ὕλην ἐν τῷ περὶ ἐμπλάστρων ἐδηλώσαμεν. τοῖς ἀμυντικοῖς δὲ, διά τε λημνισίδος καὶ κάχρυος, καὶ εὐφορβίου, καὶ κόκκου κνιδίου, καὶ τῶν ὁμοίων συντιθεμένοις, ἐπί τε τῶν χρονίων καὶ δυσεκμοχλεύτων, ἐφ᾽ ὧν καὶ σιναπισμὸς ἁρμόζει, χρώμεθα. τὴν δὲ σύστασιν, ἅπαντα τὰ ἄκοπα, μεταξὺ κηρωτῆς τε καὶ ἐμπλάστρων ἔχειν προσήκει. καὶ τὰ συγχρίσματα δὲ τοῖς ἀκόποις ὄντα παραπλήσια, τὴν σύστασιν ὑγροτέραν πως ἔχει. ὁ δὲ δρῶπαξ, σκευασίαν μὲν διττὴν ἔχει. τὴν μὲν ἐμπλάστρῳ, τὴν δὲ μαλάγματι παραπλησίαν. τινὲς δὲ καὶ καταχρίουσιν αὐτὸν θερμόν. ὕλην δὲ, τοῖς ἀκόποις τε καὶ ἐμπλάστροις ἐμφερῆ. χρείαν δὲ παρέχεται καταπλάσματος, ἁρμόζων χρονίοις πάθεσιν τοῖς αὐτοῖς, οἷς καὶ σιναπισμός. καὶ πρὸ μέλλοντος σιναπισμοῦ παραλαμβανόμενος, εἰς τὸ προπαρασκευάσαι τῷ νάπυϊ τὸ σῶμα. ἢ μετὰ σιναπισμοῦ, εἰς τὸ ἐκκόψαι τὸ λείψανον τῆς διαθέσεως. ὁ δὲ σιναπισμὸς, ὕλην μὲν οὐκ ἔχει ποικίλην, δραστικώτατος δέ ἐστι, τοῖς χρονίοις μάλιστα πάθεσιν μετὰ τὸ ἐλεγχθῆναι τὴν τῶν ἄλλων βοηθημάτων δύναμιν, ἁρμόζων. εὐχρηστεῖ δὲ μάλιστα κεφαλαίᾳ, ἑτεροκρανίᾳ, ἐπιληψίᾳ, σκοτώμασιν, μανίᾳ, τῇ κεφαλῇ προσφερόμενον. ἐπὶ δὲ ἄσθματος, ὀρθοπνοίας, βηχὸς χρονίας, τῷ θώρακι. ἐπὶ δὲ κατάρρῳ χρονίῳ, καὶ τὴν κεφαλὴν σιναπιστέον σὺν τῷ θώρακι. καὶ στόμαχον δὲ καὶ γαστέρα σιναπίζομεν, ἐπὶ τοῖς χρονίοις αὐτῶν πάθεσι. κατάλληλον δὲ τὸ βοήθημα καὶ ἰσχιαδικοῖς καὶ ποδαγρικοῖς, καὶ παντὶ μορίῳ παρειμένῳ, ἢ ἄλλως πως κατεψυγμένῳ δυσεκθερμάντως. μέτρον δὲ τῆς ἐνεργείας ἔσω τοῦ φαρμάκου, τὸ ὀδυνηθῆναι μὲν ἰσχυρῶς, πελιδνοτέραν δὲ καὶ ὑψηλοτέραν γενέσθαι τὴν σάρκα. καὶ μετὰ λουτρὸν, φλυκταινωθῆναι πραέως. εἰ δὲ καὶ αἴσθησις ἀπολοῖ, προσεκτέον, ὅτι μὴ συναισθανόμενοι λανθάνουσι ἀμέτρως κατακαιόμενοι, καὶ συχνότερον ἀνασκέπτοντα κατανοεῖν. καὶ τῶν ὀξέων δὲ παθῶν, ληθαργικοὺς μὲν καὶ ἄλλως καταφερομένους καὶ κατόχους σιναπίζομεν. ἐν ἀρχῇ μὲν ἐν ταῖς σκέλεσιν. στάσιν δὲ λαβούσης τῆς ὕλης, ἐν τῇ κεφαλῇ. τῶν δὲ περιψυχομένων ἀνεκθερμάντως, σκέλη τε καὶ ἀγκῶνας σιναπιστέον. παραιτητέον δὲ τὸν σιναπισμὸν ἐπὶ τῶν συνεκτικῶς πυρεσσόντων, καὶ ἕλκος ἐχόντων, ἐπί τε χονδρωδῶν καὶ ἀσάρκων. κατακαίεται γὰρ, ἐνίοτε δὲ καὶ μελαίνεται, τὰ ἄσαρκα σιναπιζόμενα.

Τὸ βρόμιον.

Κηροῦ, κολοφωνίας, ῥητίνης ἀνὰ λι. α. στέατος χοιρείου γο. δ. βουτύρου γο. ς. ἀλθαίας, τήλεως, λινοσπέρμου ἀνὰ λι. β. ἐλαίου λι. α. χαλβάνης γο. β. S. ἑψήσας τὸν χυλὸν μετὰ τοῦ ἐλαίου ἕως οὗ δαπανηθῇ τὸ πολὺ τοῦ χυλοῦ, τὰ λοιπὰ ἐπίβαλλε σὺν τῇ κηροχαλβάνῃ.

Τὸ ποικίλον.

Χυλοῦ ἀλθαίας, καὶ τήλεως καὶ λινοσπέρμου καὶ πηγάνου καὶ κυμίνου ἀνὰ λι. β. μυελοῦ ἐλαφείου λι. α. ἐλαίου παλαιοῦ λι. α. στέατος χηνείου, ὀποβαλσάμου, νάρδου ἀνὰ λι. α. κηροῦ, κολοφωνίας καὶ ῥητίνης ἀνὰ λι. α. S. εὐφορβίου, τερεβινθίνης, ὀποπάνακος ἀνὰ γο. ς. κασσίας γο. γ. τῶν δὲ βοτανῶν ἐξ ὧν ὁ χυλὸς γίνεται, ἀνὰ λι. α. βλητέον. καὶ ἕψειν, ὡς τὸ πρὸ αὐτοῦ.

Τὸ τοῦ ἀζανίτου.

Στέατος χοιρείου λι. β. στέατος ταυρείου, ῥητίνης, κολοφωνίας, οἰσύπου φαρμάκου, κηροῦ ἀνὰ λι. α. χαλβάνης γο. γ.

Τὸ βασιλείου.

Ἀλθαίας, χαμαιμήλου, μελιλώτου, λινοσπέρμου, τήλεως. ἀνὰ γο. α. S. ἀμώμου γο. γ. ταῦτα βρέχονται εἰς οἴνου ἀσκάλωνος ἢ κιλικος ξ. η. ἐπὶ ἡμέρας γ. καὶ ἕψονται ἕως μελιτώδους συστάσεως. εἶτα τοῦ χυλοῦ λι. ε. σὺν ἐλαίῳ παλαιῷ λι. δ. S. ἕψονται ἕως οὗ μέτριον καταλειφθῇ τοῦ χυλοῦ. καὶ ἐπιβάλλεται βουτύρου γο. ς. τερεβινθίνης γο. δ. στέατος χηνείου γο. ιε. μυελοῦ ἐλαφείου σὺν ὀλίγῳ τοῦ ἐλαίου λειωθέντος γο. ε. κηροῦ τρακτοῦ λι. γ.

Τὸ λυσιπόνιον.

Πεπέρεως, κασσίας, στύρακος, μαστίχης, ἀλόης, ἐλατηρίου, ἴρεως ἀνὰ γο. δ. εὐφορβίου, κόστου, ἀμ-

μωνιακ

μωνιακοῦ θυμιάματος, σμύρνης, σαμψύχου, λιβάνου, κυπέρων, κασσίας σύριγγος, κάχρυος ἀνὰ Γο.γ̄. ἀδάρκης, ἀμώμου, βδελλίου, ξυλοβαλσάμου ἀνὰ Γο.β̄. μαλαβάθρου, ναρδοστάχυος, πυρέθρου, κρόκου ἀνὰ Γο.ᾱ. ὀποβαλσάμου λι.ᾱ. ναρδίνου, κυπρίνου, γλευκίνου, ἀνὰ λι.ϐ̄. κηροῦ λι.ᾱ.

Τὸ δυσῶδες ἐκ τῶν κατὰ γένος.

Κηροῦ, τερεβινθίνης ἀνὰ < .κ̄δ. χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < .ς̄. ἐλαίου παλαιοῦ Κο β̄. μυελοῦ ἐλαφείου < .η̄. χρῶ ἀκράτῳ καὶ ἀνειμένῳ.

Ἄλλο τὸ δυσῶδες.

Τερεβινθίνης < .ῑς, κηροῦ < .κ̄η. οἰσύπου, μέλιτος ἀνὰ < .ς̄. ἐλαφείου μυελοῦ Γο.ς̄. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης, ἀφρονίτρου, δαφνίδων ἀνὰ Γο.ς̄. ἐλαίου παλαιοῦ ξ.ᾱ. οἴνου κυάθοι β̄. τινὲς καὶ καστορίου < .γ̄.

Τὸ βαρβαρικὸν διὰ εὐφορβίου πρὸς ἰσχιαδικοὺς, καὶ ἄλλα πολλά.

Ὀποπάνακος Γο.ᾱ. κηροῦ τυρρηνικοῦ λι.ᾱ. τερεβινθίνης λι.β̄. S. χαλβάνης Γο.ᾱ. ἀμμωνιακοῦ θυμιάματος Γο.β̄. εὐφορβίου, καστορίου, πεπέρεως λευκοῦ ἀνὰ Γο.ϐ̄. μυελοῦ ἐλαφείου Γο.δ̄. οἰσύπου Γο.δ̄. λημνησίδος, ἔστι δὲ ἡ ἀδάρκη Γο.S. ἐλαίων συρακίνου, δαφνίνου, ἰρίνου, ἀμαρακίνου ἀνὰ Γο.ς̄. ἐλαίου παλαιοῦ λι.ϐ̄. ἡδυχρόου Γο.ς̄.

Ἡ πυξίς.

Κολοφωνίας λι.ᾱ. S. τερεβινθίνης Γο.η̄. ἀμμωνιακοῦ θυμιάματος Γο.γ̄. λιβάνου Γο.θ̄. ἐλαίου παλαιοῦ λι.β̄. χ̈. λινοσπέρμου λι.ᾱ. γάλακτος βοείου λι.ᾱ. στεάτων χηνείων Γο.ς̄. βουτύρου Γο.η̄. ᾠῶν η̄ δ τὰ λευκά. σκευάσας ἀπόθου ἐν ἀγγείῳ πυξίνῳ.

Τὸ διὰ τῶν ἐλάτης. Γαληνοῦ.

Ἐλάτης σπέρματος πεφθέντος μόδιος ἰταλικὸς ᾱ. τουτέστι ξ.ῑϐ. ἐλαίου λι.ῑε. κηροῦ λι.δ̄. ῥητίνης στροβιλίνης ἢ τερεβινθίνης Γο.δ̄. συνθλάσας τὸ σπέρμα τῶν ἐλάτης, ἔμβαλλε εἰς τὸ ἔλαιον. καὶ ἐάσας ἡμέρας μ̄ ἐκπιέσας ῥίψον, καὶ μίξας τὰ λοιπὰ χρῶ πρός τε τοὺς αὐτομάτους κόπους καὶ παρέσεις καὶ τὰς τῶν ἄρθρων ψύξεις. εἰ δὲ κατεπείγοι τὰ τῶν χρείας, ἕψειν δεῖ τὸ σπέρμα τῶν ἐλάτης σὺν τῷ ἐλαίῳ, ἐπιμίξαντας ὑπὲρ τοῦ μὴ καυθῆναι καὶ ὕδατος ξ.δ̄. ἐπὶ τῶν ποδαγρικῶν τε καὶ ἀρθριτικῶν παθῶν.

Ἄλλο τὸ αὐτό.

Ἐλαίου Κο κ̄ε. τουτέστι ξ.ῑϐ.S. τοῦ καρποῦ τῶν ἐλάτης μ̈ ᾱ. τουτέστι λι.ᾱ.S. ῥητίνης ἐλατίνης λι.γ̄. στροβιλίνης ἢ τερεβινθίνης λι.γ̄. κηροῦ λι.ᾱ.

Τὸ διὰ τῶν αἰγείρου πρὸς τὰ αὐτὰ πάθη.

Ἀντὶ τοῦ καρποῦ τῆς ἐλάτης, τοῦ τῶν αἰγείρου καρποῦ τὸ ἴσον ποσὸν βαλὼν, καὶ τὰ λοιπὰ ὁμοίως ἐκείνῳ σκεύαζε.

Τὸ ζωσίμου σύγχρισμα. πρὸς ῥόμβους πεμβόντων.

Πιτυΐνης Γο.ῑς. κηροῦ Γο.δ̄. ἐλαίου παλαιοῦ λι.ᾱ. ὀποπάνακος Γο.ϐ̄. ἀδάρκης Γο.ᾱ. εὐφορβίου Γο.ᾱ. νίτρου Γο.δ̄. ἀφρονίτρου ἀπαλῶν Γο.δ̄. νίτρον, εὐφόρβιον, ἀδάρκην λέα σὺν οἴνῳ. εἶτα ἐπίβαλλε ὀποπάνακα καὶ συλλειοτρίβει. χωρὶς δὲ τὰ τηκτὰ μετὰ ἀγχούσης τῆξον, ἵνα χρωσθῇ. καὶ ψύξας ἀναλάμβανε.

Δρῶπαξ, ὁ Γάλλος. Ὀρειβασίου.

Κολοφωνίας τῶν λιβανιζούσης, πιτυΐνης καὶ τῆς ξυλώδους καλουμένης ἐν ἰταλίᾳ μόνῃ γενομένης. ἀρχύματος, πίσσης ξηρᾶς ἀνὰ λι.δ̄. κηροῦ λι.δ̄. φρυκτῆς Γο.ῑε. πίσσης βρυτίας λι.β̄. νίτρου λι.ᾱ. ἀσφάλτου, χαλβάνης, ἀδάρκης, πυρέθρου ἀνὰ Γο.ς̄. ὀποπάνακος, εὐφορβίου, ἐλλεβόρου λευκοῦ, πεπέρεως ἀνὰ Γο.δ̄. θείου ἀπύρου Γο.γ̄ καστορίου, ἀμμωνιακοῦ, σταφίδος ἀγρίας ἀνὰ Γο.ϐ̄. ἐλαίου σικυωνίου λι.ᾱ. ὀποβαλσάμου Γο.ς̄.

Ἄλλως ἁπλοῦς.

Κηροῦ λι.ᾱ. πίσσης ξηρᾶς λι.ᾱ. S. βρυτίας λι.ᾱ. πιτυΐνης λι.ᾱ. S. φρυκτῆς λι.ᾱ. Γο.γ̄. προκνιζώσας τὸν τόπον, ἐπιτίθει.

Σιναπισμοῦ σκευή.

Πρὸ μιᾶς ἡμέρας δεῖ τὰς ἰσχάδας ἀποβρέχειν ὕδατι χλιαρῷ. καὶ τῇ ἑξῆς ἡμέρᾳ γενναίως ἀποθλίψαντα, λεαίνειν ἰσχυρῶς. εἶτα δριμὺ νάπυ ὁποῖον τὸ συριακὸν καὶ τὸ αἰγύπτιον τρίβειν κατ᾽ ἰδίαν, παραχέοντα τοῦ ἀποβρέγματος. καὶ ποιήσαντα μάζας, μίσγειν. εἰ μὲν σφοδρῶς βουλοίμεθα σιναπίζειν. β̄. μέρη τοῦ νάπυος πρὸς ἓν τῶν ἰσχάδων. εἰ δὲ ἀμυδρῶς, τὸ ἀνάπαλιν. εἰ δὲ συμμέτρως, ἐξ ἴσου. τὸ δὲ νάπυ πρὸ τῶν τρίψεως ὄξει ἀποβρεχόμενον, ὥς τινες ποιοῦσιν, ἀμυδρότερον γίνεται. μετὰ δὲ τὴν κάθαρσιν τοῦ νάπυος, καὶ τὴν τοῦ λουτροῦ χρῆσιν, ἐὰν ὀδύνη

σφοδρὰ ἢ ἐρύθος ἐπιγένηται καὶ φλυκταίναι. χυλῷ μαλάχης ἢ τήλεως σὺν ῥοδίνῳ βρέξαντες ὀθόνην, ἐπιθήσομεν. εἶτα ῥοδίνῃ κηρωτῇ μετὰ ψιμυθίου χρησώμεθα. ἐπὶ δὲ τῶν προειρημένων, ἐφ᾽ ὧν ἡ αἴσθησις παραβέβλαπται, προσέχειν δεῖ, συχνότερον ἀποσκέπτοντα καὶ θεωροῦντα. μὴ συνεπαισθανόμενοι γὰρ πολλάκις ἀμέτρως ἐφλέχθησαν. καὶ τῶν αἰγῶν αἱ σπύραθοι σὺν ὄξει καταπλασσόμεναι, τοῦ νάπυος εἰσὶν ἀνυσιμώτεραι. καὶ μάλιστα ἐπὶ τῶν ἰσχιάδων.

Τὸ διὰ τοῦ γραφικοῦ μέλανος, φοινίσσον ἰδίως μάλιστα τοὺς ἡμικρανικούς. ἐκ τῶν Ἀλεξάνδρου.

Εὐφορβίου, μέλανος γραφικοῦ ἀνὰ < .δ΄. σμύρνης τρωγλοδύτιδος, κροκομάγματος, πεπέρεως λευκοῦ ἀνὰ γο. γ΄. κρόκου < .β΄. ὄξους τὸ ἀρκοῦν, ὡς λειωθῆναι ταῦτα καλῶς καὶ ὅμοιον αὐτὸ γλοιῷ γενέσθαι τὸ πάχος. καὶ τότε κατάχριε, ἀρξάμενος ἀπὸ τῆς μεσοφρύου ἄχρι τοῦ κροτάφου ὅλου. καὶ μάλιστα εἰ ψιλὸς τριχῶν εἴη. καὶ μετὰ τὸ ψυγῆναι, πάλιν κατάχριε. καὶ ὅταν καλῶς ἐνεργήσῃ τὸ βοήθημα, εἰς λουτρὸν ἄπαγε τὸν ἄνθρωπον.

Ἐλαίων καὶ μύρων σκευασίαι διάφοροι.

Τῶν ἀλειμμάτων καὶ μύρων ἤγουν ἐλαίων μυρωδῶν, τὰ μέν ἐστιν ἁπλᾶ, ἑνὸς εἴδους ἐπιβαλλομένου τῷ ἐλαίῳ. τὰ δὲ σκευαζόμενα, καὶ ἐκ πλειόνων σύνθετα. καὶ τῶν ἁπλῶν, τὰ μὲν ἐξ ἀνθῶν συντιθεμένων ἐν τῷ ἐλαίῳ γίνεται. οἷον ῥόδινον, χαμαιμήλινον, σούσινον. τὰ δὲ ἀπὸ καρπῶν τε καὶ σπερμάτων, τὰ δὲ καὶ ἀπὸ βλαστῶν τινῶν, οἷον πηγάνου. ἃ καὶ συνέψεται τῷ ἐλαίῳ, μηδενὸς τῶν ἀνθῶν ἐπιδεχομένου ἕψησιν, διόπερ ἡλιοῦται μᾶλλον. ἀλλ᾽ εἰ μὲν ἰσχυρὰν ἔχοι τὴν εὐωδίαν καὶ μόνιμον, πλειόνων ἡμερῶν ἡλιούμενα, λεπτομερέστερα καὶ μᾶλλον εὐώδη ἐστὶ γίνεται, ὥσπερ τὸ ῥόδινόν τε καὶ χαμαιμήλινον. ὅσα δὲ ἀτονώτερα καὶ εὐδιαφόρητα τῶν ἀνθῶν, ἥττω φέρει τὴν ἡλίωσιν, ῥᾳδίως διαπνεόμενα, καθάπερ τὸ κρίνον τε καὶ ἴον. τῶν δὲ ἀπὸ καρπῶν τε καὶ σπερμάτων γινομένων, τὰ μὲν αὐτῶν ὅλων ἐμβαλλομένων τῷ ἐλαίῳ γίνεται, ὥσπερ τὸ μήλινον. τὰ δὲ κοπτομένων ἢ ἀλλοιουμένων, καὶ τοῦ ἐν αὐτοῖς ἐλαιώδους χωριζομένου, ἤτοι πιεζομένων αὐτῶν ἐν κοχλίαις, ἢ δι᾽ ὕδατος θερμοῦ, καὶ διακρινομένων αὐτῶν. ὡς καρύϊνον, σησάμινον, ἀμυγδάλινον, σχίνινον, δάφνινον, κίκινον, ῥαφάνινον καὶ τὰ τοιαῦτα. τὰ δὲ σύνθετα ἐκ φυτῶν ἀρωματικῶν ὡς μάλιστα σκευάζεται, ἐνεψομένων τῷ ἐλαίῳ μετὰ οἴνου ἢ γλεύκους ἢ ὕδατος, καὶ ἀποσειρουμένων. ἀναμιγνυμένων δὲ τῷ ἐλαίῳ τινῶν ὀπῶν, ἐνίοτε δὲ καὶ στεάτων ἢ μυελῶν. τούτων δὲ τὰ μὲν ἀκριβῶς ἐλαιώδη τὴν σύστασιν, ἁπλῶς μύρα ἢ ἀλείμματα λέγεται, ὡς γλεύκινον, νάρδινον, σικυώνινον, κύπρινον. τὰ δὲ σύστασιν ἀκόπων ἔχει, κηρὸν ἢ ῥητίνην ἤ τι τοιοῦτον δεχόμενα. καὶ μυράκοπα προσαγορεύεται. καθάπερ τὸ δεκάμυρον, καὶ ἀμαράκινον, καὶ τὰ τούτοις ἐμφερῆ. 3
καὶ τὰ μὲν μονημέρως ἕψεται, ὅσα τὴν ὕλην οὐ ποικίλην ἔχει, ὥσπερ μετώπιον, μαστίχινον, σικυώνιον. τὰ δὲ διὰ δυοῖν ἢ τριῶν καὶ τεσσάρων ἐμβολῶν. πρῶτον μὲν δυσπαθεστέρων ἑψομένων, οἷον ἀσπαλάθου, ἀσπάλαθης δένδρου, λιβάνου, δάφνης, ἔπειτα δὲ τῶν ἀρωμάτων, φύλλου, ναρδοστάχυος, ἀμώμου, βράθυος. ὕστατα δέ, τῶν ὀπῶν καὶ στεάτων καὶ μυελῶν, εἰ δὲ τύχοι, καὶ κηροῦ καὶ ῥητινῶν ἐμβαλλομένων. ὁ δὲ τοῦ βαλσάμου ὀπός, οὐδ᾽ ὅλως ἕψεται. μετὰ δὲ τὴν τελείαν ἕψησιν, μετρίως ψυγέντι τῷ μύρῳ, ἐμβάλλεται. καὶ αὐτὸ δὲ τῶν μύρων. τινὰ οὐ δὲ τὸ παράπαν ἕψησιν ἐπιδέχεται, ἀλλὰ μίγνυται μόνον, ὥσπερ τὸ μενδήσιον. τινὲς δὲ χλωρὸν ἐργάσασθαι τὸ μύρον βουλόμενοι, βάπτουσιν αὐτὸ μετὰ τὸ καθελεῖν ἐκ τοῦ πυρὸς εἰς τὰς λι. ε΄. τοῦ ἐλαίου, ξ. ἰοῦ τοῦ ξυστοῦ λειωθέντος ἀκριβῶς μίαν καὶ S. ἐμβάλλοντες γο. ὥσπερ ἐπὶ κυπρίνου καὶ ἀμαρακίνου. δύναμιν δέ, τὰ μὲν ἁπλᾶ μύρα τὴν τῶν ἐμβαλλομένων ἐν αὐτοῖς εἰδῶν, ἢ ἐξ ὧν κοπτομένων γέγονεν, ἔχει. οἷον ὕλης λόγον ἐπέχοντος τοῦ ἐλαίου. τῶν δὲ ποικιλωτέρων, ἅπασα μὲν ἡ φύσις ἐπὶ τὸ θερμὸν νένευκεν. ἀλλὰ τὰ μὲν ἰσχυρῶς τε θερμὰ καὶ μαλακτικά, ὡς καὶ τοῖς ἠγκυλωμένοις τε καὶ σφηνουμένοις ἁρμόττειν, καθάπερ μετώπιον, μενδήσιον, μαρκίατον. μετριώτερον δέ, τὸ πεντάμυρον. ὥσπερ αὐτὸ δὲ κάμυρον ἰσχυρότερον, ὡς καὶ τὴν ἐπιφάνειαν ξέειν. τὰ δὲ μετρίως μὲν θερμά, λεπτομερῆ δὲ καὶ παρηγορικὰ καὶ συμπεπτικά, οἷον ἐστὶ σούσινον, ἀμαράκινον, ἴρινον, κρόκινον, φωλεάτινον. τὰ δὲ πρὸς τὸ θερμαίνειν ἱκανῶς ξηραίνοντα καὶ τμητικά, ὥσπερ τὸ κύπρινόν τε καὶ σικυώνιον. τὰ δὲ θερμὰ μὲν ἱκανῶς, τονωτικὰ δὲ μᾶλλον, ὅθεν στομάχῳ μάλιστα καὶ σπλάγχνοις ἐκλελυμένοις ἁρμόττει. τοιαῦτα δέ ἐστι, μαστίχινον, νάρδινον, γλεύκινον. τονωτικώτερον δὲ τὸ διὰ τοῦ ὀμφακίου. τινὰ δὲ τῶν μύρων δι᾽ εὐωσμίαν μόνον αἱ γυναῖκες χρῶνται, ὡς τὸ φωλεάτῳ καὶ σπικάτῳ καὶ κομμαγηνῷ. καὶ τοῖς καλουμένοις μοσχελαίοις. 50

Ῥοδίνου.

Ῥόδων ἐρυθρῶν ὠνυχισμένων καὶ διεψυγμένων νυχθήμερον α΄. γο. γ΄. ἐλαίου ὀμφακίνου ξ. ἰταλικὸν α΄. περισφίγξας ἐπιμελῶς τὸν βῖκον ὡς μὴ διαπνεῖσθαι, ἡλίου ἐν ὑπαίθρῳ ἐπὶ μ΄ ἡμέρας, καὶ

ρας, καὶ τότε ἀποτίθεται μὴ ἐπ' ἐδάφους, ἀλλ' ἐπὶ σανίδος. τινὲς δὲ ἀντὶ τῆς ἡλιώσεως καθιᾶσιν εἰς φρέαρ τὸν βῖκον τὰς μ̄ ἡμέρας, διὰ τὸ ἐκ τῆς ψύξεως διαφυλαχθῆναι τὴν εὐωδίαν. ἄλλοι δὲ κατορύττουσιν αὐτὸν ἐπὶ τῆς γῆς.

Χαμαιμήλινον.

Χαμαιμήλων ἄνθους χωρὶς τῶν λευκῶν πετάλων, διεψυγμένου νυχθήμερον ᾱ. γο. β̄. ἐλαίου ξ. ἰταλικὸν ᾱ. σκεπάσας τὸ ἀγγεῖον ὀθόνῃ ἁπλῇ ὥστε διαπνεῖσθαι, ἡλίου καὶ τοῦτο ἐπὶ μ̄ ἡμέρας. μεθ' ἃς ἀσφαλῶς πωμάσας, ἀπόθου.

Ἀνήθινον.

Ἀνήθου χλωροῦ τῆς κόμης διεψυγμένης γο. ᾱ. ἐλαίου γλυκέος ξ. ἰταλικὸν ᾱ. ὁμοίως ἡλίου. γένοιτο δ' ἂν καὶ πρὸς καιρὸν ἀνήθινον, μὴ παρόντος τοῦ ἡλιασμοῦ. ξηροῦ γὰρ ἀνήθου τὴν κόμην ἕψοντες μετ' ἐλαίου ἐν διπλώματι, χρῶνται. καὶ χαμαιμήλινον ὡσαύτως. ἀσθενέστερα δὲ ταῦτα τῶν ἀπὸ τῶν χλωρῶν εἰσίν, καὶ μάλιστα τῶν ἡλιουμένων.

Κρίνινον. οἱ δὲ σούσινον, διὰ τὸ ἐν Σούσοις ἴσως εὑρεῖσθαι.

Τῶν πετάλων τῶν λευκῶν κρίνων ὁμοίως διεψυγμένων γο. β̄. εἰς τὸν ἰταλικὸν τοῦ ἐλαίου ξ. ἐμβαλλόμενα, περισφίγγονται ἀκριβῶς ὡς μὴ διαπνεῖσθαι, καὶ ἡλιοῦνται τρεῖς ἡμέρας. μεθ' ἃς τῶν πρώτων ἀποσιρωθέντων καὶ ῥιφθέντων, ἄλλαι β̄. γο. ἐμβάλλονται ἄλλας γ̄ ἡμέρας. καὶ οὕτως ἀποτίθενται.

Σούσινον σύνθετον.

Ἐλαίου ξ. γ̄. καλάμου ἀρωματικοῦ λι. ε̄. σμύρνης γο. ε̄, καρδαμώμου λι. γ̄. κρίνου τῶν πετάλων ἐξωνυχισμένων καὶ ἐψυγμένων λι. ῑ. κινναμώμου γο. ῑ. κρόκου κυλικίου γο. ε̄. εἰς τρεῖς ἐμβολὰς διαιρετέον τὴν ὅλην σκευήν. καὶ πρῶτον μὲν τὴν σμύρναν καὶ τὸν κάλαμον οἴνῳ βρέξαντες ἐπὶ ε̄ ἡμέρας, κινοῦντες τρὶς τῆς ἡμέρας, τότε συνεψήσωμεν τῷ ἐλαίῳ πρὸς ὀλίγον. δεύτερον δὲ τὸ καρδάμωμον, ὕδατι ἀποβρέξαντες τρεῖς ἡμέρας, κινοῦντες ὁμοίως, συνεψήσωμεν πάλιν μετὰ τοῦ ἐλαίου ἐπὶ μίαν ὥραν. εἶτα σιρώσαντες, τῷ ἐλαίῳ καθαρῷ ἐμβαλοῦμεν τὸ τρίτον μέρος τῶν κρίνων. καὶ μετὰ τρεῖς ἡμέρας σιρώσαντα, τὸ ἄλλο τρίτον ἐμβάλλειν τῶν κρίνων. καὶ αὖθις μετὰ τρεῖς σιρώσαντα, καὶ ῥίψαντα τὰ πρῶτα, τὸ τελευταῖον γ̄ ἐμβαλεῖν σὺν τῷ κρόκῳ λειωθέντι. μετ' ἄλλας δὲ γ̄ ἡμέρας σιρωθέντι τῷ ἐλαίῳ, τὸ κιννάμωμον κεκομμένον ἐμβαλεῖν. ἀντὶ αὐτοῦ τὸ ἀρνάβω ἢ κασσίας τὸ διπλοῦν ἢ καρπήσιον. καὶ ἀποτίθεσθαι.

Ἴασμον.

Ἴασμον σκευάζουσιν, οἱ μὲν τῶν πορφυρῶν, οἱ δὲ τῶν κροκίνων, ἄλλοι δὲ τῶν λευκοΐων τῶν φύλλων ὀνυχισθέντων ἐμβάλλοντες γο. γ̄, εἰς τὸν ἰταλικὸν ξ. ε̄. ἐλαίου ὀμφακίνου. καὶ περισφίγξαντες ἀκριβῶς ὡς μὴ διαπνεῖσθαι, ἡλιοῦσιν ἡμέρας ῑ. τρίβον αὐτὰ ἀλλάσσοντες ὑπὲρ τρεῖς ἡμέρας, ὥσπερ τὰ κρίνα. καὶ εἰς τὴν ἀπόθεσιν δὲ ὀλίγα ἐμβάλλουσιν, ἀκριβῶς ξηρά.

Μήλινον.

Τοῦτο γίνεται, τῶν κυδωνίων μήλων ἔξωθεν ῥάκει καταμαγέντων καὶ τεμμαχισθέντων ἅμα τοῖς λεπίσιν. εἶτα ἐμβληθεισῶν αὐτῶν γο. γ̄. εἰς ξ. ῑ ἰταλικοὺς ἐλαίου ὀμφακίνου, καὶ ἡλιωθέντων ἐπὶ μ̄ ἡμέρας.

Σησάμινον.

Σησάμινον ἔλαιον, γίνεται κοπτομένων ἢ ἀλουμένων τῶν σησάμων καὶ ἐκπιεζομένων διὰ κυρτίδων ἐπὶ κοχλίων. ἤγουν ἐν ὕδατι θερμῷ διακρινομένου τοῦ ἐλαιώδους αὐτοῦ, καὶ ἀποτιθεμένου ἐν ἀγγείοις ὑελίνοις.

Ῥαφάνινον.

Καὶ τοῦτο, τὸν αὐτὸν τρόπον ἐν Αἰγύπτῳ γίνεται ἀπὸ τοῦ σπέρματος τῶν λεπτορρίζων ῥαφάνων κοπτομένων καὶ διακρινομένων.

Κίκινον.

Καὶ τοῦτο τὸν αὐτὸν τρόπον ἐν Αἰγύπτῳ γίνεται ἀπὸ τοῦ σπέρματος τοῦ κίκεως, ὃ καλεῖται κρότων, ὁμοίως κοπτομένου ἢ λειουμένου.

Αἰγείρινον.

Κατὰ τὸν καιρὸν τοῦ ἦρος γίνεται, ὅτε πολλὴ περὶ τὸ σπέρμα ἐστὶ ῥητίνη. τοὺς γὰρ κόκκους ἐνθλάσαντες τῆς αἰγείρου γο. δ̄ τούτων ἐμβάλλουσιν, εἰς ξ. ᾱ. γλυκέος ἐλαίου. καὶ ἡλιοῦσιν ἡμέρας μ̄, ἢ ἕψουσιν ἐπὶ διπλώματος ὥρας γ̄, καὶ οὕτω διασιρώσαντες ἀποτίθενται.

Ἀμυγδάλινον.

Γίνεται μὲν καὶ τοῦτο καθάπερ τὸ προειρημένον, κοπτομένων τῶν πικρῶν ἀμυγδάλων καθα

ρῶν, περαινομένου καὶ βραχέως ὕδατος, καὶ διακρινομένων ὡς εἴρηται. τινὲς δὲ κοπέντων τῶν ἀμυγδάλων Γο. β̄. εἰς τὸν ἰταλικὸν ξ. ἐλαίου γλυκέος ἐμβάλλοντες, ἕψουσιν ἐν διπλώματι.

Ἀμυγδαλάινον ὃ καὶ μετώπιον.

Αἰγύπτιοι παρὰ τὸ ἔλαιον ἐξευρηκότες, μετώπιον αὐτὸ προσηγόρευσαν. ὅτι χαλβάνην λαμβάνει. τὸ δὲ φυτὸν ἐξ οὗ γίνεται ἡ χαλβάνη, μετώπιον καλεῖται. λαμβάνει δὲ ταῦτα. ἐλαίου ὀμφακίνου ξ. η̄. ἀμυγδάλων πικρῶν λι. β̄. καρδαμώμου λι. ᾱ. σχοίνου ἄνθους, καλάμου ἀρωματικοῦ, καρποβαλσάμου ἀνὰ λι. ᾱ. σμύρνης, χαλβάνης ἀνὰ Γο. ϛ̄. τερεβινθίνης λι. β̄. οἴνου εὐώδους εἰς τὸ ἐμβρέξαι τὰ ξηρὰ ξ. δ̄. μέλιτος ἀττικοῦ λι. γ̄. τὴν ῥητίνην καὶ τὴν χαλβάνην λειωθείσας, μετὰ μέρους τοῦ ἐλαίου λύσαντες ἐμβαλοῦμεν τοῖς ἄλλοις ἑψηθεῖσι. καὶ τότε τὸ μέλι. μιχθέντα δὲ ἀκριβῶς ἅπαντα καθέλοντες, ἕως ὅτε χλιαρόν ἐστι σιροῦμεν. παχὺ γὰρ γίνεται ψυχόμενον.

Βαλάνινον.

Καὶ τὸ βαλάνινον δὲ παραπλησίως τῷ ἁπλῷ ἀμυγδαλίνῳ γίνεται, ἀπὸ τῶν ἐν ταῖς δρυσὶ βαλάνων.

Καρύϊνον.

Καὶ αὐτὸ δὲ παραπλησίως τοῖς εἰρημένοις ἐκ τῶν παλαιῶν καρύων γίνεται.

Δάφνινον.

Τὸ μὲν καθαρόν, τὸν ὅμοιον γίνεται τρόπον ἐκ τοῦ τῆς δάφνης καρποῦ. τὸ δὲ συμμιγές, οὕτω προσέξει. τῶν πεπείρων ἐλαιῶν ξ. ᾱ. εἰς ξ. β̄. τῶν δαφνίδων ἐμβάλλεται, καὶ τρίβεται πάντα καὶ πιέζεται. τινὲς δὲ τὸ ἴσον ἐξ ἀμφοῖν μίσγουσιν.

Σχίνινον.

Καὶ τοῦτο τὸν ὅμοιον τρόπον τῷ δαφνίνῳ σκευάζεται, ἀπὸ τοῦ καρποῦ τοῦ σχίνου. διττῶς, καθ' αὐτόν τε καὶ σὺν ἐλαίαις, οὐ πεπείροις ἀλλ' ὄμφαξιν.

Μαστίχινον.

Τὸ μὲν ἁπλούστατον γίνεται, χίας μαστίχης Γο. ᾱ. ἐμβαλλομένης ἰταλικῷ ξ. ὀμφακίνου ἐλαίου, καὶ ἑψομένης ἐν διπλώματι. τινὲς δὲ καὶ ἀψινθίας καὶ στύρακος ἀνὰ Γο. ᾱ. ἐμβάλλουσιν.

Μαστίχινον ποικιλώτερον.

Ἐλαίου ξ. ν̄. ἐλαΐνου λι. ε̄. ξυλοβαλσάμου λι. ῑ. σχοίνου ἄνθους λι. ε̄. καρδαμώμου λι. ζ̄. μαστίχης λι. ε̄. ξυλομαστίχης λι. η̄. τερεβινθίνης λι. γ̄. ἀψινθίου κόμης λι. ᾱ. οἴνου εὐώδους ξ. ε̄. ὕδατος ξ. ῑ. καταβραχέντα τῷ οἴνῳ τὰ ξηρὰ πρὸ τρίτης ἡμέρας μίγνυται τῷ ἐλαίῳ καὶ τῷ ὕδατι, καὶ ἕψεται ὥρας ϛ̄. καὶ τότε ἡ μαστίχη καὶ ἡ τερεβινθίνη ἐμβάλλεται. καὶ ἀκριβῶς μιχθέντα διασιροῦται. καὶ ψυγέντα καταγγίζεται.

Σικυώνιον ἁπλοῦν.

Τοῦτο γίνεται, τῆς ῥίζης τοῦ ἀγρίου σικύου διαψυγείσης, ἐμβαλλομένων Γο. β̄. εἰς τὸν ἰταλικὸν τοῦ ἐλαίου ξ. καὶ ἑψομένης ἐν διπλώματι.

Σικυώνιον σύνθετον.

Ἐλαίου ξ. ῑ. σικύου ἀγρίου τῆς ῥίζης ἐξεσμένης λι. ᾱ. ἑρπύλλου, μελιλώτου ἀνὰ Γο. ϛ̄. δάδων πευκίνων λιπαρῶν, ἀλθαίας ἀνὰ Γο. ε̄. σκολοπενδρίου Γο. ϛ̄. τήλεως ξ. β̄. προαποβρέχεται ἡ τῆλις ὕδατι πρῶτον ἡμέραν μίαν. εἶτα σιροῦται, καὶ ἐμβάλλεται τοῖς λεχθεῖσιν ἅμα τῷ ἐλαίῳ καὶ οἴνου ξ. β̄. καὶ πᾶσιν ἑψηθεῖσιν ἐπιβάλλεται μυελοῦ ἐλαφείου σὺν ὀλίγῳ τοῦ ἐλαίου λειωθέντος Γο. δ̄. στέατος ὀρνίθων Γο. δ̄. καὶ αὖθις σιρωθὲν τὸ ἔλαιον, καταγγίζεται. τινὲς δὲ καὶ ἡλιοῦσιν αὐτὸ μετὰ τὴν ἕψησιν, ἡμέρας μ̄.

Ἄλλο σικυώνιον, δραστικώτερον.

Ἐλατηρίου χ. ξ. γ̄. ἀριστολοχίας ○ καὶ μακρᾶς, στύρακος, ἑλενίου, ὑσσώπου, ἴρεως, κολοκυνθίδος, γλήχωνος, ὀριγάνου, κυπέρου, δενδρολιβάνου, κενταυρείου, δαφνοφύλλων ἀνὰ Γο. β̄. ἐλαίου ξ. ε̄. μίξας ἕψε ἕως ὀλίγον τοῦ χ. περιλειφθῇ.

Κύπρινον ἐκ τῶν Ποσιδωνίου.

Ἐλαίου ξ. ᾱ. κυπέρου, ἑλενίου, ἴρεως ἀνὰ λι. ᾱ. σαμψύχου, ὑσσώπου, λύγου σπέρματος, ἐλελισφάκου ἀνὰ Γο. γ̄. κυπέρου τοῦ ἄνθους λι. ᾱ. τὰ μὲν ἄλλα πάντα προαποβραχέντα οἴνῳ ἡμέραν ᾱ, ἕψεται μετὰ τοῦ ἐλαίου ϛ̄ ὡρῶν. σιρωθέντι δὲ τῷ ἐλαίῳ καθαρῷ ἡ κύπρος ἐμβάλλεται, εἰ μὲν παρείη χλωρά, μετὰ τῶν ἁπαλῶν κλωναρίων ἀκόπων. εἰ δὲ μή, ἀλλὰ ξηρὰν γοῦν κεκομμένην σὺν ὀλίγῳ ὕδατι. καὶ ἕψεται ᾱ. S. ὥραν. εἰ δὲ βούλοιο αὐτὸ βάψαι, μετὰ τὸ καθελεῖν ἀπὸ τοῦ πυρὸς ἔμβαλε ἰοῦ καρβαροῦ λι. ᾱ. S. ὁ δὲ Ποσιδώνιος τὸ δριμὺ τοῦ ἰοῦ φεύγων. μετὰ τὴν ἕψησιν, φησίν, ἡμέρας γ̄ ἄφες τὸ ἔλαιον ἐν τῷ κακκάβῳ ἀγανώτῳ ὄντι, καὶ βαφήσεται μὴ βλαπτομένης αὐτοῦ τῆς δυνάμεως.

Ἄλλο

Ἄλλη γραφὴ κυπρίνου.

Κυπρίων φύλλων, δάφνης φύλλων, ἴρεως, κυπέρου, ἐλελισφάκου ἀνὰ γο. γ̄. δενδρολιβάνου, ἀριστολοχίας μακρᾶς, ἄγνου σπέρματος. ἀνὰ γο. δ̄. ἑλενίου, ἀσπαλάθου ἀνὰ γο. ϛ̄. πηγάνου γο. β̄. κυπαρίσσου γο. β̄. ἐλαίου ξ. ῑ. ταῦτα προαποβρέξας εἰς οἶνον συνέψε τῷ ἐλαίῳ, καὶ σειρώσας ἔμβαλλε πάλιν ξυλοβαλσάμου, ξυλοκασσίας ἀνὰ γο. δ̄. σαμψύχου, κυμίνου, μυρσίνης, στύρακος, μαστίχης ἀνὰ γο. γ̄. ὀποπάνακος γο. β̄. κυπρίνου ἄνθους γο. ϛ̄. ἰοῦ γο. ᾱ.

Ἀμαράκινον.

Ἐλαίου λι. ῑ. ξυλοβαλσάμου λι. κ̄. κυπέρου λι. η̄. σχοίνου ἄνθους, ἀσπαλάθου, βράθυος ἀνὰ λι. κ̄. ὀποπάνακος, ἀμαράκου σπέρματος ἀνὰ λι. β̄. ἐλαίου πρωτείου ξ. β̄. οἴνου εὐώδους ξ. ε̄. τὰ μὲν ἄλλα πάντα πρώτην ἐμβολὴν ποιεῖσθαι, τῷ οἴνῳ προαποβρέξαντα. δευτέραν δὲ, τὸ βράθυ. κἀκεῖνα μετὰ ϛ̄ ὥρας ἑψήσθω. σὺν τοῖς τρεῖς. τινὲς καὶ σὺν τῷ βάπτοντες, ἐμβάλλουσιν ἰοῦ γο. γ̄.

Ἴρινον.

Ἴρεως, ἀσπαλάθου, κυπέρου ἀνὰ λι. ε̄. ὀποπάνακος γο. γ̄. ἀγχούσης γο. β̄. ἐλαίου ξ. λ̄. ὕδατος ξ. ῑ ε. τινὲς προστιθέασι καὶ σχοίνου ἄνθους γο. ϛ̄. κασσίας γο. γ̄. ξυλοβαλσάμου γο. ϛ̄. κελτικῆς γο. ϛ̄. πάντα κοπέντα προαποβρέξας τῷ ὕδατι καὶ τῷ ἐλαίῳ ἡμέρας ε̄. ἕψε ἐπὶ διπλώματι ἐπὶ ὥρας ϛ̄. καὶ ἀποτίθεσο.

Κρόκινον, ἐν ᾧ καὶ ἑτέρου κροκομάγματος ποίησις.

Ἐλαίου ὀμφακίζοντος εὐώδους λι. ᾱ. καλάμου ἀρωματικοῦ λι. ε̄. σμύρνης τρωγλοδύτιδος γο. ε̄. καρδαμώμου γο. ζ̄. κρόκου κιλικίου γο. ϛ̄. τῆς μὲν πρώτης ἐμβολῆς ὁ κάλαμος ἔσω καὶ ἡ σμύρνα οἴνῳ λεία προαποβρεχθεῖσα γο. ᾱ. περιστερεῶνος λευκοῦ, κόκκοι μ̄. σμύρνης τρωγλοδύτιδος < ᾱ. κόψας καὶ σήσας λείου πάλιν ἐν θυΐᾳ, ἐπιβάλλων ἐλαίου ναρδίνου λι. ᾱ. ὑπὲρ δὲ τοῦ μελάντερον γενέσθαι τὸ φάρμακον, καρύων λέπη καύσας καὶ ῥίψας ἐν θυΐᾳ ἐπίβαλλε. εἶτα πρόσμιξον, ὀποβαλσάμου κοχλιάρια τρία. κηροῦ λι. ᾱ. S.

Περὶ οἰνανθαρίων.

Οὐχ ὅτι οἰνάνθην δέχεται ταῦτα, οἰνάνθια προσηγορεύθη. τινὰ γὰρ οὐδὲ λαμβάνει οἰνάνθην. ἀλλὰ διὰ τὸν οἶνον, καὶ τὸ ἄνθος τὸ κείνων, ταύτης τετύχηκεν τῆς ὀνομασίας. ἡ δὲ χρῆσις τῶν οἰνανθαρίων, παρά τισι μὲν εὐωδίας μόνης καὶ τρυφῆς ἕνεκα παραλαμβάνεται, μετὰ τὰ λουτρὰ καταχεομένων αὐτὰ τῶν χρωμένων, καὶ τὰς τραπέζας αὐτοῖς περισπογγιζόντων. παρὰ δὲ τοῖς ὀρθῶς χρωμένοις, καὶ βοηθήματα γίνονται, ἐπί τε τῶν ἐκλυομένων τε συγκοπτομένων, εἰ παραμίγνυται τοῖς τονωτικοῖς τοῦ στομάχου καταπλάσμασιν. κἀπὶ τῶν ἀνακομιζομένων ἐκ νόσου, μάλιστα πυρετικῆς, μετὰ τὰς ἐξόδους τῶν λουτρῶν. περιχεομένων τε αὐτοῖς αὐτῶν καὶ ταῖς ῥισὶ προσφερομένων ἐπὶ πνεύσεσιν. ἕλκεται γὰρ εἰς τὸ βάθος, καὶ ἀναῤῥώννυσι τὸ ψυχικόν τε καὶ ζωτικὸν πνεῦμα. χρήσιμα δὲ καὶ τοῖς προφυλαττομένοις ἐμπεσεῖν λοιμικοῖς νοσήμασιν, περὶ τοῦ ἀέρος μεταβολῆς τοιαύτης φαινομένης. ἔστι δὲ τὸ τοῦ Ποσειδωνίου τοιοῦτον, ὃ καλεῖ μεσοποτάμηνον.

Οἰνανθίου σκευή.

Κασσίας, σμύρνης, λιβάνου, φύλλου, ἀμώμου, μαστίχης, κόστου, καρποβαλσάμου, ὀποβαλσάμου ἀνὰ γο. γ̄. στύρακος λιπαροῦ γο. δ̄. οἴνου εὐώδους ἀμιναίου ἰταλικοῦ ξ. ῑ. κόψας πάντα καὶ σήσας. τὸν δὲ στύρακα εἰς λεπτὰ διελὼν, σύνθες εἰς βῖκον πλατύστομον μετὰ τῶν φύλλων τῶν κρίνων διεψυγμένων πρὸ μιᾶς ἡμέρας καὶ ὠνυχισμένων δόμον παρὰ δόμον. ἔσω δὲ τὰ κρίνα ἀριθμῷ τ̄. εἶτα ἐπίβαλλε τὸν οἶνον καὶ τὸ ὀποβάλσαμον μεμιγμένα καὶ συγκεκινημένα πρὸ τῆς ἐμβολῆς, καὶ περιφράξας τὸ στόμα τοῦ βίκου, ἡλίου ἡμέρας μ̄. καὶ χρῶ ἀπὸ λουτρῶν μετὰ τῆς ἐκ νόσου ἀνακομιδήν. καὶ περιῤῥαίνων τὸν οἶκον καὶ τὰ σκεύη, καὶ βάπτων σπόγγους, καὶ τιθεὶς πρὸς πρόσωπον. Ἄλλη ὡς ἡμεῖς. Κόστου γο. γ̄. ναρδοστάχυος, ἀρνάβω, καρυοφύλλου ἀνὰ γο. ᾱ. ἀμώμου γο. γ̄. κασσίας, οἰνάνθης, καλάμου ἀνὰ γο. θ̄. στύρακος, ὀποβαλσάμου, ἀνὰ γο. δ̄. κρίνα. τ̄. οἴνου φαλερίνου ξ. ῑ. σκεύαζε τὸν ὅμοιον τρόπον.

Περὶ θυμιαμάτων, καὶ κύφεως. κβ.

Τοῦ κύφεως ἡ μὲν ὕλη μεταξὺ τῶν τε πινομένων τροχίσκων καὶ ἀντιδότων ἐστί. χρώμεθα δὲ αὐτοῖς, ὅτε μὲν θυμιῶντες αὐτὰ χάριν εὐωδίας, ὥσπερ καὶ τὰ θυμιάματα. ὅτε δὲ ὀσφραινόμενοι αὐτῶν ὑπὲρ τοῦ συμπέψαι καταῤῥοῦς τε καὶ κορύζας, ἐκφράξαι τε καὶ διακαθᾶραι τὰ περὶ τὸν ἐγκέφαλον. πρός τε τὰ λοιμικὰ προφυλάξαι πάθη. καὶ διὰ στόματος δὲ λαμβάνεται, πρός τε ταῦτα καὶ διὰ τὸ συμπέψαι τὰ περὶ τὸν θώρακα. καὶ πρὸς τὰς ἐν τῷ ἥπατι ψυχροτέρας διαθέσεις. ὅθεν καὶ τὰς κυφοειδεῖς καλουμένας ἀντιδότους ἐξεῦρον οἱ παλαιοί. μίγνυται δὲ καὶ συνθέσεις

δυνάμεσι, καὶ μάλιστα ἐπιθέμασι καὶ ἀντιδότοις. Ῥοδάτων θυμίαμα. Κόστου, ἀμώμου, σμύρνης, κασσίας ἀνὰ γο. α. στύρακος χίας, βδελλίου, ὀνύχων, βρύων, λαδάνου ἀνὰ < .β. ῥόδων καθαρῶν γο. κθ. ὀποβαλσάμου. οἴνου τὸ ἀρκοῦν. Θυμίαμα κρινάτον. Κρίνων ἐξωνυχισμένων λι. α. στύρακος πρωτείου γο. θ. ναρδοστάχυος γο. γ. κόστου, καρυοφύλλου, ἀμώμου, μαστίχης, ὀνύχων κζ, μέλιτος ἀνὰ γο. α. S. ὀποβαλσάμου γο. ε. οἴνου τὸ ἀρκοῦν. λεάνας καὶ ποίει τροχίσκους. Κῦφι τὸ μέγα, ὃ καλοῦσιν ἡλιακὸν διὰ τῶν λϛ. Στύρακος, σμύρνης, βδελλίου, λαδάνου, ἀσπαλάθου, ἐλενίου ἀνὰ γο. ϛ. νάρδου κελτικῆς, φύλλου, κυπαρίσσου σπέρμα, ἀμμωνιακοῦ θυμιάματος, στροβίλου, σπλάγχνου ἢ ἀντ' αὐτοῦ ὀνύχων μεγάλων. β. καρποβαλσάμου ἀνὰ γο. γ. κασσίας, ἴρεως, σεσέλεως, σφάγνου, κυπέρου, καρδαμώμου, καλάμου ἀρωματικοῦ ἀνὰ γο. ε. ῥόδων ξηρῶν, κρόκου, ναρδοστάχυος, βράθυος, ἀσφοδέλου ῥίζης, οἱ δὲ χ', ἀνὰ γο. δ. λακάφθου, ἔστι δὲ φλοιὸς πίτυος ἢ ἑτέρου τινὸς δένδρου γο. θ. κόστου, σχοίνου ἄνθους ἀνὰ γο. β. ἀρκευθίδας μεγάλας μ. καὶ μικρὰς ν. ἀμώμου, τερεβινθίνης, φοινίκων καθαρῶν ἀνὰ λι. α. ἰσχάδων ἀγιγάρτων, σταφίδων ἀγιγάρτων ἀνὰ λι. β. μέλιτος ἀπηφρισμένου λι. ε. ὁ Ποσιδώνιος καὶ οἴνου εὐώδους ξ. γ. Ἄλλο κῦφι. τὸ διὰ τῶν κη. σεληνιακὸν καλούμενον. Βδελλίου, ἐλενίου ἀνὰ γο. ζ. σχοίνου γο. ϛ. σφάγνου γο. ε. ἀρκευθίδας μικρὰς ν. καρδαμώμου γο. ε. ἀσπαλάθου γο. ζ. κασσίας σύριγγος γο. ε. ναρδοστάχυος γο. β. κυπέρου γο. ε. ἀσφοδέλου ῥίζης, βράθυος ἀνὰ γο. δ. κυπαρίσσου σπέρματος, νάρδου κελτικῆς, μαλαβάθρου μετὰ τῶν φύλλων, ῥόδων ξηρῶν ἀνὰ γο. γ. κόστου, κρόκου ἀνὰ γο. β. λαδάνου, σμύρνης. ἀνὰ γο. ζ. ἰσχάδων λιπαρῶν, σταφίδων ἐκγιγαρτισθεισῶν. ἀνὰ λι. β. στροβίλων γο. η. τερεβινθίνης λι. α. στύρακος γο. ζ. φοινίκων λιπαρῶν λι. α. μέλιτος λι. ε. οἴνου εὐώδους, τὸ ἀρκοῦν.

Σκευὴ μαστιχᾶ, ὃ καλοῦσί τινες μαστιχάτιον. κγ.

Μελιλώτων γο. ι. ξυλοβαλσάμου, ἀσπαλάθου, βράθυος, σμύρνης, ἀμώμου, σχοίνου ἄνθους, δαφνοφύλλων, στακτῆς, στύρακος, καλάμου ἀρωματικοῦ, σαμψύχου ἀνὰ γο. β. ἴρεως γο. ε. φύλλου, κρόκου ἀνὰ γο. α. ὀποβαλσάμου γο. S. κόμμεως λι. α. ῥόδων ξηρῶν γο. ϛ. οἴνου τὸ ἀρκοῦν.

Ἐκ τῶν Ἀντύλλου. περὶ πεσσῶν. κδ.

Οἱ πεσσοὶ μὲν ὑστέρᾳ προσφέρονται. διαφοραὶ δ' αὐτῶν, αἱ κατὰ γένος τρεῖς. οἱ μὲν γὰρ μαλάσσουσιν, οἱ δὲ στύφουσιν, οἱ δὲ ἀναστομοῦσι. τοῖς μὲν οὖν μαλάσσουσιν, ἐπί τε φλεγμονῶν ὑστέρας καὶ ἑλκώσεως καὶ ψύξεων, ἀναδραμῶν τε καὶ ἀποστροφῶν καὶ ἐμπνευματώσεων χρώμεθα. σκευάζονται δὲ διὰ κηροῦ τυρρηνικοῦ, κυπρίνου, σουσίνου, πιμελῆς χηνείου ἢ ὀρνιθείου, βουτύρου ἀνάλου, ῥητίνης ἀπηψημένης, μυελοῦ ἐλαφείου, τήλεως, καὶ τῶν ὁμογενῶν. τοῖς δὲ ἀναστομωτικοῖς. ἐπειδὰν κάθαρσιν ἐπεχομένην ἀνακαλέσασθαι θέλωμεν, ἢ μῦσιν ὑστέρας ἢ συστολὴν ἐπανορθῶσαι προαιρούμεθα. σκευάζονται δὲ καὶ οὗτοι διὰ μέλιτος, ἀρτεμισίας, δικτάμνου, κράμβης χ', γλυκυρρίζης, πράσου χ', πηγάνου, σκαμμωνίας, καὶ τῶν ὁμοίων. οἱ δὲ στυπτικοὶ ἐναντίαν χρείαν ὡς πρὸς τοὺς ἀναστομωτικοὺς παρέχονται. ῥοῦν γὰρ ἐπέχουσι γυναικεῖον, καὶ ἀναπεπταμένην συνάγουσιν ὑστέραν, καὶ προπεπτωκυῖαν ἀναστέλλουσιν. ἡ δὲ τῶν στυπτικῶν ὕλη δεδήλωται πρόσθεν, ἐν τῷ περὶ κολλυρίων καὶ τροχίσκων. δεῖ δὲ γλοιώδεις καὶ ὀλίγῳ παχύτερον ποιεῖν τοῦ πεσσοῦ τὸ πάχος. κἄπειτα ἔριον παραπλήσιον μοτῷ στενῷ διπλοῦν βάπτειν εἰς τὸ φάρμακον, καὶ προσιθέναι πρὸς τὸ στόμιον τῆς ὑστέρας, ἔχον ἐξηρτημένην κροκύδα ὑπομήκη, πρὸς τὸ ὑποσπᾶσθαι τὸν πεσσὸν εὐκόλως ὁπότε δοκοίη. Ὁ κροκώδης πρὸς φλεγμονὰς καὶ ἀποστροφὰς καὶ σκληρίας καὶ ἐμπνευματώσεις. Κηροῦ τρώκτου, μυελοῦ μοσχείου ἀνὰ < .ιϛ. μυελοῦ ἐλαφείου < .ια. στέατος χηνείου < .η. στέατος ὀρνιθείου < .η. μαστίχης < .δ. ὑσσώπου φαρμακηροῦ < .γ. μέλιτος < .β. κρόκου < .η. ῥοδίνου τὸ ἀρκοῦν. τὸν κρόκον λεάνας γάλακτι γυναικείῳ. 4

Ὁ χρυσοῦς, καὶ μαλακτικὸς οὗτος κάλλιστος καὶ πεσσός. Κρόκου < .α. ὑσσώπου < .α. μυελοῦ ἐλαφείου < .β. τερεβινθίνης, κηροῦ, στέατος χηνείου ἀνὰ < .γ. ὠῶν ὀπτῶν λέκυθοι. ιϛ. ἰρίνου καὶ ῥοδίνου, τὸ ἀρκοῦν ἐξαίσου. Ὁ λίβανος. ἔστι δὲ πεσσός. ἐμμηναγωγός, καὶ πρὸς μητρικὰ πάθη ἁρμόζων, ἐξαίρετος. Ναρδίνου μύρου γο. ϛ. κηροῦ τυρρηνικοῦ γο. ε. σουσίνου μύρου γο. δ. χοιρείου στέατος προσφάτου γο. γ. χηνείου καὶ ὀρνιθείου, καὶ μυελοῦ ἐλαφείου, καὶ ἀμαρακίνου μύρου, ἀνὰ γο. β. ταυρείου στέατος, τερεβινθίνης, ὑσσώπου ἀνὰ γο. α. διπλώματι τήκεται. καὶ πάντες οἱ λοιποὶ πεσσοί. Ἐννεαφάρμακος. Ῥοδίνου μύρου, κικίνου, τερεβινθίνης, κηροῦ, μέλιτος, χηνείου στέατος καὶ βοείου, καὶ ἐλαφείου μυελοῦ, καὶ βουτύρου ἴσα. Ὁ λιπαρὸς μαλακτικός. Κηροῦ γο. ϛ. κολοφωνίας γο. δ. S. ταυρείου στέατος γο. δ. ἀμμωνιακοῦ θυμιάματος γο. δ. τὸ 50 ἀμμωνιακὸν ὕδατι λεάνας. Πεσσός, ἡ αἰγυπτία. Μέλιτος, τερεβινθίνης, βουτύρου, ῥοδίνου ἢ σουσίνου, κρόκου ἀνὰ μ'. α. ἐπὶ δὲ τῶν ἀφλεγμάντων καὶ ῥιπτῶν, καὶ ἰοῦ. S. Ἡ γονή, συλληπτικός.

πτικός. Βουτύρου γο. ϛ΄. ὑσσώπου φαρμάκου, μυελοῦ ἐλαφείου, στέατος χηνείου καὶ ὀρνιθίου, τερμινθίνης, ἀλόης ἀνὰ γο. γ΄. κηροῦ τυρρηνικοῦ γο. ϛ΄. ῥοδίνου λι. β΄. σμύρνης, κασίας ἀνὰ γο. β΄. ναρδοστάχυος γο. α΄. μέλιτος τὸ ἀρκοῦν.

Περὶ συμμετρίας κηροῦ πρὸς ἔλαιον.

Εἰ μὲν οἷα τὰ καλούμενα ἄκοπα, χρίσματα βούλοιο σκευάσαι, τετραπλάσιον ἔμβαλλε τοῦ κηροῦ τὸ ἔλαιον. εἰ δὲ ὡς ἐπὶ τῶν καταγμάτων, ὑγρὰν κηρωτήν, ἐργαζόμεθα διπλάσιον. εἰ δὲ τὸ φάρμακον ἐμπλαστρῶδες ποιῆσαι βουληθείημεν, τότε τῷ κηρῷ μίξωμεν ἴσον τὸ ἔλαιον, ἐὰν τὸ περιέχον εἴη σύμμετρον. εἰ δὲ ὅ, τε κηρὸς παλαιὸς ἢ αὐχμηρός, τό, τε περιέχον ψυχρὸν ᾖ, ὀλίγῳ πλεῖον ἔσω τοῦ κηροῦ, τὸ ἔλαιον. ὥσπερ γε καὶ ὅτε ὁ κηρὸς λιπαρὸς ᾖ, τό, τε περιέχον θερμόν, ὀλίγῳ ἐλάττων ἔσω ὁ κηρὸς τοῦ ἐλαίου. τὸ δὲ ὀλίγον τοῦτο, δωδέκατον ἔσω μέρος ἐφ᾽ ἑκάτερα τοῦ μέσου. καὶ γὰρ ἕνδεκα καὶ ιγ. γο. τοῦ ἐλαίου μίξεις τότε τῇ λίτρᾳ τοῦ κηροῦ.

Ἐκ τῶν Ἀντύλλου περὶ ἑψήσεως τῶν ἐμβαλλομένων εἰς τὰς ἐμπλάστρους φαρμάκων.

Ἡ λιθάργυρος. ἐν ταῖς ἑψήσεσι τῶν φαρμάκων, ἡ λιθάργυρος σὺν ἐλαίῳ καθέψεται. δεῖ δὲ λεάναντας τὴν λιθάργυρον, αὖθις σὺν τῷ ἐλαίῳ διατρίβειν, ὥστε γλοιωθῆναι. κἄπειθ᾽ οὕτως ἕψειν ἐπὶ μαλακοῦ πυρὸς ἀδιαλείπτως κινοῦντες. κατ᾽ ἀρχὰς μὲν οὖν ἀνοιδαίνει καὶ πομφολυγοῦται. πλησίον δὲ ἤδη τῆς αὐτάρκους ἑψήσεως γενομένων, τῷ χρώματι πυρρωδεστέρα γίνεται. τὸ δὲ μέτρον καταλαμβάνεται τῆς ἑψήσεως, ὅταν ἐκ τῆς οἰδήσεως μεταστάλῃ καὶ ἀμόλυντος γένηται. ὁμοίως δὲ τῇ λιθαργύρῳ, καὶ ἡ μολυβδαίνα ἕψεται. μέτρον δὲ τῆς ἑψήσεως αὐτῆς οὐ μόνον τὸ ἀμόλυντον. ἀλλὰ καὶ τὸ μεταβάλλειν ἀπὸ τοῦ πυρώδους χρώματος ἐπὶ τὸ κιρρὸν καὶ σφόδρα ξάνθες. Χαλκὸς κε. ἕψεται, οὐ κατ᾽ ἀρχὰς ἐμβαλλόμενος, ἀλλ᾽ ἡμιέφθου τῆς ἐμπλάστρου τυγχανούσης. μέτρον δὲ τῆς ἑψήσεως, ἐὰν μὴ πάνυ ὀλίγος ἐμβάλληται, κρατῆσαι τῷ χρώματι καὶ κιρρὰν ποιῆσαι τὴν ἔμπλαστρον. Σκωρία δὲ καὶ διφρυγές. ἐμβάλλεται μὲν καὶ αὐτὰ μετὰ τῆς ἑψήσεως. μέτρον δέ, διφρυγοῦς μέν, ὅπερ καὶ λεπίδος, κρατῆσαι τῷ χρώματι. σκωρίας δέ, οὐδὲν ἴδιον ἔχει μέτρον. τὸ πάντων δὲ κοινόν, ἀμόλυντον παρέχειν τὴν ἔμπλαστρον. Χαλκῖτις δέ, ἕψεται ὁμοίως χαλκῷ. καὶ μετρεῖταί γε ἡ ἕψησις αὐτῆς τῷ ποσῶς πυρροτέραν καὶ φοινικωτέραν ποιῆσαι τὴν ἔμπλαστρον. Χαλκοῦ ἄνθος. ὁμοίως χαλκῷ. μέτρον δὲ αὐτοῦ τὸ κοινὸν τῆς ἑψήσεως. Χάλκανθον. ἐμβάλλεται μέσον μὲν τῆς ἑψήσεως. ἑψόμενον δέ, σφοδροτέραν ποιεῖ τὴν χροιὰν τῆς ἐμπλάστρου. εἰ δ᾽ ἔχει καὶ τὰ ἄλλα μὴ ἀντιπράττοντα, μέλαιναν ποιεῖ τὴν ἔμπλαστρον. Μίσυ. ἐπὶ τέλει μὲν ἐμβάλλεται. ἴδιον δὲ μέτρον, οὐδὲν παρέχεται. Ἀρσενικὸν καὶ σανδαράχη, βάλλονται ἐπὶ τέλει τῆς ἑψήσεως. Μόλυβδος κεκαυμένος. μεσούσης τῆς ἑψήσεως ἐμβάλλεται. Ψιμύθιον. εἰς μὲν τὰς λευκὰς ἐμπλάστρους, ἐπὶ τέλει. συντηρεῖ γὰρ οὕτως τὸ χρῶμα, καὶ μᾶλλον λευκαίνει. εἰς δὲ τὰς μελαίνας, κατ᾽ ἀρχάς. ἑψόμενον γὰρ ἐπὶ πλέον, μέλαν γίνεται. Ἰός. εἰς τὰς χλωρὰς ἐμπλάστρους ἐμβάλλεται μετὰ τὴν ἕψησιν. ἐφ᾽ ὧν δὲ οὐδὲ τὴν ἀρχὴν ἐμβάλλεται τῇ χύτρᾳ, ἀλλὰ σὺν ὄξει διατριβέντος αὐτοῦ καὶ μένοντος ἐν θυίᾳ κατεράται τὰ ἄλλα. ἐν δὲ ταῖς μηλίναις, ἡμιέφθου οὔσης τῆς σκευασίας ἐμβάλλεται. μετρίας γὰρ τυχὼν ἑψήσεως, μηλίνην ποιεῖ τὴν χροιάν. ἐπὶ δὲ τῶν διπροσώπων καὶ διχρόμων καλουμένων, μετὰ τὰς ἀρχὰς εὐθὺς ἐνέψομεν τὸν ἰόν. ὑπὲρ τινας γὰρ κατὰ τὴν ἕψησιν πρῶτον μὲν μήλινον ἐπάγει, διπρόσωπον γινόμενον. τελευταῖον κιρρὸν ἀπεργάζεται τὸ χρῶμα. Στυπτηρία. ἐμβάλλεται τὰ πολλὰ μετὰ τὴν ἕψησιν. ἴδιον δὲ τῆς ἑψήσεως οὐδὲν ἔχει μέτρον. Μίλτος. ἐμβάλλεται ἐπὶ τέλει. Καδμία καὶ πομφόλυξ, ἐμβάλλονται κατ᾽ ἀρχάς. Ἅλες καὶ νίτρον. ἐμβάλλονται κατὰ μέσην τὴν ἕψησιν. Θεῖον, ἐπὶ τέλει. ἡ δὲ ἕψησις αὐτοῦ μελαίνει τὰς ἐμπλάστρους. Γῆ πᾶσα καὶ λίθοι. ἐμβάλλονται ἐπὶ τέλει τὰ πολλά. καὶ ἡ κίσσηρις δὲ ἐπὶ τέλει, καὶ τὰ κογχύλια δὲ κεκαυμένα ἐπὶ τέλει βάλλεται. Τὸ δ᾽ ἔλαιον ἐὰν μὲν ἐν ἀρχαῖς ἐμβληθῇ ῥητίνῃ ἢ πίσσῃ ὑγρᾷ, ἀσύστατον ποιεῖ τὴν ἔμπλαστρον. δεῖ οὖν μετὰ τὸ συστῆναι ἑψόμενα οὕτως ἐμβάλλειν τὸ ἔλαιον. τὰ δ᾽ ἄλλα λίπη τὰ ἄναλα περὶ μεσοῦσαν τὴν ἕψησιν ἐμβάλλειν χρή. Τῶν δὲ μύρων ἴρινον μὲν ἕψησιν φέρει. κύπρινον δὲ καὶ ῥόδινον, ἧττον. τὰ δ᾽ ἄλλα οὐδ᾽ ὅλως. διόπερ ἐπὶ τέλει τῆς ἑψήσεως ἐμβλητέα ἐστί. Κηρὸς οὐχ ἕψεται κατ᾽ ἰδίαν μόνος, κατακαίεται γάρ. οὔτε μετὰ ῥητίνης ὑγρᾶς ἢ πίσσης ὑγρᾶς, ἀσύστατος γὰρ μένει. ἀλλ᾽ ἐπεμβάλλεται ἢ ἐλαίῳ καθαρῷ ἢ ἐλαιώδει μετά τινος τῶν μεταλλικῶν ἑψηθέντι, ἢ ῥητίνῃ ἢ πίσσῃ προεψηθεῖσι. καὶ πρότερον συστάσει τῶν ἄλλων τῶν ἐχόντων ἐμβληθῆναι. Ῥητίνη ξηρή. ἐμβάλλεται μετὰ κηροῦ. ἡ δὲ ὑγρὰ πρὸ τῶν ἄλλων πάντων, αὐτὴ καθ᾽ αὑτὴν ἕψεται. εἰ μὴ σφόδρα ὀλίγη παραλαμβάνοιτο. Πίσσα. ἐμβάλλεται πρὸ τῶν ἄλλων πάντων. μέτρον δὲ τῆς μὲν ὑγρᾶς ἑψομένης, τὸ συστῆναι. τῆς δὲ ξηρᾶς, μάλιστα εἰ συνέψοιτο ὡς μηκέτι πομφολυγίζειν μηδὲ ἀνοιδαίνειν. Ἀπόχυμα. λειούμενον, καὶ κοσκίνῳ χωριζόμενον τῶν ἐν αὐτῷ περιττῶν,

ὕστερον ἑψηθείσῃ τῇ ἐμπλάστρῳ ἐμπάσσεται. εἰ δὲ μαλθακὸν εἴη, σὺν ἐλαίῳ ἀναλύεται. ἀκριβεστέρα δὲ ἡ πρώτη μέθοδος, διὰ τὸ μὴ φυλάττεσθαι τὸν σταθμὸν ἐν τῇ δευτέρᾳ. Ἄσφαλτος. ἕψεται, ἐμβαλλομένη κατ' ἀρχάς. οὐ δεῖ δὲ λειοτριβεῖν αὐτήν, ἐπεὶ τραχύτητας ἴσχει κεγχραμίσιν ὁμοίως. δεῖ οὖν θρύπτειν αὐτὴν εἰς ἁδρὰ, καὶ ἕψειν ἐν ὄξει, μὴ κινοῦντα ἕως μηκέτι πομφολυγίζῃ. ἐγὼ δέ φησι Τιμοκράτης, ἐν ἐλαίῳ ἑψήσας ἐπέτυχον. Πρόπολιν, μαλάσσειν δεῖ καὶ ἕψειν. ὑπὸ γὰρ τῆς ἑψήσεως οὐδ' ὅλως συγχέεται. εἰ δὲ καὶ κηρὸν ἡ ἔμπλαστρος δέχοιτο. δεῖ σὺν τῷ κηρῷ τὴν πρόπολιν ὥσπερ καὶ τὴν χαλβάνην κόψαντας, ἐμβάλλειν. Ἀμμωνιακὸν. περὶ μέσην ἐμβάλλεται τὴν ἕψησιν. δεῖ δὲ, εἰ μὲν δύναται λεανθῆναι, λεπτὸν ἐμπάσσειν. εἰ δὲ μὴ, σὺν ὑγρῷ τινὶ λειοτριβεῖν. ἐὰν μὲν ἔναιμος ἡ ἔμπλαστρος, σὺν ὄξει ἢ σὺν οἴνῳ. εἰ δὲ συρεγγιακὴ ἢ χοιραδική, πάντως σὺν ὄξει. ἐὰν δὲ μαλακτικὴ, οἷαι εἰσὶν αἱ δακτυλικαὶ, σὺν ὕδατι. ἔπειτα γλοιώσαντας, οὕτως ἐγχεῖν, διεψυγμένων τῶν ἄλλων, ἵνα μὴ ἀναζέσωσιν. Ὀποπάναξ. ἐμβάλλεται πολὺ ὕστερον ἀμμωνιακοῦ. παντελῶς δὲ ὀλίγης ἑψήσεως χρῄζει. δεῖ δὲ καὶ τοῦτον προλεαίνειν σὺν οἴνῳ ἢ ὄξει. Χαλβάνη. ἕψησιν οὐδ' ὅλως φέρει. ἀλλὰ διὰ τὸ ἀμόλυντον γενέσθαι τὴν ἔμπλαστρον, αἴρειν ἀπὸ τοῦ πυρὸς δεῖ. καὶ μαλάξαντας αὐτὴν ἐμβάλλειν. Σαγαπηνὸν. κόπτεται ἐν ὅλμῳ, καὶ ἁπαλὸν γενόμενον συμμαλάσσεται τῇ ἐμπλάστρῳ, μετὰ τὸ χωρισθῆναι τοῦ πυρός. Ἀλόη. ἐμπάσσεται μετὰ τὴν ἕψησιν. Ὀπὸς μήκωνος. ἐμβρέχεται πρὸ μιᾶς ἡμέρας ἐν ὕδατι ὀλίγῳ, εἶτα λεαίνεται ἐν θυίᾳ, κἄπειθ' οὕτως αὐτοῦ καταχεῖται καὶ ἡ ἔμπλαστρος. Θαψία. ἐμπάσσεται τελευταία ἢ λειοῦται ὑγρῷ τινί. Βδέλλιον. λειοτριβηθὲν ἐμπάσσεται, μετὰ τὸ ἀρθῆναι τὴν ἔμπλαστρον ἐκ τοῦ πυρός. εἰ δὲ λιπαρὸν τυγχάνοι καὶ μὴ δύναιτο λειωθῆναι, παραπλησίως τῷ σαγαπηνῷ κόψαντες αὐτὸ καὶ ποιήσαντες ἐμπλαστρῶδες, οὕτως συμμαλάξωμεν τῇ ἐμπλάστρῳ μετὰ τὴν ἕψησιν. Λιβανωτὸς καὶ μάννα. ἐμπάσσεται ὑπὸ τέλει τῆς ἑψήσεως, γλοιωθέντα σὺν ὀλίγῳ μέλιτι ἢ ὄξει ἢ ὕδατι ἢ οἴνῳ, ἐὰν ὑγρὸν ὑποδέχηται ἡ ἔμπλαστρος. Σμύρνα. ἐμβάλλεται συντετελεσμένης τῆς ἑψήσεως. Σπερμάτων δὲ καὶ ῥιζῶν καὶ βοτανῶν, οὐδὲ ἐν ἕψησιν ὑπομένει. λεανθέντων οὖν καὶ μενόντων ἐν θυίᾳ, καταχέονται τὰ τηκτά.

ΠΕΡῚ ἈΝΤΕΜΒΑΛΛΟΜΈΝΩΝ ἘΚ ΤῶΝ ΓΑΛΗΝΟΥ͂. ΚΕ.

Ἐν ἀλεξανδρείᾳ, φησὶν, ἐπί τινος γυναικὸς κινδυνευούσης, ζητήσας λυχνίδα καὶ μὴ εὑρηκὼς, εἰ μὴ εὐθέως ἀντὶ τῆς λυχνίδος, εὑρὼν ἐχρησάμην τῷ ἀκανθίου σπέρματι, ἀπώλετ' ἂν τὸ γύναιον. ὅθεν αἰτηθεὶς ὑπὸ τῶν ἑταίρων, ἐπὶ τήνδε τὴν τῶν ἀντεμβαλλομένων ἦλθον ἔκθεσιν, κατὰ στοιχεῖον δὲ αὐτοῦ τούτου τὴν ἀρχὴν ποιησάμενος.

Ἀντὶ ἀκανθίου σπέρματος, λυχνίς.
ἀντὶ ἀρωματικῆς, κάλαμος ἀρωματικός.
ἀντὶ ἀλόης ἰνδικῆς, ἀλόης χλωρᾶς φύλλα, ἢ γλαυκίας, ἢ κόπρος ἴβεως, ἢ λύκιον, ἢ κενταύρειον.
ἀντὶ ἁλικακάβου, στρύχνου σπέρμα.
ἀντὶ ἀσφάλτου. πίσσα ὑγρὰ βρυττία.
ἀντὶ ἀκωνίτου, ἰξίδος ἀγρίας ἡ ῥίζα.
ἀντὶ ἀψινθίου, ἀβρότονον.
ἀντὶ ὀποβαλσάμου, ὀπὸς μυρσίνου.
ἀντὶ ἀβροτόνου, ὀρίγανον.
ἀντὶ ἀσβέστου, ἀδάρκη.
ἀντὶ ἀγχούσης, ὑάκινθος.
ἀντὶ ἁλὸς ἀμμωνιακοῦ, ἅλας καππαδοκικόν.
ἀντὶ ἀρσενικοῦ, σανδαράχη.
ἀντὶ ἀκάνθης, κερασίων ἀκάνθου.
ἀντὶ ἀμύλου, ξηρὰ γύρις.
ἀντὶ ἀμμωνιακοῦ θυμιάματος, πρόπολις.
ἀντὶ ἀσπαλάθου, βρίκης καρπός.
ἀντὶ ἄρακος, σήσαμον.
ἀντὶ ἀμυγδάλων πικρῶν, ἀψίνθιον.
ἀντὶ ἀρμενίου, μέλαν ἰνδικόν.
ἀντὶ ἀκτῆς, ἄκανθα.
ἀντὶ ἀγαρικοῦ, εὐφόρβιον.
ἀντὶ ἀργεμώνης, στρείφη.
ἀντὶ ἀσφοδέλου ῥίζης, τεύτλου χυλός.
ἀντὶ ἀειζώου χυλοῦ, θριδακίνης χυλὸς ἢ φύλλα.
ἀντὶ ἀμιάντου, ἀφροσέλινον.
ἀντὶ ἀσπαλάθου, ἄγνου σπέρμα.
ἀντὶ αἰθιοπικῆς ἐλαίας, δακρύου ἀκακίας μέρη β.
ἀντὶ ἀσίου λίθου, γαγάτης λίθος, ἢ ἅλες ἀμμωνιακοὶ κεκαυμένοι.
*ἀντὶ ἁλὸς ἀμμωνιακοῦ, καππαδοκικόν.
ἀντὶ ἀλώπεκος στέατος, στέαρ ἄρκειον.
ἀντὶ αἰγείρου ἀκρεμόνων, σάμψυχος.
ἀντὶ βουπρήστεως, σίλφαι βδέουσαι.
ἀντὶ βουτύρου, γάλακτος βοείου ἐπίπαγος.
ἀντὶ βαλσάμου ὀποῦ, στακτῆς σμύρνης.
ἀντὶ βδελλίου, σφαῖγνος ἀρωματικός.
ἀντὶ γεντιανῆς ῥίζης, σελίνου ἀρωματικοῦ.
ἀντὶ γῆς σαμίας, λευκογραφὴ αἰγυπτία.
ἀντὶ γῆς ἐρετριάδος, τίτανος θηβαϊκός.
ἀντὶ γογγυλίδος, ἡ λιβόσπιον.

ἀντὶ

ἀντὶ γλυκυῤῥίζης χυλοῦ, χυλὸς συκαμίνου.
ἀντὶ γυπὸς κόπρου, περιστερᾶς κόπρος.
ἀντὶ γῆς ἀπαλῆς, μολύβδαινα.
ἀντὶ δορυκνίου, ὑοσκυάμου σπέρμα.
ἀντὶ δικτάμνου, ἐλελίσφακος.
ἀντὶ δαφνίδων, ἕρπυλις ξηρά.
ἀντὶ δαύκου, σπέρμα σίου.
ἀντὶ διφρυγοῦς, λίθος φρύγιος.
ἀντὶ δρακοντίου, ἄρον βρώσιμον.
ἀντὶ ἐλελισφάκου, καλαμίνθη.
ἀντὶ ἐλαίας δακρύου, ὑποκυστίδος χυλός.
ἀντὶ ἑρπύλλου, ποταμογείτων.
ἀντὶ εὐζώμου σπέρματος, ἐρυσίμου σπέρμα.
ἀντὶ ἐλατηρίου χυλοῦ, τῆς αὐτῆς βοτάνης χυλός.
ἀντὶ ἐρυσίμου σπέρματος, στρούθιον.
ἀντὶ ἐρίκης καρποῦ, κηκὶς ὀμφακῖτις.
ἀντὶ ἐβένου, λώτινον ξηρόν.
ἀντὶ ἐρίνου φύλλων, κόπρος ἴβεως.
ἀντὶ ἐβίσκου ῥίζης, φύλλα μορέας.
ἀντὶ ἐλλεβόρου μέλανος, ῥίζα παπύρου.
ἀντὶ ἐνεαφύλλου, ποταμογείτων.
ἀντὶ ἐλαίου παλαιοῦ, τὸ διπλοῦν ἔλαιον ἑψό-
μενον μετὰ στέατος ὑὸς παλαιοῦ.
ἀντὶ ζιγγιβέρεως, πύρεθρον.
ἀντὶ θαψίας χυλοῦ, χαμαιλέοντος μέλανος χυλός.
ἀντὶ θαψίας, ἐλύδριον. ἀντὶ θερμουντιάδος, λυκόψωλος.
ἀντὶ θείου ἀπύρου, σανδαράχη.
ἀντὶ ἰοῦ σιδήρου, σκωρία σιδήρου.
ἀντὶ ἰξοῦ δρυΐνου, χαμαιλέοντος μέλανος.
ἀντὶ ἴριδος ἰλλυρικῆς, ἑλενίου ἀρωματικοῦ.
ἀντὶ κινναμώμου, κασσίας τὸ διπλοῦν.
ἀντὶ κασσίας τῆς μάννης, κινναμώμου.
ἀντὶ κυπέρεως, ἀρκευθὶς μεγάλη.
ἀντὶ καρδαμώμου, κύπειρις ἀμμωνιακή.
ἀντὶ κόστου, κεδρίδες.
ἀντὶ κεδρίδων, λάδανον.
ἀντὶ καλάμου ἀρωματικοῦ, σφάγνος.
ἀντὶ κρόκου, κροκόμαγμα.
ἀντὶ κροκομάγματος, ἀλόη ἰνδική.
ἀντὶ καστορίου, σίλφιον βδεουσῶν σφόδρα.
ἀντὶ καδμίας, λευκογραφὶς αἰγυπτία.
ἀντὶ κροκοδείλου στέατος, κυνὸς θαλασσίου στέαρ.
ἀντὶ κωνείου, σπέρμα κοριάννου.
ἀντὶ κανθαρίδων, φαλάγγια.
ἀντὶ κνιδίου σπέρματος, σπέρμα ἄγνου.
ἀντὶ κυσσοῦ, ὀποῦ περσικοῦ.
ἀντὶ κίκεως, γλοιὸς ἀπὸ παλαίστρας.
ἀντὶ καππάρεως ῥίζης, ἐρίκης ῥίζα, ἢ μυρί-
κης.
ἀντὶ κόπρου τρυγόνος, κόπρος περιστερᾶς.
ἀντὶ κεραυνίνου, λευκογραφίς.
ἀντὶ κοραλλίου, μόλυβ.
ἀντὶ κόπρου αἰλούρου, κόπρος ἰχνεύμονος.
ἀντὶ κινναβάρεως, ῥοδοειδές.
ἀντὶ κυμίνου, κράμβης σπέρμα.
ἀντὶ κλινοποδίου, ἡλιοτρόπιον.
ἀντὶ καλαμίνθης, ἄγριον ἡδύοσμον.
ἀντὶ κολοκυνθίδος, σπέρμα κίκεως ὅ ἐστι κρό-
τωνος.
ἀντὶ κοτυληδόνος, ὀνοκάρδιον.
ἀντὶ κολοφωνίας, ἀπόχυμα.
ἀντὶ κυνὸς βάτου, ἁλικακάβου σπέρμα.
ἀντὶ κρινανθέμου, ἀφροδισίας.
ἀντὶ κομαρέας, ἀμμωνιακοῦ θυμιάματος.
ἀντὶ κισσήρεως, γῆ κρητική.
ἀντὶ κύφεως, ἰσχὰς κα.
ἀντὶ κηρύκων, ὄστρεα.
ἀντὶ καρδαμώμου, ξυλοκάρπασον.
ἀντὶ κηροῦ, βδέλυγμον μετὰ τῆς πόλεως ἕψε-
ται καὶ τρίβεται.
ἀντὶ λιβάνου, ἡ ἀμπελῖτις.
ἀντὶ λαθυρίδων, κόκκος κνίδιος.
ἀντὶ λεπιδίου, ἐρυθρόδανον.
ἀντὶ λίθου ἀσίου, λίθος γαγάτης.
ἀντὶ λίθου μάγνητος, λίθος φρύγιος.
ἀντὶ λίθου φρυγίου, λίθος ἀργυρῖτις.
ἀντὶ λυβιστικοῦ, σπέρμα σταφυλίνου.
ἀντὶ λίθου πυρίτου, λίθος πυροβόλος.
ἀντὶ λευκοΐνου ἄνθους, στρούθιον.
ἀντὶ λωτοῦ σπέρματος, σπέρμα τεύτλου.
ἀντὶ λεπιδίου ῥίζης, φύλλα καππάρεως.
ἀντὶ λαγωοῦ θαλασσίου, λαγὼ ποτάμιος.
ἀντὶ λινοσπέρμου, κυάμου χυλός.
ἀντὶ λαπάθου ῥίζης, ῥίζα πυρέθρου.
ἀντὶ μαλαβάθρου, κασσία ἢ νάρδος ἰνδική.
ἀντὶ μανδραγόρου χυλοῦ, δορύκνιον.
ἀντὶ μυρσινίτου, ὀπὸς μορέας.
ἀντὶ μανδραγόρου, ἐλαίας δάκρυον.
ἀντὶ μαστίχης, σχοίνου καρδίαν.
ἀντὶ μυροβαλάνου, πεύκινον.
ἀντὶ μαλάχης, τῆλις.
ἀντὶ μέλιτος, ἕψημα.
ἀντὶ μάννης, λιβάνου φλοιός.
ἀντὶ μυοχόδων, μυΐας ἴζα.
ἀντὶ μαγνυσίνης ὑελίνης, πτύελον ἰταλικόν.
ἀντὶ μυελοῦ ἐλαφείου, στέατος ἐλαφείου ἢ μυε-
λοῦ μοσχείου.
ἀντὶ μηλοκυδωνίων, μελίλωτον.
ἀντὶ μίσυος κυπρίου, ὤχρα κυπρία.
ἀντὶ μύου, μυροβάλανος.
ἀντὶ μόρων χυλοῦ, βάτων φύλλα.
ἀντὶ μίσυος ὀπτοῦ, διφρυγές.
ἀντὶ μαλαβάθρου, πράκτυλος.
ἀντὶ νάρδου συριακῆς, σχοῖνος ἀρωματικός.

ἀντὶ νάπυος, γογγυλίδος σπέρμα.
ἀντὶ ξυλοβαλσάμου, ῥίζα λευκοΐου.
ἀντὶ ὀποῦ μήκωνος, μανδραγόρου χυλός.
ἀντὶ ὀποπάνακος, γάλα συκαμίνου.
ἀντὶ ὀποῦ κυρηναϊκοῦ, ὀποῦ συριακοῦ.
ἀντὶ ὀποκαρπάσου, ὀποῦ μυρσίνης.
ἀντὶ ὀποῦ συκῆς, ὀποῦ μορέας.
ἀντὶ ὀποῦ ἰτέας, ὀποῦ κισσοῦ μέλανος.
ἀντὶ ὀποῦ ῥοδοδάφνης, ἰξὸς δρυΐνος.
ἀντὶ οἰνάνθης χυλοῦ, ἀμπελίνου δένδρου.
ἀντὶ ὁρμίνου, λινοσπέρμου.
ἀντὶ ὀρύζης, κρίθινον ἄλευρον.
ἀντὶ οἴνου Ἰταλικοῦ, οἶνος μενδήσιος.
ἀντὶ οἴνου ῥοδίνου, οἶνος αὐστηρός.
ἀντὶ ὀρνιθογάλων, ἀνθαλλοί.
ἀντὶ ὄμφακος, κηκὶς ὀμφακίτης.
ἀντὶ ἀνακαρδίου, ψυχῆς βοτάνης.
ἀντὶ ὀποῦ περικλυμένου, γλυκυρρίζης χυλοῦ.
ἀντὶ πεντεπόλεως, λάδανον.
ἀντὶ πιτυοκάμπης, σφῆκες εἰς κεδρίαν.
ἀντὶ πεπέρεως, ζιγγίβερι.
ἀντὶ πηδρίου, κνεώρου σπέρμα.
ἀντὶ πολυποδίου, ῥίζα χαμαιλέας ἢ χαμαιλέοντος.
ἀντὶ περιστερεῶνος, χαμαιλεύκη.
ἀντὶ πολυτρίχου, ἀψινθίον.
ἀντὶ ῥητίνης πευκίνης, ῥητίνη τερεβινθίνη.
ἀντὶ ῥόδων ξηρῶν, περσαίας φύλλα ξηρά.
ἀντὶ ῥεφανίου ἐλαίου, κίκινον ἔλαιον.
ἀντὶ ῥοδοειδοῦς, σινωπίς.
ἀντὶ ῥητίνης κολοφωνίας, ἀπόχυμα.
ἀντὶ ῥίζης λαπάθου, κινάρας.
ἀντὶ σχοίνου ἀρωματικοῦ, καρδάμωμον.
ἀντὶ σποδοῦ κυπρίας, σποδὸς φύλλων ἐλαίας
ἀντὶ σμύρνης στακτῆς, κάλαμος ἀρωματικός.
ἀντὶ στέατος ἐλαφείου, στέαρ χήνειον.
ἀντὶ στέατος ὑαίνης, στέαρ ἀλωπέκων.
ἀντὶ στέατος ἀλώπεκος, στέαρ ἄρνειον.
ἀντὶ στρουθείου ῥίζης, ῥίζα ἐλλεβόρου μέλανος.
ἀντὶ σατυρείου, σπέρμα εὐζώμου.
ἀντὶ σαλαμάνδρας, σαῦρα χλωρά.

ἀντὶ σφάγνου ἀρωματικοῦ, σχοίνου εἰργασμένης.
ἀντὶ συρικοῦ, λιθάργυρον.
ἀντὶ σκωρίας μολύβδου, ἕλκυσμα.
ἀντὶ σαμψύχου, ῥοῦς μαγειρικὸς ξηρός.
ἀντὶ σινάπεως, καρδάμωμον.
ἀντὶ σαγαπηνοῦ, πίτυος ῥητίνης ξηρᾶς.
ἀντὶ σκαμμωνίας, κρότωνος κίκεως.
ἀντὶ στροβίλων, σικύου σπέρμα.
ἀντὶ στυπτηρίας, ἅλος ὀρυκτοῦ.
ἀντὶ σκύγκου, σατύριον.
ἀντὶ στόμωμα κοπτικοῦ, λεπίδος χαλκοῦ.
ἀντὶ σχοίνου, πολυγόνου ῥίζα.
ἀντὶ σκωρίας κυπρίας, μελαντηρία αἰγυπτία.
ἀντὶ σισυμβρίου, ὤκιμον.
ἀντὶ σταφίδος ἡμέρου, φοίνικος συριακοῦ σάρξ.
ἀντὶ σανδονικοῦ, ἀβρότονον.
ἀντὶ σηπίας ὀστράκου, κίσσηρις.
ἀντὶ σαρπιάδος, παιωνίας ῥίζα.
ἀντὶ σκίλλης, βολβός.
ἀντὶ σησαμοειδοῦς, πίεσμα ἀμαράντινον.
ἀντὶ σησάμου, λινόσπερμον.
ἀντὶ ὑοσκυάμου σπέρματος, κυνοσβάτου σπέρμα.
ἀντὶ ὑποκυστίδος χυλοῦ, ἀκακίας ἀκανθίδος χυλός.
ἀντὶ ὑγροπίσσης, ὀποπάναξ.
ἀντὶ ὑσσώπου, μυελὸς μόσχου.
ἀντὶ ὑακίνθου, ἄνθος ἰσάτεως.
ἀντὶ ὑπερικοῦ, ἀνήθου σπέρμα.
ἀντὶ σφέκλης, σανδαράχη.
ἀντὶ φύκους, ἄγχουσα.
ἀντὶ φοῦ, σφάγνος.
ἀντὶ χολῆς ὑαίνης, χολὴ πέρδικος.
ἀντὶ χολῆς ἔχεως, χολὴ χελύμονος.
ἀντὶ χολῆς μυγαλῆς, χολὴ καμήλου.
ἀντὶ χολῆς καμήλου, χολὴ ἀλαβήτου.
ἀντὶ χαλβάνης, σαγαπηνόν.
ἀντὶ χαμαίδρυος, λαπάθου ἀγρίου ῥίζα.
ἀντὶ χαμαιμήλου, ἀνθεμίς.
ἀντὶ ψιμυθίου, σκωρία μολίβδου.
ἀντὶ ψυλλίου, φακὸς ὁ ἐπὶ τῶν τελμάτων.
ἀντὶ ὠκίμου, σισύμβριον.
ἀντὶ ὠκιμοειδοῦς, ἡδύοσμον ἄγριον.

Περὶ σταθμῶν καὶ μέτρων. κς.

Ὁ σταθμός, βάρει μετρούμενος κρίνεται. τὸ δὲ μέτρον, ἀγγείου κοιλότητι. τὸ δὲ ἀγγεῖον, ἢ ξηροῦ ποσοῦ μέτρον ἐστὶν ἢ ὑγροῦ. ὡς εἶναι τρεῖς τὰς μετρουμένου ποσοῦ διαφοράς. μίαν μὲν τὴν τοῦ σταθμοῦ, ἑτέραν δὲ τὴν περὶ ξηρᾶς οὐσίας, οἷον χώματος. καὶ τρίτην τὴν περὶ ὑγρᾶς. πολλῶν δὲ καὶ σχεδὸν ἀπείρων ὑπαρχόντων τῶν τε σταθμῶν καὶ τῶν μέτρων παρά τε τὰς χώρας καὶ τὰ ἔθη τῶν χρωμένων, περὶ τῶν μάλιστα συνήθων ἅπασιν, ὁ λόγος ἡμῖν ἔσται.

Περὶ τῶν δηλούντων τοὺς σταθμοὺς καὶ τὰ μέτρα χαρακτήρων.

Ἀλλ᾽ ἐπειδή τινες οὐχ ὁλογραμμάτως, ἀλλὰ διὰ χαρακτήρων ταῦτα σημαίνουσι, βέλτιον ἂν εἴη τοῖς παλαιοῖς κατακολουθοῦντα, πρῶτον τοὺς χαρακτῆρας αὐτοὺς διασαφηνίσαι. Πρῶτον μὲν οὖν τὸ χ, στοιχεῖον ἔχον ἐπικείμενον αὐτῷ τὸ ἄλφα, χαλκοῦν σημαίνει, καθὼς ὁρᾷς $χ^{α}$. εἰ δὲ ο ἔχει τὸ χ, χόα, $χ^{ο}$. εἰ δὲ οι, χοίνικα, $χ^{οι}$. εἰ δὲ η, χήμην: $χ^{η}$. Τὸ δὲ κάππα, εἰ μὲν

denter hæc cõfundi, ut nũc ὕσσωπον nũc οἴσυπον ſcribãt, nõ herbã ſignificare uolẽtes. ac proinde excogitatã fuiſſe adiectionẽ, pharmaci aut herbæ, uelut cũ ὕσσωπον ſignificãt adijciunt βοτάνην. Cum autem οἴσυπον, addunt pharmacum. Quanquam non omnis œſypos ſit pharmacum, ut quis poßit defendere has differentias adijci, nõ ut diſtinguant inter οἴσυπον et ὕσσωπον, ſed primas differentias per ortographiã conſtitui. adiectiones autem eſſe οἰσύπου differentias quod nunc compoſitum pharmacũ ſignificet, nunc ſimplex, id eſt ἔρεια ῥυπαρὰ, atq; hoc nullã adiectionem habere, illud autem aut pharmacum, aut ceratũ, ἢ τὴν ὑγροῦ προσκειμένην ἔχειν διαφοράν. Haſce igitur differẽtias οἰσύπου eſſe, quod ab herbæ appellatione ortographia dinſtinguatur. ipſum autem, quod multiplicem ſignificationẽ habeat, haſce differentias ſeorſum admittere. Quanquã Paulus in deſcriptione φαρμάκου τοῦ οἰσύπου lib. 7. non contentus ſcripſiſſe ὕσσωπον addit Bo[...]τάνην. forte ne corrumperetur ab ignaro in οἴσυπον. pag. 150. 9. λεπίδος σιδήρου < . ς̄ . Cod[...] < ι̅ς. Itẽ uer. 40. pro ∫ο. η̄ . puto legendum < . η̄ . 47. ἀνὰ ∫ο α̅ . Codex non habet pondus, ſi quis id ſequatur referendum fuerit ad precedens aut ſequens pondus ut ſit ἀνὰ < . α̅ . 49. Codex non uariat hic. pag. 151. 27. lege μολίβδου κεκαυμένου καὶ πεπλυμένου ἀνὰ < . α̅ . quanquam uehementer placeat τὸ ἀνὰ < . δ̄ . ſi haberem fidem exemplaris. pag. 157. 4. μετὰ μελικράτου. Codex habet μετὰ μέλιτος, quod magis placet, nã ſequitur καθαρωτάτου. pag. 154. 2. εἰ μὲν γὰρ ταχέως σαρκωθῇ. ratio eſt cur uelit celeriter incarnari, nam id ſi non fiat, periculum eſt ἀνευρίσματος. Videtur'que legendum. εἰ γὰρ μὴ ταχέως σαρκωθῇ ut ſit locus à contrario. pag. 157. 22. μετὰ πταρμῶν legitur ubiq;.

Pagina 161. primo uerſu. non eſt abſurda diuinatio ut τὸ ἀγρίου adijciatur τῷ κυμίνου, nam huius ponitur eſſe defferentia non illius, apud autores. Cæterum Calcographus uoluit ſua ædere ad fidem exemplarium, non arbitrium cuiuſq;. iudicium nunc penes quemque eſt, fidem exemplaris hic communicamus, ſequatur quod uolet. pag. 165. 24. πεπέρεως ἀνὰ < . δ̄ . aut deeſt aliquid, aut tollendũ τὸ ἀνὰ, aut legendũ πεπέρεων, quod eſt rarum. pag. 177. 32. ἀπελελυμένον lege. pag. 184. 45. leg. εἰς τὴν ὑπερῴαν. 183. 7. φακομέλιτι ita leg. ἀπὸ τοῦ φακοῦ καὶ μέλιτος. pag. 190. 2. ἀμυδροῦς. καὶ ὁ τόνος δὲ τῆς φύσεως ὀκλάζων, habet Codex. uerſ. 8. ὑπὸ θαλάψεως. Codex conuenit. pag. 196. 13. κατάλληλως lege. pag. 199. 5. κατ' ἐπέκτασιν. Item 48. ἐν τῇ σημειώσει, laſcaris exẽplar inquit And. habet συμπτώσει. Et uidetur magis interpretatio huius quàm ut ita ſit ſcriptũ à Paulo. pag. 213. uerſ. primo, lege εἰρημένων. pag. 221. 6. κατὰ τάξιν. Andernacus putat legend. κατ' ἕξιν. Codices nõ habent & ſentẽtia cõſtat. pag. 220. 45. χαλεπῶς συμβάλλουσι τοὺς γνάθους, interpres addit ex Hippocrate, inferiores, quod nõ eſt neceſſe. Et quod ſequitur καὶ τοῖσι δὲ ἐμβολὴ πρόδηλος οἵητις ἁρμόζει, ſententiam habet minime implicitam. quæq; deinceps ſequuntur omnia uſq; ad ἐμβολὴ μὲν οὖν αὐτή. neq; indigẽt inſtauratione ex Hippocrate. Sunt enim αὐταρκῆ. pag. 225. 35. lege τῶν η̄ στοιχείων. Pagina 230. 8. δήξεις, lectio non praua, ut obtundat acredinem humorũ. Dioſcorides habet ῥήξεις. Itẽ 44. καινοὶ habent exẽplaria. Gal. lib. ſexto ἁπλῶν. θερμὸν δὲ οὕτως ἐστὶν ὡς ἑλκοῦν ἤδη δύνασθαι καταπλασσομένην, quẽ locum ſequentib. legẽd. eſſet ὄθεν καὶ ἑλκοῖ. quod placet. pag. 232. 24. καταγμάτα. lectio eſt Dioſcoridis, Codices cõſtãter habent τὰ καύματα, neq; erat facile mutandũ. pag. 234. 39. ψυχρὰ οὖν, ita habẽt Codices omnes, quãquam nõ abſurdũ ſit ut legatur στρυφνὰ γὰρ οὖν, nã hic effectus eã qualitatẽ ſequitur. pag. 231. 2. Locũ hunc lubẽs ita legerẽ, ἐπ' αὐτῷ δὲ μαλακώτατος γένηται, ἀπηθήσαντας τὸ ὕδωρ, ῥίπτειν τοῖς ποσίν. εἶτα πάλιν ὕδωρ ἐπιχέαντας χωρεῖσθαι τὸ πίτυρον, καὶ ξηραίνειν &c. locus eſt è libro 2. Dioſcoridis. pag. 139. 24. legendũ ἀλλ' ἡ μὲν βοτρυῖτις λεπτομερεστέρα, παχυμερεστέρα δὲ ἡ πλακῖτις ἐστίν. Ita habuit oĩno Codex quãuis locus fuerit ſitu obductus, potuit tamẽ diligẽter inſpiciẽtib. certò cognoſci ita fuiſſe ſcriptum. Et aſtipulatur Galenus. pagina 246. uerſu. 50. τῶν ψυχόντων, ita habent Codices. Dioſcorides στυφόντων. pag. 247. 49. στομαχικοῖς. prior æditio habebat στομαχικοῖς etiam Codice aſtipulante. ſed cõfirmant Galenus & Plinius. p. 250. 49. τῶν λεπίδων, legendũ eſt τῶν λεπτῶν etiã ex Codice. pa. 255. 14. ἔχει μὲν γάρ τι καὶ τμητικόν. ὧ καὶ τὸ ἐν θώρακι πῦον καὶ νεφροῖς ἐκκαθαίρει. hũc locũ nõ rectè putabat And. ex Galeno ita emẽdandũ eſſe. ὧ καὶ τὸ περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι πῦον ἐκκαθαίρει. Nã Galeni ſentẽtia illic eſt, Symphitũ contrarias haberẽ qualitates, τμητικὴν, qua facultate ipſius utuntur qui thoracem & pulmonem eo purgãt, et qui νεφρίτιν eo ipſo curãt. id enim in fine capitis apud Galenũ ſequitur Habet etiã σταλτικὴν, qua facultate utuntur qui ſanguinis excretionẽ curãt. Id Paulus ex Galeno in epitotmẽ redigẽs ait, pus eo ipſo ex thorace expurgari, pulmonẽ nõ addit. quod id ultro ſequatur, ſed loco eius apponit τοὺς νεφρούς, id enim erat remotius quàm ut ſtatim poſt illud in memoriam ueniret. locus eſt libro 8. ſimplicium.





